ἐστένου [8] *τὸν τόπον. Καὶ ἀγανακτήσας ἄπαξ* [9] *Ἰωάννης, μειζότερος* [10] *ὢν κατὰ σάρκα, εἶπεν αὐτῷ· « Παῦσαι πέρπερος ὤν. » Καὶ ἀκούσας* [11] *παρεκινήθη ὡς ἐπὶ* [12] *ἀγαθῷ, οὐ μέντοι* [13] *ἀντεῖπεν αὐτῷ* [14] *οὐδέν· ἀλλ' ἐγκρατὴς τῆς καρδίας τυγχάνων* [15], *τῇ* [16] *ἐπιούσῃ νυκτὶ καταβὰς εἰς κατάγεον* [17] *μακρὰν* [18] *ἤρξατο ὀδυνώμενος κλαίειν. Καὶ εὐχόμενος ἔλεγεν* [19] *· « Ὁ Θεός, ἔτι*

Cf. Rom. 8, 13. *et coram Deo se humiliat.*

τὸ φρόνημα τῆς σαρκός ἐστιν ἐν ἐμοί· ἔτι κατὰ σάρκα ζῶ. Οὐαί μοι· μέλλω γὰρ ἀποθνήσκειν, ὡς γέγραπται. Τοσαύτην ἄσκησιν καὶ ἑτοιμασίαν καρδίας ἔχων, πάλιν θυμῷ ἁρπάζομαι, κἂν ἐπὶ [12] *ἀγαθῷ. Ἐλέησόν με, μὴ ἀπόλωμαι, Κύριε. Ἐὰν γὰρ εὕρῃ ἐν ἐμοὶ*

Iac. 2, 10.

μέρος [20] *ὁ ἐχθρὸς ὅσον* [21], *ἐὰν μή με στηρίξῃς, ἔσομαι ὑποχείριος αὐτῷ. Ἐὰν γὰρ* [22] *πάντα* [23] *τὸν νόμον σου* [24] *τηρήσῃ τις* [24], *πταίσῃ δὲ ἐν ἑνί, γέγονεν πάντων ἔνοχος. Πιστεύω δὲ ὅτι ἐὰν οἱ πολλοί σου οἰκτιρμοὶ βοηθήσουσίν μοι, διδαχθήσομαι λοιπὸν τὴν τῶν*

Phil. 3, 14.

ἁγίων [25] *ὁδὸν πορεύεσθαι, τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος· αὐτοὶ γὰρ ὡς δεῖ κατῄσχυναν* [26] *τὸν ἐχθρὸν παρὰ σοῦ* [27] *βοηθούμενοι* [28]. *Καὶ πῶς διδάξω, Κύριε, οὓς καλεῖς* [29] *σὺν ἐμοὶ τοῦτον ἐλέσθαι τὸν βίον, μὴ πρῶτον αὐτὸς* [24] *νικήσας; »*

Act. SS. § 11.

16. *Καὶ ταῦτα εὐξάμενος, διέμεινεν ὅλην τὴν νύκτα τὰ αὐτὰ μετὰ κλαυθμοῦ λέγων, ἕως οὗ διέφαυσεν ἡ ἡμέρα. Καὶ ἀπὸ τῶν ἱδρώτων — θέρος γὰρ ἦν, καὶ ὁ τόπος κατάθερμος — τὰ ὑποκάτω τῶν ποδῶν αὐτοῦ γέγονεν ὡς πηλός. Ἔθος δὲ καὶ τοῦτο εἶχεν, ἐκτείνας εἰς εὐχὴν τὰς χεῖρας αὐτοῦ* [1], *μὴ ταχέως ἑλκύσαι αὐτὰς ὀλίγον* [1] *πρὸς ἑαυτὸν εἰς ἀνάπαυσιν· ἀλλὰ τῇ ἐκτάσει ὡς ἐπὶ σταυροῦ κατεπόνει εἰς νῆψιν εὐχῶν* [1] *τὸ σῶμα.*

15. — FP. — [1] *ὁ μακάριος παχώμιος* P. — [2] *om.* P. — [3] *αὐτοῦ Ἰωάννη οἰκοδομεῖν add.* P. — [4] *ὑποδέχεσθαι* P. — [5] *παχώμιος add.* P. — [6] *(τ. ἔ.) ἔ. τ.* P. — [7] *Ἰωάννης add.* P. — [8] *ἐστένοι* F. — [9] *ὁ add.* P — [10] *μείζων* P. — [11] *ὁ παχώμιος add.* P. — [12] *ἐπ'* P. — [13] *γε add.* P. — [14] *τῷ Ἰωάννη* P. — [15] *ἀλλ' ἐγκρ. γεγονὼς τῆς ὀργῆς ἐμακροθύμησεν* P. — [16] *δὲ add.* P. — [17] *τὸ κατώγεον* P. — [18] *μικρὸν* P. — [19] *(ὀδυν. - ἔλ.) λέγειν ὀδυρόμενος* P. — [20] *(ἐν ἐ. μ.) μ. ἐν ἐ.* P. — [21] *ὅσον ὅσον* P. — [22] *(ἐὰν γὰρ) γέγραπται γάρ· ἐάν τις* P. — [23] *ὅλον* P. — [24] *om.* P. — [25] *σου add.* P. — [26] *corr.* F, *om.* P. — [27] *(τὸν ἐ. π. σ.) π. σ. τὸν ἐ.* P. — [28] *τροπώσασθαι διδαχθῆναι κατηξιώθησαν* P. — [29] *καλέσεις* P.

16. — FP. — [1] *om.* P.

Daemonum tentationes sustinet.

17. *Πολλοὺς δὲ πειρασμοὺς τῶν δαιμόνων ὑπέμεινεν, μαθὼν ἐκ τῶν θείων γραφῶν καὶ μάλιστα ἐκ τοῦ εὐαγγελίου* [1]. *Τὸ μὲν κατὰ μέρος τοῦ ἀγῶνος* [2] *τῶν ἁγίων ἐγγράφως οὐκ ἐδηλώθη· συντόμῳ δὲ λόγῳ ἐχρήσαντο αἱ θεῖαι γραφαὶ πρὸς τὴν αἰώνιον* [3] *ζωὴν ὑποδεικνύμεναι. Τῷ γὰρ* [4] *πατρὶ ἡμῶν Ἀβραὰμ νόμος* [5] *ἦν τοιοῦτος* [6], *λόγῳ ἐνὶ τετελειωμένος, τό· « Εὐαρέστει ἐνώπιόν* Gen. 17, 1. *μου καὶ γίνου ἄμεμπτος ». Ἀλλ' ἐπειδὴ ἡμεῖς ὡς νήπιοι* [7], *πατέρων* Cf. Thren. 4, 4; *ἡμῖν κλώντων* [8] *τὸν ἄρτον, χρείαν ἔχομεν, ὡς γέγραπται, ἅμα ποτίσαι ἡμᾶς τὸ ὕδωρ τὸ πιστόν, ὅθεν* [3] *ἃ ἠκούσαμεν καὶ ἔγνωμεν* Is. 33, 16. Ps. 77, 3. *αὐτὰ* [9] *καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, οὐκ ἀναγκαῖον κρύψαι αὐτὰ ἀπὸ γενεᾶς ἑτέρας* [10]. *Οἴδαμεν γάρ* [3], *καθὼς ἐδιδάχθημεν, ταῦτα* [11] *τοῦ ψαλμοῦ εἶναι σημεῖα* [12] *καὶ δυνάμεις Θεοῦ ἐπὶ Μωϋσέως* [13] *γενομένας* [14] *καὶ τῶν μετ' αὐτόν. Ἐξ αὐτῆς δὲ ὅμως τῆς ἐκείνων ὠφελείας καὶ ἡμεῖς τούτους τοὺς* [15] *νῦν πατέρας ἐπέγνωμεν τέκνα καὶ μιμητὰς ὄντας ἐκείνων* [16], *καὶ ἵνα γνωσθῇ ἡμῖν καὶ* Cf. Ps. 70, 18. *τῇ ἐπερχομένῃ γενεᾷ ἕως αἰῶνος, ὅτι Ἰησοῦς Χριστὸς χθὲς καὶ* Hebr. 13, 8. *σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.*

Act. SS. § 12.

18. *Τὸ δὲ πειρασθῆναι αὐτὸν ποικίλους πειρασμοὺς οὓς ὑπέμεινεν* [1], *οὕτως ἦν ἐκ συγχωρήσεως θείας καὶ δοκιμῆς* [2] *αὐτοῦ καὶ ἑτέρων ὠφελείας ἕνεκεν* [3]. *Ἀναχωρῶν γὰρ πρὸ τοῦ γενέσθαι τὸ κοινόβιον, ἦν σχολάζων* [4] *λίαν σὺν τοῖς* [5] *ἄλλοις μακαρισμοῖς* [6] Matth. 5, 8. *καθαρὸς τῇ καρδίᾳ* [7] *εὑρεθῆναι· καὶ ἀγωνιζόμενος οὐ συνεχώρει τῇ καρδίᾳ* [8] *ῥυπαρὸν λογισμὸν ἐγκαθέζεσθαι ἐν* [5] *αὐτῇ. Ἐμέλετα γὰρ ἀεὶ τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν μνήμην τῶν κρίσεων* [9] *καὶ τὰς βασάνους τοῦ πυρὸς τοῦ αἰωνίου* [10]. *Καὶ ἦν ἡ καρδία αὐτοῦ* [5] *νήφουσα τοσοῦτον ὡς θύρα χαλκῆ ἠσφαλισμένη κατὰ λῃστῶν. Βλέπων δὲ αὐτὸν ὁ Κύριος σφόδρα φροντίζοντα φοβεῖσθαι αὐτόν, ἐχαρίσατο αὐτῷ τὸ αἴτημα τῶν πατέρων αὐτοῦ λεγόντων δι' ἑνὸς πρὸς αὐτόν* [11] *· « Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς* Ps. 118, 80.

Mentis puritati studet.

17. — FP. — [1] *ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται add.* P. Matth. 10, 22. — [2] *οἱ ἀγῶνες* P. — [3] *om.* P. — [4] *(τῶ γ.) ὡς τῶ* P. — [5] *γὰρ add.* P. — [6] *οὗτος* P. — [7] *τῶν add.* P. — [8] *(ἡμ. κλ.) κλ. ἡμ.* P. — [9] *ἃ* P. — [10] *ὠήθημεν add.* P. — [11] *ὑπὸ* P. — [12] *(εἶ. σ.) σ. εἶ. ταῦτα* P. — [13] *μωυσέος* P. — [14] *γενόμεναι* F. — [15] *om.* F. — [16] *τῶν ἁγίων* P.

18. — FP. — [1] *τὸ δὲ ποικίλον τῶν πειρασμῶν ὧν κατὰ θείαν συγχώρησιν ὑπέμ. ὁ μακάριος παχώμιος* P. — [2] *(οὕτως - δοκ.) πρὸς δοκιμὴν* P. — [3] *τίς διηγήσεται add.* P. — [4] *καὶ add.* P. — [5] *om.* P. — [6] *ἐσπούδαζε add.* P. — [7] *τῇ καρ. καθ.* P. — [8] *τῇ κ. om.* P. — [9] *τῆς κρίσεως* P. — [10] *τοῦ αἰ. π.* P, *καὶ τὴν αἰσχύνην τῶν ἁμαρτωλῶν add.* P. — [11] *τὸ αἴτημα ὅπερ καὶ οἱ πατέρες λαβεῖν κατηξιώθησαν καθὼς ὁ ψαλμῳδὸς αἰτῶν λέγει* P.

Daemonum δικαιώμασίν σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. » Οἱ δὲ [12] δαίμονες ὁρῶντες [13] ἐφθόνουν αὐτῷ καταβαλεῖν ἐθέλοντες [14]. Καὶ τῷ φαίνεσθαι [15] ἤρξαντο ἀντικεῖσθαι αὐτῷ. Ἐνίοτε γὰρ εὐχομένου αὐτοῦ καὶ μέλλοντος κλῖναι γόνατα, ἐποίουν τὰ ἔμπροσθεν αὐτοῦ ὡς λάκκον τῇ φαντασίᾳ [16], ἵνα τῷ φόβῳ [17] μὴ κλίνῃ γόνατα· καὶ αὐτὸς [18] τῶν πειραζόντων τὰς τέχνας συνιῶν [19], μετὰ πίστεως ἐγονυπέτει, *praestigias varias* καταισχύνων αὐτοὺς τὸν Θεὸν εὐλογῶν [20]. Καὶ ἄλλοτε [21] ἐλθόντες ἔμπροσθεν αὐτοῦ, ἔνθεν καὶ ἔνθεν ὡς ἐπὶ ἄρχοντος ἐπορεύοντο [22], λέγοντες ἀλλήλοις· « Δότε τόπον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ. » Καὶ [23] τῇ εἰς τὸν Κύριον [24] ἐλπίδι [25] κατεγέλα αὐτῶν ὡς ἀχρείων.

Act.SS. §13. **19.** Καὶ [1] ἐπεχείρουν συμσεῖσαι [2] τὸ ἀσκητήριον [3] αὐτοῦ [4], φοβερίζοντες [5] ὡς μέλλον ἐπ' αὐτὸν [6] πεσεῖν. Καὶ [7] ἐμελέτα κατ'
Ps. 45, 1, 2. αὐτῶν τὸν ψαλμόν [8]· « Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα· διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. » Καὶ ἄλλοτε καθημένου αὐτοῦ [4] ἐργάζεσθαι, ἦλθεν πειράσαι αὐτὸν [9] ἄλλως [10]· καὶ τύπον ἀλέκτορος λαβών, ἐφώνησεν εἰς τὸ [11] πρόσωπον αὐτοῦ [12]. Καὶ πάλιν [13] εἰς μέσον φέρουσιν [14] φύλλον δένδρου καὶ σχοινία παχέα, καὶ δέννουσιν αὐτὸ [15] μετὰ [16] ἀσφαλείας [17], ἔνθεν καὶ ἔνθεν στήκοντες ὥσπερ [18] ἵνα σύρουσιν [19] λίθον μέγαν [20], ἀλλήλοις προσφω-
despicit. νοῦντες [21], ὅπως γελάσει ἐν [22] ἐκλύσει καρδίας καὶ κυριεύσουσιν [23] αὐτοῦ. Καὶ αὐτὸς ἰδὼν ἀνεστέναξεν κατ' αὐτῶν· καὶ μὴ προσέχοντος αὐτοῦ [24] ἀνεχώρησαν. Καὶ [25] καθημένου αὐτοῦ φαγεῖν, ἤρχοντο [26] σχήματι γυμνῶν γυναικῶν συγκαθεσθῆναι αὐτῷ φα-

Cf. Rom. 15, 15. [12] οὖν P. — [13] τὴν ἐκ θεοῦ δοθεῖσαν αὐτῷ χάριν add. P. — [14] (ἐφθ. - ἐθ.) φθόνῳ ἐκκαιόμενοι παρετήρουν καταβ. αὐτόν P. — [15] (τῷ φ.) φανερῶς P. — [16] (ὡς λ. τῇ φ.) ἐν φ. ὡς λ. P. — [17] θροηθεὶς add. P. — [18] (καὶ αὐ.) αὐ. οὖν P. — [19] συνιὼν τῶν πειρ. δαιμόνων τὰς τέχν. P. — [20] κατ. μὲν ἐκείνους εὐλ. δὲ τὸν θ. P. — [21] (κ. ἄ.) ἄ. δὲ P. — [22] στοιχηδὸν add. P. — [23] αὐτὸς δὲ P. — [24] (τ. κ.) θεὸν P. — [25] κραταιούμενος add. P.

19. — FP. — [1] ἐν ἄλλοτε δὲ P. — [2] συσσεῖσαι P. — [3] μοναστήριον P. — [4] om. P. — [5] φοβοῦντες αὐτὸν P. — [6] αὐτῷ P. — [7] αὐτὸς δὲ P. — [8] (τὸν ψ.) ψάλλων P. — [9] τοῦτον P. — [10] δαίμων P. — [11] (εἰς τὸ) κατὰ P. — [12] αὐτὸς δὲ τῷ σημείῳ τοῦ ζωοποιοῦ σταυροῦ καταρτίσας αὐτόν, παραχρῆμα ἄφαντος ἐγένετο add. P. — [13] (καὶ π.) π. δὲ P. — [14] (εἰς μ. φ.) φ. εἰς μ. P. — [15] (σχ. π. καὶ δ. αὐ.) προδεσμοῦσιν αὐτὸ σχοίνους παχεῖς P. — [16] πολλῆς add. P. — [17] καὶ add. P. — [18] ὡς P. — [19] σύρωσι P. — [20] μέγα P. — [21] (ἀλλ. πρ.) καὶ προσεφώνουν ἀλλ. P. — [22] om. P. — [23] κυριεύσωσιν P. — [24] κἀκεῖνοι παραυτὰ add. P. — [25] ποτὲ δὲ P. — [26] ἦλθον ἐν P.

γεῖν· καὶ οὕτως καμμύοντος αὐτοῦ τὸν ὀφθαλμὸν τῆς διανοίας αὐτοῦ [27], ἠφανίζοντο οἱ ἐχθροὶ [28] μηδὲν κατ' αὐτοῦ ἀνύοντες. Ὁ γὰρ Κύριος συνετήρει αὐτὸν [29] ὁ λέγων πᾶσι [30] τοῖς εὐθέσι [31]· « Μὴ Gen. 26, 24. φοβοῦ, μετὰ σοῦ γάρ εἰμι. »

20. Καὶ ἄλλα πολλὰ [1] πειραζόμενος σκληρά [2], ὥστε εἰς [3] τὸ σῶμα δαρῆναι [4] καὶ ἀλγεῖν αὐτὸν [5] φανερῶς ἀπὸ ὀψὲ [6] ἕως πρωΐ, καὶ οὐδαμοῦ [7] παραμυθίας οὔσης [8], εἰ μὴ μόνη [9] ἡ μνήμη τοῦ παιδεύοντος [10] Θεοῦ, καὶ ἐπὶ τούτοις [11] αὐτοῦ θλιβομένου καὶ καρτεροῦντος, ἦλθέν τις αὐτὸν ἐπισκέψασθαι μονάζων ἀρχαῖος [12], *Ab Hieracapolline solatium accipit.* ὀνόματι Ἱερακαπόλλων [13]. Καὶ ἀσπασάμενος αὐτόν, ἤρξατο τὰ καθ' ἑαυτὸν ἀνατίθεσθαι. Καὶ λέγει αὐτῷ ἐκεῖνος [14]· « Ἀνδρίζου [15]· ἔγνω ὁ διάβολος ὅτι, ὀλιγωρία ἐάν σε καταλάβῃ [16], καὶ ἡμᾶς τούς σε ἔχοντας [17] σκοπὸν ὑποχειρίους ἕξει. Ὅθεν ὑπόμεινον, μὴ [18] ἐκζητηθῇ τὸ αἷμα ἡμῶν παρὰ σοῦ ἠττηθέν- Cf. Luc. 11, 50. τος [19]. » Καὶ [20] ἀκούσας ἐνεδυναμώθη μᾶλλον. Καὶ ηὔξαντο μὴ διαχωρισθῆναι ἀπ' ἀλλήλων εἰς τὸν αἰῶνα. Καὶ μετὰ καιρὸν [21] ἐκεῖνος ὁ ἐλθὼν [22] ἐτελεύτησεν καλῶς ἐν τῇ κοινωνίᾳ [23] ὡς ὁ Κύριος οἶδεν.

21. [1] Καὶ πρὸ τοῦ αὐτὸν τὴν τελείαν γνῶσιν ἔχειν παρὰ Κυ- Act. SS. §14. ρίου, τοιαύτην ἐδόκει τελείαν πίστιν ἔχειν [2], τὸ [3] πατεῖν ἐπάνω Luc. 10, 19. ὄφεων καὶ σκορπίων φανερῶς, καὶ διαβῆναι [4] τὸν Νεῖλον [5] ἐν *Pachomii fides.* ὕδασιν [6] καὶ θηρία [7] † ἀφόβως καὶ τολμηρῶς [8], καὶ μὴ βλάπτεσθαι ὑπ' αὐτῶν. Ἐπεὶ δὴ ἐν εὐθύτητι καρδίας καὶ ἀκμὴν [9] οὔπω τελειότητι γνώσεως ἐποίει ταῦτά ποτε [10], ἐτηρεῖτο πάλιν ὑπὸ τοῦ Κυρίου προβλέποντος αὐτὸν διδάξαι μετὰ ταῦτα καθὼς δεῖ

[27] καὶ οὗτος καμμύων τοὺς ὀφθαλμοὺς αὐ. τῆς δ. P. — [28] (ἠφ. οἱ ἐ.) τηροῦντες οἱ ἐ. τὸ ἑδραῖον τῆς φυλακῆς αὐτοῦ ματαιοπονοῦντες κατησχύνοντο P. — [29] συν. γὰρ αὐ. ὁ κ. P. — [30] om. P. — [31] ἀξίοις P.

20. — FP. — [1] ὑπέμεινεν add. P. — [2] om. P. — [3] καὶ P. — [4] ἀποτόμως add. P. — [5] σφόδρα P. — [6] (ἀπὸ ὀψὲ) ἀφ' ἑσπέρας P. — [7] οὐδεμιᾶς αὐτῷ P. — [8] παρούσης P. — [9] μόνον P. — [10] καὶ ἐλεοῦντος add. P. — [11] (καὶ ἐ. τ.) ἐν τ. οὖν P. — [12] (αὐ. ἐ. μ. ἀ.) μ. ἀ. ἐ. αὐ. P. — [13] ἱερακαπολλῶν F, ἱερακοπόλων P. — [14] (ἤρξ. - ἐκ.) οὕτως ἤρξ. στηρίζειν αὐτὸν καὶ λέγειν P. — [15] καὶ μὴ ὀλιγώρει add. P. — [16] (ἔγνω - κἀτ.) ἐὰν γὰρ ἰσχύσῃ ὁ διάβ. ἐν ὀλ. σὲ καταβαλεῖν P. — [17] (σε ἔ.) ἔ. σε P. — [18] ἵνα μὴ P. — [19] σου add. P. — [20] ταῦτα add. P. — [21] χρόνον τινὰ P. — [22] μονάζων add. P. — [23] ἐν τῇ κοιν. καλ. P.

21. — FP. — [1] οὗτος δὲ ὁ μακάριος παχώμιος add. P. — [2] παρὰ κυρίου add. dein del. F ; (ἐδ. - ἔχ.) π. εἶχε τελείαν καὶ χάριν P. — [3] ὥστε P. — [4] διελθεῖν P. — [5] τ. ν. om. P. — [6] καθίσαντα ἐπὶ κροκοδείλου add. P. — [7] F, ἐπὶ θηρία P, θέρει P. Peeters ; forsitan θηρίων, nisi quid excidit. — [8] μᾶλλον δὲ πιστῶς add. P. — [9] ἀγμὴν F, om. P. — [10] (ποτε-

Cf. Ex. 7, 9, 10. ποιῆσαι [10]. Μωϋσῆς γὰρ [11] βλέπων τὴν ἰδίαν [12] ῥάβδον εἰς δράκοντα μεταβληθεῖσαν ἐφοβήθη ἀπὸ προσώπου αὐτοῦ, μήπω προστάξαντος αὐτῷ [13] τοῦ Κυρίου ἐπιλαβέσθαι αὐτοῦ · καὶ [14] πάλιν ὁ δράκων ῥάβδος [15] ἐν τῇ χειρὶ αὐτοῦ ἦν [13]. Πρὸ τοῦ γὰρ αὐτὸν [16] Cf. Luc. 18, 27. ἐξουσίαν δοῦναι τοῖς ἁγίοις, τὰ φοβερὰ φοβερά ἐστιν [17] καὶ τὰ ἀδύνατα ἀδύνατα τοῖς ἀνθρώποις. Διὰ τοῦτο καὶ αὐτὸς [18] γνοὺς ἐπένθει τὴν ἄγνοιαν ἑαυτοῦ καὶ εὐχόμενος ἔλεγεν · « Κύριε, ὁ Cf. Rom. 2, 19; 12, 2. ὁδηγὸς τῶν τυφλῶν, εὐχαριστῶ σοι, ὅτι καὶ ἐν τούτῳ οὐ παρεῖδές με πλανηθῆναι [19], συγκαταβαίνων μου [20] τῇ ἀγνοίᾳ [21], ἕως με διδάξῃς τὸ τέλειον θέλημά σου [22]. »

Dormiendi necessitate **22.** Καὶ ἐπειδὴ πολὺν χρόνον ἐποίησεν πρὸς τοὺς δαίμονας πυκτεύων [1] ὡς [2] τῆς ἀληθείας ἀθλητής [3], καθάπερ [4] ὁ ἁγιώτατος Ἀντώνιος, δι' ἣν αἰτίαν παρὰ Κυρίου ᾐτήσατο [5] ἀπ' αὐτοῦ τὸν ὕπνον ἀποστῆναι [6], πρὸς τὸ αὐτὸν νύκτα καὶ ἡμέραν ἄγρυπνον ὄντα καταPs. 17, 37. τροπώσασθαι [7] τοὺς ὑπεναντίους, ὡς [8] γέγραπται · « Καὶ οὐκ *aliquamdiu eximitur.* ἀποστραφήσομαι, ἕως ἂν ἐκλείπωσιν » · ἀδύνατοι γάρ εἰσιν πρὸς τὴν πίστιν τοῦ Κυρίου [9]. Καὶ παρ' αὐτοῦ ἐχαρίσθη τὸ αἴτημα αὐHebr. 11, 27; cf. Mt. 5, 8. τῷ χρόνον ἱκανόν [10] · καὶ ἦν ὡς ὁρῶν τὸν ἀόρατον Θεὸν τῇ [11] καθαρότητι τῆς [11] καρδίας ὡς ἐν ἐσόπτρῳ.

Act. SS. § 15. **23.** Καὶ μετὰ ταῦτα ἐν νήσῳ μετὰ ἀδελφῶν θρύα κοπτόντων εἰς ψιαθίους, καὶ αὐτοῦ ἀγρυπνοῦντος κατ' ἰδίαν εὔχεσθαι τὸ θέλημα τὸ τέλειον τοῦ Θεοῦ διδαχθῆναι, ὤφθη αὐτῷ ἄγγελος παρὰ Iudic. 13, 3. Κυρίου, ὡς καὶ τῷ Μανωὲ καὶ τῇ γυναικὶ αὐτοῦ ὤφθη περὶ τῆς *Ab angelo* γεννήσεως τοῦ Σαμψών, λέγων · « Τὸ θέλημα τοῦ Θεοῦ ἐστιν τὸ *iussus* διακονεῖν τῷ γένει τῶν ἀνθρώπων, ἀποκαταλλάσσειν αὐτοὺς αὐτῷ. » Καὶ τρὶς τοῦτο εἰπὼν ἀπῆλθεν.

Act. SS. § 16. *discipulos suscipit,* **24.** Καὶ [1] διαλογιζόμενος [2] καὶ περὶ τῆς τότε φωνῆς τῆς πρὸς αὐτὸν γενομένης [3] καὶ πληροφορηθείς, ἤρξατο ὑποδέχεσθαι τοὺς πρὸς αὐτὸν ἐρχομένους [4]. Καὶ οὕτως μετὰ δοκιμῆς ἀξίας αὐτῶν τε

ποιῆσαι) om. P. — [11] τοιγαροῦν P. — [12] οἰκείαν P. — [13] om. P. — [14] προστάξαντος καὶ λαβομένου add. P. — [15] ἦν add. P. — [16] τὸν κύριον add. P. — [17] ἦν P. — [18] ὕστερον add. P. — [19] ἀλλὰ add. P. — [20] sup. lin. F. — [21] ἠνέσχου add. P. — [22] ἕως διδάξεις με τὸ ἀληθινόν σου φρόνημα P.

22. — FP. — [1] πρ. τ. δ. π. om. P. — [2] ὁ P. — [3] παχώμιος ἠτήσατο τὸν κύριον add. P. — [4] ὃν τρόπον καὶ P. — [5] (δι' ἣν - ἠτήσ.) om. P. — [6] (ἀπ' αὐ. τ. ὕ. ἀποστ.) ἀποστ. ἀπ' αὐ. τ. ὕ. P. — [7] πρὸς τὸ διατελεῖν αὐτὸν ἄϋπνον ἐν νυκτὶ καὶ ἡμέρα εἰς τὸ κατατρ. P. — [8] καθὼς P. — [9] χριστοῦ P. — [10] καὶ ἐχαρ. αὐτῷ καὶ τοῦτο τὸ αἴτ. ἐπὶ χρ. ἱκ. P. — [11] om. P.

23. — F.

24. — FP. — [1] om. P. — [2] οὖν ὁ παχώμιος περὶ τούτων add. P. — [3] (πρ. αὐ. γ.) γεναμένης πρ. αὐ. P. — [4] τοὺς προσερχομένους αὐτῷ P.

καὶ τῶν γονέων, ἐνεδίδυσκεν [5] αὐτοὺς τῶν μοναχῶν τὸ σχῆμα [6], προβιβάσας [7] αὐτοὺς εἰς [8] τὸν βίον κατὰ μέρος · πρῶτον μὲν ἵνα παντὶ τῷ κόσμῳ ἀποτάξωνται καὶ τοῖς ἰδίοις καὶ ἑαυτοῖς [9], καὶ Cf. Luc. 41, 26, 27. οὕτως διδάσκοντι [10] τῷ σωτῆρι ἀκολουθεῖν αὐτῷ · ταῦτα [11] γάρ ἐστιν τὸ βαστάζειν τὸν σταυρόν. Καὶ αὐτοὶ διδασκόμενοι καλῶς [12] ὑπ' αὐτοῦ κατὰ τὰς γραφὰς [13] ἐκαρποφόρουν ἀξίως τῆς κλήσεως · Ephes. 4, 1. καὶ [14] βλέποντες αὐτὸν [15] κάμνοντα [16] οὐ μόνον ταῖς τοῦ σώματος κακουχίαις, ἀλλὰ σχεδὸν [14] καὶ πᾶσαν φροντίδα τῆς μονῆς ἔχοντα, ὑπερεθαύμαζον [17]. Ἡτοίμαζεν γὰρ αὐτοῖς τὴν τράπεζαν κατὰ τὴν ὥραν τοῦ [14] φαγεῖν · ὁμοίως καὶ λάχανα σπείρων ἐπότιζεν · καὶ τῷ κρούοντι τὴν θύραν ἀπελογεῖτο. Καὶ ἐάν [18] τις αὐτῶν ἀσθενὴς εἴη [19], αὐτὸς ἐσπούδαζεν καὶ [20] νυκτὸς ὑπηρέτει αὐτῷ [21]. Οὕπω γὰρ ἤδη [14] οἱ νεόφυτοι ἀδελφοὶ ἔφθασαν εἰς διάθεσιν τοιαύτην δουλεύειν ἀλλήλοις [22] · ἀλλὰ [23] ἀμερίμνους παντελῶς κατέστησεν [24] αὐτοὺς [11] λέγων [25] · « Ἐφ' ᾧ [26] ἐκλήθητε, ἀδελφοί, ἀγωνίσασθε τυ- *quos verbo* χεῖν αὐτοῦ · ψαλμοὺς [27] μελετᾶν καὶ τὰ ἀπὸ [28] τῶν ἄλλων βιβλίων μαθήματα, ἐξαιρέτως δὲ τὸ [29] εὐαγγέλιον. Κἀγὼ δουλεύων [30] τῷ Θεῷ καὶ ὑμῖν κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ [31] ἀναπαύομαι. »

25. Τὸ δὲ ὄνομα τοῦ πρώτου ἦν Ψεντάησις [1] · καὶ Σούρους [2] Act. SS. § 17 καὶ Ψόεις [3]. Καὶ οὕτως λαλῶν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ [4] ὠφέλει αὐτούς [5], εἰς ζῆλον ἔργων ἀγαθῶν [6] ἄγων [7]. Ἑώρων δὲ αὐτοῦ καὶ σιωπῶντος τὴν πρᾶξιν λόγον οὖσαν. Καὶ ἐθαύμαζον, καὶ ἔλε- *et exemplo* γον πρὸς ἀλλήλους [8] · « Ἐνομίζομεν πάντας τοὺς ἁγίους οὕτως *instruit.* πεποιῆσθαι ὑπὸ τοῦ [7] Θεοῦ ἐκ κοιλίας μητρὸς αὐτῶν ἁγίους καὶ ἀτρέπτους καὶ μὴ αὐτεξουσίους, καὶ τοὺς ἁμαρτωλοὺς μὴ δυναμέ-

[5] ἐνέδυεν P. — [6] τὸ σχ. τῶν μον. P. — [7] προβιβάζων P. — [8] om. F. — [9] (καὶ ἑ.) ἔπειτα δὲ τοῖς ἑαυτῶν πάθεσι καὶ θελήμασιν ἀνοικείοις P. — [10] corr., prius διδάσκοντα F. — [11] τοῦτο P. — [12] (καὶ αὐ. διδ. καλ.) οὕτως οὖν διδ. ἢ μᾶλλον εἰπεῖν ποτιζόμενοι P. — [13] οἱ νεόφυτοι add. P. — [14] om. P. — [15] δὲ τὸν μακάριον παχώμιον P. — [16] καὶ ἀγωνιζόμενον add. P. — [17] (πᾶσαν - ὑπ.) εἰς πάσας τὰς χρείας τῆς μονῆς ἐπαρκοῦντα καὶ διακονοῦντα αὐτοῖς ὡς ἔχων τὴν φροντίδα ἐθαύμαζον P. — [18] εἴ P. — [19] (ἀσθ. εἴη) ἠσθένει P. — [20] δι' ἡμέρας καὶ διὰ add. P. — [21] (ὑπ. αὐ.) αὐ. ὑπηρετεῖν P. — [22] (δουλ. ἀλλ.) ἀλλ. δουλ. P. — [23] ἀλλ' P. — [24] κατέσταινε P. — [25] καὶ ἔλεγεν αὐτοῖς P. — [26] (ἐφ' ᾧ) εἰς ὃ P. — [27] σπουδάσατε add. P. — [28] τὰ ἀπὸ om. P. — [29] ἅγιον add. P. — [30] δουλεύω P. — [31] (τ. θ.) αὐτοῦ καὶ P.

25. — FP. — [1] ψινθαήσιος, prius ψινθαίσιος P. — [2] σοῦρος P. — [3] ψώης P. — [4] πολλὰ add. P. — [5] καὶ ἦσαν προκόπτοντες add. P. — [6] (ἔ. ἀ.) ἀ. ἔ. P. — [7] om. P. — [8] ἑώρων δὲ αὐτὸν καὶ σιωπῶντα διδάσκοντα καὶ τὴν πρᾶξιν ὑπὲρ τὸν λόγον ἔχοντα · ἐθαύμαζον δὲ πρὸς ἀλλ. λέγοντες P.

νους [9] ζῆν διὰ τὸ οὕτως ἐκτίσθαι αὐτούς [10]. Ἄρτι [11] δὲ βλέπομεν τὴν ἀγαθότητα τοῦ Θεοῦ φανερῶς ἐπὶ τοῦ πατρὸς ἡμῶν τούτου, ὅτι ἐξ ἑλλήνων γονέων [12] τοσοῦτον θεοσεβὴς γέγονεν καὶ πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ ἐνδεδυμένος ἐστίν [13]. Οὐκοῦν καὶ ἡμεῖς καὶ [14] πάντες [15] δυνάμεθα ἀκολουθεῖν αὐτῷ, ἀνθ' ὧν ἀκολουθεῖ [16] τοῖς ἁγίοις. Ἄρα τὸ γεγραμμένον τοῦτό ἐστιν [17] · Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Συναποθάνωμεν [18] καὶ συνζήσωμεν [19] τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ὀρθῶς ὁδηγεῖ ἡμᾶς πρὸς τὸν Θεόν. » Καὶ [20] λέγουσιν αὐτῷ · « Διὰ τί μόνος κάμνεις, πάτερ, εἰς ὅλα τὰ ἔργα τῆς μονῆς; » Καὶ εἶπεν αὐτοῖς · « Τίς ζεύγνυσι κτῆνος αὐτοῦ εἰς μηχανὴν καὶ παραβλέπει αὐτὸ κάμνειν ἕως [21] πέσῃ; Καὶ αὐτὸς δὲ [22] ὁ οἰκτίρμων Κύριος ἐπιβλέπων ἐπὶ τὴν πτωχείαν μου στηρίξει [23] ὑμᾶς, ἢ ἄλλους φέρει δυναμένους ἀντιλαβέσθαι μου περὶ τὴν μέριμναν τῆς μονῆς. » Κοινόβιον γὰρ [24] ἦν αὐτοῖς. Καὶ οὕτως [14] ἐκανόνισεν αὐτοῖς τύπον ἀπρόσκοπον καὶ παραδόσεις ὠφελίμους τῶν ψυχῶν, συντάξας ἀπὸ τῶν θείων γραφῶν [25] τὸ ἔνδυμα αὐτῶν εὐμέτρως [26], τὴν τροφὴν ἐν ἰσότητι καὶ τὸ κοιμηθῆναι αὐτῶν εὐσχημόνως.

Matth. 11, 28.

Coenobiticae vitae regulam tradit.

Act. SS. § 18. *Discipulorum nomina.*

26. Καὶ οὕτως τοῦ Θεοῦ καλοῦντος καὶ αὐξάνοντος, ἦλθον καὶ ἄλλοι ἀσκῆσαι σὺν αὐτῷ · Πεκύσιος, Κορνήλιος, Παῦλος καὶ [1] Παχούμιος [2] ἄλλος καὶ [3]Ἰωάννης, ἀκούοντες τὴν φήμην τῆς ὑγιαινούσης πίστεως αὐτοῦ. Καὶ μετ' ὀλίγας ἡμέρας ἦλθεν Θεόδωρός τις, παιδίον ὡς ἐτῶν ιδ' [3] · καὶ ἐγένετο γνήσιον τέκνον καθ' ὁμοιότητα αὐτοῦ. Καὶ ἔταξεν τοὺς δυναμένους αὐτῶν πρῶτον [4] ἐπὶ τὰς φανερὰς μερίμνας [5] τοῦ μοναστηρίου. Καὶ ἐπληθύνθησαν οἱ ἀδελφοὶ ἕως ρ' [6] ὀνομάτων.

27. Καὶ [1] ὅταν [2] χρεία ἦν προσφορᾶς, μετεκαλεῖτο πρεσβύτερόν τινα [3] τῶν ἔγγιστα ἐκκλησιῶν, καὶ οὕτως ἐποίει αὐτοῖς τὴν ἑορτήν. Οὐ γὰρ ἦν ἐν αὐτοῖς τις [4] γενόμενος ἐν καταστάσει κλήρου [5] ἐκ-

A sacerdotii

[9] δύνασθαι P. — [10] (οὓς. ἐ. αὐ.) ἐ. αὐ. οὓς. P. — [11] ἀρτίως P. — [12] ὢν add. P. — [13] (τοσοῦτον - ἐστίν) πῶς τοιοῦτος γέγ. θεοσ. καὶ ἐνδεδ. τὰς ἐντ. τοῦ θ. P. — [14] om. P. — [15] ἐὰν θέλωμεν add. P. — [16] (αὐτῷ - ἀκ.) om. P. — [17] ἆρα γε τοῦτό ἐστι τὸ γεγρ. P. — [18] οὖν add. P. — [19] συζήσωμεν P. — [20] βλέποντες δὲ αὐτὸν σπεύδοντα καὶ ἀγωνιζόμενον εἰς πάσας τὰς διακονίας P. — [21] ἕως δ' ἂν P. — [22] (καὶ αὐ. δὲ) ὅμως P. — [23] στηρίξαι F. — [24] ἀπάρτι add. P. — [25] καὶ τὴν παράδοσιν τοῦ ἀγγέλου add. P. — [26] ἔμμετρον P.

26. — FP. — [1] om. P. — [2] παχώμιος P. — [3] (παιδ. - ιδ') νέος ὢν τῇ ἡλικίᾳ ὡσεὶ χρόνων δεκατεσσάρων P. — [4] εἶναι πρώτους P. — [5] εἰς τὰς διακονίας καὶ φροντίδας P. — [6] ἑκατὸν P.

27. — FP. — [1] om. P. — [2] οὖν add. P. — [3] (πρ. τ.) τ. πρ. P. — [4] τῶν μοναχῶν add. P. — [5] (γεν. - κλ.) χειροτονίαν ἔχων κληρικοῦ P.

κλησιαστικοῦ, αὐτοῦ λογιζομένου καὶ πολλάκις λαλοῦντος αὐτοῖς, ἀγαθὸν εἶναι μὴ αἰτεῖν [6] ἀρχὴν καὶ δόξαν ἐν κοινοβίῳ μᾶλλον [7], ἵνα μὴ τούτου ἕνεκεν ἀφορμὴ [8] ἔρις καὶ φθόνος καὶ ζῆλος [9] γέννηται ἐν μέσῳ [10] μοναχῶν πολλῶν [11] καὶ λοιπὸν σχίσματα [12] · « Ὃν τρόπον γὰρ σπινθὴρ πυρὸς ὡς [7] ἐλάχιστος κατὰ τὴν ἀρχήν, ἐὰν βληθῇ εἰς ἁλωνίαν [13] καὶ [14] μὴ τάχιον σβεσθῇ, ἀπόλλυσι τοῦ ἐνιαυτοῦ τοὺς πόνους, οὕτως ἀρχὴ λογισμοῦ φιλαρχίας ὁ κλῆρος [15]. Ὑποτάσσεσθαι δὲ μᾶλλον ἐπιεικῶς τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ καλόν · καὶ ὃν [16] εὕρωμεν [7] κατὰ καιρὸν ὑπὸ τῶν πατέρων ἡμῶν τῶν ἐπισκόπων κατασταθέντα, ἔχειν [17] αὐτὸν λειτουργὸν τῆς ἱερατείας ταύτης. Οὐ γὰρ καὶ [18] τότε πᾶς ὁ λαὸς εὐῖται ἦσαν [19]. Κἂν δέ τις τῶν ἀλλαχοῦ μοναχῶν κατασταθῇ ἐν κλήρῳ [20], πάλιν οὐκ ἐξουθενοῦμεν αὐτὸν ὡς φίλαρχον, μὴ γένοιτο, μάλιστα ὡς ἀκούσιον [21]. Λογιζόμεθα δὲ αὐτὸν [22] πατέρα ὑπήκοον καὶ μιμητὴν τῶν ἁγίων, ἐὰν μόνον [23] ἀμέμπτως τελέσῃ τὴν λειτουργίαν [24]. Καί τινα ὁμοίως [25] ἐν μέμψει [26] ὡς ἄνθρωπον γενόμενον, οὐ κρίνομεν αὐτόν · ὁ γὰρ Θεός, κριτὴς ὤν [27], ὑφ' ἑαυτὸν ἔχει τοὺς κατὰ καιρὸν κριτὰς τοὺς διαδόχους τῶν ἀποστόλων, δυναμένους τῷ πνεύματι κρῖναι δικαίαν κρίσιν · ἡμεῖς δὲ οἱ μέτριοι συμπαθεῖς καὶ οἰκτίρμονες ἀλλήλοις γενέσθαι ὀφείλομεν [28]. » Ὅτε δὲ παρεγένετό [29] τις κληρικὸς πρὸς αὐτὸν [30] βουλόμενος γενέσθαι μοναχός [31], τῇ μὲν τάξει νομίμως ὑπετάσσετο [32] τῷ νόμῳ τοῦ Θεοῦ, καὶ κατὰ [33] τοὺς κανόνας τῆς συστάσεως τῶν ἀδελφῶν ἐγίνετο ἑκουσίως ὡς πάντες κἀκεῖνος.

dignitate suos arcet ;

erga presbyteros reverentiam commendat.

Ioh. 7, 24.

28. Βλέπων δὲ γέροντας ἢ ἀσθενεῖς τῷ σώματι ἢ παιδία, οἰκτίρμων [1] ἐκήδετο [2] τῶν ψυχῶν αὐτῶν κατὰ πάντα. Καὶ ἐπὶ [3] τῶν προκοπτόντων ταῖς ἀρεταῖς [4] καὶ τῇ πίστει αὐξανομένων

Act. SS. § 19.

[6] (αὐτοῦ - αἰτεῖν) τοῦτο λογιζ. τοῦ ἁγίου καὶ πολλ. καὶ τοῖς μοναχοῖς λέγοντος μὴ εἶναι P. — [7] om. P. — [8] ἀφορμᾶ *P. Peeters ; ἵνα μὴ τῇ τούτου ἀφορμῇ* P. — [9] (φθ. καὶ ζ.) ζ. καὶ φθ. P. — [10] τῶν add. P. — [11] παρὰ τὸ θέλημα τοῦ θεοῦ P. — [12] εἶναι καὶ ἀκαταστασίαι add. P. — [13] ἄλωνα P. — [14] om. F. — [15] γίνεται add. P. — [16] (καὶ ὃν) ὄντινα δὲ P. — [17] ὀφείλομεν add. P. — [18] (οὐ γ. κ.) ὁρᾶτε γ. ὅτι οὐδὲ P. — [19] ἀλλ' οἱ ἐγκριθέντες ὑπὸ θεοῦ add. P. — [20] ἐν κλ. om. P. — [21] μάλ. ὡς ἀκ. om. P. — [22] ὡς add. P. — [23] (ἐὰν μ.) καὶ ἐὰν P. — [24] ὠφέλησε καὶ ὠφελήθη add. P. — [25] (καί τ. ὁ.) κἄν τι οὖν ἴδωμεν P. — [26] μεμψοποιᾶ P. — [27] ἐστι καὶ γινώσκει ἑνὸς ἑκάστου τὸ ἔργον καὶ P. — [28] ἡμ. δὲ ὀφ. εἰς ἀλλήλους εἶναι συμπ. καὶ οἰκτ. P. — [29] ὅτε δὲ π. om. F. — [30] πρ. αὐ. om. P. — [31] βουλ. καταταγῆναι αὐτοῖς εἰς τὸ τάγμα τῶν μοναχῶν P. — [32] ὑποτάσσεσθαι ἔδει P. — [33] (καὶ κ.) κατὰ δὲ P.

28. — FP. — [1] οἰκτείρων P. — [2] μὲν add. P. — [3] (καὶ ἐπὶ) οὐκ ἠμέλ ι δὲ τῆς πρὸς τὸ σῶμα ἐπιμελείας καὶ ἀπεδέχετο τῇ προθυμίᾳ P. — [4] ταῖς ἀρ. om. P.

Varios oeconomos instituit.

ἔχαιρεν [5] · ζηλωταὶ γὰρ ἦσαν τοῦ ἀγαθοῦ σφόδρα. Τινὰς δὲ [6] ἔταξεν ἀντιλαμβάνεσθαι αὐτοῦ εἰς περιποίησιν ψυχῶν · ὃν [7] μὲν οἰκονόμον [8] πάσης τῆς χρείας τῆς σωματικῆς [9] τῆς μονῆς, καὶ δεύτερον ὑπ' αὐτὸν συνεργόν. Καὶ ἔταξεν οἰκιακοὺς καθ' ἑκάστην οἰκίαν · καὶ δεύτερον αὐτοῦ [10] εἰς συνεργίαν. Ἡ δὲ [11] πρώτη οἰκία τῶν μικρῶν οἰκονόμων ἐστὶν ἑτοιμάζουσα τράπεζαν αὐτοῖς καὶ ἑψῆσαι ἑψέματα [12] κατ' αὐτούς [13]. Λοιπὸν γὰρ [14] πλῆθος διαφόρων ἀδελφῶν ἦν [15]. Ἐὰν δέ τις θέλῃ πάλιν [16] ἐγκρατεύσασθαι, ἐποίει προθύμως καὶ ἀκωλύτως τὴν ἐγκράτειαν. Καὶ μετὰ τοῦτο [17] ἔταξεν ἄλλην οἰκίαν οἰκονόμων, ὅπως πάντας τοὺς νοσοῦντας ἀδελφοὺς ἀναπαύσωσιν [18] ἐπιμελείᾳ γνησίᾳ κατὰ τοὺς κανόνας αὐτῶν · καὶ ἐπ' αὐτοῖς [19] οἰκιακὸν καὶ [20] δεύτερον κατὰ τὸ αὐτό. Πρὸς δὲ ταῖς θύραις [21] εὐλαβεῖς, ἑστυμμένους [22], φιλοξένους [23] ἔταξεν, ὅπως ὑποδέχωνται τοὺς παραβάλλοντας πρὸς τὸ ἄξιον ἑκάστου καὶ τοὺς μέλλοντας γενέσθαι [24] μοναχοὺς ἔχωσι παρ' ἑαυτοῖς, νουθετοῦντες αὐτοὺς [22] τὰ τῆς σωτηρίας, ἕως αὐτοὺς [25] ἐνδύσῃ τὸ σχῆμα. Ὁμοίως καὶ ἄλλους πιστοὺς καὶ τῇ θεοσεβείᾳ κοσμίους ὥρισεν διὰ τὸ ἔργον τῶν ἀδελφῶν καὶ [22] τὰς χρείας ἀγοράσαι καὶ πωλῆσαι. Ἐκτὸς δὲ ταύτης τῆς διακονίας οἰκιακῶν, ἕκαστος οἰκιακὸς [26] τῶν τριῶν ἔχουσι τὴν φροντίδα ταύτην, ὥστε κατὰ τρεῖς ἑβδομάδας ἀλλάξαι τοὺς ὑπηρετοῦντας τοῖς ἀδελφοῖς καὶ ἄλλο τάγμα εἰς τοῦτο τάξαι, οὗτοι δὲ ἵνα ἐργάσωνται τὸ ἔργον τῶν χειρῶν, ὃ ἐὰν τάξηται [27] αὐτοῖς ὁ οἰκιακὸς κατὰ τὴν γνώμην [28] τοῦ μεγάλου οἰκονόμου ἤτοι τοῦ πατρὸς τῆς μονῆς. Καὶ ἄλλαι οἰκίαι ἐτάχθησαν ὑπ' αὐτοὺς [29] σὺν τοῖς οἰκιακοῖς αὐτῶν καὶ δευτέροις, ἐργάσασθαι τέχνας καὶ τὸ ἔργον τῶν ψιαθίων, καὶ ἑτοίμους εἰς πᾶσαν ὑπακοὴν εἶναι, μὴ ἔχειν δὲ [30] θέλημα καρδίας ἐν οὐδενί, ἵνα καρποφορήσωσιν τῷ Θεῷ. Ἀπόντος δὲ τοῦ πατρὸς τῆς μονῆς, ὁ δεύτερος ἱκανός ἐστιν πρὸς [31] πᾶσαν διαταγὴν [32] ἕως ἔλθῃ [33], χωρὶς πάσης ὑψηλοφροσύνης καὶ καυχήσεως [34], ἀλλὰ ταπεινοφροσύνῃ καὶ πραΰτητι [35] εἰς οἰκοδομὴν τῶν ἀδελφῶν [36] · οὕτως καὶ ἐπὶ τοῦ οἰκιακοῦ καὶ δευτέρου οἰκίας [37]. Κατηχήσεις δὲ τρεῖς [38] ἵνα ὁ οἰκονόμος τῆς μονῆς ποιῇ [39], κατὰ σάββατον μίαν καὶ τῇ κυριακῇ δύο · καὶ οἱ οἰκιακοὶ τὰς δύο νηστείας [40].

Rom. 7, 4.

Cf. Eph. 4, 2

[5] *om.* P. — [6] (τ. δὲ) ὁ δὲ μέγας τοὺς μὲν δυνατοὺς P. — [7] ὃ *corr.* P. — [8] *corr., prius* οἰκονόμων FP. — [9] πάσης σωμ. χρ. P. — [10] ἑκάστῳ P. — [11] οὖν P. — [12] ἑψήματα P. — [13] καθ' ἑαυτούς P. — [14] τὸ *add.* P. — [15] καὶ ὁ χρείαν ἔχων τροφῆς ἀπήλαυεν *add.* P, *recte ut videtur.* — [16] εἰ δέ τις πάλιν ἤθελεν P. — [17] (μ. τ.) πάλιν P. — [18] ἐν *add.* P. — [19] αὐτῆς P. — [20] *om.* F. — [21] (πρ. δὲ τ. θ.) θυρωροὺς P. — [22] *om.* P. — [23] καὶ συμπαθεῖς *add.* P. — [24] γίνεσθαι P. — [25] ἂν P. — [26] (ἐκτὸς - οἰκ.) ἕκαστος δὲ τῶν τῆς διακ. οἰκιακὸς P. — [27] τάξῃ P. — [28] δηλονότι *add.* P. — [29] ὑπ' αὐ. *om.* P. — [30] τε P. — [31] (ἱκ. ἐ. πρ.) προέστηκεν εἰς P. — [32] καὶ ὠφέλειαν ψυχῶν *add.* P. — [33] ἕως δ' ἂν ὑπέστρεψεν ὁ πρῶτος P.

[34] καυχήματος P. — [35] ἀλλὰ ταπ. καὶ πρ. *om.* P. — [36] ἐν πάσῃ ταπ. καὶ πραότητι *add.* P. — [37] (οὕτ. - οἰκ.) τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τὰς λοιπὰς οἰκίας τοῦ οἰκιακοῦ καὶ τοῦ δευτέρου γενέσθαι προσέταξε P. — [38] γενέσθαι προσέταξεν *add.* P. — [39] ἵνα π. ὁ οἰ. τῆς μ. P. — [40] ἤγουν τῇ τετράδι καὶ τῇ παρασκευῇ *add.* P.

Cf. Act.SS. § 20. *Pastores, exstructa ecclesia, verbum Dei docet.*

29. Καὶ [1] τοῦτο ἐσπούδασεν ὁ μέγας πατὴρ ἡμῶν Παχούμιος [2], ἐκκλησίαν οἰκοδομῆσαι ἐν τῇ ἐρήμῳ [3] κώμῃ [4] τοῖς περὶ τὸν τόπον ποιμέσι μετρίοις οὖσι, ὅπως συναχθῶσιν [5] ἐν τῇ κυριακῇ καὶ τῷ σαββάτῳ ἀκοῦσαι [6] τὸν λόγον τοῦ Θεοῦ. Τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ ἐποίησεν, ἀλλὰ γνώμῃ [7] Σαραπίωνος [8] τοῦ τῆς Τεντύρων [9] ἐκκλησίας [10] ἐπισκόπου. Καὶ οὕτως ἦν ἀναγινώσκων αὐτοῖς κατὰ τὴν ὥραν τῆς συνάξεως, ἀπερχόμενος ἐκεῖ μετὰ τῶν [11] ἀδελφῶν, διὰ τὸ μὴ εἶναι ἀναγνώστην [12]. Καὶ ἀνήλισκεν εἰς τὰς χρείας αὐτοῖς καὶ τοῖς παραβάλλουσι ξένοις, ἕως [13] κατεστάθη τις [14] πρεσβύτερος ἐκεῖ [15]. Καὶ τότε δὲ ἀναγινώσκων αὐτοῖς αὐτός [16], ὁποίαν εἶχεν τήν τε ἐπιστήμην καὶ εὐλάβειαν, καὶ τοὺς ὀφθαλμοὺς τηρῶν ὡς πρέπει [17] καὶ τὴν διάνοιαν σὺν τῷ στόματι · καὶ [18] βλέποντες [19] οἱ κοσμικοὶ ἄνθρωπον τοῦ Θεοῦ [20] ἐν μέσῳ αὐτῶν, μᾶλλον προθυμίαν ἔσχον [21] χριστιανοὶ καὶ πιστοὶ γενέσθαι. Πολὺ γὰρ οἰκτίρμων καὶ φιλόψυχος ἦν [22] · καὶ πολλάκις βλέπων [23] τοὺς ἀνθρώπους μὴ ἐπιγινώσκοντας τὸν ποιήσαντα αὐτοὺς Θεόν, κατ' ἰδίαν ἔκλαιεν ἱκανῶς, ἐπιθυμῶν εἰ δυνατὸς εἴη [24] σῶσαι πάντας.

Athanasio

30. Ὁ δὲ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρείας [1] Ἀθα-

[1] ὁ δὲ μέγας πατὴρ ἡμῶν P. — [2] (ὁ - παχ.) *om.* P. — [3] εἰρημένῃ P. — [4] τῆς ταβεννήσεως *add.* P. — [5] συνάγωνται P. — [6] καὶ ἀκούειν P. — [7] (ἀφ' ἑ. - γν.) ἐπ. μετὰ γνώμης P. — [8] *ita* FP ; ἀπρίωνος Σ. — [9] τεντυρίων P *hoc loco*. — [10] *om.* P. — [11] ἄλλων P. — [12] (διὰ - ἀναγν.) *om.* P. — [13] οὗ *add.* P. — [14] ἕτερος P. — [15] ἐν τῇ αὐτῇ ἐρημωμένῃ (*litterae μω deletae sunt*) κώμῃ P. — [16] (καὶ τότε - αὐ.) ὅτε δὲ ἀνεγίνωσκεν αὐτοῖς ὁ μέγας πατὴρ ἡμῶν P. — [17] (ὡς πρ.) ἀσφαλῶς P. — [18] ὅθεν P. — [19] αὐτὸν *add.* P. — [20] ὄντα *add.* P. — [21] (μ. πρ. ἔ.) πρ. μ. εἶχον P. — [22] ὁ μέγας πατὴρ ἡμῶν *add.* P. — [23] (π. βλ.) βλ. π. P. — [24] (κατ' ἰδ. - εἴη) ἔκλαιε σφοδρῶς κατ' ἰδ., πλεῖστα ἐπιθ. εἰ ἦν αὐτῶ δυνατόν P.

30. — FP. — [1] τῆς ἀλ. *om.* P.

Thebaidem lustrante,

νάσιος ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον ἀρχόμενος τῆς ἐπισκοπῆς καὶ [2] εἰς τὴν ἄνω Θηβαΐδα ἕως Συήνης [3] βουλόμενος ἀπελθεῖν [4], τὰς ἐκκλησίας τοῦ Θεοῦ στηρίζων [5]. Καὶ διαπλέοντος αὐτοῦ τὴν Ταβεννήσιν, συνεξῆλθεν τοῖς ἀδελφοῖς [6] ἐν ἀγαλλιάσει ἔμπροσθεν αὐτοῦ [7] μετὰ ψαλμῶν. Ἦν γὰρ πολὺς ὄχλος περὶ αὐτόν, δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. Καὶ ἐπειδὴ ὁ προειρημένος ἐπίσκοπος τῆς [8] Τεντύρων προῃτήσατο τὸν πάπαν Ἀθανάσιον λέγων · « Ἔχω πατέρα μοναζόντων [8] ἐν τῷ τόπῳ [9] μου, καὶ [8] Θεοῦ ἄνθρωπον [10] ὄντα θέλω ἵνα καταστήσῃς αὐτὸν ἐπὶ πάντων

presbyteratum declinat.

τῶν μοναχῶν τῆς ἐνορίας μου πατέρα καὶ πρεσβύτερον [11] », διὰ [8] τοῦτο ἀκούσας [12] ἐκρύβη τὸν πάπαν [13] ἐν τοῖς ἀδελφοῖς [14] ἕως παρῆλθεν. Ὅμως δὲ [8] ἀτενίσας [12] ἐπέγνω αὐτὸν [15] ἐν τῷ πλοίῳ ἅγιον [16] δοῦλον τοῦ Θεοῦ [17], μάλιστα ἀκούων τοὺς ποικίλους πειρασμοὺς [18] οὓς ὑπέμεινεν [19] κατὰ [20] τὸ εὐαγγέλιον καὶ τὴν ὀρθὴν αὐτοῦ πίστιν, ἧς ἕνεκεν καὶ μετὰ ταῦτα ἔπασχεν [21].

Act. SS. § 21. Origenem odio habet.

31. Ἐμίσει δὲ καὶ τὸν λεγόμενον Ὠριγένην, οὐ μόνον ὅτι ἐξεβλήθη τῆς ἐκκλησίας πρὸ Ἀρείου καὶ Μελιτίου, τῶν κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ βλασφημίᾳ καὶ σχήματι ... [1]

Act. SS. § 23. Theodorus adulescens,

33. — ... <ἀλη>θινὴν [1] ζωήν, κατενύγη τὴν καρδίαν ἑαυτοῦ θείᾳ αἰσθήσει. Καὶ εὐθὺς ἀναστενάζων εἰσῆλθεν εἰς ἐσταλμένον τόπον τῆς οἰκίας. Καὶ ἐπὶ πρόσωπον πεσὼν ἤρξατο δακρύειν καὶ λέγειν · « Ὁ Θεός, οὐ θέλω τὰ τοῦ κόσμου τούτου · σὲ μόνον θέλω καὶ τὸ ἔλεός σου. » Πολλὰ οὖν ζητοῦσα ἡ μήτηρ εὗρεν αὐτόν · καὶ βλέπουσα τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς ἀπὸ δακρύων, λέγει αὐτῷ · « Τίς ἐλύπησέ σε, τέκνον, καὶ ποῦ ἦς; Ἐγὼ γὰρ καὶ οἱ

spretis deliciis,

ἀδελφοί σου ἐξεδεχόμεθά σε φαγεῖν. » Ὁ δὲ ἀπεκρίθη αὐτῇ λέγων · « Ἀπέλθετε, φάγετε ὑμεῖς · ἐγὼ γὰρ ἐσθίειν οὐ βούλομαι. »

[2] βουλόμενος ἀπελθεῖν P. — [3] συήνης P. — [4] β. ἀ. om. P. — [5] (τὰς - στ.) στηρίξαι τὰς ἐ. P. — [6] ὁ πατὴρ ἡμῶν παχώμιος add. P. — [7] τοῦ ἀρχιεπισκόπου P. — [8] om. P. — [9] ἐν τοῖς τόποις P. — [10] (θ. ἄ.) ἄ. τοῦ θ. P. — [11] πατ. καὶ πρ. ante ἐπὶ π. τ. μ. τ. ἐ. μου P. — [12] ὁ πατὴρ ἡμῶν add. P. — [13] ἀθανάσιον add. P. — [14] ἐν τ. ἀ. om. P. — [15] τὸν πάπαν P. — [16] καὶ add. P. — [17] ὑπάρχοντα καὶ add. P. — [18] διωγμοὺς P. — [19] ὑπέστη P. — [20] διὰ P. — [21] (ἧς - ἔπ.) δι' ἧς ἕνεκα καὶ πολλὰ ὑπέστη δεινά P.

31. — F. — [1] *hoc loco in codice* F, *inter fol. 167 et 168, excisa sunt folia duo. Quae desiderantur, ex fragmentis* A, *quantum licuit, supplevimus (a cap. 33 ad initium cap. 43). Cetera, nempe cap. 31-33, supple si lubet ex Vita Tertia (Π).*

33. — A. — [1] *ita inc. mutilus codex* A.

Latopolitanis monachis iungitur ;

Καὶ οὕτως ἐν τῇ διατριβῇ τυγχάνων ἐνήστευεν ἕως ὀψέ, καὶ τὰς δύο δὲ πολλάκις, ἐγκρατευόμενος τῶν πολυτελῶν βρωμάτων καὶ τῶν τροφῶν ὡς μοναχὸς ἐπὶ ἔτη δύο. Καὶ μετὰ ταῦτα συνεχωρήθη, ἐξελθὼν εἰς μονήν, ἀναχωρεῖν σὺν τοῖς ἐκεῖσε μοναχοῖς εὐλαβέσιν οὖσι, περὶ τὸν Λατοπολίτην νομόν. Ἦν δὲ τότε ὡς δεκατεσσάρων ἐτῶν.

Act.SS. § 24.

34. Καθημένων δέ ποτε τῶν μοναχῶν ἑσπέρας ὡς ἔθος λαλεῖν τὸν λόγον τοῦ Θεοῦ, ἤκουσέ τινος ἐξηγουμένου περὶ τῆς σκηνῆς, τά τε ἅγια καὶ τὰ ἅγια τῶν ἁγίων ἑρμηνεύοντος καὶ τὴν λύσιν ἐπὶ τῶν δύο λαῶν μεταφέροντος · « Ὁ πρῶτος γάρ, φησί, λαὸς ἡ ἔξω

Cf. Hebr. 9.

σκηνή ἐστιν, ἧς ἡ λατρεία διὰ θυσιῶν ζῴων ἦν καὶ ἄρτων φανερῶν καὶ τῆς λυχνίας καὶ λύχνων καὶ ἄλλων τινῶν · ἡ δὲ κλῆσις τῶν ἐθνῶν ἐστιν τὰ ἅγια τῶν ἁγίων, ἤγουν τὸ πλήρωμα τοῦ νόμου. Πάντα δὲ τὰ ἐν αὐτοῖς τῆς ἐξωτέρας σκηνῆς ἐστιν ἐνδοξότερα. Ἀντὶ γὰρ θυσίας ζῴων θυμιατήριον ἔχει θυμιαμάτων, καὶ ἀντὶ τραπέζης τὴν κιβωτὸν τῆς διαθήκης τοὺς πνευματικοὺς ἄρτους ἔχουσαν, τό τε βιβλίον τοῦ νόμου καὶ ὅσα ἐστὶν ἐκεῖ, καὶ ἀντὶ τοῦ φωτὸς τῆς λυχνίας τὸ ἱλαστήριον, ὅπου ὀπτάνεται ὁ Θεὸς πῦρ ὢν καταναλίσκον, τοῦτ' ἔστιν ὁ Θεὸς Λόγος τῇ ἐνανθρωπήσει, ὃς ἱλασμὸς ἡμῖν ἐγένετο ἐν σαρκὶ ὀφθείς. » Καὶ μετὰ τὴν λύσιν ταύτην λέγει ὁ ἀδελφός · « Τὸ ῥητὸν τοῦτο ἤκουσα καὶ τὴν λύσιν παρὰ τοῦ ἁγίου ἀνθρώπου τοῦ πατρὸς ἡμῶν Παχωμίου, τοῦ συνάξαντος ἐν Ταβεννήσει [1] πολλοὺς ἀδελφοὺς προκόπτοντας ἐν Χριστῷ. Καὶ πιστεύω ὅτι συγχωρήσει τινὰ τῶν ἁμαρτημάτων μου ὁ Κύριος, ὅτι ἐμνήσθην δικαίου κατὰ τὴν ὥραν ταύτην. » Ταῦτα ἀκούσας ὁ παῖς Θεόδωρος ἐγένετο τῇ καρδίᾳ ὡς πῦρ καὶ εὐχόμενος ἔλεγε · « Κύριε, εἰ ἔστιν ἅγιος ἐπὶ τῆς γῆς, καταξίωσόν με αὐτὸν ἰδεῖν καὶ μαθητεύσασθαι αὐτῷ, ὅπως δι' αὐτοῦ σώσῃς τὴν ψυχήν μου. » Καὶ οὕτω τὸ πλεῖστον τῆς νυκτὸς ἐποίησεν εὐχόμενος τὰ τοιαῦτα.

Hebr.12,29. accepta de Pachomio fama,

Act.SS. § 25. *Tabennesim pergit*

35. Λοιπὸν δὲ [1] μεθ' ἡμέρας ἀνῆλθε [2] Πεκύσιος, εὐλαβὴς [3] καὶ αὐτὸς γέρων, χρείας τινὸς ἕνεκε [4] τῶν ἀδελφῶν. Ἠξίωσεν οὖν [5] αὐτὸν ὁ Θεόδωρος ἀναγαγεῖν [6] αὐτὸν εἰς τὴν μονὴν πρὸς τὸν μέγαν Παχώμιον [7] · καὶ ἠνέχθη [8]. Φθάσας δὲ [9] τῷ Κυρίῳ προσεκύνησε λέγων · « Εὐλογητὸς εἶ, Κύριε, ὅτι ἐπήκουσας τοῦ αἰτήματός μου. » Καὶ συντυγχάνων [10] τῷ πατρὶ ἡμῶν Παχωμίῳ [11] ἤρξατο κλαίειν

34. — A. — [1] ταβεννῆ A *in fine lineae.*

35. — AP. — [1] (λ. δὲ) καὶ P. — [2] ἦλθε P. — [3] ἀνὴρ add. P. — [4] ἕνεκεν P. — [5] (ἠ. οὖν) καὶ ἠ. P. — [6] ἀγαγεῖν P. — [7] πρ. τ. μ. π. om. P. — [8] ἦλθε σὺν αὐτῷ P. — [9] εἰς τὸν τόπον add. P. — [10] συντυγχάνω P. — [11] καὶ add. P.

πρὸς ταῖς θύραις[12]. Καὶ λέγει αὐτῷ[13] · « Μὴ κλαῖε · ἐγὼ ὑπηρέτης εἰμὶ τοῦ πατρός σου. » Ἔλεγε δὲ τὸν Θεόν.

36. Καὶ μετὰ τὸ εἰσαχθῆναι[1] εἰς τὴν μονήν, ἀκούων καὶ βλέπων
fitque Pachomii discipulus egregius ;
τοὺς ἀδελφοὺς πορευομένους ὀρθῶς[2], ἐζήλωσεν[3] ἐν καλῷ[4]. Καὶ προκόπτων ἀνεπαύετο καὶ ἐνεδυναμοῦτο[5] ταῖς[6] ἐντολαῖς[7], διδασκόμενος παρὰ Παχωμίου τὴν τῶν ἁγίων μίμησιν ἔχοντος[8]. Καὶ ἦν φρόνιμος ὁ παῖς, διατηρῶν ἑαυτῷ[9] τὰ τρία ταῦτα · καθαρότητα καρδίας[10] καὶ λόγον ἔμμετρον ἔχοντα χάριν καὶ ὑπακοὴν ἀδιάκριτον ἕως[11] θανάτου. Ἐν δὲ ἀσκήσει καὶ ἀγρυπνίαις εὐχῶν[12]
I Cor. 12, 31.
οὐκ ἦν τινος[9] ἐλαττούμενος, ἀλλ'[13] ἀγωνιζόμενος τὰ μείζονα χαρίσματα κτήσασθαι, ὥστε παρακλήτορα εἶναι πολλῶν λυπουμένων καὶ διορθωτὴν τῶν ὑπὲρ[14] ἡλικίαν αὐτοῦ. Τὸ γὰρ πνεῦμα[15]
Ioh. 3, 8.
ὅπου θέλει πνεῖ. Ὁρῶν δὲ αὐτοῦ[16] τὴν διαφέρουσαν[17] αὔξησιν ὁ πατὴρ ἡμῶν Παχώμιος[18] ἔθετο[19] ἐν τῇ καρδίᾳ[20] μέλλειν αὐτὸν ψυχὰς ἐμπιστεύεσθαι ὑπὸ τοῦ Θεοῦ μετ' αὐτόν[21].

Act.SS. § 26.
matrem videre renuit.
37. Ἀκούσασα δὲ ἡ μήτηρ αὐτοῦ ἦλθεν ἐπιστολὰς ἔχουσα[1] ἐπισκόπων κελευόντων[2] ἀποδοθῆναι αὐτῇ τὸν παῖδα. Καὶ εἰς τὸ μοναστήριον τῶν παρθένων παραξενιζομένη[3] ἔπεμψε[4] τὰς[5] ἐπιστολάς, ἵνα κἂν ἴδῃ αὐτόν. Ἐλάλησεν οὖν αὐτῷ ὁ πατήρ[6] · « Ἤκουσα ὅτι παρεγένετο ἡ μήτηρ σου διὰ σὲ[7] καὶ ἐπιστολὰς ἤνεγκεν[8] ἐπισκόπων. Διὰ τὰς ἐπιστολὰς οὖν ἄπελθε, ἀπάντησον αὐτῇ καὶ πεῖσον αὐτήν. » Λέγει αὐτῷ ὁ παῖς · « Εἰπέ μοι[9] ὅτι, ἐὰν ἀπέλθω ἰδεῖν αὐτὴν ὡς μητέρα μετὰ τοσαύτην γνῶσιν, οὐ[10] μέμψεταί με[11] ὁ Κύριος ἐν ἡμέρᾳ κρίσεως; Ἀντὶ γὰρ τὸ[12] ἀνδρίζεσθαί με μᾶλλον εἰς κατόρθωσιν ἑτέρων[13], πρόσκομμα τίθημι

[12] (πρ. τ. θ.) πρ. αὐτόν P. — [13] ὁ ἅγιος add. P.

36. — AP. — *Lemma : κδ', περὶ τῆς ἀρετῆς Θεοδώρου* A. — [1] (μ. τὸ εἰσ.) εἰσαχθεὶς P. — [2] (π. ὀ.) ὀ. π. P. — [3] αὐτοὺς add. P. — [4] ἀγαθῷ P. — [5] ἐν add. P. — [6] ἐν ταῖς iterum scripsit sed del. P. — [7] ἤτοι τῇ ἀρετῇ τῶν ἁγίων add. P. — [8] παρὰ τοῦ μεγάλου τοῦ καὶ τὴν μίμ. ἐκείνων ἔχ. P. — [9] om. P. — [10] καρ. καθ. P. — [11] ἄχρι P. — [12] (ἐν - εὐχ.) περὶ δὲ ἀσκήσεως νηστείας ἀγρυπνίας προσευχῆς P. — [13] ἀλλὰ P. — [14] τῶν ὑ. corr. P. — [15] καθὼς εἶπε τὸ ἅγιον εὐαγγέλιον add. P. — [16] ὁ ἀββᾶς add. P. — [17] αὐτῷ ἄσκησιν μᾶλλον δὲ add. P. — [18] ὁ πατ. ἡμ. παχ. om. P. — [19] αὐτὸν add. P. — [20] αὐτοῦ add. P. — [21] (μέλλειν κτλ.) ὡς μέλλοντα μετ' αὐτὸν τὰς ψ. ὑπὸ τ. θ. ἐμπ. P.

37. — AP. — [1] (ἐπ. ἔχ.) ἔχ. ἐπ. P. — [2] τῷ μεγάλῳ παχωμίῳ add. P. — [3] ξενιζομένη P. — [4] ἔπεμπεν P. — [5] om. P. — [6] καὶ ἐλάλ. ὁ π. λέγων αὐτῷ P. — [7] διὰ σὲ om. P. — [8] (καὶ ἐπ. ἤν.) ἔχουσα ἐπ. P. — [9] πάτερ add. P. — [10] οὐκ ἂν P. — [11] μοι P. — [12] (ἀ. γ. τὸ) ὅτι ἀ. τοῦ P. — [13] ἀρετῶν P.

τοσούτῳ πλήθει[14]. Οἱ υἱοὶ Λευὶ τοὺς ἑαυτῶν γονεῖς καὶ ἀδελφοὺς ἀπέκτειναν, ὅπως εὐαρεστήσωσι τῷ Κυρίῳ[15] καὶ μὴ κινδυνεύσωσι τῇ[16] ὀργῇ. Κἀγὼ οὐκ ἔχω μητέρα, οὐδέ τι[17] τοῦ κόσμου · παρέρχεται γάρ. »[18] Λέγει αὐτῷ Παχώμιος[19] · « Εἰ σὺ ἀγαπᾷς τὸν Θεὸν ὑπὲρ μητέρα, ἐγὼ[20] κωλύω; Ἢ μᾶλλον προτρέπομαί σε. Ὁ φιλῶν γὰρ[21] πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ[22] οὐκ[23] ἔστι μου ἄξιος. Matth.10,37
Τοῦτο τελειότης ἐστίν. Ἀκούσαντες δὲ πάντως[24] οἱ πατέρες ἡμῶν οἱ ἐπίσκοποι[25] οὐ λυπηθήσονται[26] περὶ τούτου[27], ἀλλὰ μᾶλλον[21] ἐπὶ τῇ προκοπῇ σου χαρήσονται[28]. Οὐκ ἔστι μέντοι[29] ἁμαρτία τῷ τυγχάνοντι[30] τοῖς ἰδίοις ὡς μὴ ἰδίοις, ἀλλ'[31] ὡς μέλη Cf. Eph.5,30.
Χριστοῦ ἀγαπῶντι αὐτοὺς[32] καθ' ὁμοιότητα[33] πάντων τῶν πιστῶν[34]. Ἡ γὰρ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. » Καὶ οὕτω μὴ θελήσαντος Ioh. 6, 64.
τοῦ παιδὸς[35] ὀφθῆναι αὐτῇ, ἡ μήτηρ ὑπεραγαπῶσα αὐτὸν[36] οὐκ ἠβουλήθη πρὸς[37] τὰ ἴδια ἀνακάμψαι · ἀλλ' ἔμεινε παρὰ ταῖς παρθενευούσαις, ἐν ἑαυτῇ λέγουσα[38] ὅτι · « Οὐ μόνον ὄψομαι αὐτὸν ἅπαξ ἐν τοῖς ἀδελφοῖς, ἀλλὰ κἀγὼ κερδανῶ[39] τὴν ψυχήν μου. ».

Act.SS. § 27.
Monachos quosdam frustra conatus emendare Pachomius
38. Πρὸ τοῦ τὸ κοινόβιον εἰς πλῆθος ἐπιδοῦναι[1], ἦσάν[2] τινες παρὰ τῷ πατρὶ ἡμῶν Παχωμίῳ σαρκικὸν τὸ[3] φρόνημα ἔχοντες, καθότι οὐ πάντες τὸν φόβον τοῦ Θεοῦ αἱροῦνται. Πολλὰ οὖν οὗτος νουθετήσας αὐτοὺς[4] μὴ ἀκούοντας[5] τὴν εὐθεῖαν ὁδὸν πορεύεσθαι[6], ἀλλὰ λυποῦντας[7] αὐτόν, ἀπελθὼν μακρὰν ἔπεσεν ἐπὶ πρόσωπον καὶ ηὔξατο λέγων · « Ὁ Θεός, σὺ ἐνετείλω τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπᾶν. Ἐπιβλέψας οὖν[8] ἐπὶ τὰς ψυχὰς ταύτας, Lev. 19, 18.
ἐλέησον καὶ κατάνυξον αὐτὰς[9] φοβεῖσθαί σε καὶ γνῶναι τί ἐστι βίος μοναχῶν, ὅπως ἔχωσι τὴν πρὸς σὲ ἐλπίδα, ὡς οἱ ἄλλοι[10] ἀδελφοί. » Καὶ μετὰ τὴν εὐχὴν εἶδεν ὅτι οὐ θέλουσι στοιχῆσαι

[14] τί ἂν γένοιτο τοῦτο add. P. — [15] θεῷ P. — [16] παρούσῃ add. P. — [17] (οὐδέ τι) καὶ οὐδέν τι τῶν P. — [18] καὶ add. P. — [19] ὁ πατήρ P. — [20] οὐ add. P. — [21] om. P. — [22] φησὶν ὁ κύριος add. P. — [23] ὁκ (sic) P. — [24] (ἀκ. δὲ π.) καὶ εἰ ἀκούσωσιν P. — [25] οἱ ἐπιστείλαντες add. P. — [26] λυποῦνται P. — [27] π. τ. om. P. — [28] (ἐπὶ τῇ πρ. σ. χ.) χ. ἐπὶ τῇ πρ. σ. P. — [29] γὰρ P. — [30] συντυγχάνοντι P. — [31] ἀλλὰ δεῖ τοῦ καλοῦ τὸ κρεῖττον ἐκλέγεσθαι καὶ ἀγαπᾶν μὲν αὐτοὺς P. — [32] ἀγ. αὐ. om. P. — [33] δὲ add. P. — [34] πιστευόντων P. — [35] (μὴ θ. τοῦ π.) τοῦ π. μὴ θ. P. — [36] (ἡ μ. ὑ. αὐ.) ὑ. δὲ αὐ. ἡ μ. P. — [37] εἰς P. — [38] (ἐν ἑ. λ.) λ. ἐν ἑ. P. — [39] κερδ. κἀγὼ P.

38. — AP. — *Lemma : κε', περὶ τῶν ἀναχωρησάντων ἀπὸ τῆς μονῆς μοναχῶν διὰ τὸ στοιχεῖν ἑαυτοῖς* A. — [1] (πρὸ - ἐπ.) om. P. — [2] δὲ add. P. — [3] om. P. — [4] (πολλὰ - αὐ.) καὶ π. τούτους ν. P. — [5] (μὴ ἀκ.) καὶ μὴ θελόντων αὐτῶν P. — [6] (τὴν εὐ. ὁδ. π.) π. τὴν εὐ. ὁδ. P. — [7] μᾶλλον καὶ χλευαζόντων P. — [8] (ἐ. οὖν) καὶ νῦν ἐ. P. — [9] αὐτοὺς P. — [10] λοιποὶ P.

αὐτῷ, ἀλλὰ διαμένουσιν ἀντιλέγοντες. Παρέδωκεν οὖν[11] αὐτοῖς κανόνα τῆς τε[12] συνάξεως καὶ τῶν ἄλλων τύπων[13] κατὰ ἀνάγκην[14]. Καὶ γνόντες ὅτι οὐ συγχωρεῖ αὐτοῖς κατὰ τὸ θέλημα αὐτῶν πορεύεσθαι, ἀνεχώρησαν καταπτήξαντες[15]. Καὶ οὕτω τῇ τούτων ἀναχωρήσει ηὐξάνοντο οἱ λοιποί, ὃν τρόπον αὐξάνει σῖτος[16] τῶν ζιζανίων ἐκριζωθέντων.

abire sinit.

Deficiente pane

39. Ἐπεὶ δὲ[1] ὅσα εἶχον εἰς ἐλεημοσύνας[2] ἐδίδουν, ἐγένετό ποτε ὑστερεῖσθαι αὐτοὺς ἄρτων. Καὶ τοῦ[3] θείου[3] Παχωμίου[3] βουλομένου[4] πέμψαι δύο στρώματα, ἅπερ τις ἤνεγκε τῶν μοναχῶν[5] ἀποτασσόμενος[6], πρὸς τὸ ἀγοράσαι[7] σῖτον, αὐτῇ τῇ νυκτὶ ὄρθρου κρούει τις τὴν θύραν. Καὶ εἰσελθόντος[3], ἐπυνθάνετο αὐτὸν ὁ πατὴρ[8] τί ἂν θέλοι. Ὁ[3] δὲ[3] λέγει αὐτῷ· « Σῖτον[3] ἐπαγγειλάμενος[9] εἰς τὰ μέταλλα[10] ὑπὲρ τῆς σωτηρίας μου, συνεβιβάσθην ἐν ὕπνοις ὑμῖν μᾶλλον ἐνεγκεῖν αὐτὸν χρήζουσιν, ὡς ἀνθρώποις Θεοῦ[11]. » Καὶ ἀπεκρίθη[12] αὐτῷ[13] Παχώμιος[3]· « Τοῦ μὲν σίτου χρεία ἐστὶν ἡμῖν[14]· ἀλλὰ δὸς[15] προθεσμίαν πρὸς τὴν ἀπόδοσιν αὐτοῦ. » Τῆς δὲ μεταφορᾶς τοῦ σίτου γενομένης[16] ἀπὸ τοῦ πλοίου, ἐθαύμασαν οἱ ἀδελφοὶ τὴν ἐξαίφνης ἀντίληψιν τοῦ Θεοῦ διὰ τὸν δοῦλον[17] αὐτοῦ.

frumentum miro modo advehitur.

Act.SS. § 28. *A Dionysio confessore, quod peregrinos seorsim exciperet, reprehensus,*

40. Ἦν δέ τις ὁμολογητὴς μετὰ τοὺς μάρτυρας, Διονύσιος ὄνομα[1], ἀνὴρ εὐλαβής, οἰκονόμος μὲν[2] τῆς ἐκκλησίας Τεντύρων, φίλος δὲ Παχωμίου ἐς τὰ μάλιστα[3]. Οὗτος ἀκούσας αὐτὸν[4] μὴ συγχωροῦντα[5] τοῖς ἀλλαχόθεν μοναχοῖς[6] εἰς τὴν μονὴν ἔσω μετὰ τῶν ἀδελφῶν συνδιάγειν[7] ὅτε παραβάλλουσιν, ἀλλ' ἐν τόπῳ τινι[2] κατ' ἰδίαν[8] πρὸς ταῖς θύραις, ἐλυπήθη καθὰ φίλος[9]. Καὶ πρὸς

[11] δὲ P. — [12] (τ. τε) περί τε τῆς P. — [13] τῆς συστάσεως κανόνων τῶν μοναστηρίων P. — [14] λοιπόν add. P. — [15] om. P. — [16] (αὐ. σ.) σ. αὐξανόμενος P.

39. — AP. — *Lemma : κς', περὶ τοῦ σίτου* A. — [1] (ἐ. δὲ) καὶ ἐπειδὴ P. — [2] ἐλεημοσύνην P. — [3] om. P. — [4] αὐτοῦ add. P. — [5] ἀδελφῶν P. — [6] ἐλθὼν γενέσθαι μοναχός P. — [7] (πρ. τὸ ἀ.) ἵνα ἀγοράσῃ P. — [8] (ἐ. αὐ. ὁ π.) πυνθανομένου P. — [9] ἐπειδὴ ἐπηγγειλάμην P. — [10] σῖτον add. P. — [11] (συνεβ. - θεοῦ) ἐν ᾧ. δὲ συνεβ. ἐνεγκ. μᾶλλ. ὑμ. ὡς ἀνθρ. τοῦ θεοῦ καὶ χρ., ἀποστείλας ἔπαρον P. — [12] λέγει P. — [13] τῷ ἀνθρώπῳ P. — [14] (ἐ. ἡ.) ἡ. ἐ. P. — [15] ἀλλ' ἔνδος P. — [16] (τῆς - γεν.) καὶ γεν. τῆς μετ. τοιαύτης P. — [17] (διὰ τ. δ.) εἰς τοὺς δούλους P.

40. — AP. — *Lemma : κζ', περὶ οὗ κατεγνώσθη ὁ πατὴρ ἡμῶν παρὰ (περὶ cod.) Διονυσίου τοῦ ὁμολογητοῦ καὶ τί αὐτῷ ἀπελογήσατο* A. — [1] (δ. ὄ.) ὀνόματι δ. P. — [2] om. P. — [3] φίλος τυγχάνων αὐτοῦ λίαν P. — [4] περὶ τοῦ ἀββᾶ ἡμῶν παχωμίου P. — [5] (μὴ σ.) ὅτι οὐ συγχωρεῖ P. — [6] τοὺς ἀλλ. μονάζοντας P. — [7] εἰσιέναι P. — [8] ξενίζει add. P. — [9] (κ. φ.) σφόδρα P.

αὐτὸν ἐλθὼν[10] εἰς Ταβέννησιν[11], ἤρξατο[12] μέμφεσθαι αὐτὸν περὶ τούτου. Ὁ δὲ Παχώμιος ἀπεκρίνατο[13] μετὰ πολλῆς μακροθυμίας[14] · « Οἶδεν ὁ Θεὸς τὴν πρόθεσίν[15] μου · καὶ ἡ πατρικὴ δέ[16] σου ἀγάπη οὐκ ἀγνοεῖ, ὅτι οὐδέποτε ἠθέλησα βλάψαι ψυχὴν ἁπλῶς. Καὶ πῶς ἂν ἐτόλμησα[17] λυπῆσαι[18] τὸν Κύριον λέγοντα · Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ[19] τῶν πιστευόντων εἰς ἐμέ, ἐμοὶ[18] ἐποιήσατε; Πῶς δ' ἂν οὕτως ἀλόγως ἀπεχώρισα[20] τοὺς ἀδελφούς μου ὡς ἐξουθενῶν αὐτούς; Μὴ γένοιτο τοῦτο. Ἀλλ' ἐπειδὴ πολλάκις εἶδον τὸ κοινόβιον[21] ὅτι[22] διαφόρους ἀνθρώπους ἔχει νεοφύτους[23] μήπω εἰδότας τί ἐστι μοναχὸς καὶ παιδία μὴ αἰσθανόμενα δεξιὰν ἢ ἀριστεράν[24], ἡγησάμην ἀγαθὸν εἶναι[25] καὶ πρὸς[16] τιμὴν μᾶλλον τῶν παραβαλλόντων ἡμῖν πατέρων καὶ ἀδελφῶν[26], τῇ μὲν ὥρᾳ τῆς συνάξεως συνέρχεσθαι μεθ' ἡμῶν[27], μετὰ δὲ τὴν εὐχὴν εἰς πρέποντα καὶ ἡσυχον[28] τόπον ὄντας[16] ἐσθίειν[29] καὶ ἀναπαύεσθαι, ἐμοῦ ὑπηρετουμένου[30] αὐτοῖς, καθὼς[31] ὑπηρέτησεν[16] ὁ Ἀβραὰμ τῷ Κυρίῳ[32] ὑπὸ τὴν δρῦν κατ' ἰδίαν. » Καὶ ταῦτα ἀκούσας ὁ πρεσβύτερος Διονύσιος ἐπείσθη, γινώσκων αὐτὸν πάντα ποιεῖν κατὰ Θεόν[33].

Matth.25,40. facti sui rationes affert.

Cf. Ion. 4,11.

Gen. 18.

41. Ἦν τις γυνὴ[1] τῶν ἐκεῖ πολιτευομένων τινὸς[2] αἱμορροοῦσα. Καὶ[3] ἀκούσασα περὶ τοῦ μεγάλου Παχωμίου[4] ἠξίωσε τὸν προειρημένον[5] Διονύσιον ὡς[6] φίλον αὐτοῦ[7] μεταπέμψασθαι τοῦτον[8], ὥστε συλλαλῆσαι[9] περὶ ἀναγκαίου τινός[10]. Μεταπεμφθεὶς οὖν ὁ μέγας[11] ἐκάθητο ἐν τῇ ἐκκλησίᾳ ὁμιλῶν αὐτῷ[12]. Κἀκείνη[13] πιστεύσασα τῷ ἐνανθρωπήσαντι Θεῷ[14] καὶ εἰπόντι τοῖς μαθηταῖς[15] · « Ὁ ὑμᾶς δεχόμενος[16] ἐμὲ δέχεται », προσελθοῦσα[17]

Haemorrhoissam sanat.

Matth.10,40.

[10] (πρ. αὐ. ἐλθ.) ἐλθ. πρ. αὐ. P. — [11] τὰ βέννυσιν A *hoc loco*. — [12] ἄρχεται P. — [13] (ὁ δὲ π. ἀπ.) καὶ P. — [14] ἀπεκρίθη αὐτῷ λέγων add. P. — [15] μετριότητά P. — [16] om. P. — [17] (ἂν ἐ.) νῦν τολμήσω P. — [18] om. A. — [19] τούτων add. P. — [20] (πῶς - ἀπ.) ἐν τῷ ἀλ. ἀποχωρίσαι με P. — [21] (μὴ γέν.-κοιν.) om. P. — [22] καὶ add. P. — [23] ἡ μονὴ add. P. — [24] (δ. ἢ ἀ.) τὴν δ. αὐτῶν καὶ τὴν ἀ. ἕως ἂν μάθωσιν P. — [25] τοῦτο add. P. — [26] τοὺς παραβάλλοντας ἡμ. πατέρας καὶ ἀδελφούς P. — [27] (συν. μεθ' ἡ.) ἐλθεῖν αὐτοὺς εἰς τὴν σύναξιν P. — [28] ἡσύχιον P. — [29] τε add. P. — [30] ὑπηρετοῦντος P. — [31] ὡς P. — [32] (ὁ ἀ. τῷ κ.) τῷ κ. ἀ. P. — [33] (ποιεῖν κ. θ.) κ. θ. π. P.

41. — AP. — *Lemma : κη', περὶ τῆς αἱμορροούσης* A. — [1] ἦν δὲ γ. τις P. — [2] om. P. — [3] ἥτις P. — [4] (τ. μ. π.) αὐτοῦ ὅτι θεοσεβής ἐστιν P. — [5] πατέρα add. P. — [6] ἅτε add. P. — [7] ὄντα add. P. — [8] μεταπέμψηται αὐτὸν P. — [9] (ὥ. σ.) ὡς ἵνα λαλήσῃ αὐτῷ P. — [10] πράγματος add. P. — [11] (μετ. οὖν ὁ μ.) καὶ δὴ μετ. ὁ πατὴρ ἡμῶν παχώμιος P. — [12] τῷ διοννσίῳ P. — [13] καὶ οὕτως αὕτη P. — [14] κυρίῳ P. — [15] αὐτοῦ add. P. — [16] ὁ δεχ. ὑμ. P. — [17] προσήγγισε τοῖς ὄπισθεν τοῦ πατρὸς μετὰ δέους καὶ ἠρέμα ἐλθοῦσα P.

Cf. Luc.8,44.

ἥψατο τοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κουκουλίου[18], καὶ ἰάθη παραχρῆμα[19].

Act.SS. § 29. *Monachum multa falso exprobrantem*

42. Μετὰ τοῦτο μοναστηρίου τινὸς πλησιάζοντος ἐκεῖσε[1], οὗ ὁ πατὴρ εἶχεν ἔθος[2] παραβάλλειν τῷ ἁγίῳ πατρί[3], ἦν τις[4] ἀδελφὸς ἐκεῖ τάξιν οἰκονομίας αἰτούμενος. Λογισάμενος οὖν ὁ πατὴρ τῆς μονῆς ταύτης μὴ ἄξιον εἶναι τὸν ἀδελφὸν τοῦ αἰτήματος[4], καὶ μὴ δυνάμενος[5] αὐτὸν πεῖσαι, λέγει αὐτῷ[6] ἐμμεθόδως[6] ὡς[7]· « Ὁ πατὴρ ἡπῶν[8] Παχώμιος παρήγγειλε[9] μὴ ποιῆσαι τοῦτο, καλῶς εἰδὼς[10] ὅτι μήπω[11] ἄξιος εἶ[12] οὗ λέγεις αἰτήματος[13]. » Ἀκούσας δὲ ἐκεῖνος ἔσυρεν αὐτὸν μετὰ θυμοῦ[14] λέγων· « Δεῦρο ἄγωμεν πρὸς αὐτόν[15], καὶ συστήσει[16] κατ' ἐμοῦ τὸ λεγόμενον[17]. » Ὁ[18] δὲ μετὰ φόβου καὶ λύπης ἠκολούθησεν αὐτῷ, ἀπορούμενος οἷον ἄρα τέλος ἐπισυμβαίη[19] τῇ[20] ὑποθέσει. Καὶ φθάσαντες ἐκεῖ[21] εὑρήκασιν αὐτὸν οἰκοδομοῦντα τεῖχος τῇ μονῇ[22] μετὰ τῶν ἀδελφῶν. Πλησιάσας οὖν ἐκεῖνος[23] μετὰ θυμοῦ μεγάλου λέγει πρὸς τὸν Παχώμιον[24]· « Κατάβηθι, ψεῦστα, καὶ παράστησον κατ' ἐμοῦ τὴν ἁμαρτίαν. » Καὶ αὐτοῦ[25] σιωπῶντος, ἔτι[26] πρὸς αὐτὸν ἔλεγεν[6]· « Ἐνεφράγη τὸ στόμα σου μηδὲν εἰς ἀπολογίαν εὑρόν[27]; Τίς δέ σε[28] ἀναγκάζει ψεύσασθαι[29], μᾶλλον[30] ὅτι καὶ[6] λέγεις σεαυτὸν διορατικόν, πεπωρωμένος ὢν τῇ ὁράσει[31]; » Καὶ αὐτοῦ[32] ταῦτα λαλήσαντος, λοιπὸν ἀποκρίνεται ὁ μέγας, μηδὲν ἐγνωκὼς ὧν ἔλεγεν ἐκεῖνος[32]· « Ἥμαρτόν σοι[6], συγχώρησόν μοι[6]. Οὐδέποτέ[28] σου ἐπλημμέλησας[33]; » Ὁ δὲ ἀκούσας[34] ἡσύχασεν ἀπὸ τῆς χολῆς[35]. Καὶ καταβὰς ὁ γέρων ἀπὸ τοῦ ἔργου[36] ζητεῖ τὸν πατέρα τῆς μονῆς ἐκείνης. Καὶ εὑρὼν αὐτὸν κλαίοντα καὶ συντετριμμένον τῇ καρδίᾳ[37], λέγει αὐτῷ· « Τί ἐστι τὸ πρᾶγμα τοῦτο[38]; » Ἀποκρίνεται[39] λέγων· « Ἠτεῖτο[40] ἡμᾶς οὗτος διακονίαν[41] ὑπὲρ τὴν ἑαυτοῦ ἀξίαν, κἀγὼ γνοὺς[42] ὅτι οὐ δύναμαι[43] παραιτήσασθαι αὐτὸν[44] ὡς οὐκ ἀκούοντά[45] μου, ὠνόμασά σε ὅπως[46] ἡσυχάσῃ. Οἴδαμεν γὰρ[47] ὅτι παρὰ Κυρίου ἐδόθη σοι χάρισμα τοῦ μὴ ταχέως λαθεῖν σε δολιότητα[48]. Καὶ ἰδοὺ ὁ ἄφρων οὗτος προσέθετο μᾶλλον τοῖς ἰδίοις κακοῖς λοιδορήσασθαι[49] δίκαιον[50] ἄνδρα. » Καὶ λέγει αὐτῷ Παχώμιος[51]· « Οὐκ ἦλθες ἐξετάσαι με τὸ θέλημα τοῦ Θεοῦ; Ἄκουσόν μου. Δὸς αὐτῷ τὸ αἴτημα αὐτοῦ, ὅπως διὰ τούτου[52] τὴν ψυχὴν αὐτοῦ ἐκσπάσωμεν[53] ἀπὸ[54] τοῦ ἐχθροῦ. Συμβαίνει γὰρ καὶ κακὸν ἄνδρα εὐεργετούμενον εἰς αἴσθησίν τινα[38] τοῦ ἀγαθοῦ ἐλθεῖν. Αὕτη δέ[55] ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ τὸ συμπάσχειν ἀλλήλοις. » Καὶ οὕτω μετὰ τὸ τυχεῖν οὗ ἤθελεν ἐκεῖνος ἀνέκαμψεν εὐθέως[38] μετὰ νήψεως σφόδρα· καὶ περιπτυσσόμενος τὸν μέγαν Παχώμιον[56] ἐξωμολογήσατο[57] λέγων· « Ἄνθρωπε τοῦ Θεοῦ, λίαν ὑψώθης ὑπὲρ ἃ ἠκούσαμεν[58]. Εἴδομεν γάρ σου τὴν νίκην ἐν τῷ ἀγαθῷ, ὅτι ἐμοῦ ἐφείσω τοῦ ἄφρονος καὶ ἁμαρτωλοῦ. Εἰ γὰρ μὴ ἐμακροθύμησας ἀληθῶς[59], ἀλλ' εἴπές τι[38] κατ' ἐμοῦ[60], ἐγενόμην ἂν[38] ἀποστάτης τοῦ μοναχικοῦ βίου[61] καὶ ἀλλότριος τοῦ Θεοῦ. Εὐλογητὸς εἶ[62], ὅτι διὰ σοῦ ἡ ζωή μου. »

Monachum multa falso exprobrantem

beneficiis demulcet

Cf. Ps. 62, 11.

patienter tolerat,

I Tim. 6, 11. Cf. Rom. 12, 21.

et ab apostasia servat.

Act.SS. § 30. *Occultum puellae peccatum cognoscit;*

43. Ἐλθών τις[1] εἰς τὴν μονὴν ἠξίωσε τὸν μέγαν[2] ἰάσασθαι τὴν θυγατέρα αὐτοῦ δαιμονιζομένην. Καὶ ἀκούσας, ἐπειδὴ οὐκ ἦν ἔθος[3] αὐτῷ γυναιξὶν ὁμιλεῖν[4], ἔπεμψε διὰ τοῦ[5] πρὸς ταῖς θύραις λέγων· « Ἔν τῶν ἱματίων αὐτῆς πεπλυμένον[6] ἀπόστειλον ὧδε[7]. »

[18] τοῦ κουκουλλίου τοῦ ἐπὶ τῆς κεφ αὐ. P. — [19] (ἰ. π.) π. ἰ. καὶ ἀπῆλθεν εἰς τὰ ἴδια αὐτῆς δοξάζουσα τὸν θεὸν καὶ τὸν θεράποντα αὐτοῦ παχώμιον P.

42. — AP. — *Lemma: κθ', περὶ τοῦ αἰτοῦντος μοναχοῦ τάξιν οἰκονόμου* A. — [1] μετὰ ταῦτα δὲ εἴπωμεν καὶ περὶ ἄλλων ἀρετῶν τοῦ πατρὸς ἡμῶν παχωμίου εἰς ὠφέλειαν τῶν ἀδελφῶν· ἦν πλησίον μοναστήριον P. — [2] (εἰ. ἔ.) ἔ. εἰ. P. — [3] (τῷ ἁγ. π.) αὐτῷ συνεχῶς P. — [4] (ἦν τις - αἰτήμ.) ἀδελφῷ δέ τινι τῶν ἐκεῖσε αἰτουμένῳ τάξιν οὐκ ἐπένευσεν ὁ πατ. τῆς μον. μὴ εἶναι ἄξ. εἰδὼς P. — [5] (μὴ δ.) θέλων P. — [6] *om.* P. — [7] ὅτι P. — [8] ὁ κοινὸς ἡμ. π. P. — [9] *moi add.* P. — [10] κ. εἰ. *om.* P. — [11] οὔπω P. — [12] ἦς P. — [13] καὶ κατὰ σοῦ αἰτεῖς P. — [14] (ἔσ. αὐ. μ. θ.) μ. θ. ἔσ. αὐ. P. — [15] δεῦρο μετ' ἐμοῦ P. — [16] σύστησον P. — [17] τὸ κατ' ἐ. λεγ. P. — [18] κἀκεῖνος P. — [19] (οἷον - ἐπ.) τί ἄρα μέλλει συμβῆναι P. — [20] τοιαύτη *add.* P. — [21] ὡς τρεῖς ἀδελφοὶ P. — [22] τῆς μονῆς P. — [23] (πλ. οὖν ἐ.) καὶ πλ. ὁ ἀδελφὸς P. — [24] (πρ. τὸν π.) τῷ μεγάλῳ P. — [25] (κ. αὐ.) αὐ. δὲ P. — [26] πάλιν λέγει P. — [27] εὑρίσκον P. — [28] καὶ *add.* P. — [29] ψεύδεσθαι P. — [30] καὶ μάλιστα P. — [31] πεπηρωμένος ὢν τῆς ὁράσεως P. — [32] (καὶ αὐτοῦ - ἐκ.) ταῦτα οὖν τοῦ ἀδελφοῦ λαλ. πρὸς τὸν μέγαν πρὸς οὐδὲ ἓν αὐτῷ ἀπεκρίθη μὴ εἰδὼς ὃ λέγει εἰ μὴ τοῦτο P.

[33] ἔπταισας P. — [34] (ὁ δὲ ἀκ.) ἀκ. δὲ ταῦτα ὁ πολεμούμενος ἀδελφός P. — [35] ἀπὸ τῆς πολλῆς χολ. καὶ τοῦ πολλοῦ θυμοῦ P. — [36] (καὶ κατ. - ἔ.) κατ. δὲ ὁ μέγας παχώμιος P. — [37] (κλ. καὶ σ. τῇ κ.) σ. τὴν καρδίαν ἱκανῶς καὶ κλ. P. — [38] *om.* P. — [39] ἐκεῖνος *add.* P. — [40] πάτερ ἅγιε *add.* P. — [41] πρᾶγμα P. — [42] καὶ γν. ἐγὼ P. — [43] ἄλλως *add.* P. — [44] (παρ. αὐ.) αὐ. παρ. P. — [45] (ὡς - ἀκ.) οὐ γὰρ ἤκουέ P. — [46] ἵνα P. — [47] (οἴδ. γ.) ἐπειδὴ οἶδ. P. — [48] (λ. σε δ.) δολιόν τι λ. σε P. — [49] λοιδορῆσαι P. — [50] ὅσιον P. — [51] διὰ τί P. — [52] τοῦτο P. — [53] (τὴν ψ. αὐ. ἐκ.) ἐκ. τὴν ψ. αὐ. P. — [54] ἐκ P. — [55] (αὕ. δὲ) καὶ αὕ. P. — [56] γέροντα P. — [57] ἐξωμολογεῖτο αὐτῷ P. — [58] λίαν ὑπερυψώθης ὧν ἠκ. P. — [59] ἐπ' ἐμοῦ P. — [60] τι σκληρόν *add.* P. — [61] ἀξιώματος P. — [62] (εὐλ. εἶ) ἀλλ' εὐλ. συ τῷ θεῷ P.

43. — AP *initio, dein* FAP. — *Lemma: λ', περὶ τῆς δαιμονιζομένης* A. — [1] (ἐ. τ.) ἄλλος δέ τ. κοσμικὸς ἐ. P. — [2] (τ. μ.) αὐτὸν P. — [3] *om.* A. — [4] (γ. ὁ.) ὁ. γυναικί P. — [5] *om.* A. — [6] πεπλυμμένον P. — [7] *hinc rursus codex* F. *Vid., p. 20, adnot. ad cap. 31.*

συγκαταβῇ αὐτῷ, οὐκέτι ἔρχεται εἰς τοὺς ἀδελφούς — ἔμελλεν γὰρ φαγεῖν [10] κἂν μὴ Θεόδωρος θέλῃ [11] — καὶ [12] οὕτως ἐγεύσατο ὀλίγον [13], σφαζόμενος τῇ διανοίᾳ. Καὶ λοιπὸν [12] ἀνακαμψάντων αὐτῶν εἰς τὸ μοναστήριον, ἀπήγγειλεν Θεόδωρος τῷ ἀββᾷ Παχούμίῳ τὸ γενόμενον [14]. Καὶ οὐκ ἐμέμψατο αὐτόν [15], γινώσκων ὅτι μὴ θέλων ἐποίησεν τοῦτο.

apud eius parentes pransus,

defectione a servat.

68. Καὶ μετὰ ταῦτα [1] ἐλάλησεν Θεόδωρος ἀρχαίῳ [2] ἀδελφῷ περὶ τοῦ εἰρημένου ἐν τῷ εὐαγγελίῳ · Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ [3] καὶ τὴν μητέρα, καὶ τὰ ἑξῆς, ὅτι · « Πῶς ὑπολαμβάνεις τοῦτο; » Καὶ λέγει αὐτῷ [4] ὅτι · « Ἡ γραφὴ ὕψωσεν τοὺς λόγους ἵνα φθάσωμεν εἰς μέρος [5]. Ἐπεὶ πῶς μισήσωμεν τοὺς γονεῖς; » Τοῦτο δὲ ἔλεγεν, ἐπειδὴ πολλάκις ἐπεσκέπτετο τοὺς ἰδίους, καὶ [3] μὴ δυνάμενος [6] ἀποστῆναι τοῦ φρονήματος τῆς σαρκὸς μετὰ τὴν [3] τοσαύτην διδαχήν. Λοιπὸν ἀποκρίνεται [7] αὐτῷ [3] Θεόδωρος πανούργως [8] · « Ἀληθῶς αὕτη [9] ὑμῶν ἡ πίστις [10], Ταβεννησιῶται; Τὸ εὐαγγέλιον λέγει τοῦτο, καὶ σὺ λέγεις ἄλλο; Ἀπέρχομαι ἔνθεν · οὐ μένω. Καλῶς ἤμην ὅπου ἤμην ποτέ · οἱ γὰρ ἐκεῖ πατέρες οὐδέποτε ἠρνήσαντο τὸ εὐαγγέλιον. » Καὶ [11] σχήματι ἀνεχώρησεν πώποτε [3] πρὸς ὀλίγον κρύπτεσθαι [12]. Κἀκείνου ἐλθόντος πρὸς τὸν ἀββᾶν Παχούμιον καὶ σημάναντος αὐτῷ [13], ἀπεκρίθη [14] αὐτῷ Παχούμιος [15] · « Οὐκ οἶδας ὅτι νεόφυτός ἐστιν; Ταχέως σπούδασον ζητῆσαι [16] αὐτόν · ἐὰν γὰρ ἀπέλθῃ ἔνθεν διὰ τοῦτο [17], φήμη καλὴ οὐ γενήσεται καθ' ἡμῶν [18]. » Καὶ οὕτως εὑρόντος αὐτὸν [19] καὶ πολλὰ παρακαλοῦντος [20], εἶπεν [14] αὐτῷ Θεόδωρος [3] · « Εἰ θέλεις ἵνα μείνω καὶ ἴδω [21] ὅτι ἀληθές ἐστιν [3] ὃ λέγεις, ἐξομολόγησαι ἐνώπιον Κυρίου καὶ τῶν ἀδελφῶν ὅτι στοιχεῖς τῷ εὐαγγελίῳ [22]. » Καὶ [23] ἐποίησεν τοῦτο καὶ οὐκέτι ἀπῆλθεν [24] πρὸς τοὺς γονεῖς [25] αὐτοῦ ἀπὸ τότε [26].

Luc.14,26.

Item alium,

Rom. 8, 6.

qui suos saepius adibat,

simulata fuga

emendat.

68. — FP. — [1] (κ. μ. τ.) ἐν μιᾷ δὲ τῶν ἡμερῶν P. — [2] ἀρχελάω τινὶ P, *crediderim recte.* — [3] om. P. — [4] ἐκεῖνος add. P. — [5] ἵνα κἂν εἰς μ. φθ. P. — [6] δυνηθεὶς P. — [7] (λ. ἀ.) ἀ. λ. P. — [8] λέγων add. P. — [9] ἐστὶν add. P. — [10] (ὑ. ἡ π.) ἡ π. ὑ. P. — [11] εἰπὼν ταῦτα add. P. — [12] (πρ. ὀ. κρ.) κρ. πρ. ὀ. P. — [13] τὸ γεγονός add. P. — [14] λέγει P. — [15] ὁ πατήρ P. — [16] ζήτησον P. — [17] διὰ τ. om. P. — [18] φήμη ἀγαθὴ οὐ γίνεται περὶ ἡμ. P. — [19] (καὶ οὕτ. εὑρ. αὐτ.) καὶ ἀναζητήσας αὐτ. καὶ πείθων καὶ σύρων οὐκ ἠκούετο P. — [20] πείθοντος P. — [21] γνῶ P. — [22] τὸ εὐαγγέλιον καὶ ἀνέκρχομαι P. — [23] συνέθετο καὶ add. P. — [24] (καὶ οὐ. ἀπ.) μὴ ἀπέρχεσθαι λοιπὸν P. — [25] ἰδίους P. — [26] αὐ. ἀπὸ τ. om. P.

Act. SS. § 43.

69. Ἦν δέ τις ἀσκητὴς [1] ἀδελφός [2], οὐ κατὰ Θεὸν δέ. Καὶ [3] τοῦτον [4] ὁρῶν [3] πολλάκις Παχούμιος, κατ' ἰδίαν παραλαμβάνει αὐτὸν καὶ [5] λέγει [6] αὐτῷ· « Ἀδελφέ, εἰ ὁ Κύριος λέγει [7] ὅτι· Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιήσω [8] τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με [9] • καὶ σὺ ἄκουσον [10] τοῦ λέγοντος [11] τοῦτο δι' ἐμοῦ [12], ἐπειδὴ ὁρῶ σε φθονούμενον ὑπὸ τοῦ ἐχθροῦ [13] ἀπολέσαι ὅλον τὸν κάματόν σου. Διὸ τέως ὅτε κρούουσιν ἡμέρας εἰς τὸ φαγεῖν [14] τοῖς ἀδελφοῖς [15], μὴ μείνῃς ἕως ὀψέ· ἀλλὰ ἀπελθὼν φάγε ὡς [16] πέντε κλάσματα καὶ τὸ διδόμενον αὐτοῖς ἑψητὸν [17] γεῦσαι· καὶ μὴ πάλιν [18] χορτασθῇς [19] διὰ τὴν κυβέρνησιν τοῦ σώματος εὔτονος ὤν [20]. Καὶ ἐκτὸς τῶν συνάξεων [21] τῶν ἀδελφῶν μὴ πολὺ εὔξῃ [22], ἕως ἂν [23] κυριεύσῃς [24] τοῦ δαίμονος [25] τῆς καυχήσεως, ὅτι ἐπιβουλεύει σοι. » Καὶ [26] ἀκούσας ἐκεῖνος πρὸς μὲν τὸ παρὸν ἐπείσθη [27]· ὕστερον δὲ πάλιν ἠκολούθησεν [28] τῇ πλάνῃ, λέγων ἐν ἑαυτῷ· « Ποῦ γέγραπται· μὴ νηστεύσῃς [29], μὴ εὔξῃ [30]; » Καὶ οὕτως [31] ἀπειθοῦντος αὐτοῦ καὶ μέλλοντος δαιμονισθῆναι, καλεῖ [32] Θεόδωρον ὁ ἀββᾶς [33] Παχούμιος καὶ λέγει αὐτῷ· « Οἶδας ὅτι σφόδρα λυποῦμαι διὰ [34] τὸν ἀδελφόν, ὅτι οὐκ ἀκούει μου [35]. Ἀπελθὼν οὖν [36] ἐπίσκεψαι αὐτὸν καὶ γνῶθι [37] τί ποιεῖ. » Καὶ ἀπελθὼν εὗρεν αὐτὸν συνεχῶς εὐχόμενον· καὶ ἀνακάμψας ἔδήλωσεν αὐτῷ [38]. Καὶ [39] πάλιν λέγει [40]· « Ὕπαγε· κώλυσον αὐτὸν εὔχεσθαι· ὅτε δὲ κωλύεις [41] αὐτόν, εὐθὺς ἔχει ἐν αὐτῷ

Propriae voluntatis amator,

Ioh. 6, 38.

69. — FPD *initio, dein* FPND. — [1] *ἐν τῇ μονῇ* PD. — [2] *ἀσκῶν μὲν add.* P, *ἀσκούμενος μὲν add.* D. — [3] *om.* D. — [4] *(καὶ τ.) τ. δὲ* P. — [5] *(παχ. - καὶ) ὁ πατὴρ ἡμῶν παραλαβὼν αὐτὸν (om.* D) *κατ' ἰδ.* PD. — [6] *ἔλεγεν* D. — [7] *(εἰ ὁ κ. λ.) λέγει ὁ κ.* PD. — [8] *ποιῶ* PD. — [9] *πατρός add.* PD. — [10] *(καὶ σὺ ἄκ.) ἄκ. οὖν καί σὺ.* D. — [11] *σοι add.* PD. — [12] *(τ. δι' ἐ.) δι' ἐ. τ.* PD. — [13] *καὶ θέλοντος add.* PD. — [14] *ἐλθὲ σὺν add.* P. *εἴσελθε σὺν add.* D. — [15] *καὶ add.* PD. — [16] *καὶ* D. — [17] *ἔψημα* P ; *καὶ τοῦ διδομένου ἐψήματος* D. — [18] *om.* P. — [19] *καὶ μὴ π. χ. om.* D. — [20] *(εὔ. ὢν) ἀλλ' ἵνα ἦ εὔτονος καὶ μὴ ἐμποδίζῃ εἰς τὸ ἔργον τοῦ θεοῦ καὶ ὀψὲ χορτάσθητι* P, *καὶ μὴ χορτασθῇς ἵνα εὔτονος ἦ καὶ μὴ ἐμποδιζόμενος εἰς τὸ ἔργον τοῦ θεοῦ ὀψὲ δὲ χορτάσθητι* D. — [21] *τῆς συνάξεως* PD. — [22] *μὴ πολλὰ εὔχῃ* PD. — [23] *Hinc rursus codex* N, *fol. 117.* — [24] *κατακυριεύσῃς* D. — [25] *τὸν δαίμονα Π.* — [26] *ταῦτα* D, *ταῦτα οὖν* PN. — [27] *πρὸς μὲν τὴν ὥραν ἐ.* PN, *ἐ. μὲν πρὸς ὥραν* D. — [28] *ἠκολούθει* D. — [29] *μὴ ἀσκήσῃς add.* PD. — [30] *μὴ ἀσκήσῃς add.* N ; *οὗτοι (γὰρ add.* D) *μὴ δυνάμενοι καὶ τοὺς δυναμένους κωλύουσιν add. Π.* — [31] *(καὶ οὕτ.) οὕτ. οὖν Π.* — [32] *τὸν add. Π.* — [33] *μέγας Π.* — [34] *om.* N ; *τόνδε add. Π.* — [35] *ἡμῶν Π.* — [36] *(ἀπ. οὖν) ἀλλὰ ἀπ.* N. — [37] *μάθε* N. — [38] *τῷ ὁσίῳ* D. — [39] *ὁ δὲ* D. — [40] *αὐτῷ add. Π.* — [41] *κωλύσεις Π.*

φαίνεσθαι [42] *ὁ δαίμων* [43]· *καὶ ἐὰν* [44] *ἴδῃς, τήρησον αὐτὸν* [45] *ἕως* [46] *ἔλθω* [47]. » Καὶ κρατηθεὶς [48] ἐκεῖνος τοῦ [49] μὴ εὔξασθαι, πρὸς Θεόδωρον ἔκραξεν λέγων [50]· « Ἀσεβῆ [51], κωλύεις με [52] εὔξασθαι; » Καὶ αὐτοῦ [53] καθημένου [54] τηρεῖν αὐτόν, ἀνέστη [55] ἔχων ξύλον μέγα [56], θέλων δοῦναι κατὰ τῆς κεφαλῆς αὐτοῦ [57]. Καὶ φυλάσσων [58] ἑαυτὸν ἐπετίμησεν αὐτῷ [59] ἐν [60] ὀνόματι [61] Κυρίου· καὶ [62] ἐπαύσατο. Καὶ λοιπὸν [63] ὁ δαιμονιζόμενός φησιν [64]· « Θέλεις γνῶναι ὅ, τι καὶ οἱ μεθ' ἡδονῆς ψάλλοντες ἐξ ἐμῆς ἐνεργείας [65] ψάλλουσιν; πρόσεχε ᾧ νῦν [66] ἀκούεις ψάλλοντι [67], καὶ ἔχει εἰπεῖν τὴν αὐτὴν λέξιν ἐννάκις [68]. » Ἦν δὲ [69] ψάλλων τις εἰς κελλίον [70] τὴν ἀρχὴν τῆς ᾠδῆς [71] Μωϋσέως [72]· « Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. » Καὶ τότε δοκιμάσας Θεόδωρος καὶ οὕτως ἀκούσας [73], ἐθαύμασεν καὶ [74] ἐφοβήθη, λογισάμενος διὰ [75] πόσης ἄρα νήψεως ἐκφύγῃ [76] τὰς ποικιλίας τῶν δαιμόνων ὁ ἄνθρωπος [77]. Καὶ εὐχομένου πολλάκις τοῦ ἀββᾶ Παχουμίου [78] περὶ [79] τοῦ κάμνοντος [80], ὁ οἰκτίρμων [81] Κύριος ἰάσατο αὐτόν. Καὶ οὕτως [82] ἐπὶ τὰ ἔμπροσθεν [83] σωφρονισθεὶς ἐφύλαξεν ἑαυτόν.

a daemone correptus,

Ex. 15, 1.

Pachomii precibus sanatur.

70. Καὶ ἐν μονῇ τινι λάκκος ἦν καθαρίζεσθαι χρείαν ἔχων [1]. Καὶ λαβὼν [2] ἀδελφοὺς κατέβη [3] καθαρίσαι αὐτόν. Γέρων δέ τις χρονίσας [4] κοσμικός, ἐλθὼν γενέσθαι μοναχός [5], ἰδὼν αὐτὸν [6]

Act.SS. § 44.

Senex

[42] *(ἐν αὐ. φ.) φανῆναι Π.* — [43] *ὁ ἐνεργῶν ἐν αὐτῷ add. Π.* — [44] *ὅταν Π.* — [45] *ἑαυτὸν* N, *ἑαυτόν σου* P. — [46] *ἕως δ' ἂν* P, *ἕως ἂν* ND. — [47] *ἀπελθὼν οὖν ὁ θεόδωρος ἐποίησεν οὕτως add. Π.* — [48] *κωλυθεὶς Π.* — [49] *om. Π.* — [50] *(πρ. θ. ἔ. λ.) ἔ. λ. πρ. θ.* PN, *ἔ. πρ. θ. λ.* D. — [51] *σὺ add. Π.* — [52] *(κ.με) με κ.* D ; *μὴ add.* P. — [53] *om.* ND. — [54] *(αὐ. κ.) κ. αὐ.* P. — [55] *ὥρμησε κατὰ τοῦ θεοδώρου* PN, *ὥρμ. κατ' αὐτοῦ* D. — [56] *(ἔχ. ξ. μ.) ἔχ. μ. ξ.* N, *μετὰ μεγάλου ξύλου* D. — [57] *θέλων πλῆξαι αὐτὸν κατὰ κεφ.* D. — [58] *(καὶ φ.) αὐτὸς δὲ φυλάξας Π.* — [59] *αὐτὸν* N, *ἐκεῖνον* D. — [60] *τῷ add. Π.* — [61] *τοῦ add.* D. — [62] *παραυτὰ add.* PN, *παραυτίκα add.* D. — [63] *om.* PN ; *(κ. λ.) εἶτα* D. — [64] *(ὁ δ. φ.) φ. ὁ δ. πρὸς αὐτόν* PN, *φ. οἷα δ. πρὸς θεόδωρον* D. — [65] *συνεργίας* N. — [66] *(ᾧ νῦν) ὃν Π.* — [67] *om.* ND, *ψάλλοντά τι* P. — [68] *(καὶ ἔχει - ἐνν.) ἔχ. γὰρ εἰπ. ἐνν. τὴν αὐ.λ.* PN, *ὅτι ἐνν. μέλλει τὴν αὐ. λ. εἰπ.* D. — [69] *γὰρ* D. — [70] *(ψ. τ. εἰς κ.) τ. ἐν κελλίῳ ψ. Π.* — [71] *(τὴν ἀ. τῆς ᾠ.) τὴν ᾠδὴν* N. — [72] *μωϋσέος* PN. — [73] *(καὶ τότε - ἀκ.) καὶ ἀκ. ὁ θ. Π.* — [74] *ἐθ. καὶ om.* P. — [75] *(λ. διὰ) λογιζόμενος καθ' ἑαυτὸν Π.* — [76] *χρήζομεν (εἰς τὸ add.* D) *ἐκφυγεῖν Π.* — [77] *(τῶν δ. ὁ ἄ.) τοῦ ἐχθροῦ Π.* — [78] *(καὶ εὐχ. - παχ.) ὁ δὲ πατὴρ ἡμῶν παχώμιος πολλὰ εὐξάμενος Π.* — [79] *ὑπὲρ* D. — [80] *ἀδελφοῦ add.* PN, *τούτου ἀδ. add.* D. — [81] *πανοικτίρμων* D. — [82] *om.* N. — [83] *(ἐπὶ τὰ ἔ.) τοῦ λοιποῦ Π.*

70. — FPND. — [1] Ἦν δὲ *(om.* N) *ἐν τῇ μονῇ λάκκος ὀφείλων καθαρισθῆναι Π.* — [2] *ὁ πατὴρ ἡμῶν (om.* N) *παχώμιος add. Π.* — [3] *κατῆλθε Π.* — [4] *om. Π.* — [5] *μονάζων Π.* — [6] *τὸν γέροντα Π.*

καταβάντα μετὰ τῶν ἀδελφῶν [7] εἰς τὸν λάκκον [8], μήπω γνοὺς τῶν
murmurans εἰς πάντα πιστῶν τὴν ἀνδρείαν [9], ἤρξατο γογγύζειν [10] λέγων [10*] ·
« Ὁ ἄνθρωπος οὗτος ἀνελέημων ἐστίν, λαβὼν [11] κάτω εἰς λάκκον
τοὺς υἱοὺς τῶν ἀνθρώπων νυκτὸς [10] ἀποθανεῖν. » Καὶ τῇ νυκτὶ
viso ἐκείνῃ [12] εἶδεν ἐν ὕπνοις ἑαυτὸν [13] ἐπάνω τοῦ λάκκου ἐκείνου [10]
καὶ τοὺς [14] κάτω ἐργαζομένους [15] καὶ ἐν μέσῳ αὐτῶν παρηλλαγ-
μένον [10] ἄνθρωπον ἐν δόξῃ [16] λέγοντα αὐτοῖς · « Λάβετε πνεῦμα
ὑπακοῆς καὶ δυνάμεως, » καὶ πρὸς αὐτὸν λέγοντα [17] · « Καί σου
admonetur. ἀξίως λάβε [18] πνεῦμα ἀπιστίας. » Καὶ ταραχθεὶς [19] τῷ ἐνυπνίῳ [20]
νυκτὸς ἦλθεν [21] ἐν μέσῳ [22] τῶν ἀδελφῶν ἐν τῇ συνάξει [23] ἐπὶ πρόσ-
ωπον πεσὼν [24] καὶ ἐξομολογούμενος [25] ταῦτα.

Act. SS. § 45. **71.** Καὶ ὄντων τῶν ἀδελφῶν σὺν αὐτῷ ἄλλοτε θρύα κοπτόντων,
καὶ μίαν τὴν μεταφορὰν αὐτῶν ποιούντων εἰς τὸ πλοῖον [1], ἐξαί-
Futuras φνης ἐν ἐκστάσει γέγονεν. Καὶ ὁρᾷ τοὺς ἀδελφοὺς τινὰς μὲν περι-
fratrum ἐρχομένους κύκλῳ πυρὶ φλογίζοντι εἰς αὐτοὺς καὶ ὑπερβῆναι μὴ
tribulationes δυναμένους, καὶ ἄλλους ἐπάνω ἀκανθίνων ξύλων ἀνυποδέτους
καὶ ἀπὸ σκολόπων ἐμπεπηγμένους καὶ μὴ ἔχοντας ποῦ ἐκβῆναι,
καὶ ἑτέρους ἐπὶ μέσου κρημνοῦ ὑψηλοῦ ἑστηκότας μήτε ἀνιέναι
in extasim δυναμένους μήτε βαλεῖν ἑαυτοὺς εἰς ποταμόν, καὶ τῶν κροκο-
raptus δείλων [2] τηρούντων αὐτοὺς καὶ ἁλλομένων κάτωθεν. Καὶ ἔτι στή-
κοντος αὐτοῦ καὶ θεωμένου, διαβαίνοντες ὁρῶσιν αὐτὸν οἱ ἀδελ-
φοί · καὶ τὰ φορτία ἀπορρίψαντες παρέστησαν αὐτῷ εἰς εὐχήν.
Καὶ μετὰ πολλὴν ὥραν εἰς ἑαυτὸν ἀνελθὼν κελεύει ψωμίζειν τοὺς
ἀδελφούς · ὀψὲ γὰρ ἦν ἤδη. Καὶ μετὰ τοῦτο εἶπεν συναχθῆναι αὐ-
τοὺς πρὸς αὐτόν. Καὶ λοιπὸν λέγοντος αὐτοῦ τὸ ὅραμα, ἔκλαιον
πάντες μετὰ φόβου πολλοῦ. Καὶ ἐρωτηθεὶς τί ἂν εἴη τοῦτο, λέγει
praevidet ὡς · « Αἰσθάνομαι ὅτι μετὰ τὴν τελευτήν μου ἔσται τοῦτο τοῖς
Pachomius. ἀδελφοῖς, ὥστε μὴ εὑρεῖν αὐτούς τινα τὸν δυνάμενον ὡς δεῖ ἀπὸ
τῶν θλίψεων παραμυθεῖσθαι αὐτοὺς ἐν Κυρίῳ. »

[7] (κατ. μετὰ τ. ἀδ.) μετὰ τ. ἀδ. κατ. *Π.* — [8] καὶ *add.* D. — [9] τὴν εἰς π. ἀνδρ. τῶν πιστ. *Π.* — [10] *om. Π.* — [10*] λέγειν *Π.* — [11] βαλὼν *Π.* — [12] τῇ ἐπιούσῃ νυκτὶ D. — [13] (ἐν ὕ. ἑ.) ἑ. ἐν (τοῖς *add.* D) ὕ. *Π.* — [14] (καὶ τ.) τ. δὲ D. — [15] ἱλαροὺς καὶ λαμπρούς (φαιδρούς D) *add. Π.* — [16] (ἄ. ἐν δ.) ἄ. ἔνδοξον P, ἔνδοξον ἄνδρα ND ; καὶ αἰδέσιμον ἑστῶτα καὶ *add. Π.* — [17] (καὶ πρ. αὐ. λ.) πρ. ἐκεῖνον δὲ D. — [18] (καί σου ἀ. λ.) λ. κ. σ. ἀ. D. — [19] (καὶ τ.) διαταραχθεὶς οὖν D. — [20] (τῷ ἐ.) ἐπὶ τοῦτο PN, ἐπὶ τῇ ὁράσει D. — [21] (ν. ἦ.) *om.* PN, ἔξυπνος ἐγένετο καὶ ἀπελθὼν D. — [22] τῇ συνάξει *add.* P, τῆς συνάξεως *add.* ND. — [23] (ἐν τ. σ.) *om.* PN, καὶ D. — [24] πεσὼν ἐπὶ πρόσ. *Π.* — [25] (καὶ ἐξ.) ἐξομολογεῖτο PN, ἐξομολογήσατο D.

71. — F. — [1] **λοιπὸν** F ; *correxi ex Π.* — [2] **κορκονίλων** F.

72. Ἀδελφὸς δέ τις ἀναχωρητὴς ἦλθεν ἰδεῖν αὐτόν. Καὶ αὐτῶν Act. SS. § 46.
καθημένων ὁμιλεῖν τὰ δέοντα, λέγει Θεοδώρῳ · « Ἑτοίμασον ἵνα
φάγῃ ὁ ἀδελφός. » Καὶ ἐλθὼν ἔξω ἐκάθισεν νομίζων ὅτι ἔλεγεν
αὐτῷ · « Ἄφες, λαλήσω τῷ ἀδελφῷ. » Καὶ αὐτοῦ μὴ ἑτοιμάσαντος,
λέγει ἄλλῳ οἰκονόμῳ διαβαίνοντι · κἀκεῖνος ἀνεχώρησεν μὴ
γνοὺς τί ἐστιν ὃ λέγει. Καὶ νηφάλεος ὢν ἐν τῷ πνεύματι, συνεὶς *Discretionis*
τοῦτο πειρασμὸν εἶναι, ἐγερθεὶς ἡτοίμασεν τῷ ἀδελφῷ · καὶ συμ- *et patientiae*
φαγὼν ἀπέλυσεν αὐτόν. Καὶ καλέσας Θεόδωρον λέγει αὐτῷ ·
« Ὁ πατήρ σου κατὰ σάρκα ἐάν τι σοι εἴπῃ, παραβλέπεις αὐτόν;
Διὰ τί οὐχ ἡτοίμασας τῷ ἀδελφῷ; » Καὶ λέγει αὐτῷ Θεόδωρος ·
« Ἐνόμιζον, πάτερ, ὅτι ἔλεγές μοι · Ἔξελθε, λαλήσω τῷ ἀνθρώ- *exemplum*
πῳ. » Καὶ τὸν ἄλλον [1] καλέσας, κἀκείνου τὸ αὐτὸ εἰπόντος [2], ἀνε- *praebet ;*
στέναξεν λέγων · « Πνεῦμα πονηρὸν ἐνεπόδισεν [3] τοῦτο, ὅπως λυ-
πηθῶμεν · ἀλλ' εὐλογητὸς Κύριος ὁ τὴν μακροθυμίαν καὶ τὴν σύν- Cf. Is. 57, 15.
εσιν [4] διδούς [5]. Καὶ ὑμεῖς μάθετε ἀπὸ τοῦ γενομένου τὸ [6] μακρο-
θυμεῖν. »

73. « Πολλάκις γὰρ ἤκουσα [1] τῶν πονηρῶν πνευμάτων λαλούν- *daemonum*
των τὰ ποικίλα αὐτῶν τὰ [2] κατὰ τῶν ἀνθρώπων [3] οὕτως [4]. Ὁ μὲν [5] *insidias*
λέγει · « Πρὸς ἄνθρωπον σκληρόν εἰμι [6], καὶ ὅταν ὑποβάλλω [7] αὐ- *narrat.*
τῷ λογισμόν, εὐθὺς στήκει εἰς εὐχήν · καὶ καιόμενος [8] ἐξέρχομαι. »
Καὶ ἄλλος δαίμων [9] λέγει · « Τινὰ ἔχω [10] εὐπειθῆ · καὶ εἴ τι συμ-
βουλεύω αὐτῷ, ἀκούει μου καὶ ποιεῖ · καὶ [11] σφόδρα ἀγαπᾷ αὐτόν. »
Τοιγαροῦν τηρήσατε ἑαυτοὺς [12] πάντοτε καὶ σφραγίζεσθε τῷ ὀνό-
ματι τοῦ Χριστοῦ, καὶ [13] κατ' αὐτῶν πολιτευόμενοι [14], οὐ δυνή-
σονται πρὸς ὑμᾶς [15]. »

74. Καὶ ἐξηγουμένου αὐτοῦ [1] πάλιν τοῖς ἀδελφοῖς τὰ συμφέρον- Act. SS. § 47.
τα [2], παραχρῆμα κατεσχέθη [3] ἡ καρδία αὐτοῦ [4] μὴ λαλεῖν · καὶ
συνιεὶς [5] τῷ πνεύματι τίνος ἕνεκεν γέγονεν [6] τοῦτο, ἐκάλεσεν τὸν

72. — F *initio, dein* FA. — [1] *Hic incipit alterum fragmentum codicis* A, *fol. 10.* — [2] (κἀκ. τὸ αὐ. εἰ.) καὶ τὴν ἀπολογίαν ἀκούσας A. — [3] ἐποίησε A. — [4] συνείδησιν A. — [5] δούς A. — [6] *om.* A.

73. — FA. — *Lemma : νγ', περὶ τῶν πνευμάτων τῶν πονηρῶν* A. — [1] πολλ. δὲ ἀκούων ὁ πατὴρ A. — [2] πανουργεύματα A. — [3] ἀδελφῶν A. — [4] *om.* A. — [5] γάρ φησι τῶν δαιμόνων *add.* A. — [6] παρατέταγμαι A. — [7] ὅτε ὑποβάλω A. — [8] ἐγὼ ἐκεῖθεν αὐτίκα *add.* A. — [9] (καὶ ἄλλ. δ.) ὁ δὲ A. — [10] (τ. ἔ.) ἔ. τ. A. — [11] διὰ τοῦτο *add.* A. — [12] ἀδελφοί *add.* A. — [13] οὕτω *add.* A. — [14] πολιτευομένους ὑμᾶς A. — [15] (πρ. ὑμ.) βλάψαι A.

74. — FA. — *Lemma : νδ', περὶ τοῦ στραφέντος εἰς τὰ ὀπίσω* A. — [1] τοῦ μακαρίου A. — [2] τὰ συμφ. τοῖς ἀδ. A. — [3] ἐκρατήθη A. — [4] τοῦ *add.* A. — [5] (καὶ σ.) σ. οὖν A. — [6] ἐγένετο A.

Absentem neglegentiae arguit;

οἰκονόμον τῆς μονῆς· καὶ ῥῆμα λέγει αὐτῷ· « Ἄπελθὼν εἰς τόδε τὸ κελλίον, μάθε τίς ἐστιν ὁ καταφρονῶν τῆς ἰδίας ψυχῆς· καὶ σὺ μάρτυς γενοῦ[7] πῶς ἐβλάβη οὗτος, πρῶτον μὲν ὅτι οὐκ ἦλθεν ἀκοῦσαι τὸν λόγον[8] τοῦ Θεοῦ[9], ἵνα δυναμωθῇ κατὰ τοῦ θλίβοντος αὐτὸν[10] καὶ ἕλκοντος αὐτόν[11]· δεύτερον δὲ ὅτι κἂν οὐκ ἦλθεν[12] ἀκοῦσαι, διὰ τί οὐκ εὔχεται ἐκεῖ, ἀλλὰ καθεύδει; Οὐκ οἶδα εἰ οὕτος γίνεται[13] μοναχός. » Καὶ οὕτως[14] ἐξῆλθεν ἐκ τῶν ἀδελφῶν[15] πρὸς τοὺς γονεῖς[16] αὐτοῦ, μὴ παραδοὺς ἑαυτὸν βα-

Luc. 14, 27. στάξαι[17] τὸν σταυρὸν κατὰ δύναμιν.

75. Καὶ[1] ἤρξατο αὐτοῖς παραβολὴν[2] λέγειν[3]· « Οἰκία[4] ἐν ᾗ ῥ'[5] τόποι εἰσὶν ἢ κελλία[6], ἐὰν ἀγοράσῃ ἀλλότριος ἓν κελλίον παρὰ τοῦ οἰκοδεσπότου, μὴ κωλύεται εἰς τὸ ἴδιον κἂν ᾖ ἐσώτερον εἰσ-

Gal. 5, 22. *neglegentiae pericula describit.* ελθεῖν[7]; Οὕτως καὶ ὁ πιστός, ἐὰν ᾖ ἔχων πάντας τοὺς καρποὺς τοῦ πνεύματος, καὶ τῇ ἀμελείᾳ[8] καὶ τῇ[9] ἐπιβουλῇ τοῦ ἐχθροῦ ἀλλοτριωθῇ ἑνὸς αὐτῶν, οὐκ[10] ἔσται εὐσθενὴς[11] ἐκείνου τοῦ καρποῦ πρὸς τὸν ἐχθρόν[12]. Ἴσως δὲ[13] ἐὰν μὴ νήψῃ, νικᾷ[14] αὐτὸν καὶ ἐν ἄλλῳ· καὶ οὕτως κυριεύει[15] τοῦ ἀνθρώπου ὅλου[9], μὴ ἔχοντος μηδὲν ἀγαθόν[16]. Ἐὰν[17] δὲ πάλιν ἑαυτὸν συνσφίγξῃ[18], οὐ μόνον κτήσεται τὸν ἕνα καρπὸν οὗ ποτε ἀπηλλοτριώθη[19], ἀλλὰ καὶ προκόψει σφόδρα. Οὐ γὰρ ἓν μέτρον ἐστὶν τῆς θεοσεβείας, ἀλλὰ πολλά· εἰσὶν γὰρ πλούσιοι ἄρχοντες[20] τῷ πνεύματι, καὶ εἰσὶν ὡς δεκάδαρχοι, πεντηκόνταρχοι, ἑκατόνταρχοι, χιλίαρχοι καὶ

Gen. 23, 6. βασιλεῖς τέλειοι, ὥσπερ[22] Ἀβραὰμ ἐλέχθη βασιλεὺς παρὰ Θεοῦ[23]·

I Tim. 6,15. οὐ μόνον γὰρ ἦν αὐτὸς βασιλεὺς ἁπλῶς, ἀλλ' ὅτι ὁ βασιλεὺς τῶν βασιλευόντων ἐν αὐτῷ ἦν[24] ὡς ἐπὶ θρόνου καθήμενος. »

Act. SS. § 48. **76.** Καὶ παρ' ἐπισκόπου ποτὲ ἄνθρωπος ἀπεστάλη πρὸς αὐτὸν[1]

[7] γίνου A. — [8] οὐκ ἠθέλησεν ἀκούειν τῶν λόγων A. — [9] μετὰ τῶν λοιπῶν add. A. — [10] om. A. — [11] εἰς τὸν κόσμον add. A. — [12] ἠθέλησεν A. — [13] γένηται A. — [14] κατὰ μικρὸν ἀθυμῶν add. A. — [15] (ἐκ τῶν ἀδ.) τῆς μονῆς A. — [16] συγγενεῖς A. — [17] βαστάσαι A.

75. — FA. — [1] τούτου γενομένου add. A. — [2] (αὐ. π.) παραβαλὴν αὐ. A. — [3] ὁ θεῖος παχώμιος add. A. — [4] ἐξ οἰκίας A. — [5] ἑκατὸν A. — [6] (εἰ. ἢ κ.) κελλίων εἰσίν A. — [7] (κἂν ἦ ἐσ. εἰσ.) εἰσ. κἂν ἦ ἐσ. A. — [8] ἑαυτοῦ add. A. — [9] om. A. — [10] ἔτι add. A. — [11] ἐγκρατὴς A. — [12] μαχόμενος add. A. — [13] γὰρ A. — [14] νικήσει A. — [15] κατακυριεύσει A. — [16] (μὴ ἔχ. μ. ἀγ.) μηδὲν ἐάσας αὐτὸν ἔχειν ἀγ. A. — [17] εἰ A. — [18] συσφίγξει A. — [19] (π. ἀπ.) ἀπ. π. A. — [20] (ἀλλὰ π. - ἄρχ.) ἀλλ' εἰσὶ πλ. τινες ἐν A. — [21] δέκαρχοι A. — [22] ὁ add. A. — [23] (β. π. θ.) π. θ. β. A. — [24] (ἀλλ' ὅτι - ἦν) ἀλλὰ βασιλευόντων ἦν βασιλεύς A.

76. — FA. — *Lemma: νε', περὶ τοῦ γέροντος Μαύου* A. — [1] (καὶ - αὐ.) ἀπεστάλη ποτὲ παρὰ ἐπ. πρὸς τὸν μέγαν ἄνθρωπος A.

Fure quodam emendato,

ἐν αἰτίᾳ κλοπῆς ἑτέρας[2] κρῖναι αὐτόν[3]· καὶ αὐτὸς ἦν μονάζων, τρίχινον φορῶν ἱμάτιον. Καὶ[4] γέρων[5] τις τῶν ἀδελφῶν ἄκακος καὶ καλὸς σφόδρα[6], Μαῦος[7] λεγόμενος, τῶν ἀρχαίων οἰκιακῶν, τῇ ὥρᾳ ἐκείνῃ[8] ὡς ἀσθενῶν καὶ λυπούμενος[9] οὐκ ἀπῆλθεν ἔξω μετὰ τῶν ἀδελφῶν θερίσαι θρύα[10]. Ἡ δὲ λύπη αὐτοῦ ἀπὸ τῆς ὀψὲ κατηχήσεως ἦν[11], ἀκούοντος[12] τοῦ πατρὸς ἡμῶν λαλοῦντος[13] λόγους ἀσφαλείας[14] πολλῆς πρὸς τὴν σωτηρίαν[15]. Καὶ αὐτὸς ξενιζόμενος ταῦτα, ἀγνοῶν τῶν ἐχθρῶν τὴν πανουργίαν κατὰ τῶν ψυχῶν[16], ἔλεγεν οὕτως, ἰδὼν ἑαυτὸν ἐστηριγμένον, ὅτι[17]· « Τί

Mavum senem

οὖν τοσαύτας ἀσφαλείας παραδίδωσιν ἡμῖν ὁ γέρων[18]; μέλλομεν ἄρα μόνον[19] καθ' ὥραν πίπτειν[20]; » Καὶ δι' ἣν[21] αἰτίαν λυπούμενος ἐκοιμᾶτο ἔσω εἰς τὰς καλύβας. Καὶ[19] ἰδὼν τοιγαροῦν[22] ἐκεῖνον[23] ἐλθόντα, λέγει τῷ οἰκονόμῳ Θεοδώρῳ· « Φρόντισον τοῦ ἀνθρώπου[24], ἕως οὗ[19] ἔλθῃ ὁ πατὴρ ἡμῶν ἔσω[19]. Βλέπω γὰρ αὐτὸν μέγαν καὶ εὐλαβῆ[25]. » Καὶ ἐλθόντος[26] Παχουμίου ἔσω μετὰ τῶν ἀδελφῶν, ἀπήντησεν[27] αὐτῷ ἐκεῖνος καὶ ἄλλοι σὺν αὐτῷ[28]. Καὶ τῇ διακρίσει τοῦ πνεύματος διωρθώσατο αὐτὸν μετὰ τὴν ὁμολογίαν τοῦ σφάλματος[29], λέγων τὸ γεγραμμένον[30]·

Iac. 3, 2. « Πολλὰ γὰρ[19] πταίομεν ἅπαντες· ἀλλ' εὐξώμεθα[31] τῷ ἐλεήμονι Θεῷ, καὶ ἰάσεται ἡμᾶς· καὶ τηρήσωμεν[32] ἑαυτοὺς ἐπὶ[33] τὰ ἔμπροσθεν. » Καὶ ἀκούων ὁ γέρων Μαῦος ταῦτα[34], ἐθαύμασεν τὴν διάκρισιν αὐτοῦ[35] τῷ πνεύματι· καὶ ὡς ὀψὲ ἐλάλει[36], ἐπείσθη καὶ ἐδόξασεν τὸν Θεόν.

aedificat et solatur.

Act. SS. § 49. **77.** Καὶ μεθ' ἡμέρας[1] καλεῖ Θεόδωρον[2] καὶ λέγει αὐτῷ ὅτι[3]·

[2] om. A. — [3] (κρ. αὐτόν) ὥστε παρ' αὐτοῦ κριθῆναι A. — [4] om. A. — [5] δέ add. A. — [6] λίαν A. — [7] Μαῦγος Π. — [8] κατ' ἐκείνην τὴν ὥραν A. — [9] ὡς ἀσθ. καὶ λυπ. om. A. — [10] ὡς ἀσθ. καὶ λυπ. add. A. — [11] ἀπὸ τῆς ἑσπερινῆς ἐγένετο κατ. A. — [12] ἀκούων γὰρ A. — [13] παχωμίου λέγοντος A. — [14] (λ. ἀ.) ἀ. λ. A. — [15] περὶ τῆς τῶν ψυχῶν σωτηρίας A. — [16] καὶ αὐτὸς εἰδὼς ἑαυτὸν ἐστηριγμένον ἀγνοῶν τε τὴν τῶν ἐ. παν. καθ' ἡμῶν καὶ ξενιζόμενος ἐπὶ τούτοις A. — [17] (ἰδὼν-ὅτι) om. A. — [18] τί δήποτε τοσοῦτον ἡμᾶς ὁ γέρ. ἀσφαλίζεται καθ' ἑκάστην A. — [19] om. A. — [20] (καθ' ὥ. π.) π. καθ' ὥ. A. — [21] (καὶ δι' ἣν) διὰ ταύτην οὖν τὴν A. — [22] τοίνυν A. — [23] τὸν τριχινοφόρον add. A. — [24] τῷ ἀνθρώπῳ A. — [25] εὐλαβὴν F. — [26] τοῦ ἀββᾶ add. A. — [27] ὑπήντησεν A. — [28] (καὶ ἄ. σὺν αὐ.) ὁ ἄνθρωπος A. — [29] καὶ μετὰ τὴν ὁμ. τοῦ σφ. αὐτοῦ διωρθ. τοῦτον τῇ διακρ. τοῦ πν. A. — [30] (λέγ. τὸ γ.) εἰπών A. — [31] ἀλλὰ εὐχώμεθα A. — [32] (καὶ τ.) τ. οὖν A. — [33] εἰς A. — [34] (καὶ ἀκ. - τ.) ὁ δὲ γέρ. μαῦος ἀκ. τ. λεγόμενα πρὸς τὸν ἄνθρωπον A. — [35] τοῦ ἁγίου πατρὸς A. — [36] (ὡς ὀψὲ ἐλ.) περὶ ὧν ἑσπέρας ἐλ. συνεὶς A.

77. — FA. — *Lemma: νς', περὶ τῆς κατηχήσεως Θεοδώρου* A. — [1] τινὰς add. A. — [2] ὁ παχώμιος add. A. — [3] om. A.

Seniores, « Ὅτε ἐξέρχονται [4] οἱ ἀδελφοὶ ὀψέ [5], παράδος τὴν διακονίαν ἄλλῳ, καὶ δεῦρο, ὅπου συναγόμεθα εἰς κατήχησιν κατὰ τὴν κυριακήν [6]. » Ἐλθόντι δὲ εἰς κατήχησιν αὐτῷ [7], λέγει αὐτῷ· « Μέσον τῶν ἀδελφῶν στῆκε ὧδε [8] καὶ λάλησον ἡμῖν τὸν λόγον τοῦ Κυρίου [9] « κατὰ τὸ ἔθος αὐτοῦ [10]. Καὶ ὑπακούσας αὐτοῦ [11] μὴ θέλων ἔστη· καὶ ἤρξατο λαλεῖν ᾗ ὁ Κύριος ἔδωκεν αὐτῷ, ἑστώτων [12] πάντων καὶ αὐτοῦ [13] τοῦ ἀββᾶ Παχουμίου [14] ἀκούοντος ὡς ἑνὸς [15] αὐτῶν. Καί

qui Theodorum audire recusabant, τινες [16] ἀγανακτήσαντες ὑπερηφανίᾳ ἀνέκαμψαν εἰς [17] τὰς σκηνὰς αὐτῶν τοῦ μὴ ἀκούειν αὐτοῦ [13]· ἦν δὲ [18] τῇ μὲν ἀνθρωπίνῃ ἡλικίᾳ νεώτερος ὁ στήκων [19]. Καὶ μετὰ [20] τὴν κατήχησιν καὶ τὴν εὐχὴν ἐκαθέσθη [21] ὡς ἔθος αὐτῷ καὶ ἤρξατο λαλεῖν ταῦτα

reprehendit. Παχούμιος [22]· « Ἠκούσατε τὰ εἰρημένα· τίνος ἐστίν; μὴ τοῦ λαλοῦντος ἢ τοῦ Κυρίου [9]; Οἱ δὲ ἀγανακτήσαντες τίνι λογισμῷ ἐποίησαν τοῦτο [23]; ὅτι νεώτερός ἐστιν; Εὑρίσκομεν παιδίον καὶ

Matth.18,5. περὶ αὐτοῦ λέγοντος τοῦ Κυρίου [24]· « Ὃς ἐὰν δέξηται τοιοῦτον παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. » Οὐ παρήμην [25] στήκων καὶ ἀκούων ὡς εἷς ἐξ ὑμῶν; Λέγω δὲ [26] ὑμῖν· οὐ σχήματι, ἀλλ'

I Tim. 4, 9. ἐν ὅλῃ καρδίᾳ ἤκουον [27], ὡς ὁ διψῶν ὕδωρ. Καὶ γὰρ [26] πάσης ἀποδοχῆς ἄξιος ὁ λόγος τοῦ Κυρίου [9], ὡς γέγραπται. Ταλαίπωροι δὲ οἱ ἀνακάμψαντες [28], ἑαυτοὺς ἀπαλλοτριοῦντες [29] τῶν οἰκτιρμῶν τοῦ Θεοῦ. Καὶ ἐὰν [30] μὴ μετανοήσωσιν ἀπὸ ταύτης τῆς ὑπερηφα-

Ps. 33, 18. νίας, δύσκολον αὐτοῖς τὸ ζῆν. Ἐγγὺς γὰρ [31] τοῖς συντετριμμένοις τὴν καρδίαν [32] καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. »

Act. SS. § 50. **78.** Καὶ [1] μετὰ ταῦτα ἔταξεν αὐτὸν [2] εἰς Ταβεννήσιν οἰκονόμον

Theodorum oeconomum instituit. τῆς μονῆς [3], καταλαβόμενος αὐτὸν ἱκανὸν εἶναι τῷ πνεύματι. Ἦν δὲ ὡς λ' ἐτῶν [4]. Αὐτὸς δὲ ὁ ἀββᾶς [1] Παχούμιος ἔμεινεν [5] ἐν τῇ μεγάλῃ [1] μονῇ Πσοβαῦ λεγομένῃ [6], ὅπου [7] ἡ οἰκονομία πάντων τῶν

[4] τῆς τραπέζης add. A. — [5] (οἱ ἀδ. ὀ.) ὀ. οἱ ἀδ. A. — [6] κατὰ τὴν κυρ. εἰς κατ. A. — [7] εἰς κατ. αὐ. om. A. — [8] στῆθι ὧδε μέσον τ. ἀδ. A. — [9] θεοῦ A. — [10] ἀντ' ἐμοῦ A. — [11] ἐκεῖνος καίπερ A. — [12] δὲ add. A. — [13] om. A. — [14] συνεστῶτος καὶ add. A. — [15] ἐξ add. A. — [16] τῶν ἀδελφῶν add. A. — [17] (ὑπ. ἀν. εἰς) ἀν. ἐν ὑπ. πρὸς A. — [18] ὁ θεόδωρος add. A. — [19] (ὁ στ.) τῷ δὲ πνεύματι κατηρτισμένος A. — [20] (καὶ μ.) μ. δὲ A. — [21] παχώμιος add. A. — [22] (λ. τ. π.) λέγειν A. — [23] (ἐ. τ.) τ. ἐ. A. — [24] εὑρ. καὶ περὶ παιδίου λέγοντα τὸν κύριον A. — [25] (οὐ π.) μὴ ἐγὼ οὐκ ἤμην A. — [26] om. A. — [27] ἤκουσα A. — [28] ὡς add. A. — [29] ἀλλοτριώσαντες A. — [30] εἰ A. — [31] κύριος add. A. — [32] τῇ καρδία A.

78. — FA. — *Lemma : νζ', περὶ Θεοδώρου* A — [1] om. A. — [2] θεόδωρον A. — [3] (εἰς ταβ. οἰκ. τ. μον.) οἰκ. τῆς ἐν ταβεννήσει μον. A. — [4] (ὡς λ' ἐ.) ὡσεὶ χρόνων τριάκοντα A. — [5] ἔμενεν A. — [6] (ποβ. λεγ.) πρόου λεγ. F, τῇ λεγ. παβαῦ A. — [7] ἦν add. A.

μοναστηρίων. Θεόδωρος δὲ ταχθεὶς ἐκεῖ, ὡς μὴ ταχθεὶς ἦν· καθότι οὐκ εἶχεν θέλημα ἴδιον [8]. Ἐπύρωσεν γὰρ αὐτὸν ὁ λόγος [9] τοῦ Ps. 104, 19. Θεοῦ καὶ ἐστήριξεν [10] τὰ ἄνω φρονεῖν. Πᾶσαν [11] δὲ τὴν [8] σπουδὴν Col. 3, 2. εἶχεν τὸν Θεὸν ἀγαπᾶν ἐν ὅλῃ καρδίᾳ κατὰ τὴν ἐντολήν. Καὶ Mt. 22, 37. προκόπτων ὠφέλει τοὺς ἀδελφούς· εἶχεν γὰρ [12] καὶ ὁ λόγος αὐτοῦ χάριν σφόδρα [8].

Praestantiorum discipulorum nomina et laudes. **79.** [1] Καὶ [2] Κορνήλιος καὶ Ψενταήσιος [3] καὶ Σούρους [4] καὶ Ψόης [5] καὶ Πεκύσσιος [6] καὶ Παχούμιος ἄλλος καὶ Παῦλος καὶ Ἰωάννης καὶ Παφνούθης [7] καὶ ἄλλοι πολλοί [8], οὓς καθ' ἕκαστον ὀνομάσαι περισσόν, οὗτοι πάντες δυνατοὶ τῷ πνεύματι ἦσαν καὶ ἀληθῶς ἀθληταὶ τοῦ Χριστοῦ [9]. Καὶ τούτων εἶδεν [10] ἑκάστου τὸν βίον καὶ [11] ἔταξεν τὸ πλεῖστον [12] αὐτῶν εἰς τὰς μονὰς ἡγουμένους καὶ πατέρας. Ὅσοι [13] δὲ μετ' αὐτοὺς [14] ἐν δευτέρᾳ τάξει τυγχάνοντες [15] ἠγάπησαν τὸν Θεόν — καὶ εἷς τούτων [16] ἀββᾶ Τιθόης, γενόμενος τῶν παρθένων [17] πατὴρ ἅγιος καὶ τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ ὡς στέαρ πεπιαμμένος [18] καὶ χρηστός, ὡς καὶ [19] προειρήκαμεν τὸν πατέρα Ἰωάννην — τινὲς καὶ [20] τούτων οὐ μόνον ἀσκηταὶ ἦσαν [21], μήτε ὑγιαίνοντες [23] γευσάμενοι οἴνου μήτε ἐν τῇ νόσῳ, ὡς ἑβδομηκονταετεῖς μοναχοί· ἀλλὰ καὶ ἄλλοι οὐ συνεχώρησαν τοῖς αὐτοὺς [22] ἀξιοῦσιν ὅπως ἀνενέγκωσιν αὐτοὺς τῇ νόσῳ ὀχλουμένους ἀπὸ τοῦ καθισματίου αὐτῶν θεῖναι ἐπὶ κραβάττου τῇ ὥρᾳ τοῦ θανάτου πρὸς τὸ δυνηθῆναι κἂν καλῶς ἐνταφιασθῆναι αὐτούς [23]· ἀλλ' ἔμενον [24], καὶ ἐν αὐτῷ [25] συγκεκαμμένοι ἀπέθα-

[8] om. A. — [9] φόβος A. — [10] ἐτήρησε A. — [11] bis F. — [12] σφόδρα add. A.

79. — FA. — *Lemma : νη', περὶ τῶν λοιπῶν ἀδελφῶν* A. — [1] ἦσαν δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἀδελφῶν δυνατοὶ τῷ πνεύματι καὶ ὡς ἀληθῶς ἀθληταὶ τοῦ χριστοῦ add. A. — [2] ὅ τε A. — [3] ψενταῆσης A ; *aliter quaedam ex his nominibus scribuntur supra, cap. 25, 26, et infra, cap. 106; cf. etiam Π.* — [4] καὶ σ. om. A. — [5] καὶ ψ. om. A. — [6] καὶ π. om. A. — [7] παφνούτιος A. — [8] (ἄ. π.) τινες ἕτεροι A. — [9] (οὗτοι - χρ.) om. A. — [10] (καὶ τ. εἶ.) τ. οὖν A. — [11] εἰδὼς ὁ μέγας παχώμιος ὀρθὸν ὄντα A. — [12] τοὺς πλείους A. — [13] καὶ πολλοὶ A. — [14] ὡς add. A. — [15] τυγχάνοντας A. — [16] (κ. εἷς τ.) ἀφ' ὧν εἷς ἐστι καὶ A. — [17] (γ. τ. π.) τ. π. γ. A. — [18] (ὡς στ. π.) π. ὡς στ. A. — [19] om. A. — [20] δὲ ἐκ A. — [21] (ἀ. ἦ.) ἦ. ἀ. A. — [22] αὐτοῖς F. — [23] (μήτε ὑγ. - ἐνταφ. αὐτ.) μὴ γευσ. οἴνου ἐν ὑγεία ποτὲ ἀλλὰ μηδὲ ἐν νόσῳ ὡς ἐπὶ ἑβδομήκοντα ἔτη μοναχοὶ τυγχάνοντες· ἄλλοι δὲ τῇ νόσῳ ὀχλούμενοι καὶ τῇ ὥρᾳ τοῦ θανάτου πρός τινων ἀξιούμενοι καὶ παραβιαζόμενοι ἀνενεχθῆναι τοῦ καθισμ. αὐτῶν καὶ ἐπὶ κραβαττίου τεθῆναι πρὸς τὸ καλῶς ἐνταφ. οὐ κατένευσαν οὐδὲ συνεχώρησαν αὐτοῖς A. — [24] ἐκεῖ add. A. — [25] (ἐν αὐ.) οὕτω A.

νον [26] τῷ καθισματίῳ [27]. Εἰ μὴ δὲ [28] ὅτι πολύς ἐστιν ὁ λόγος, ἐπεὶ οὐκ ἦν βλαβερὸν [29] καὶ αὐτῶν μνημονεῦσαι [30].

Petronii

80. Ἦν δέ τις Πετρώνιος ὀνόματι [1], οὐ μόνον ἀφ' οὗ ἐξέβη [2] τῆς οἰκίας τῶν γονέων [3] οὐχ [4] ὑπέστρεψεν ἐκεῖ, ἕως [5] παρέθετο τὴν ψυχὴν τῷ Κυρίῳ, ἀλλὰ καὶ ζῶν [2] ἔπεισεν πάντας [6] τοὺς τῆς οἰκίας αὐτοῦ, πατέρα, ἀδελφούς, ἀδελφὰς καὶ συγγενεῖς [7] καὶ δούλους [8] ἐλθεῖν εἰς τοὺς ἀδελφούς [9]. Καὶ ἐλθόντες ἐκοιμήθησαν καλῶς [10]. Καὶ ὅσα [11] εἶχεν ὁ πατὴρ αὐτοῦ, Ψενέβους λεγόμενος, — οὐκ οἴδαμεν πῶς κἀκεῖνον ἐπαινέσωμεν [12] — ἤνεγκεν ἐρχόμενος, βόας, πρόβατα καὶ σκεύη παντοῖα [13]· καὶ ἐχαρίσατο αὐτὰ εἰς τὸ κοινόβιον [14] διὰ τοῦ πατρὸς ἡμῶν Παχουμίου. Καὶ [15] μονὴν αὐτῷ [16] Τηβεῦ λεγομένην ἔδωκεν [17]· καὶ ἦσαν ἐκεῖ οἱ [18] ἀδελφοὶ κατὰ τὸν θεσμὸν τῶν ἄλλων μονῶν.

eiusque patris merita.

monasterium

Act.SS. § 51. *Ab episcopo invitatus*

81. Καὶ πρὸ ταύτης τῆς μονῆς — τάξιν γὰρ ἔχουσιν [1] — ἐπίσκοπός [2] τις τῆς πόλεως Πάνος, Ἄρειος μὲν λεγόμενος, ὀρθόδοξος δὲ τῇ [3] πίστει [3] καὶ ἀσκητὴς καὶ [4] ὑπηρέτης Χριστοῦ, ὀσμησάμενος [5] τὴν εὐωδίαν τῆς κοινωνίας τῶν ἀδελφῶν, μετεπέμψατο πρὸς ἑαυτὸν τὸν ἀββᾶν Παχούμιον καὶ ἠξίωσεν αὐτὸν διὰ λόγων [6] Θεοῦ ποιῆσαι περὶ τὴν πόλιν αὐτοῦ [3] μοναστήρια. Καὶ ἐλθόντος [7] αὐτοῦ μετὰ τῶν ἀδελφῶν, ἔδωκεν αὐτοῖς τόπον· καὶ οὕτως ᾠκοδόμησαν [8] τὸν φραγμόν. Καί τινες [9] τὴν οἰκονομίαν τοῦ Θεοῦ ἀγνοοῦντες ἤρχοντο τῷ [3] φθόνῳ καὶ ὑπέστρεφον [10] νυκτὸς τὸ οἰκοδομούμενον· καὶ [11] τῇ μακροθυμίᾳ τοῦ ἁγίου πατρὸς ἡμῶν [12], παρὰ Κυρίου συμβιβασθέντες δι' ἀγγέλου ἑστηκότος καὶ ὡς δακτύλῳ τὸ τεῖχος περιχαράσσοντος ἐν πυρί [13], ᾠκοδομήθη τὸ μοναστήριον [14].

I Tim. 1, 4. *apud Panopolim exstruit Pachomius.*

[26] ἀπέθνησκον A. — [27] τῶ κ. om. A. — [28] (εἰ μὴ δὲ) καὶ εἰ μὴ A. — [29] ἐπεὶ οὐκ ἦν β. om. A. — [30] καὶ αὐτῶν ἂν κατὰ μέρος ἐμνημονεύσαμεν A.

80. — FA. — [1] (π. ὀ.) ὁ. π. ὃς A. — [2] om. A. — [3] ἐξῆλθεν add. A. — [4] οὐκέτι A. — [5] οὗ add. A. — [6] (ἕ. π.) π. ἕ. A. — [7] (καὶ σ.) σ. τε A. — [8] ἀποτάξασθαι τῷ βίῳ καὶ add. A. — [9] πρὸς τ. ἀδ. ἐλθ. A. — [10] (ἐ. κ.) κ. ἐ. A. — [11] (καὶ ὅ.) ὅ. δὲ A. — [12] (οὐκ οἶδ. - ἐπ.) om. A. — [13] βόας καὶ πρόβ. κ. σκ. π. πάντα μεθ' ἑαυτοῦ ἐρχόμ. ἤνεγκε A. — [14] (ἐχ. αὐ. εἰς τὸ κ.) εἰς τὸ κ. ἐχ. A. — [15] ἔτι δὲ καὶ τὴν A. — [16] αὐτοῦ A. — [17] (τηβ. λ. ἔ.) δέδωκε τβοῦ λεγομένη A. — [18] (καὶ ἦ. ἐ. οἱ) ἐτάχθησαν οὖν κἀκεῖ A.

81. — FA. — *Lemma: νθ', περὶ τῆς ἕκτης μονῆς, ἐν πόλει Πάνος* A. — [1] (καὶ πρὸ - ἔχ.) om. A. *Haec verba, quae in solo codice* F *leguntur, ab amanuensi perperam cum superiore capitulo coniuncta sunt.* — [2] δὲ add. F. — [3] om. A. — [4] ὡς A. — [5] ὀσφρανθείς A. — [6] (διὰ λ.) ἐν λόγῳ A. — [7] (καὶ ἐ.) ἐ. οὖν A. — [8] ᾠκοδόμουν A. — [9] (καί τ.) τ. δὲ A. — [10] κατέστρεφον A. — [11] ἀλλὰ A. — [12] (π. ἡ.) γέροντος A. — [13] (δι' ἀγγ. - πυρί) om. A. — [14] ἄγγελον γὰρ ἔδοξέ τισιν ὀφθῆναι ὡς δακτύλῳ τινὶ τὸ τοιοῦτον τεῖχος περιχαράσσων ἐν θείῳ πυρί add. A.

Καὶ ἔταξεν ἐκεῖ τινα [15] οἰκονόμον Σαμουὴλ λεγόμενον, ἄνθρωπον ἱλαρὸν τῷ πνεύματι καὶ ἐγκρατῆ [16], καὶ ἄλλους σὺν αὐτῷ ἱκανούς, καθότι ἐγγὺς πόλεως ἦσαν, καὶ αὐτοῦ παραμένοντος αὐτοῖς χρόνον [17] ἕως ἑδραιωθῶσιν.

Eiusdem urbis philosophi

a Cornelio

82. Φιλόσοφος δέ τις τῆς πόλεως [1] ἦλθεν εἰς τὸ μοναστήριον δοκιμάσαι αὐτοὺς ὁποίους εἶναι ἀνθρώπους [2]· καὶ λέγει· « Καλέσατέ μοι τὸν πατέρα ὑμῶν [3], λαλήσω αὐτῷ. » Καὶ ἀκούσας Παχούμιος [4] ἔπεμψεν πρὸς αὐτὸν [5] Κορνήλιον ἀπολογήσασθαι αὐτῷ [6]. Καὶ [7] λέγει αὐτῷ ὁ φιλόσοφος [8]· « Φημίζεσθε ὡς μοναχοὶ [9] καὶ [10] συνετοὶ καὶ σοφὰ λαλοῦντες. Ἐλαίας ποτὲ τίς φέρων ἀλλαχόθεν ἐν τῇ Πάνος πιπράσκει, ὡς τῆς πόλεως [11] τὸ εἶδος πλέον ἐχούσης; » Ἀπεκρίθη αὐτῷ Κορνήλιος λέγων [10]· « Ἠκούσθη δέ ποτε ὅτι αἱ [10] ἐλαῖαι τῆς Πάνος ποιοῦσιν ἔλαιον, οὐχ [12] ἁλίζονται δέ [13]. Ἡμεῖς ἐσμεν τὸ ἅλας [14]· ἤλθομεν τοῦ [10] ἁλίσαι ὑμᾶς. » Καὶ [15] ἀκούσας ὑπέστρεψεν καὶ ἀπήγγειλεν τοῖς φίλοις [16]. Καὶ ἄλλος λέγει [17]· « Ἕως τούτου ἐστὶν τὸ ζήτημά σου πρὸς αὐτούς [18]; Ἐγὼ ἀπελθὼν [19] δοκιμάσω αὐτοὺς ἀπὸ τῶν γραφῶν [20] εἰ νοοῦσιν. » [21] Καλεῖ Θεόδωρον ὁ ἀββᾶς Παχούμιος [22] καὶ πέμπει ἐκείνῳ ἐλθόντι [23]· καὶ ὡς [24] εἴρηκεν ἡμῖν τοῦτο [25] Θεόδωρος ὅτι· « Πεμπόμενος ἔξω [26] ἐφοβούμην πῶς ἀπολογήσομαι [27] φιλοσόφῳ· Κορνήλιος γὰρ σοφός ἐστι πλέον ἐμοῦ. » Καὶ οὕτως ἐκεῖνος ἐλάλησεν αὐτῷ ζήτημα, ἀλλ' οὐ δυσεύρητον [28], λέγων· « Τίς ὁ [29] μὴ γεννηθεὶς ἀπέθανεν; καὶ τίς γεννηθεὶς οὐκ ἀπέθανεν [30]; καὶ τίς ἀποθανὼν οὐκ ἐπώζεσεν; » Καὶ εἰπόντος [31] τοῦ Θεοδώρου, τὸν μὲν ἀποθανόντα μὴ γεννηθέντα

Et Theodoro

confunduntur.

[15] ἔτι δὲ κἀκεῖ ὁ πατὴρ ἡμῶν A. — [16] (ἱ. τῷ πν. καὶ ἐ.) ἐ. καὶ ἱ. τῷ πν. A. — [17] καθ' ὃ δὲ τῆς πόλ. ἐγγὺς ἦσαν καὶ αὐτὸς παρέμενεν αὐτοῖς χρ. τινά A.

82. — FA. — *Lemma: ξ', περὶ τοῦ φιλοσόφου* A. — [1] ταύτης add. A. — [2] (ὁπ. εἶ. ἀ.) ὁποῖοί τινες εἶεν A. — [3] ὅπως add. A. — [4] ὁ μέγας A. — [5] πρ. αὐ. om. A. — [6] πρὸς αὐτόν A. — [7] ὁ δὲ A. — [8] ὁ φ. om. A. — [9] μονάζοντες A. — [10] om. A. — [11] τοῦτο add. A. — [12] οὐκ F, οὐχί A. — [13] (ἁ. δὲ) ἀλλ' ἢ ἁ. A. — [14] καὶ add. A. — [15] ταῦτα ἐκεῖνος A. — [16] καὶ τοῖς φιλοσόφοις ἀνήγγειλεν A. — [17] (καὶ ἄ. λ.) λ. δέ τις αὐτῶν A. — [18] τοὺς μοναχούς A. — [19] (ἐ. ἀ.) ἀ. κἀγὼ A. — [20] αὐτῶν add. A. — [21] καὶ ἀπελθόντος add. A. — [22] (ἀ. π.) μέγας A. — [23] (ἐ. ἐ.) πρὸς αὐτόν A. — [24] (καὶ ὡς) καθὼς δὲ A. — [25] (ἡ. τ.) ἐν ὑστέρῳ A. — [26] πρὸς αὐτὸν A. — [27] τῶ add. A. — [28] (καὶ οὗτ. - δυσ.) τότε δ' οὖν ἠρώτησεν ὁ φιλόσοφος ζήτημα δυσερμήνευτον A. — [29] om. A. — [30] καὶ τίς γ. οὐκ ἀπ. *in marg. inf.* F. — [31] (καὶ εἰπόντος - οὖσαν) καὶ θεοδ. ἀποκρινομένου καὶ εἰπ. τὸν μὲν ἀδὰμ εἶναι τὸν δὲ πάλιν ἐνὼχ τὴν δὲ μὴ ἐποζ. γυν.

Gen. 5, 24; 19, 26. τὸν Ἀδάμ, καὶ τὸν μὴ ἀποθανόντα γεννηθέντα τὸν Ἐνώχ, καὶ τὴν γυναῖκα τοῦ Λὼτ μὴ ἐποζέσασαν, στήλην ἁλὸς οὖσαν [31], ἀποδεξάμενος ἐκεῖνος [32] ἀνεχώρησεν [33]. — Ἦν δὲ [34] ἐν ταύτῃ τῇ μονῇ
Cf. Iob 2, 7. ἅγιος καὶ [35] δυνατὸς τῷ πνεύματι, καὶ τῷ σώματι ὡς [36] Ἰὼβ ἐπυρώθη [35], Ταλμὰς [37] λεγόμενος [38], τῇ ἀσκήσει καὶ τῇ ἀγρυπνίᾳ ἀνένδοτος [35] ἕως θανάτου.

Act. SS. §52. *Alia quattuor monasteria suscipit Pachomius.*

83. Ἔλαβεν δὲ καὶ ἄλλα μοναστήρια [1] · καὶ πρὸ τούτου τὸ [2] λεγόμενον Ταση [3], καὶ μετὰ τοῦτο καὶ αὐτὸ <τὸ> τῆς Πανός [4], καὶ Τηβεῦ [5] καὶ Τισμηναι [6], καὶ μετὰ χρόνον τὸ [7] ἄλλο τὸ λεγόμενον Πιχνουμ [8] ἄνω [7] περὶ [9] Λατῶν · ταῦτα ἐποίησεν ὁ μακάριος Παχούμιος [10]. Καὶ ᾠκησαν ἐκεῖ οἱ [7] ἀδελφοί, ὁμοίως ταχθέντων πατέρων αὐτοῖς [11]. Καὶ χρείας σωματικὰς ἔδωκεν αὐτοῖς [12] · ἦν [13] γὰρ μεγάλη μονὴ ἡ [14] Παβαῦ, ὅπου ὁ οἰκονόμος ἔχει πᾶσαν χρείαν κατὰ τοὺς μοναχούς [15] · καὶ οὕτως [16] κατὰ καιρὸν διοικεῖ αὐτοὺς [17] τῇ προνοίᾳ τοῦ Θεοῦ ὁ οἰκονόμος, καὶ τὸ ἔργον αὐτῶν λαμβάνων [18]. Καὶ δὶς [19] τοῦ ἐνιαυτοῦ παρεγίνοντο [20] εἰς τὴν μεγάλην μονήν · τῷ τε πάσχα [21] οἱ τασσόμενοι, ὅπου [22] ὁ πατὴρ ἡμῶν Παχούμιος, καὶ ἐποίουν τὸ πάσχα [23] μετ' ἀλλήλων ἑορτάζοντες λόγοις τοῦ Θεοῦ [24] καὶ ἀγάπῃ · καὶ τῷ μεσόρῃ μηνὶ ἔθος ἦν πάλιν ἐλθεῖν αὐτοὺς [25] τοὺς λόγους τῶν ἔργων αὐτῶν [7] ἀποδοῦναι [26] τῷ μεγάλῳ οἰκονόμῳ, κατὰ μέρος γράφοντες [27] αὐτούς. Καὶ εἴ τινα διαταγὴν ὁ πατὴρ ἑκάστης μονῆς ἐθέλοι, ἔλεγεν αὐτῷ · καὶ ἔτασσεν [28] οἰκιακὸν ἢ ἄλλον. Μάλιστα δὲ αὐτὸς ὁ ἄνθρωπος τοῦ Θεοῦ [29] ἐφρόντιζεν πρὸ πάντων περιέρχεσθαι τὰς μονάς, στηρίζων [30] τοὺς ὀχλουμένους [31] ὑπὸ λογισμῶν

Bis in anno conveniunt monachi.

τοῦ λὼτ ὡς στύλην ἁλὸς γενομένην A. — [32] ὁ φιλόσοφος A. — [33] *in* A *hic legitur lemma c. 83.*— [34] τις *add.* A. — [35] *om.* A. — [36] ὁ *add.* A. — [37] ταλμᾶς A, τολμᾶς Π. — [38] μὲν ὀνομαζόμενος πεπυρωμένος δὲ A.

83. — FA. — *Lemma (de quo supra, c. 82, adnot.* [33]*)* : ξα', π ε ρ ὶ τ ῶ ν λ ο ι π ῶ ν τ ε σ σ ά ρ ω ν μ ο ν ῶ ν, ὡ ς ὁ μ ο ῦ δ έ κ α A. — [1] ὁ πατὴρ ἡμῶν παχώμιος μετὰ τὸ ἐν τῇ πόλει πάνος *add.* A. — [2] (καὶ πρὸ τ. τὸ) τό τε A. — [3] τήθ A. — [4] (καὶ μετὰ - π.) *om.* A. — [5] τηβευε F *hoc loco,* ὀβεῦ A.— [6] ἰσμίν A. — [7] *om.* A. — [8] *ita* F *hoc loco, alibi* παχνούμ; παχμοῦ A. — [9] τὴν *add.* A. — [10] (ὁ μ. π.) ἔτι περιών A. — [11] (ὁμ. τ. π. αὐ.) καθ' ὁμοιότητα ταχθ. αὐ. π. καὶ οἰκονόμων καὶ οἰκιακῶν A. — [12] ἔδ. δὲ καὶ χρ. αὐ. σωμ. A. — [13] ἡ F. — [14] μεγ. ἡ μονὴ A. — [15] πᾶσαν τῶν μοναχῶν χρ. A. — [16] τὸ ἔργον αὐτῶν λαμβάνων A. — [17] (κατὰ κ. δ. αὐ.) δ. αὐ. κατὰ κ. A. — [18] (ὁ οἰκ. - λαμβ.) *om.* A. — [19] (καὶ δ.) δ. δὲ A. — [20] παρεγέν ονται A.— [21] τῷ τε π. *om.* A.— [22] ἦν *add.* A.— [23] (καὶ ἐπ. τὸ π.) τό τε ἅγιον π. A.— [24] ἐν λόγ. θεοῦ A. — [25] καὶ πάλιν ἔθος ἔχοντες τῷ μέσῳ (*sic*) μηνὶ συνέρχεσθαι καὶ A. — [26] ἀποδιδόναι A. — [27] γὰρ ἔγραφεν A. — [28] ἢ *add.* A. — [29] ὁ τοῦ θ. ἄνθρ. A. — [30] καὶ στηρίζειν A. — [31] ἀδελφοὺς *add.* A.

ποικίλων. Ἐδίδασκεν δὲ [32] αὐτοὺς τὸ νικῆσαι [33] τῇ τοῦ Θεοῦ μνήμῃ καὶ ἔτασσεν αὐτοῖς πᾶν ὠφέλιμον [34] τῶν ψυχῶν.

Act. SS. § 53. *Tithoes valetudinarii oeconomus*

84. Ἦν δέ τις ἀθλητὴς ἄλλος [1] καὶ ἀνταγωνιστὴς μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν, Τιθόης λεγόμενος, οἰκιακὸς τῶν ἐν Παβαῦ οἰκονόμων ταχθέντων [2] ἀναπαῦσαι τοὺς ἀδελφοὺς κακουμένους. Καὶ μίαν [3] ἑτοιμάζοντος αὐτοῦ [4], ἦλθεν πνεῦμα πονηρὸν πειράσαι αὐτὸν τῇ ἀπάτῃ τῆς ἁμαρτίας ἐν τῷ [5] φαγεῖν αὐτὸν πρῶτον μὲν [6] τῶν βρωμάτων τῶν νοσούντων [7] · καὶ ὅτι [8] διὰ [9] τοῦ ἀγῶνος μᾶλλον δοκιμάζονται οἱ πιστοὶ [10] εἰς δόξαν Θεοῦ, καὶ οὕτως μὴ ἀπελθὼν ὀψὲ εἰς τὴν τράπεζαν φαγεῖν [11], βουλόμενος [12] καὶ τὴν αὔριον συνάψαι νηστεύων, ἔστη εὔξασθαι καὶ λέγει κλαίων [13] · « Κύριε, οὐ μόνον νηστεύειν [14] ἕως κτήσομαι τὴν σὴν ἀγάπην ἕτοιμός [1] εἰμι [1], ἀλλ' ἀληθῶς ἐὰν καταλάβῃ με μαρτύριον καὶ καύσωσίν με, οὐκ ἐγκαταλείψω τὴν σωφροσύνην, τὸ καύχημα πάντων τῶν ἁγίων [15]. Δέομαί σου, τελείωσόν με ἐν τῷ φόβῳ σου. » Καὶ οὕτως καθαρὸς ὢν καὶ γνήσιος μονάζων [16] ἐτελεύτησεν.

gulam domat.

Cf. I Cor. 13, 3.

Act. SS. § 54. *Monachus qui captus a barbaris vinum idolis libaverat,*

85. Καὶ [1] ἐγένετό ποτε [2] τῶν βαρβάρων πολεμούντων [3], εὑρέθη μοναχὸς τῶν ἀλλαχοῦ καὶ ἠχμαλωτίσθη [4]. Καί τινες αὐτῶν [5] μέλλοντες [6] φαγεῖν λέγουσιν αὐτῷ · « Ἔγειρε, ὑπηρέτησον ἡμᾶς [7] · καὶ [8] οἶνον σπεῖσον πρῶτον τοῖς θεοῖς [9] πρὶν [10] πίωμεν [10]. » Καὶ [10] μὴ θελήσαντος αὐτοῦ [11], ἤγγισαν τοῦ σφάξαι αὐτόν · καὶ φοβηθεὶς [12] ἔσπεισεν [13]. Καὶ μετὰ ταῦτα [14] ἐκφυγὼν αὐτούς [15], ἦλθεν εἰς τὴν μονὴν πρὸς αὐτὸν [10] τὸν ἀββᾶν Παχούμιον καὶ ἀπαγγέλλει [16] αὐτῷ [17].

[32] γὰρ A. — [33] (τὸ ν.) ἀνθίστασθαι τούτοις καὶ νικᾶν A. — [34] (καὶ ἔ. ὠφ.) διατασσόμενος ἅπαντα τὰ πρὸς ὠφέλειαν A.

84. — FA. — *Lemma :* ξβ', π ε ρ ὶ τ ο ῦ ἀ β β ᾶ Τ ι θ ό η A. — [1] *om.* A. — [2] τῶν τεταγμένων A. — [3] (καὶ μ.) ἐν μιᾶ οὖν A. — [4] τὰ πρὸς ἀνάπαυσιν τῶν ἀρρώστων A. — [5] (ἐν τῷ) ὥστε A. — [6] ἐκ A. — [7] (τ. ν.) ἃ τοῖς νοσοῦσιν εὐτρέπιστο ἀλλὰ γὰρ οὐ κατίσχυσεν αὐτοῦ ὁ πειράζων A.— [8] καὶ ὅτι *om.* A. — [9] γὰρ *add.* A. — [10] (δ. οἱ π.) οἱ π. δ. A. — [11] (καὶ οὔτ. - φ.) οὐ μόνον οὖν ἐκείνων οὐκ ἀπεγεύσατο ἀλλ' οὐδὲ εἰς τὴν τρ. ὀψὲ ἀπῆλθε φ. A. — [12] δὲ *add.* A. — [13] (λ. κλ.) κλ. ἔλεγε A. — [14] νηστεύων ἕτοιμός εἰμι A. — [15] ἀλλὰ *add.* A. — [16] μοναχὸς A.

85.— FA. — *Lemma :* ξγ', π ε ρ ὶ τ ο ῦ θ ύ σ α ν τ ο ς μ ο ν α χ ο ῦ A. — [1] *om.* A. — [2] τηνικαῦτα A. — [3] ἐκπεπολεμωμένων A. — [4] εὑρεθῆναί τινα τῶν ἀλλ. μοναχῶν καὶ ὑπ' αὐτῶν αἰχμαλωτισθῆναι A.— [5] καί τ. αὐ. *om.* A. — [6] οὖν οἱ βάρβαροι *add.* A. — [7] ἡμῖν A. — [8] πρὸ τοῦ πιεῖν ἡμᾶς *add.* A. — [9] (οἱ. σπ. πρ. τ. θ.) σπ. οἱ. τ. θ. πρ. A. — [10] *om.* A. — [11] δὲ A. — [12] ὁ μοναχὸς *add.* A. — [13] ἔπεισε A. — [14] (καὶ μ. τ.) *corr. prius* καὶ μεταῦτα F, μετὰ τοῦτο δὲ A. — [15] (ἐκφ. αὐ.) τοὺς βαρβάρους ἀποφυγὼν A. — [16] λέγει A. — [17] τὸ πρᾶγμα *add.* A.

a Pachomio emendatur.

Καὶ [18] ὀδυνηθεὶς ἀκούων [19] εἶπεν αὐτῷ · « [20] Ἦνέχθη σοι ὁ [19] στέφανος καὶ οὐκ ἔλαβες αὐτόν. Διὰ τί οὐκ ἀπέθανες ἀνδρείως ὑπὲρ τοῦ [19] ὀνόματος [19] τοῦ ὑπὲρ ἡμῶν [21] ἀποθανόντος ; Πλὴν [19] ἐζημιώθης σφόδρα. Ἀλλ' ἵνα μὴ τέλεον [22] ἀφελπίσῃς [23] σεαυτοῦ [19] — ὁ γὰρ

Ez. 33, 11. Κύριος βούλεται τὴν μετάνοιαν ἡμῶν ἢ τὸν θάνατον — πένθη-

Ps. 50, 17. σον [24] ὅσον δύνῃ, οὐ μόνον πνεύματι συντετριμμένῳ καὶ ταπεινῷ [25], ἀλλὰ καὶ σώματος πόνῳ, ὅπως τὸ γεγραμμένον καὶ ἐπὶ σοῦ [26] πλη-

Ps. 24, 18. ρωθῇ · Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. » Καὶ οὕτως ἀνεχώρησεν τῇ ἐλπίδι χαίρων [27].

Act.SS. § 55. **86.** Καὶ αὐτοῦ ὑφαίνοντος ψιαθίον μιᾷ τῶν ἡμερῶν [1] ἐν Ταβεννήσει, ἦλθεν παιδίον [2] τὴν λειτουργίαν τῆς ἑβδομάδος ποιοῦν [3]

A puero reprehendi se sinit.

ἐν τῇ μονῇ. Καὶ ἰδὼν αὐτὸν ὑφαίνοντα λέγει αὐτῷ · « Οὐχ οὕτως, πάτερ · μὴ στρέφε [4] τὸ λῶμα οὕτως [5], ἐπειδὴ ὁ ἀββᾶς Θεόδωρος παρέδωκεν ἡμῖν ἄλλον τύπον [6] ὑφᾶναι [7]. » Καὶ εὐθὺς ἀναστὰς λέγει αὐτῷ · « Ναί, δίδαξόν με τὸν [8] τύπον. » Καὶ μετὰ τὸ διδάξαι αὐτόν, ἐκαθέσθη ἐργάσασθαι [9] μετὰ χαρᾶς, καὶ ἐν τούτῳ

Rom. 8, 6. προλαβὼν τὸ πνεῦμα τῆς ὑπερηφανίας [10]. Εἰ γὰρ ἦν τῆς σαρκὸς τὸ [8] φρόνημα ἔχων, οὐκ ἐμέλετο αὐτῷ · ἀλλὰ καὶ [11] ἐπετίμα [12] τῷ παιδίῳ ὡς παρὰ τὰ μέτρα [13] λαλήσαντι.

Daemonem, Christum se esse mentientem,

87. Καὶ [1] ἄλλοτε πάλιν ὑφαίνοντι ψιαθίον ὤφθη αὐτῷ δαίμων [2] φαντάζων καὶ [2] λέγων ἑαυτὸν εἶναι τὸν Χριστόν. Οὐ μέντοι γε [3] ἐξουσίαν ἔχουσιν [4] οὐ μόνον τὸ [1] ὀφθῆναί τινι, ἀλλ' οὐδὲ λογισμὸν κακὸν ὑποβαλεῖν ἄνευ τοῦ συγχωροῦντος Θεοῦ [5]. Καὶ ἐπειδὴ

I Cor. 12,10. εἶχεν ὁ ἅγιος [6] τὴν διάκρισιν τοῦ πνεύματος [7] ὥστε διακρίνειν τὰ πονηρὰ πνεύματα ἀπὸ τῶν ἁγίων, ὡς γέγραπται, εὐθὺς ἐλογίσατο

agnoscit.

τοῦτο [8], ὅτι · « Τῇ ὀπτασίᾳ τῶν ἁγίων [9], τοῦ θεωροῦντος τὴν ὀπτα-

[18] ὁ δὲ A. — [19] *om.* A. — [20] ὃ ποῖος *add.* A. — [21] (ὑ. ἡ.) δι' ἡμᾶς A. — [22] ἐπὶ πλέον A. — [23] ἀπελπίσης A. — [24] πένθει A. — [25] τεταπεινωμένῳ A. — [26] σοὶ A. — [27] (οὕτως κτλ.) ταῦτα ἀκούσας τῇ ἐλπ. ἀνεζωπυρήθη καὶ τῆς σωτηρίας ἐφρόντισεν ἑαυτοῦ A.

86. — FA. — *Lemma : ξδ', περὶ τῆς ταπεινώσεως τοῦ μοναχοῦ Παχωμίου* A. — [1] (καὶ - ἡμ.) ὑφαίν. τοῦ πατρὸς ἡμῶν παχωμίου ψ. ἐν μιᾷ A. — [2] τὸ ποιοῦν *add.* A. — [3] αὐτοῦ A. — [4] στρέφου A. — [5] (τὸ λ. οὕ.) οὕ. τὸ λ. A. — [6] (π. ἡ. ἄ. τ.) ἄ. τ. π. ἡ. A. — [7] ὑφαίνειν A. — [8] *om.* A. — [9] ἐργάζεσθαι A. — [10] (καὶ ἐν τ. - ὑπ.) τὸ πν. τῆς ὑπ. κἀν τούτῳ καταβαλὼν A. — [11] (οὐκ ἐμέλ. - καὶ) *om.* A. — [12] ἐπετίμησεν ἂν A. — [13] παρὰ τὸ οἰκεῖον μέτρον A.

87. — FA. — *Lemma : ξε', περὶ τῆς φαντασίας τοῦ δαίμονος* A. — [1] *om.* A. — [2] φ. κ. *om.* A. — [3] (οὐ μ. γε) καίτοι γε οὐκ A. — [4] (ἐξ. ἔχ.) ἔχ. ἐξ. A. — [5] ἄνευ θεοῦ συγχωρήσεως A. — [6] (καὶ ἐπ.-ἅγ.) ὁ δὲ A. — [7] ἔχων *add.* A. — [8] καὶ εἶπεν οὕτως A. — [9] θείων A.

σίαν οἱ λογισμοὶ [10] ἐκλείπουσιν τέλεον [11] · καὶ οὐδὲν [12] σκοποῦσιν, εἰ μὴ τὴν ἁγιότητα τοῦ φαινομένου [13]. Ἰδοὺ [14] ἐγὼ βλέπων τοῦτο [15] φρονῶ καὶ λογίζομαι [16] · δῆλον [17] ὅτι ψεύδεται · οὐκ ἔστιν τῶν ἁγίων [18]. » Καὶ ἰδὼν ταῦτα [19] αὐτὸν ἐνθυμούμενον [19] ὁ δαίμων [20] ἤρξατο περιαίρειν τοὺς λογισμοὺς αὐτοῦ [21]. Καὶ ἀναστὰς [22] τῇ πίστει τοῦ Χριστοῦ [23] ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ [19], ὡς ἵνα κρατήσῃ [24] αὐτόν [25], ἅμα ἐμφυσῶν εἰς τὸ πρόσωπον αὐτοῦ · καὶ [19] ἐξέλιπεν.

Act.SS. § 56.

88. Καὶ εἶχεν [1] Θεόδωρος τοιαύτην συνήθειαν ἐλθεῖν [2] καθ' ἡμέραν [3] τὰ πρὸς ὀψὲ εἰς Παβαῦ μετὰ τὸ ἔργον αὐτοῦ [4] ἐν Ταβεννήσει, ὅπως ἀκούσας [5] τὰ λεγόμενα λόγια τῶν γραφῶν [6] παρὰ τοῦ ἀββᾶ Παχουμίου, ἀνακάμψει [7] διηγήσασθαι [8] τοῖς ἀδελφοῖς [9] πρὶν κοιμηθῶσιν · καὶ τοῦτο ἐποίησεν ἐπὶ πολὺν χρόνον [10]. Καὶ ἐγένετο ἐλθόντα αὐτὸν ἅπαξ μὴ εὑρεῖν αὐτόν · καὶ [11] ἀνέβη εἰς τὸ δῶμα τῆς

Pachomio orante et horrenda vidente, terretur Theodorus.

συνάξεως μελετῆσαι τὰ ἐκμαθήματα αὐτοῦ ἀπὸ τῶν θείων γραφῶν · καὶ μελετῶντος αὐτοῦ [12], ἐσείσθη ὁ τόπος ὅπου ἦν · καὶ διαλογιζόμενος [13] τί ἂν εἴη τοῦτο, κατέβη εἰς τὴν σύναξιν εὔξασθαι · καὶ εἰσελθὼν οὐκ ἠδυνήθη μεῖναι ἀπὸ τοῦ φόβου τοῦ ὄντος ἐκεῖ · καὶ τὸ σῶμα αὐτοῦ ἔφριξεν [14]. Καὶ ἔτι περισσεύοντος κατ' αὐτοῦ τοῦ φόβου, ἐξεπήδησεν ἔξω τῆς θύρας καὶ οὐκ ἤδει [15] τί ἦν. Καὶ [16] μετὰ τὴν σύναξιν πρωΐ [12] εὗρηκεν τὸν ἀββᾶν Παχούμιον ἐξηγούμενον ἀρχαίοις πατράσιν κατ' ἰδίαν οὕτως, ὅτι · « Παρ' ὀλίγον ἀπέδωκα τὴν ψυχήν μου · νυκτὸς γὰρ ἐν τῇ συνάξει εὐχόμενος εὐχήν [17], εἶδον φοβερὰς ὀπτασίας τινάς · καὶ τῷ πολλῷ φόβῳ ἐγενήθην [18] ὡς μὴ ὤν · καὶ [12] ἐδεήθην τῷ Κυρίῳ [19] ἵνα διαμείνῃ [20] ἐν ἐμοὶ καὶ ἐν [12] τοῖς ἀδελφοῖς ὁ φόβος οὗτος ἕως τέλους, μνησθεὶς

[10] (τοῦ θ. - λογ.) οἱ πονηροὶ λογ. τοῦ θ. A. — [11] τέλειον A. — [12] (καὶ οὐ.) οὐ. γὰρ ἄλλο A. — [13] ὀπτανομένου A. — [14] ἀλλ' ἰδ. A. — [15] τοῦτον A. — [16] τὰ ἀνθρώπινα *add.* A. — [17] οὖν *add.* A. — [18] (οὐκ ἔ. τ. ἀ.) καὶ τ. ἀ. οὐκ ἔ. A. — [19] *om.* A. — [20] ταῦτα καθ' ἑαυτὸν λέγοντα *add.* A. — [21] ἀπ' αὐ. A. — [22] (καὶ ἀ.) ὁ δὲ A. — [23] διαναστὰς *add.* A. — [24] (ὡς ἵνα κρ.) κρατῆσαι A. — [25] καὶ *add.* A.

88. — FA. — *Lemma : ξς', περὶ τῆς ὀπτασίας Παχωμίου* A. — [1] (καὶ εἶ.) εἶχεν δὲ A. — [2] ἔρχεσθαι A. — [3] καθ' ἑκάστην A. — [4] τὸ *add.* A. — [5] ἀκούων A. — [6] τὰ λόγ. τοῦ θεοῦ τὰ λεγ. ἀπὸ τῶν γρ. A. — [7] ἀνακάμπτει A. — [8] διηγεῖσθαι αὐτὰ A. — [9] ἐν ταβεννήσει *add.* A. — [10] καὶ τ. ἐπὶ χρ. ἐποίει A. — [11] (καὶ ἐγέν. - καὶ) ἐλθὼν δέ ποτε ἅπαξ καὶ μὴ εὑρὼν τὸν παχώμιον A. — [12] *om.* A. — [13] (καὶ δ.) δ. δὲ A. — [14] (καὶ τὸ σ. αὐ. ἔ.) ἔ. γὰρ τὸ σ. A. — [15] (καὶ οὐκ ἤ.) μὴ εἰδὼς A. — [16] πρωΐ δὲ A. — [17] παραχρῆμα A. — [18] γενόμενος A. — [19] τοῦ κυρίου A. — [20] μείνῃ A.

Cf.Ex.19,16 ; 20, 18. τῶν περὶ Μωϋσέα[21] πατέρων ὑπὸ τὸ ὄρος Σινᾶ, ὅτε ἦν τὸ πῦρ[22] καὶ τὰ ἄλλα φοβερά. Καὶ ἔτι μου[23] ὄντος ἐν τῇ ἀνάγκῃ, ἦλθέν τις ἔσω τολμηρός· καὶ[24] ἔτυχεν ἐλέους ταχὺ ἐξελθών.» Καὶ[23] ἀπεκρίθη Θεόδωρος καὶ εἶπεν[25]· «Ἐγώ εἰμι[26]· μὴ εὑρίσκων γάρ σε ὀψέ, ἐπὶ τοῦ δώματος ἐμελέτων· καὶ αὐτοῦ σαλευομένου, κατέβην ἐξῆσθαι· καὶ μὴ δυνηθείς[27], ἔξω ἔφυγον.» Καὶ ἐθαύμασαν οἱ ἀκούοντες αὐτοῦ, καὶ[23] μάλιστα ὅτι τοῦ Κυρίου θέλοντος ἐὰν ἴδῃ[28] τι τῶν κρυπτῶν, οὐκ ἐδήλου αὐτοῖς, εἰ μὴ τὰ φθάνοντα εἰς πίστιν καὶ οἰκοδομήν. Οἱ γὰρ ἅγιοι ἀεὶ ὡς ἐν οὐρανῷ εἰσιν τῇ μνήμῃ.

Act. SS. § 57. **89.** Καὶ ἐπειδὴ ἦν παραδεδωκὼς παραδόσεις εἰς σύστασιν τῆς κοινωνίας[1], ἐν Ταβεννήσει ποτὲ ἐν τῷ ἀρτοκοπείῳ[2] ἐλάλησάν

Silentii lex τινες[3] φυρῶντες καὶ ἐργαζόμενοι[4] τῇ ὥρᾳ τοῦ μὴ λαλεῖν ἀλλὰ μελετᾶν κατὰ τὴν ὀφείλουσαν ἐντολὴν αὐτοῦ[5]. Καὶ μακρὰν ὢν[6] συνῆκεν τῷ πνεύματι, ὅτι παρέβησαν τὴν ἐντολὴν αὐτοῦ[7]. Καλεῖ[8] οὖν Θεόδωρον — αὐτὸς γὰρ ἦν τότε[9] πατὴρ τῆς μονῆς — καὶ[10] λέγει αὐτῷ· «Ἀπελθὼν εὐκαίρως ἐρεύνησον καὶ ἴδε εἰ ὡμίλησάν τινες ὀψὲ ἐν τῷ ἀρτοκοπείῳ παρὰ τὴν ἐντολήν[11].» Καὶ ἀνακρίνας[12] πολλοὺς εὗρεν καὶ ἀπήγγειλεν αὐτῷ. Καὶ εἶπεν ὁ ἀββᾶς Παχούμιος[13] ὅτι· «Νομίζουσιν ἐκεῖνοι[14] ἀνθρώπινα εἶναι ταῦτα[15]·

Ios. 6, 10,16. κἂν περὶ ἐλαχίστου δοθῇ, μέγα ἐστίν[16]. Ἑπτὰ ἡμέρας σιωπῶντες τοσοῦτον πλῆθος τὴν Ἰεριχὼ κυκλώσαντες ὑπήκουσαν[17] τῇ ἐντολῇ· καὶ ὅτε πάλιν ἔλαβον ἐντολὴν[18] τοῦ κράζειν, πάλιν[14] ὑπακούσαντες ἐπλήρωσαν τὸ θέλημα τοῦ Θεοῦ διὰ τοῦ ἀνθρώπου ἐν-

accurate servanda. τειλαμένου αὐτοῖς[19]. Ὁμοίως καὶ οὗτοι τηρείτωσαν ἐπὶ[20] τὰ ἔμπροσθεν[21], καὶ συγχωρηθήσεται αὐτοῖς τὸ γενόμενον. Εἰ μὴ δὲ ἦν ὠφέλιμος ψυχῶν[22] ἡ ἐντολὴ ἐκείνη, οὐκ ἂν παρηγγείλαμεν περὶ αὐτῆς.»

[21] μωσέα A. — [22] ὅτε τὸ π. ὤφθη A. — [23] om. A. — [24] ἀλλ' A. — [25] αὐτῶ add. A. — [26] ἤμην A. — [27] (κ. μ. δ.) μ. δ. δὲ A. — [28] ἐὰν τοῦ κ. θ. εἶδέ A.

89. — FA. — *Lemma: ξζ', περὶ τῆς ἀργολογίας τῶν ἀδελφῶν* A. — [1] (καὶ - κοιν.) om. A. — [2] περὶ τὸ ἀρτοκοπεῖον A. — [3] ἐ. τ. om. A. — [4] τινες ἀδελφοὶ ἐλάλησαν πρὸς ἀλλήλους add. A. — [5] (αὐ.) παρὰ τὰς παραδόσεις ἃς ἦν αὐτοῖς ὁ πατὴρ παραδεδωκὼς εἰς σύστασιν τῆς κοινωνίας A. — [6] παχώμιος add. A. — [7] om. A. — [8] καλέσας A. — [9] τηνικαῦτα A. — [10] ἐκείνης A. — [11] (ἐν τῷ ἀ. π. τ. ἐ.) παρὰ τ. ἐ. ἐν τῷ ἀ. A. — [12] (καὶ ἀ.) ἀ. δὲ θεόδωρος A. — [13] (καὶ - παχ.) ὁ δὲ εἶπεν A. — [14] om. A. — [15] τὰ παραγγέλματα add. A. — [16] καὶ περὶ ἐλ. δοθεῖσα ἐντολὴ μεγάλη ἐ. A. — [17] ἑπτὰ ἡμ. ἑβραῖοι κυκλεύοντες τὴν ἱερ. ἐσιώπων καὶ τοσ. ὄντες πλ. ὑπήκουον A. — [18] ἐντ. ἔλ. A. — [19] διὰ τοῦ ἐντ. αὐ. ἀνθρ. A. — [20] εἰς A. — [21] ἃ παρέλαβον add. A. — [22] εἰ μὴ γὰρ ὠφ. ἦν ταῖς ψυχαῖς A.

Act. SS. § 58. **90.** Ἐξήτασεν αὐτὸν μίαν Θεόδωρος διὰ πάθος[1] τῆς κεφαλῆς αὐτοῦ. Καὶ ἀποκριθεὶς εἶπεν[2] αὐτῷ· «Νομίζεις ὅτι συμβαίνει[3] πάθος ἢ ἕτερον τοιοῦτον[4] ἄνευ τοῦ[5] Θεοῦ; Διὸ βάσταζε, καὶ ὅτε θέλει, ἰάσεταί[6] σε. Εἰ δὲ τέως δοκιμάζει σε, εὑρέθητι εὐχαριστῶν αὐτῷ, ὡς ὁ τέλειος Ἰώβ, ὑπομένων[7] πάντα τὰ ἐπελθόντα αὐτῷ, εὐλόγει τὸν Κύριον λέγων· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον[8]. Καὶ γὰρ ὁ σταυροφόρος κἂν μὴ ᾖ πάσχων τι, ἀρκεῖ αὐτῷ[9] ὁ σταυρὸς καὶ ἡ ἄσκησις. Καὶ δύναται δὲ[10] κατακείμενός τις ἀγωνίζεσθαι ὑπὲρ ὑγιαίνοντα καρτερίᾳ ψυχῆς καὶ μακροθυμίᾳ· καὶ διπλοῦν[11] ἔχει τὸν στέφανον ὁ τοιοῦτος. Καὶ καλὸν τὸν πάσχοντα ποιῆσαι ὡς δέκα ἔτη ὑπομένοντα πάθος[12] καὶ μὴ λέγειν.» Καὶ ταῦτα ἀκούσας[13] ἐνίσχυσεν.

Iob 1, 21.

Ad patientiam hortatur sanctus.

91. Εἶπεν[1] δὲ αὐτὸν[2] πολλάκις περιέρχεσθαι[3] τὰς μονὰς ἐπισκεπτόμενον[4]· καὶ ἐλάλησεν ἐν μέσῳ αὐτῶν ἤδη λέγων[5] ὅτι· «Ἐγὼ καὶ Θεόδωρος τὴν αὐτὴν λειτουργίαν τῷ Θεῷ λειτουργοῦμεν· καὶ ἔχει τὴν[6] ἐξουσίαν καὶ αὐτὸς διατάξαι ὡς πατήρ[7].» Καὶ ἐρχομένου ποτὲ αὐτοῦ[8] εἰς τὰς μονάς, οἱ ἀδελφοὶ ὁρῶντες αὐτὸν ἠγαλλιῶντο τῷ πνεύματι· εἶχεν γὰρ παρὰ Κυρίου ὡς προείπαμεν[9] χάριν πολλήν. Ὁ μὲν[10] πατὴρ ἡμῶν Παχούμιος[11] τέλειος κατὰ πάντα ἦν[12], ἀλλὰ φοβερὸς[13] καὶ πενθήρης[14] ἀεί, μνημονεύων[15] τῶν ἐν βασάνοις ψυχῶν, ὡς περὶ τοῦ πλουσίου ἠκούσαμεν. Καὶ πολλάκις μετὰ τὸ διψῆσαι αὐτὸν ἐν καύματι σφόδρα, λαβὼν ξέστην ὕδατος[16] πιεῖν, οὐκ ἔπινεν ἕως χορτασθῇ[17].

Theodori amabilitas, Pachomii severitas.

Luc. 16,23.

92. Καί ποτε εἰς μονὴν Θεοδώρου[1] ὄντος[2], ἤνεγκαν αὐτῷ[3]

Fratrem

90. — FA. — *Lemma: ξη', περὶ τῆς ἀρρωστείας Θεοδώρου* A. — [1] ἠρώτησέ ποτε θεόδ. τὸν ἀββᾶν παχώμιον περὶ τοῦ πάθους A. — [2] λέγει A. — [3] τινὶ add. A. — [4] (π. ἢ ἕ. τ.) τοι. τι π. A. — [5] om. A. — [6] ἰᾶται A. — [7] γὰρ add. A. — [8] εἰς τοὺς αἰῶνας add. A. — [9] (καὶ γὰρ - αὐ.) ἀρκεῖ μὲν γὰρ τῷ σταυροφόρῳ κἂν μὴ πάσχη τι δεινόν A. — [10] (καὶ δ. δὲ) δύν. δὲ καὶ A. — [11] (καὶ δ.) δ. γὰρ A. — [12] (καὶ καλ. - π.) καλ. οὖν τὸν πάσχ. εἰ καὶ μέχρι δέκα ἐτῶν ταλαιπωρεῖται σιωπῇ τὸ πάθος ὑπομένειν A. — [13] ὁ θεόδωρος μᾶλλον add. A.

91. — FA. — [1] ἔπεμπε A — [2] ὁ πατὴρ ἡμῶν παχώμιος add. A. — [3] καὶ add. A. — [4] ἐπισκέπτεσθαι A. — [5] (καὶ - λέγ.) ἐκλαλήσας ἤδη ἐν μ. τῶν ἀδελφῶν A. — [6] ὡς πατὴρ A. — [7] ὡς π. om. A. — [8] (καὶ - αὐ.) ἐρχ. οὖν θεοδώρου A. — [9] ὡς πρ. om. A. — [10] δὲ A. — [11] εἰ καὶ add. A. — [12] (κ. π. ἦν) ἦν κ. π. A. — [13] ἀλλ' ἔντρομος A. — [14] ἐγένετο add. A. — [15] (ἀεὶ μν.) μν. ἀεὶ A. — [16] ὥστε add. A. — [17] (ἕως χ.) ἄχρι κόρου ἀλλὰ μικρὸν ἀπεγεύετο τούτου A.

92. — FA. — [1] (καὶ - θεοδ.) τοῦ θεοδ. ποτὲ εἰς μον. A. — [2] ἀπιόντος A. — [3] τινες add. A.

falso accusatum

ἀδελφόν, λέγοντες αὐτὸν [4] κλέψαντά τι, ὡς ἵνα βάλῃ αὐτὸν [5] ἔξω. Οὐκ ἦν δὲ [6] αὐτός, ἀλλὰ ἄλλος [7] ἀνυπονόητος καὶ ὡς [8] παρὰ [9] ἀνθρώποις πιστός. Οὗτος δὲ ὑπωπτεύθη, ἐπειδὴ ὀλίγον χυδαῖος ἦν. Καὶ ὁρῶν [10] ὁ κλέψας ὅτι [11] οὐ μόνον ἐποίησεν τὸ πρῶτον ἁμάρτημα, ἀλλὰ καὶ ἄλλος ὑπὲρ αὐτοῦ κινδυνεύει, παραλαβὼν Θεόδωρον κατ' ἰδίαν λέγει αὐτῷ· « Ἐγώ εἰμι ὁ τοῦτο ποιήσας. » Ἀποκρίνεται αὐτῷ [12] λέγων ὅτι· « Ἐπειδὴ ἐποίησας ἓν πλημμέλημα, ἐξήλειψας δὲ αὐτὸ ἐν τῷ καθαρίσαι ἡμῖν τὸν ἀναίτιον [13]· » Καὶ λοιπὸν καλεῖ τὸν ἄλλον καὶ λέγει αὐτῷ· « Ἔγνων ὅτι οὐ σὺ ἐποίησας τοῦτο· ἀλλὰ κἂν ἔθλιψάν σε οἱ ἀδελφοὶ μὴ ὄντα ὑπεύθυνον αὐτοῦ [8], ἀλλὰ [8] χρεωστεῖς τῷ Κυρίῳ [14] ἐν ἄλλοις. Διὸ εὐχαρίστει αὐτῷ [8] φοβούμενος αὐτόν. » Καὶ λέγει τοῖς ἀδελφοῖς περὶ τούτου· « Οὐκ ἠνέγκατέ μοι τὸ κρῖμα τοῦτο; Κἀγὼ ἔγνων ὅτι θέλημα Κυρίου ἐστὶν συγχωρεῖν [15] αὐτῷ καὶ μηκέτι μνημονεύειν. Πάντες γὰρ ἐλέους χρείαν ἔχομεν [16]. »

sapienter iudicat Theodorus.

Act. SS. § 59. *Animae ad caelum transeuntes*

93. Καὶ [1] ἀκούσας ποτὲ [2] ἐν τῷ ἀέρι φωνὴν ψαλλόντων τινῶν [3] μέλος τερπνὸν λίαν [4] καὶ εὐαίσθητον, ἐξετάζει [5] τὸν ἀββᾶν Παχούμιον· « Ἀκούεις, ἀββᾶ; » Λέγει αὐτῷ [1]· « Ναί. » — « Τί [6] ἐστιν; » φησίν. Ἀποκρίνεται λέγων· « Συνέβη τινὰ ψυχὴν καλὴν [7] αἰρομένην εἰς τὸν οὐρανὸν παρελθεῖν ἡμᾶς ἐπάνωθεν [8]· καὶ ἐχαρίσθη ἡμῖν τοῦ ἀκοῦσαι τέως [9] τῶν ψαλλόντων καὶ αἰνούντων τὸν Θεὸν ἔμπροσθεν [10]. » Καὶ ἄλλοτε πάλιν [1] ἀμφοτέρων καθημένων [11] περὶ ἀδελφὸν ὀχλούμενον ἀποθανεῖν, ὤφθη αὐτοῖς παρὰ Κυρίου ὁ τρόπος τῆς ἐξόδου τῆς ψυχῆς ἀπὸ τοῦ σώματος [12]. Καὶ οὐκ εἰρήκασιν ταῦτα ἑκόντες οὐδενὶ ἕως ἐζῶσαν· μυστήρια γάρ ἐστιν. Ἀλλ' οἱ συνόντες μεγάλοι ἀδελφοὶ ᾐσθάνθησαν αὐτοὺς ὡς ἀτενίζοντάς πως μετὰ θαύματος ἡσύχως παρόντας ἁγίους τινὰς τῇ ὥρᾳ ὅτε ἀπέδωκεν τὴν ψυχὴν ὁ ἀνακείμενος. Ἐνίοτε δὲ καὶ μέρος ὧν βλέπουσιν κατὰ τὸ θέλημα τοῦ Κυρίου ἐξηγοῦντο, προβλέποντες τὴν μέλλουσαν ὠφέλειαν. Ἐδίδασκεν γὰρ ὁ ἀββᾶς Παχούμιος μὴ ἀνέ-

Pachomio et Theodoro manifestantur.

[4] (λ. αὐ.) ὡς A. — [5] (ὡς - αὐ.) πρὸς τὸ διῶξαι αὐ. τῆς μονῆς καὶ βαλεῖν A. — [6] ὁ κλέψας add. A. — [7] ἀλλ' ἕτερός τις A. — [8] om. A. — [9] τοῖς add. A. — [10] (κ. ὁ.) ἰδὼν δὲ A. — [11] ὡς A. — [12] θεόδωρος add. A. — [13] haud scio an quid exciderit; (λέγων - ἀν.) ὁ θεὸς συγχωρήσει σοι· ποιήσας γὰρ ἓν πλημμ. ἀνεπλήρωσας αὐτὸ ἐν τῷ ἐμφανίσαι ἡμ. τὸν αἴτιον A. — [14] θεῷ A. — [15] συγχωρῆσαι A. — [16] (χρ. ἔ.) χρήζομεν A.

93. — FA *initio, dein* F. — *Lemma:* ξθ', περὶ τῶν ἐν ἀέρι ψαλλόντων A. — [1] om. A. — [2] θεόδωρος add. A. — [3] (ψ. τ.) ὡς ψ. A. — [4] (τ. λ.) λ. τ. A. — [5] ἠρώτησε A. — [6] καὶ τί A. — [7] (ψ. κ.) κ. ψ. A. — [8] ἄνωθεν A. — [9] ἐχαρ. τέως ἡμ. τὸ ἀκ. A. — [10] αὐτοῦ add. A. — [11] (ἀ. κ.) κ. ἀ. A. — [12] *Hic desinit (fol. 15v) alterum fragmentum codicis* A.

χεσθαι ὅλως τοιούτου λογισμοῦ, ὥστε θέλειν τι τῶν ἀοράτων ἰδεῖν· καὶ γὰρ τὰ ἀόρατα [13] πλήρη θαύματος εἰς φόβον τῷ ἐρευνῶντι καὶ ἀκούοντι.

Act. SS. § 60. *Theodorum Alexandrinum suis ascribit Pachomius,*

Cf. Ioh. 10, 27.

94. Καὶ ἀκούσας ἄλλος τις Θεόδωρος ὀνόματι, τῆς ἐκκλησίας Ἀλεξανδρείας ἀναγνώστης καὶ ἀσκητής, περὶ τοῦ ἀββᾶ Παχουμίου καὶ τῶν ἀδελφῶν, ἐμβὰς εἰς πλοῖον ἦλθεν ἄνω εἰς Θηβαΐδα. Καὶ ἦν καὶ αὐτὸς εὐλαβὴς καὶ ὑπήκοος ὡς ἓν τῶν προβάτων τοῦ Κυρίου. Καὶ οὕτως ὑποδεξάμενος αὐτὸν ἐποίησεν εἶναι ἐν οἰκίᾳ παρά τινι ἀρχαίῳ ἀδελφῷ εἰδότι τὴν ἑλληνικὴν γλῶσσαν εἰς παραμυθίαν, ἕως μάθῃ ἀκοῦσαι καὶ τὴν θηβαϊκήν. Καὶ ἦν προκόπτων ἐν ἀσκήσεσιν ὑπὲρ δύναμιν. Περὶ δὲ ὀρθοδοξίας φανερός ἐστιν, καθότι ἐγγὺς ἦν τῆς ἁλλομένης πηγῆς εἰς ζωὴν αἰώνιον, ποτιζόμενος εἰς καρποφορίαν· λέγομεν δὲ τὸν ἀρχιεπίσκοπον, οὐ μόνον τὸν τότε ἁγιώτατον Ἀθανάσιον· ἀλλ' ἀεὶ ὁ καθήμενος ἐπὶ τοῦ ἀρχιερατικοῦ θρόνου οὐκ αὐτὸς κάθηται, ἀλλ' ὁ λέγων ἐπὶ δύο καὶ ἐπὶ τριῶν συνηγμένων ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐν μέσῳ αὐτῶν εἶναι, ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τῆς ἐκκλησίας θεμέλιος καὶ θεμελιώσας αὐτήν, Θεὸς καὶ ἄνθρωπος.

Ioh. 4, 14.

Matth. 18, 20.

Matth. 16, 16.

eumque Alexandrinis et advenis praeficit.

95. Κἀκεῖνον ὑπομείναντα τὸν βίον καλῶς, ἠγάπησεν αὐτὸν ὁ ἀββᾶς Παχούμιος· καὶ ἐσπούδασεν ἑλληνιστὶ μαθεῖν χάριτι Θεοῦ, ἵνα εὕρῃ τὸ πῶς παραμυθήσασθαι αὐτὸν πολλάκις. Καὶ λοιπὸν ἔταξεν αὐτὸν οἰκιακὸν τῶν μετ' αὐτὸν ἐλθόντων Ἀλεξανδρέων καὶ ξενικῶν· καὶ ἦν ἡ οἰκία αὐτοῦ εὐλαβείας πλήρης. Καὶ πολλὰ ἐποίησεν μετ' αὐτοῦ ὁ ἅγιος Παχούμιος, συμβιβάζων τὸ πῶς ἀνθρώπους κυβερνῆσαι, λέγων· « Μέγα ἐστίν· ἐὰν ἴδῃς τινὰ τῆς οἰκείας ἀμελοῦντα σωτηρίας, μακροθυμῶν νουθετήσεις αὐτὸν κατ' ἰδίαν [1]. Ἐὰν ἅπαξ ἀγανακτήσῃ, ἄφες, ἕως ὁ Θεὸς κατανύξει αὐτόν· ὥσπερ τις σκόλοπα θέλων ἐξενεγκεῖν ἀπὸ ποδός τινος, καὶ ὀρύσσοντος αὐτοῦ, κἂν αἱμορροήσῃ καὶ ὀδυνηθῇ, μᾶλλον ἀφίεται· καὶ ἐμπλαστρίου μαλακτικοῦ ἐπιβληθέντος αὐτῷ ἢ ἑτέρου ὁμοίου, μεθ' ἡμέρας αὐτομάτως ἐξέρχεται καὶ εὐκόλως. Μᾶλλον γὰρ ὀργιζόμενός τις καὶ ὑπό τινος μὴ ἀντιλέγοντος κερδαίνει πλέον τῇ μακροθυμίᾳ μετὰ ταῦτα τοῦ διδάσκοντος κατὰ τὸν νόμον. Ἐὰν δὲ ᾖ σφάλμα μέγα, δήλωσον ἡμῖν· καὶ ὡς θέλει ὁ ἐλεήμων Κύριος ποιοῦμεν. Ὁμοίως δὲ φρόντιζε τῶν ἀσθενῶν ὡς ἑαυτοῦ. Καὶ γίνου ἐγκρατευόμενος καὶ τὸν σταυρὸν φέρων πλέον αὐτῶν, ὡς τάξιν ἔχων πατρός. Καὶ τοὺς κανόνας τῶν ἀδελφῶν τήρησον πρῶ-

[13] τὰ ὁρατὰ (*sic*) F.

95. — F. — [1] καθιδίαν F.

τος, ἵνα καὶ αὐτοὶ τηρήσουσιν. Καὶ εἴ τι ἕτερον μετὰ ταῦτα θέλων διακρῖναι μὴ ᾖδεις, χάριτι Θεοῦ δήλωσόν μοι · καὶ ὁμοῦ γυμνάζοντες εὑρήσομεν ἑκάστου τῶν ζητουμένων τὴν ἀκρίβειαν. » Καὶ οὕτως ἑρμηνεύων ἦν Θεόδωρος, ὅτε ἐξηγεῖτο τοῖς ἀδελφοῖς Παχούμιος, διὰ τοὺς μὴ ἀκούοντας αἰγυπτιστί. Καὶ ἐποίησεν ιγ' ἔτη οἰκιακός, πρὸ τοῦ τελευτῆσαι τὸν μακάριον Παχούμιον. Καὶ τῆς οἰκίας ἀπὸ μὲν Ἀλεξανδρέων πρωτοτόκοι καρποφορίαι οἵδε εἰσίν • Αὐσόνιος [2] ὁ μέγας καὶ Αὐσόνιος [2], καὶ παιδίον Νεὼν [3] ὀνόματι · καὶ Ῥωμαίων θεοφόροι · Φίρμος [4] καὶ Ῥώμυλλος [5] καὶ Λομνῖνος [6] Ἀρμένιος καὶ οἱ λοιποὶ ἅγιοι. Καί τινες κατέλαβον τὸν μέγαν ἐν σώματι, καὶ ἄλλοι οὐ κατέλαβον.

Act. SS. § 61. *Tabennesiotis*

96. Καὶ ἀπῆλθέν ποτε ὁ πατὴρ ἡμῶν εἰς Ταβεννήσιν ἕνεκεν ἀναγκαίου πράγματος ψυχῆς. Καὶ ἀσπασάμενος τοὺς ἀδελφοὺς ἐκαθέσθη, ὡς ἔθος αὐτῷ, ἐξηγήσασθαι τοῖς ἀδελφοῖς πᾶσαν ἀσφάλειαν σωτηρίας κατὰ τῶν ἀντικειμένων οὐ μόνον τῆς ἁγνείας τοῦ σώματος, ἀλλὰ καὶ περὶ λογισμῶν διαφόρων, φιλαρχίας, ὀκνηρίας ἢ μίσους πρὸς τὸν ἀδελφὸν ἢ φιλαργυρίας, λέγων · « Ὥσπερ τὸ πῦρ καθαρίζει πάντα ἰὸν καὶ κατασκευάζει τὰ εἴδη, οὕτως ρ

Dei timorem, II Tim. 2, 21.

φόβος τοῦ Θεοῦ ἀναλίσκει πᾶν κακὸν ἀπὸ τοῦ ἀνθρώπου καὶ κατασκευάζει αὐτὸν σκεῦος εἰς τιμὴν εὔχρηστον, ἡγιασμένον εὐάρεστον τῷ Θεῷ καὶ ἕτοιμον εἰς πᾶν ἔργον ἀγαθόν. Ἡ δὲ τῆς,

adversus daemones vigilantiam

βλασφημίας ὑποβολὴ τῶν ἐχθρῶν, ἐὰν εὕρῃ τινὰ μὴ νηφάλεον, κἂν ᾖ ἀγαπῶν τὸν Θεόν, ἐὰν μὴ νήψῃ ὡς δεῖ ἢ ἐξετάσῃ τινὰ ἐπιστήμονα καὶ μάθῃ τὸ πῶς νικήσει αὐτὴν δολίαν οὖσαν, τοῦτον ἀπολέσει. Καὶ πολλοὶ ἐθανάτωσαν ἑαυτούς, ὁ μὲν ἐπάνωθεν πέτρας ἑαυτὸν ῥίψας ὡς ἐκστατικός, καὶ ἄλλος μαχαίρῃ ἀνέπτυξεν

Inculcat.

τὴν κοιλίαν αὐτοῦ καὶ ἀπέθανεν, καὶ ἄλλοι ἄλλως. Μέγα γὰρ κακὸν τὸ μὴ ἀναγγεῖλαι τοῦτο ταχέως τῷ ἔχοντι τὴν γνῶσιν, πρὸ τοῦ χρονίσαι τὸ πάθος. Αὕτη δὲ ἡ θεραπεία, ἣν ἐδίδαξεν ἡμᾶς ὁ Κύριος διακρίσει πνεύματος, ὅτι ὅτε τὸν πλησίον μου ἐλύπουν λόγῳ, συνετρίβετό μου ἡ καρδία, λόγῳ Θεοῦ ἐλεγχόμενος · καὶ ἐὰν μὴ ταχέως πείσω αὐτόν, οὐκ ἀναπαύομαι. Πῶς, ὦ δαίμονες ἀκάθαρτοι, λογίζωμαι σὺν ὑμῖν τοῖς ἀποστάταις βλασφημίαν εἰς τὸν ποιήσαντά με Θεόν; ὅμως δὲ κἂν διαρραγῆτε ὑποβάλλοντες ταῦτα, οὐχ ἡττῶμαι. Οὐ γὰρ ἐμὰ ταῦτά ἐστιν, ἀλλ' ὑμῶν τῶν μελλόντων κολασθῆναι ἀσβέστῳ πυρὶ εἰς αἰῶνα αἰῶνος. Ἐγὼ δὲ οὐ παύομαι εὐλογῶν καὶ ὑμνῶν καὶ εὐχαριστῶν τῷ ποιήσαντί με

Cf. Marc. 9, 43.

[2] αὐξώνιος P, αὐξόνιος ND. — [3] νέων Π. — [4] φύρμος Π. — [5] ῥώμυλος PD, ῥωμύλος N. — [6] δόμνος Π.

μὴ ὄντα καὶ ὑμᾶς καταρώμενος · ἐπικατάρατοι γάρ ἐστε ἀπὸ Κυρίου. Καὶ οὕτως μετὰ πίστεως λέγων, ἐκλείπει τοῦτο ὡσεὶ καπνός. »

Helias frater

97. « Περὶ δὲ τῆς αἰτίας, δι' ἣς ἦλθον σήμερον πρὸς ὑμᾶς, τὸ ζητούμενον εὑρέθη ἐν ὀστρακίνῳ κάδῳ, » ὡς αἴνιγμα λαλῶν περὶ σφάλματος ψυχῆς ἄλλου · καὶ λαλοῦντος ἀββᾶ Παχουμίου, ἦν τις ἀδελφός, Ἠλίας λεγόμενος, ἁπλοῦς τῇ καρδίᾳ · καὶ πρὸ ὥρας ἀναλέξας ε' σῦκα, ἔκρυψέν που ταῦτα ἐν ὀστρακίνῳ κάδῳ, ὅπως μετὰ τὴν νηστείαν φάγῃ αὐτά. Καὶ ἀκούσας περὶ τοῦ κάδου, εὐθὺς ἀπῆλθεν καὶ ἦνεγκεν τὸν κάδον ἐκεῖνον καὶ λέγει αὐτῷ εἰς μέσον τῶν ἀδελφῶν · « Λέγω σοι, ἀββᾶ, εἰ μὴ ταῦτα οὐκ ἦρκα. » Καὶ ἐθαύμασεν καὶ αὐτὸς καὶ οἱ ἀδελφοί · οὐ γὰρ περὶ αὐτοῦ ἐλάλει. Καὶ λοιπὸν λέγει αὐτοῖς · « Ἴδετε οὖν ὅτι οὐχ ὅτε ἡμεῖς θέλομέν τι εἰδέναι τῶν κρυπτῶν διὰ σωτηρίαν βλέπομεν, ἀλλ' ὅτε ἡ πρόνοια τοῦ Θεοῦ βούλεται. Λέγω γὰρ περὶ τοῦ ἐλαχίστου τούτου, ὅτι οὐκ ᾔδειν οὔτε ἤκουσα παρά τινος · ἀλλ' ὁ Κύριος θέλων τὸν ἀδελφὸν τοῦτον μηκέτι κυριευθῆναι ὑπὸ βρωμάτων, ἔδειξεν ἡμῖν τὴν διόρθωσιν. » Καὶ σπουδάζων ἀνακάμψαι εἰς Παβαῦ, ἀναστὰς μετὰ τῶν ἀδελφῶν ηὔξατο καὶ ἀπῆλθεν μὴ γευσάμενος.

reum se furti fatetur.

Act. SS. § 62. *A coaevis audita refert scriptor ;*

98. Ταῦτα δὲ γράφομεν ἡμεῖς, οὐ μέν γε, ὡς προείρηται, κατελάβομεν αὐτὸν ἐν τῷ σώματι, ἀλλὰ τοὺς μετ' αὐτο [1] εἴδομεν χρόνον τοιούτους ὄντας, οἵτινες τὸ κατὰ μέρος τούτων διηγήσαντο ἡμῖν, εἰδότες αὐτὰ ἀκριβῶς. Ἐὰν δὲ εἴπῃ τις · « Διὰ τί οὐκ ἔγραψαν ἐκεῖνοι τὸν βίον αὐτοῦ; » λέγομεν καὶ ἡμεῖς ὅτι οὐκ ἠκούσαμεν αὐτῶν λεγόντων πολλάκις περὶ τοῦ γράψαι, καίτοι γε τοιούτων σὺν αὐτῷ ὄντων, ὡς ὁ πατὴρ αὐτῶν · ἀλλὰ τάχα οὔπω καιρὸς ἦν. Ὅτε δὲ εἴδομεν ὅτι χρεία ἐστίν, ἵνα μὴ τέλεον ἐπιλαθώμεθα ὧν ἠκούσαμεν περὶ τοῦ τελείου μονάζοντος πατρὸς ἡμῶν μετὰ τοὺς ἁγίους πάντας, ἐγράψαμεν ὀλίγα ἐκ πολλῶν · οὐχ ἵνα ἐπαινέσωμεν αὐτόν · οὐ γὰρ βούλεται τὸν τῶν ἀνθρώπων ἔπαινον · ἐκεῖ γάρ ἐστιν μετὰ τῶν πατέρων αὐτοῦ, ὅπου ὁ ἔπαινος ὁ ἀληθινός. Καὶ γὰρ καὶ περιὼν ἐν σώματι, ὡς ἠκούσαμεν, προσευχόμενος πολλάκις οὐκ ἄξιον ἑαυτὸν ἡγεῖτο πρεσβεῦσαι κἂν ὑπὲρ ἑαυτοῦ · καὶ οὕτως πρεσβευτὰς ἐλάμβανεν τοὺς ἁγίους λέγων · « Οἱ ἄξιοι τοῦ Θεοῦ, δεήθητε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. » Οὐ γὰρ εἷς ἦν τῶν προφητῶν ἢ τῶν πατριαρχῶν ἢ τῶν ἀποστόλων, ἀλλὰ τέκνον αὐτῶν ἐστιν γνήσιον, ὡς καὶ οἱ λοιποὶ τοιοῦτοι κατὰ τόπον εἰσίν. Τὸ γὰρ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκαθάρισεν πᾶσαν

Cf. Hebr. 9, 14.

98. — F. — [1] μετ' αὐτὸν F.

τὴν γῆν καὶ καθαρίζει, καὶ ἀντὶ ἀκανθῶν καὶ τριβόλων ἐπλήθυνεν
Cf.Heb.6,8. τοῦ πλουτῆσαι αὐτὴν τῆς θείας γνώσεως αὐτο .
Ps. 64, 9.

99. Καὶ ἐπειδὴ ἐλάλει αὐτοῖς πολλάκις τὸν λόγον τοῦ Θεοῦ ὁ
Act.SS. § 63. ἀββᾶς Παχούμιος, τινὲς ἀκούοντες ὑπεραγαπῶντες αὐτὸν ἔγραψαν
Hebr.13,7. πολλὰ περὶ αὐτοῦ νοήματα τῶν γραφῶν [1], ὡς τε καὶ εἴ ποτε ὅραμα
quaedam etiam ab iisdem scripto notata collegit, εἶδεν ἢ ὀπτασίαν, τοῦ Κυρίου βουλομένου, κατ' ἰδίαν τοῖς μεγά-
Ex. 19, 9. λοις εἴρηκεν εἰς πίστιν καὶ ὠφέλειαν τῶν ἀκουόντων. Ἀεὶ γὰρ
ὁ Θεὸς τοὺς ἰδίους δούλους δοξάζει, ὡς καὶ ἐλάλει τῷ Μωϋσῇ
λέγων · « Ἵνα πιστεύσωσίν σοι εἰς τὸν αἰῶνα. » Ἡμεῖς δὲ μαθόντες
κατὰ τὸν καιρὸν ὅτι οὐ πάντων ἐστὶν τὸ πιστεύειν, μάλιστα μονά-
ζοντι — καίτοι γε τῶν ἁγίων τὴν ὁδὸν ἐπορεύετο, ὡς γέγραπται ·
I Cor. 4, 16. Μιμηταί μου γίνεσθε · ἀκώλυτος γὰρ ἡ ὁδὸς πᾶσιν — διὰ τοῦτο
συνεκεράσαμεν ταῦτα γράφοντες πρὸς τὸ δύνασθαι ἡμᾶς φέρειν
ἀζημίως τῶν λεγομένων τὸ κέρδος. Καὶ γνῶμεν [2] ἀσφαλῶς ὅτι
I Reg. 2,30. καὶ νῦν λέγει ὁ Θεός · « Τοὺς δοξάζοντάς με δοξάζω. » Οἴδαμεν
Matth.11,28. ὅτι εἷς ψαλμὸς ἀρκεῖ ἡμῖν, μάλιστα ὁ αὐτὸς λέγων Κύριος · « Ἐγὼ
ἀναπαύσω ὑμᾶς. » Ἀλλὰ καὶ νῦν ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ πολλαὶ
αἱ τάξεις τῶν πατέρων · πρῶτον ἐπίσκοποι, ἔπειτα πρεσβύτεροι,
Ps.127,1. διάκονοι καὶ ἄλλοι καθεξῆς, καὶ μονάζοντες πάλιν · καὶ μακά-
ριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. Καὶ ἑκάστου τελείου ὁ
βίος ἐὰν μὴ γραφῇ παρὰ ἀνθρώποις, μᾶλλον ἐγράφη παρὰ Κυρίου.
Καὶ ἄρτι δὲ γράφοντες οὐχ ὡς γραφήν, ἀλλ' ὡς μνήμην τινὰ ἐγρά-
ψαμεν, ὡς καὶ ἐπὶ τῶν ἁγίων ἐπισκόπων καὶ πατέρων ἐπιστολαὶ
BHG. 140. ἐγράφησαν εἰς ὠφέλειαν, ὡς ὁ βίος τοῦ μακαρίου Ἀντωνίου πρὸς
τοὺς ἐν τῇ ξένῃ μοναχοὺς καὶ ἀδελφοὺς αἰτοῦντας τοῦτο τὸν
Athanasii exemplum secutus ἁγιώτατον πατέρα Ἀθανάσιον · καὶ οὗτος γὰρ παραλαβὼν μονά-
ζοντας εἰδότας τὰ κατ' αὐτὸν ἀκριβῶς ἔγραψεν. Οὐ παρομοιά-
ζοντες δὲ ἑαυτοὺς τῷ ἁγιωτάτῳ ἔχοντι καὶ τὴν τάξιν τὴν μεγά-
et ipsius Pachomii regulis et epistulis mysticis usus. λην ὄντες ἁμαρτωλοί, ἀλλ' ὡς παῖδες ἐπιθυμοῦντες τῶν ἀναθρε-
ψάντων ἡμᾶς πατέρων μνημονεύειν ἐσπουδάσαμεν. Καὶ ἔτι δὲ
ζῶν ὁ πατὴρ ὑπαγορεύσει ἰδίᾳ ἐποίησεν γραφῆναι οὐ μόνον περὶ
τῆς οἰκοδομῆς τοῦ κοινοβίου λόγους καὶ θεσμούς, ἀλλὰ καὶ πολλὰς
ἐπιστολὰς πρὸς τοὺς πατέρας τῶν μοναστηρίων, καὶ ἐν αὐταῖς
ὀνόματα γραμμάτων, οἷον ἀπὸ ἄλφα ἕως ὦ, σημαίνων τινὰ ἐν γλώσ-
σῃ κρυπτῇ τοῦ πνεύματος ἐκείνοις νοοῦσιν ἕνεκεν κυβερνήσεως
ψυχῶν, ὅτε οὐ σχολὴν ἦγεν πρὸς αὐτοὺς παραγενέσθαι. Καὶ αὐτοὶ
τὰ τοιαῦτα ἀντέγραφον αὐτῷ πνευματικοὶ ὄντες, ἵνα οὕτως ὁδηγῶν

99. — F. — [1] *πολλὰ αὐτοῦ νοήματα περὶ τῶν γραφῶν* **Pasquali.** — [2] *legendum videtur* **ἔγνωμεν.**

αὐτοὺς κατὰ μέρος γράμμασι νοουμένοις καὶ γλώσσῃ εἰς τελειό-
τητα ἀγάγῃ τούτους, τοῦ ἀξιωθῆναι βιβλίον γενέσθαι γραμμάτων
πνευματικῶν.

100. Ἦσαν δὲ δέκα ἀδελφοὶ ἀρχαῖοι ἐν Παβαῦ τῇ μονῇ, καὶ Act.SS. § 64.
οὗτοι μὲν τῷ σώματι ἁγνοί, ἀλλ' ἐγόγγυζον πολλάκις καὶ μετὰ *Senes decem murmuratores*
πίστεως οὐκ ἤκουον αὐτοῦ. Καὶ ἐπειδὴ ὁ ἄνθρωπος τοῦ Θεοῦ
μακρόθυμος καὶ ἀγαπῶν τὰς ψυχάς ἐστιν, μάλιστα εἰς ἃς ἐκο-
πίασεν νουθετῶν καὶ παρακαλῶν χρόνον, οὐκ ἠθέλησεν παραβλέ-
πειν αὐτούς. Ἀλλ' ἔδωκεν ἑαυτὸν ὑπὲρ αὐτῶν πενθεῖν πρὸς Κύριον *precibus, ieiuniis et vigiliis emendat Pachomius.*
ταπεινῶν τὴν ψυχὴν αὐτοῦ νηστείᾳ, τὰς ἓξ ἡμέρας ποιῶν ἄτροφος,
καὶ ἀγρυπνῶν πρὸς μ' ἡμέρας · καὶ τὸ σῶμα αὐτοῦ ἐγένετο λεπτὸν
σφόδρα καὶ ἄτονον. Καὶ μετὰ ταῦτα ὁ Κύριος ἤκουσεν αὐτοῦ ἐν τῷ
λαβεῖν ἕκαστον αὐτῶν αἴσθησιν τοῦ ἰαθῆναι ἀπὸ τοῦ σφάλματος
αὐτοῦ κατὰ δύναμιν. Καὶ οὕτως ἐκοιμήθησαν.

101. Καὶ ἦν τις ἀδελφὸς δυνατὸς τῷ πνεύματι, ζηλῶν τὴν ὑπο- *Fratris a scorpio morsi*
μονὴν αὐτοῦ. Καὶ αὐτόν ποτε εὐχόμενον ἔδηξεν σκορπίος εἰς τὸν
πόδα. Καὶ οὕτως ἐπιθεὶς τὸν δεδηγμένον πόδα ἐπὶ τὸν σκορπίον
ἠΰξατο λέγων · « Εἰ ὁ Θεὸς οὐκ ἰάσεταί με, τίς με ἰάσεται; »
Καὶ κατὰ τὴν ἀρχὴν δοκιμαζομένου αὐτοῦ εἰ ὑπομένει, ἤρχετο ἡ *mira tolerantia.*
ὀδύνη τοῦ ἰοῦ βασανίζουσα τὴν καρδίαν αὐτοῦ · καὶ παρ' ὀλίγον
ἦν δεδωκὼς τὸ πνεῦμα. Καὶ οὕτως καρτερῶν βίᾳ ἐνίκησεν τὴν
βάσανον ἕως τῆς ὥρας τῆς συνάξεως.

102. Καὶ ἔλεγεν μίαν αὐτὸς ἀββᾶς Παχούμιος τοῖς ἀδελφοῖς Act.SS. § 65.
τοῦτο · ὡς ὅραμα δέ ἐστιν · « Εἶδόν ποτε μέγαν τόπον ἔχοντα στύ- *Visio*
λους πολλοὺς ἐν αὐτῷ, καὶ πολλοὺς ἀνθρώπους ἐν τῷ τόπῳ, μὴ
βλέποντας ποῦ ἀπέλθωσιν, καί τινας αὐτῶν κυκλεύοντας τοὺς
στύλους, νομίζοντας ὅτι ἦνυσαν πολλὴν ὁδὸν ὅπως ἔλθωσιν εἰς τὸ
φῶς. Καὶ φωνὴ πανταχόθεν · « Ἰδοὺ τὸ φῶς ὧδέ ἐστιν. » Καὶ ἀν- *circa haereses*
έκαμψαν ὡς ἵνα εὕρωσιν αὐτό. Καὶ φωνῆς πάλιν γενομένης, πάλιν
ἀνακάμπτουσιν. Καὶ πολλὴ ταλαιπωρία ἦν ἐκεῖ. Καὶ ὕστερον λύ-
χνον ὁρῶ προπορευόμενόν τινων πολλῶν · τέσσαρες δὲ αὐτῶν ἔβλε-
πον αὐτόν · καὶ πάντες ἀκολουθοῦντες αὐτοῖς, ἕκαστος κρατῶν τὸν
ὦμον τοῦ πλησίον μὴ πλανηθῇ τῷ σκότει · καὶ ἐάν τις ἀπολύσῃ
τὸν ἔμπροσθεν, σὺν τοῖς ἀκολουθοῦσιν ἐπλανᾶτο. Καὶ ἐπιγνούς
τινας δύο ἀπολύσαντας τοῦ μὴ κρατεῖν, ἔκραζον αὐτοῖς · « Κρατή-
σατε, μὴ ἑαυτοὺς ἀπολέσητε καὶ ἄλλους. » Καὶ τοῦ λύχνου ὁδηγοῦν- *et fidem.*
τος, ἀνέβησαν οἱ ἀκολουθήσαντες διὰ θυρίδος εἰς τὸ φῶς τοῦτο. »
Ἰδὼν ταῦτα εἴρηκέν τισιν παρὰ μέρος. Καὶ μετὰ ταῦτα παρ' αὐτῶν
ἠκούσαμεν μετὰ χρόνον πολὺν καὶ τὴν σύγκρισιν οὕτως · Ὁ κό-
σμος οὗτος σκοτεινός ἐστιν διὰ τὴν πλάνην ἑκάστης αἱρέσεως

δοκούσης ἔχειν τὴν εὐθεῖαν ὁδόν· ὁ δὲ λύχνος ἐστὶν ἡ πίστις τοῦ
Cf. Luc. 7,50. Χριστοῦ, ἡ σώζουσα τοὺς πιστεύοντας ὀρθῶς καὶ ἀπάγουσα εἰς
τὴν βασιλείαν τοῦ Θεοῦ.

Funebribus privatur mortuus quidam monachus.

103. Ἀπέθανέν τίς ποτε ἐν τῇ μονῇ. Καὶ μετὰ τὸ κηδευθῆναι, οὐκ ἀφῆκεν τοὺς ἀδελφοὺς φάλλειν εἰς τὸ ὄρος ἔμπροσθεν αὐτοῦ κατὰ τὸ ἔθος· ἀλλ' οὐδὲ προσφορὰ ἐγένετο ὑπὲρ αὐτοῦ. Τὸ δὲ ἔνδυμα αὐτοῦ συνάξας εἰς μέσον τῆς μονῆς ἔκαυσεν, φοβερίζων πάντας μὴ καταφρονεῖν τῆς ζωῆς αὐτῶν. Πῶς δὲ ἠνέσχετο αὐτοῦ[1] ἕως οὗ ἀπέθανεν, οὐκ οἴδαμεν. Τοῦτο δὲ οἴδαμεν, ὅτι οἱ ἄνθρωποι τοῦ Θεοῦ οὐδὲν βλαβερὸν ποιοῦσιν· τὸ γὰρ ἀπότομον αὐτῶν καὶ ἡ χρηστότης μεμετρημένα ἐστὶν γνώσεως[2] Θεοῦ.

Act. SS. § 66. *Silvani pueri*

104. Ἦν δέ τις Σιλβάνος[1] λεγόμενος παιδίον, ᾧ ἐνετείλατο ἐντολὰς ὁ πατὴρ ἡμῶν Παχούμιος πρὸ τοῦ εἰσαγαγεῖν αὐτὸν εἰς τὴν μονήν. Καὶ μετὰ ταῦτα ἀμελοῦντος αὐτοῦ καὶ πολλὰ γελῶντος, ἐκάλεσεν αὐτὸν λέγων· « Πῶς ἐνετειλάμην σοι τότε; Οὐκ οἶδας ὅτι μέγα ἐστὶν τὸ μοναχὸν γενέσθαι; Καὶ προείρηκά σοι πρὸς ταῖς θύραις· Βλέπε σεαυτόν, μὴ ἄρα οὐ δύνασαι μοναχὸς γενέσθαι. Καὶ ὡμολόγησας ἐνώπιον τοῦ Θεοῦ ὅτι· γίνομαι. Καὶ νῦν διὰ τί οὐ προσέχεις σεαυτῷ, εἰ ἀληθῶς ποθεῖς τὴν αἰώνιον ζωήν, ἀλλ' ἀπέλυσας τὴν καρδίαν σου; Ὅμως ἐπειδὴ οὔπω θέλεις εἰς φόβον τὴν κρίσιν τοῦ Θεοῦ ἔχειν, ἐγείρου, ὕπαγε πρὸς τοὺς γονεῖς σου, μηκέτι μείνῃς ὧδε. » Καὶ ἀκούσας ὁ παῖς ταῦτα, ἔκλαυσεν σφόδρα, μὴ θέλων ἀνακάμψαι εἰς τὰ κοσμικά· καὶ ὡμολόγησεν μετὰ πολλῆς παρακλήσεως γενέσθαι ὡς δεῖ μοναχός. Καὶ λοιπὸν μακροθυμήσας ἐπ' αὐτόν, ἐκάλεσεν μέγαν μονάζοντα Ψενάμωνα[2] λεγόμενον, καὶ λέγει αὐτῷ, μὴ παρόντος τοῦ παιδός· « Οἴδαμεν ὅτι ἐκοπίασας τῇ ἀσκήσει ἱκανὸν χρόνον. Ἀλλὰ διὰ τὸν Θεὸν παραλαβὼν τοῦτον τὸν παῖδα, σύμπασχε αὐτῷ κατὰ πάντα ἕως σωθῇ. Οἶδας γὰρ ὅτι ἐγὼ ἀσχολοῦμαι περὶ πολλὰ τῶν ἀδελφῶν. »

conversio

Act. SS. § 67. *et profectus singularis*

105. Καὶ ἦσαν οὕτως ἐργαζόμενοι ψιαθία, καὶ τὴν νηστείαν καὶ τὰς εὐχὰς πληροῦντες ὡς πρέπει. Ὁ δὲ παῖς λαβὼν ἐντολὰς ὑπακοῦσαι αὐτῷ, ἤκουεν κατὰ πάντα· καὶ ἕως φύλλου λαχάνου οὐκ ἤσθιεν, ἐὰν μὴ ἐξετάσῃ αὐτόν. Καὶ οὕτως ἦν ταπεινόφρων, μέγας καὶ πραΰς, οὐκ ἀνοίγων τὸ στόμα· καὶ οὐ ταχέως ἦρεν τοὺς ὀφθαλμοὺς αὐτοῦ πρός τινα· καὶ ἠσκεῖτο ἱκανῶς. Καθ' ἑαυτὸν δὲ εἰς ἀγρυπνίαν προσεῖχεν, ὥστε μετὰ τὸ κορεσθῆναι δεήσεων καὶ κάμνειν ἐκάθητο ἐν μέσῳ τοῦ κελλίου αὐτοῦ πλέκων τὴν νύκτα,

103. — F. — [1] αὐτῶ F. — [2] γνώσει *Pasquali.*
104. — F. — [1] *ita* F; Σιλβανός ΛΣΠΓ. — [2] ψενάμμων Γ.

καὶ οὕτως εἶχεν τοῦ ὕπνου τὴν χρείαν. Ἵνα μὴ δὲ πολλὰ εἴπωμεν, ἐγένετο ἄνθρωπος ζῶν. Καὶ μίαν καθημένων τῶν ἀδελφῶν, ἤρξατο ὁ ἀββᾶς Παχούμιος λαλεῖν ὅτι· « Ἔστιν ἄνθρωπος ἐν ἡμῖν, ἀφ' οὗ γέγονα μοναχός, οὐκ εἶδον τοιοῦτον. Καὶ ὥσπερ ἔριον λευκὸν βαφὲν πορφύραν τιμίαν καὶ οὐκέτι ἡ βαφὴ ἐξαλείφεται, οὕτως ἡ ψυχὴ ἐκείνη τῷ ἁγίῳ πνεύματι ἐβάφη[1]. Καὶ ἐὰν μετὰ τὸ ἀκοῦσαι τοιαύτην μαρτυρίαν νοήσῃ ὅτι περὶ αὐτοῦ ἐστιν ὁ λόγος, οὐ χαρήσεται· καὶ ψεγόμενος οὐ λυπηθήσεται· ἀλλ' ὁ αὐτός ἐστιν ἀμετάβλητος. » Καὶ ἀποκρίνεται Θεόδωρος καὶ λέγει αὐτῷ· « Πάτερ, δεῖξον ἡμῖν αὐτόν. Μὴ μείζων ἐστὶν Πετρωνίου καὶ Κορνηλίου; » Καὶ λέγει αὐτῷ· « Τί ἄλλους ὀνομάζεις; καὶ σοῦ αὐτοῦ μείζων ἐστίν. Κατὰ μὲν τὸν χρόνον καὶ τὴν ἄσκησιν καὶ τὴν γνῶσιν πατέρες αὐτοῦ ἐστε· κατὰ δὲ τὴν βαθεῖαν αὐτοῦ ταπεινοφροσύνην καὶ τὸ καθαρὸν τοῦ συνειδότος μέγας ἐστίν. Ὑμεῖς γὰρ δήσαντες τὸ πολεμοῦν ὑμᾶς θηρίον ὑπεθήκατε παρὰ τοῖς ποσὶν ὑμῶν· ἐὰν δὲ ἀμελήσητε, ἄνωθεν λυθὲν ἐπανίσταται ὑμῖν. Σιλβάνος δὲ ἔσφαξεν αὐτόν. » Καὶ ποιήσας οὕτως ἑπτὰ ἔτη, ἐκοιμήθη. Καὶ ἐχάρη ἐπ' αὐτῷ σφόδρα. Καὶ ὅσον ἐζήλουν ἀλλήλων τὰ κατορθώματα, τοσοῦτον καὶ προέκοπτον, μάλιστα ὁρῶντες ἔμπροσθεν αὐτῶν δυνατὸν τῷ πνεύματι ἐν ᾧ ὁ Χριστός.

Pachomii testimonio

declarantur.

Act. SS. § 68. *Theodorus,*

106. Καὶ Θεόδωρος, ὡς προειρήκαμεν, ταχθεὶς ἦν παρακλήτωρ ψυχῶν τῶν ἀδελφῶν μετ' αὐτόν. Καὶ μετὰ ἑπτὰ ἔτη ἐγένετο αὐτῷ ἀγὼν μέγας παρὰ Κυρίου εἰς δοκιμήν. Καὶ ἀρχαῖοι πατέρες καὶ κεφαλαὶ τῶν μονῶν συναχθέντες ἐπ' αὐτόν, τοῦ ἀββᾶ Παχουμίου κακουμένου, εἶπον· « Μήποτε ἐξαίφνης ὁ Κύριος ἐπισκέπτεται τὸν πατέρα ἡμῶν, καὶ ταλαίπωροι γενηθείημεν. Ἐπειδὴ οὖν οὐδεὶς ἡμῶν ἐπίσταται πᾶσαν τὴν ἀναστροφὴν αὐτοῦ ὡς σύ, πεισθεὶς ὁμολόγησον ἡμῖν ὅτι, ἐὰν τοῦτο γένηται, οὐ παραβλέψῃ ἡμᾶς μὴ σταθῆναι διάδοχος αὐτοῦ, ἵνα μὴ σκορπισθῶσιν οἱ ἀδελφοί. » Καὶ αὐτὸς μετὰ τὸ πολλὰ παραιτήσασθαι περὶ τούτου καὶ μὴ συγχωρεῖσθαι παρ' αὐτῶν, ἔδωκεν αὐτοῖς λόγον. Καὶ λοιπὸν ὡς ἤκουσεν τοῦτο ὁ ἀββᾶς Παχούμιος, οὐκ ἤρεσεν αὐτῷ· καὶ καλέσας πάντας τοὺς ἡγουμένους τῶν μοναστηρίων, Σούρουν, Ψενθάην, Παφνούτιον[1], Κορνήλιον καὶ αὐτὸν τὸν Θεόδωρον, λέγει αὐτοῖς· « Εἴπῃ ἕκαστος ὑμῶν τὸ ὑστέρημα ἑαυτοῦ. Ἐγὼ τὸ ἐμὸν πρῶτος λέγω· ἀμελῶ τῶν ἀδελφῶν ἐπισκέψασθαι καὶ παραμυθήσασθαι

105. — F. — [1] *corr.* F.
106. — F. — [1] (σούρ. ψενθ. παφν.) *aliter haec nomina scribuntur supra, c. 25, 26, 79; cf. etiam* Π.

αὐτούς, ὅτι ἔξω εἰμὶ εἰς τὴν νῆσον ἡμέρας ἐργαζόμενος τὸν ἀγρὸν διὰ τὴν τροφὴν τῶν ἀδελφῶν — λιμὸς γὰρ ἦν τότε. — Καὶ σύ, Θεόδωρε, εἶπον τὸ σόν. » Καὶ λέγει · « Ἐποίησα ἔτη ζ' ὑπὸ σοῦ πεμπόμενος εἰς τὰς μονὰς ἐπισκέψασθαι καὶ διατάσσειν πάντα ὡς σύ. Καὶ οὐδέποτε ἀνέβη τοῦτο ἐπὶ τὴν καρδίαν μου ὅτι · μετ' αὐτὸν τῇ τάξει ἐγώ εἰμι. Νῦν δὲ ὀχλοῦμαι τούτῳ τῷ λογισμῷ, καὶ οὐκ ἠδυνήθην οὔπω νικῆσαι αὐτόν. » Λέγει αὐτῷ ὁ ἀββᾶς Παχούμιος · « Καλῶς · οὐκέτι ἔχεις ἐξουσίαν οὐδενός. Ἀναχώρησον σεαυτῷ πώποτε καὶ δεήθητι τῷ Κυρίῳ ὅπως συγχωρήσει σοι. » Καὶ οὕτως ἀνέστη λυπούμενος σφόδρα · καὶ ἀπῆλθεν εἰς κελλίον ἥσυχον πενθεῖν ἑαυτὸν μετὰ κλαυθμοῦ καὶ ὀδύνης πολλῆς, φοβούμενος μήπως ὁ Θεὸς ἀποστρέψῃ τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, ἐπειδὴ ἐλύπησεν τὸν δοῦλον αὐτοῦ · ἐπειδὴ εἶχεν αὐτὸν τέλειον καὶ ἀήττητον.

imperandi spiritu tentatus

et a Pachomio correptus,

Ps. 26, 9.

Act. SS. § 69. *poenitentiam agit;*

107. Καὶ ἐποίησεν δύο ἔτη ἐν τῇ ἐπιτιμίᾳ, τῶν μεγάλων ἀδελφῶν παραμυθουμένων αὐτὸν πολλάκις, ἐπειδὴ παρ' αὐτοῖς οὐκ ἦν ἁμάρτημα τὸ γενόμενον[1], ἀλλὰ μόνον φρονεῖν ὅτι · μετ' αὐτὸν ἐγώ εἰμι. Θέλων δὲ αὐτὸν καταστῆσαι τέλειον καὶ ἀφίλαρχον παντελῶς, δι' ἣν αἰτίαν ἐπετίμησεν αὐτῷ. Καὶ πρὸ τοῦ αὐτὸν ἀναχωρῆσαι, εἶπεν αὐτῷ Θεόδωρος ὅτι · « Ἐπειδὴ ἔχω τι ἀπαλλάξαι ἐν Μωχώσει, πέμψον με καὶ ταχέως ἐλεύσομαι. » Καὶ ἔπεμψεν αὐτὸν μόνον. Καὶ πορευόμενος ἔκλαιεν λέγων · « Κύριε, ἆρα ἔτι μετάνοιαν ἔχω; » Καὶ φθάσας εἰς τὸ πορθμεῖον Χηνοβοσκείων ἐνέβη. Ἦσαν δὲ δύο γέροντες ἐν τῷ πλοίῳ. Καὶ ὁ εἷς ἤρξατο ἐγκωμιάζειν αὐτὸν λέγων τῷ ἄλλῳ · « Μακάριος οὗτος ὁ μοναχός. » Καὶ ὁ ἄλλος λέγει · « Τί τὸν ταλαίπωρον μακαρίζεις; Οὔπω ὅλως ἔφθασεν εἰς τὸ μέτρον τοῦ μαργωνίου. » Καὶ λέγει · « Τί ἐστιν τὸ μέτρον αὐτοῦ; » Ἄρχεται εἰπεῖν ὅτι · « Γεωργός τις ἦν σκληρὸς πάνυ, μεθ' οὗ σπάνιον ἦν τινα δυνηθῆναι ὅλον ἑνιαυτὸν ποιῆσαι μετ' αὐτοῦ. Ἐγερθεὶς δέ τις πορεύεται πρὸς αὐτὸν καὶ λέγει · « Ἐγὼ ἐργάζομαι μετὰ σοῦ. » Λέγει αὐτῷ · « Καλῶς. » Καὶ τῇ ἡμέρᾳ τοῦ ποτίζειν, εἶπεν · « Ὑδραγωγήσωμεν νυκτὸς ποτίζειν τὸν ἀγρὸν καὶ μὴ ἡμέρας. » Καὶ ἀποκρίνεται ἐκεῖνος λέγων · « Σοφία ἐστὶν τοῦτο, ἵνα μή τις πίῃ μήτε κτῆνος μήτε ἄνθρωπος μήτε ἄλλο τι ἐκ τοῦ ὑδραγωγοῦ ἡμῶν. » Καὶ ὅτε ἔμελλεν ἀροτριᾶν, λέγει αὐτῷ · « Τὸν ἀγρὸν ἡμῶν οὕτως σπείρωμεν · ἕνα αὔλακα σίτου, καὶ ἄλλον κριθῆς, καὶ ἄλλον φακοῦ, καὶ ἕτερον ἄρακος, καὶ τὰ λοιπὰ οὕτως. » Καὶ εἶπεν αὐτῷ ·

parabola servi oboedientis

107. — F. — [1] *γινόμενον* F.

« Ἡ σύνεσις αὕτη μείζων τῆς πρώτης ἐστίν. Ὁ γὰρ σπόρος ἡμῶν ὡραῖος εὑρίσκεται ἀπὸ ποικίλων ἀνθῶν. » Καὶ ὅτε ὁ χόρτος γέγονεν χωρὶς σπέρματος, λέγει αὐτῷ · « Ἄγωμεν θερίσαι. » Καὶ λέγει · « Ἄγωμεν. Μέγα κέρδος ἐστὶν τοῦτο τοῦ ἀχύρου · καὶ χλωρὸν εὑρίσκεται καὶ καλόν. » Καὶ μετὰ τὸ ἀλοῆσαι λέγει αὐτῷ ἐνεγκεῖν τὸ μαργώνιον · « καὶ μέτρῳ μεταφέρωμεν ἔσω τὸ ἄχυρον. » Καὶ λέγει · « Τοῦτο φρονιμώτερον τῶν πρώτων ἐστίν, ὅτι καὶ τὸ ἄχυρον συντηρεῖται. » Καὶ μετὰ τὸ δοκιμάσαι αὐτὸν ἐν πᾶσι τούτοις καὶ εὑρεῖν αὐτὸν ὑπήκοον ἀδιάκριτον, λέγει αὐτῷ · « Οὐκέτι μου γίνῃ μίσθιος, ἀλλ' υἱὸς καὶ κληρονόμος. » Τοιγαροῦν ἐὰν καὶ οὗτος μετρήσῃ τῷ μαργωνίῳ, δύναται τυχεῖν τοῦ μακαρισμοῦ. »

108. Καὶ λέγει αὐτῷ ὁ ἄλλος γέρων · « Ἐπειδὴ τὴν παραβολὴν εἶπες, εἰπὲ καὶ τὴν σύγκρισιν αὐτῆς. » Λέγει αὐτῷ · « Ὁ γεωργὸς ὁ Θεός ἐστιν · ὅτι δὲ σκληρός, ἐπειδὴ σταυρὸν ἐντέλλεται βαστάζειν, καὶ οὐ θέλημα καρδίας. Παχούμιος γάρ, ὁ τούτου πατήρ, ὑπακούσας αὐτῷ κατὰ πάντα ἐγένετο εὐάρεστος ἐνώπιον αὐτοῦ. Εἰ δὲ καὶ οὗτος ὑπομείνῃ καθ' ὁμοιότητα αὐτοῦ, ἆρα ἔσται κληρονόμος. » Καὶ ἀκούων ταῦτα, ἀπηνεοῦτο θαυμάζων τὰ λεγόμενά τε καὶ τοὺς λέγοντας. Καὶ ἐκβὰς ἀπὸ τοῦ πλοίου, οὐκ εἶδεν αὐτούς · ἦσαν γὰρ ἀπὸ Θεοῦ ἄγγελοι, οὕτως αὐτῷ φανέντες εἰς διόρθωσιν καὶ παραμυθίαν, τοῦ ἀββᾶ Παχουμίου οὕτως μαρτυροῦντος μετὰ ταῦτα. Καὶ ἀπελθὼν ἕως τῆς μονῆς καὶ ἀνακάμψας εἰς Παβαῦ, διελογίζετο τὰ ἀκουσθέντα αὐτῷ καὶ παρεκλήθη Θεόδωρος. Ἐλυπεῖτο δὲ οὐχ ὅτι ἐπετιμήθη, ἀλλ' ὅτι ὅλως ἐδέξατο λογισμὸν τοιοῦτον · μάλιστα ἀκούσας ἦν τοῦ ἀββᾶ Παχουμίου λέγοντος ὅτι · « Ὥσπερ νεκρὸς οὐ λέγει ἄλλοις νεκροῖς · « Κεφαλὴ ὑμῶν εἰμι, » οὕτως οὐδέποτε ἐλογισάμην ὅτι πατήρ εἰμι τῶν ἀδελφῶν, ἀλλ' αὐτὸς μόνος ἐστὶν ὁ Θεός. »

Act. SS. § 70.

Cf. Lc. 14, 27.

Cf. Gen. 17, 1.

recreatur;

Cf. Mt. 23, 9.

109. Καὶ μετὰ ταῦτα Ζακχαῖός τις τῆς διακονίας τῶν ἀδελφῶν, ἄνθρωπος Θεοῦ, ἠτήσατο Θεόδωρον παρὰ τοῦ ἀββᾶ Παχούμιου, λέγων · « Οἱ ὀφθαλμοὶ Θεοδώρου ἐβλάβησαν ἀπὸ τοῦ κλαίειν. Θέλεις ἆρω αὐτὸν μετ' ἐμοῦ ἐν τῷ πλοίῳ εἰς Ἀλεξάνδρειαν; » Λέγει αὐτῷ · « Ἄρον. » Καὶ ἐν τῷ πλοίῳ καὶ πανταχοῦ ἦν ὡς νεόφυτος, χθὲς γενόμενος μοναχός, ταπεινοφροσύνῃ πολλῇ καὶ πραότητι κεκοσμημένος. Καὶ μετὰ ταῦτα ὡμολόγησεν περὶ αὐτοῦ ὁ ἀββᾶς Παχούμιος, ὅτι ἐχάρισατο αὐτῷ ὁ Κύριος τὴν προτέραν αὐτοῦ προκοπὴν ἐπταπλασίονα.

Zachaeo socius datur.

Cf. Eph. 4, 2.

110. Ἦν δὲ καὶ αὐτὸς ὁ ἀββᾶς Παχούμιος ὑποτασσόμενος οἰκιακῷ, ταπεινὸς πλέον πάντων, ὡς γέγραπται · γῇ ὀρεινὴ καὶ τα-

Act. SS. § 71.

Deut. 11, 11.

Pachomii subiectio.

πεινή. Καὶ τῇ ὥρᾳ τῆς κατηχήσεως ἔστηκεν μετὰ τῶν τῆς οἰκίας ἀδελφῶν ἀκούων. Καὶ τὰ λεβιτωνάρια αὐτοῦ εἰς κελλίον ἦν ὑπὸ τὴν ἐξουσίαν τοῦ οἰκιακοῦ. Καὶ ἁπαξαπλῶς οὐκ εἶχεν ἐξουσίαν ἑαυτῷ λαβεῖν παρὰ τοῦ οἰκονόμου χρείαν τινὰ σώματος. Τῶν γὰρ αἰωνίων βασάνων μᾶλλον εὐλαβεῖτο τὸ ἀποξενισθῆναι τῆς ταπεινώσεως καὶ γλυκύτητος τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Cf. Mt. 11,29.

Theodorum Alexandrinum

111. Καὶ μίαν ἐξερχομένων τῶν ἀδελφῶν τοῦ φαγεῖν καὶ λαμβανόντων κορσενήλιον τὸ λεγόμενον ἔμπροσθεν τῆς θύρας, τῶν ἐκεῖ ὡς ἔθος ἦν, ἦλθεν καὶ αὐτὸς λαβεῖν τὸ μέρος αὐτοῦ. Καὶ ἀναχωροῦντι εἰς τὸν οἶκον, ἠκολούθησεν αὐτῷ λαβὼν καὶ αὐτὸς Θεόδωρος ὁ προειρημένος Ἀλεξανδρεύς. Καὶ ἐλθόντων ὅπου ἦν καὶ καθημένων, ἠρώτησεν αὐτὸν λέγων· « Ἤκουσα περὶ Κορνηλίου ὅτι ἐγκρατής ἐστιν σφόδρα, καὶ ἐν συνάξει ὅλῃ μὴ ἀφιέναι τὴν διάνοιαν αὐτοῦ μετεωρίζεσθαι. Καὶ ταύτῃ τῇ ὥρᾳ κἀγὼ πειράσας μετὰ πολλῆς νήψεως μόλις τρεῖς εὐχὰς ἐποίησα κατέχων μου τὸν λογισμόν. Πῶς οὖν δύναμαι, λόγους Θεοῦ ἀκούων καὶ εὐχόμενος, μὴ μετέωρον ἔχειν τὸν νοῦν; » Καὶ λέγει αὐτῷ παραβολήν· « Δοῦλος κατὰ σάρκα ὁρῶν ἐλεύθερον, κἂν ᾖ πτωχός, ἐπιθυμεῖ τῆς ἐλευθερίας· καὶ πτωχὸς ἄρχοντα, βούλεται εἶναι ἄρχων· καὶ ἄρχων βασιλέα, ὁμοίως ὑπεραγαπᾷ τὸ βασιλεύειν. Καὶ Κορνήλιος πολλὰ ἀγωνισάμενος παρὰ τῆς χάριτος τοῦ Κυρίου ἐκτήσατο.

diversos esse perfectionis gradus

docet.

Καὶ σὺ καμὼν ὁμοίως πίστευε καὶ λήμψῃ πρὸς τὴν ἀξίαν. »

112. Καὶ ἐπειδὴ ἡ φήμη αὐτοῦ ἔφθασεν ἕως μακράν, καὶ περὶ αὐτοῦ λαλοῦντές τινες μὲν τὰ ἴσα ἐλάλουν καὶ ἄλλοι ὑπὲρ τὰ μέτρα. Καὶ γενομένης ἀμφιλογίας ποτὲ περὶ τοῦ διορατικὸν αὐτὸν λέγειν, καὶ ἐν τῇ ἐκκλησίᾳ Λατῶν, παρόντων μοναχῶν καὶ ἐπισκόπων, καὶ αὐτὸς κληθεὶς γυμνάσασθαι τοῦτο, ἦλθεν ἐκεῖ μετά τινων ἀρχαίων ἀδελφῶν· καὶ βλέπων τοὺς πρὸς αὐτὸν φιλονεικοῦντας ἐσιώπησεν. Καὶ λοιπὸν ἐρωτώμενος ὑπὸ τῶν ἐπισκόπων Φίλωνος καὶ Μουεῖ[1] τοῦ ἀπολογήσασθαι, λέγει αὐτοῖς· « Οὐ σὺν ἐμοὶ ἦτέ ποτε ἐν τῷ μοναστηρίῳ μοναχοὶ πρὸ τῆς ἐπισκοπῆς ὑμῶν; Οὐκ οἴδατέ με τῇ χάριτι τοῦ Θεοῦ ὡς ὑμεῖς ἀγαπῶντα αὐτὸν τὸν Θεὸν καὶ φροντίζοντα τῶν ἀδελφῶν; Ὅτε Μωϋσῆς ὁ τοῦ μαγδώλου λεγόμενος[2] ἐδαιμονίσθη καὶ ἁρπαζόμενος ὑπὸ δαιμόνων εἰς τὰ κατάγεα θανατωθῆναι, οὐκ ἔγνωτε πῶς δι' ἐμοῦ ἡ χάρις τοῦ Θεοῦ ἐβοήθησεν αὐτῷ; ἵνα μὴ εἴπω καὶ ἄλλα. » Ἀποκρίνονται

Act. SS. § 72. In synodo Latopolitana interrogatus,

112. — F. — [1] *ἐμώη Π.* — [2] *μωϋσῆς ὁ μαγδόλου τοῦ λεγομένου* F *correxi ex Π.*

αὐτῷ ὅτι· « Ὁμολογοῦμέν σε ἄνθρωπον Θεοῦ εἶναι, καὶ γινώσκομεν ὅτι ἔβλεπες τοὺς δαίμονας, πολεμῶν αὐτοὺς ἀποστῆσαι τῶν ψυχῶν. Ἀλλὰ τὸ διορατικὸν ἐπειδὴ μέγα ἐστίν, ἀπολόγησαι πάλιν περὶ αὐτοῦ, καὶ πείσομεν τοὺς γογγύζοντας. »

Καὶ λέγει αὐτοῖς· « Οὐκ ἠκούσατέ μου λέγοντος πολλάκις ὅτι ἤμην παιδίον ἐξ ἑλλήνων γονέων μὴ εἰδὼς τί ἔστιν Θεός; Τίς οὖν ἐχαρίσατό μοι τὸ χριστιανὸν γενέσθαι; οὐκ αὐτὸς ὁ φιλάνθρωπος Θεός; Καὶ μετὰ ταῦτα ὀλίγων ὄντων μοναχῶν, κατ' ἰδίαν μόλις εὑρίσκονται δύο δύο ἢ πέντε ἢ δέκα τὸ πολύ, καὶ μετὰ πολλοῦ μόχθου κυβερνῶσιν ἀλλήλους φόβῳ Θεοῦ· ἡμεῖς δὲ τοσοῦτον πλῆθος ὄντες, ἐννέα μοναί, καὶ νύκτα καὶ ἡμέραν σπουδάζοντες τηρῆσαι τὰς ἑαυτῶν ψυχὰς ἀμέμπτους διὰ τοῦ ἐλέους αὐτοῦ, ὡς καὶ ὁμολογεῖτε ἡμᾶς γνῶναι τὰ περὶ τῶν ἀκαθάρτων πνευμάτων· ἐχαρίσατο δὲ ἡμῖν καὶ τοῦτο Κύριος ἐπιγνῶναι, ὅτε βούλεται, τίς αὐτῶν ὁ πορευόμενος καλῶς καὶ τίς ὁ ἐν ὑποκρίσει ὢν μοναχός. Ἄφες δὲ τὸ χάρισμα τοῦ Θεοῦ· φρόνιμοι κατὰ τὸν κόσμον καὶ νοήμονες, ἐὰν ποιήσωσιν ὀλίγας ἡμέρας ἐν μέσῳ ἀνθρώπων, ἑνὸς ἑκάστου διακρίνοντες οὐκ[3] ἐπιγινώσκουσιν τὴν διάθεσιν; Αὐτὸς δὲ ὁ τὸ ἴδιον αἷμα ἐκχύσας δι' ἡμᾶς, σοφία τοῦ Πατρός, ἐὰν ἴδῃ τινὰ ἐξ ὅλης καρδίας τρέμοντα τὴν ἀπώλειαν τοῦ πλησίον, μάλιστα πολλῶν, οὐ χαρίσηται αὐτῷ τὸ πῶς σῶσαι αὐτοὺς ἀμέμπτως ἤτοι διακρίσει πνεύματος ἁγίου ἤτοι ὀπτασίᾳ, ὅτε βούλεται ὁ Κύριος; Μὴ γὰρ ὅτε βούλομαι, βλέπω τὰ τῆς σωτηρίας ἡμῶν, ἀλλ' ὅτε ὁ πᾶσαν κυβέρνησιν ἔχων ἐμπιστεύει ἡμῖν. Ἄνθρωπος γὰρ καθ' ἑαυτὸν ματαιότητι ὡμοιώθη· γενόμενος δὲ ὑπὸ Θεὸν γνησίως, οὐκέτι μάταιος, ἀλλὰ ναὸς Θεοῦ, ὡς αὐτὸς λέγει· Ἐνοικήσω ἐν αὐτοῖς· οὐκ ἐν πᾶσιν, ἀλλ' ἐν μόνοις τοῖς ἁγίοις λέγει· καὶ ἐν ὑμῖν καὶ ἐν πᾶσιν, ἀλλὰ καὶ ἐν Παχουμίῳ, ἐὰν ποιήσῃ τὸ θέλημα αὐτοῦ. » Καὶ ταῦτα ἀκούσαντες ἐθαύμασαν τήν τε παρρησίαν καὶ τὴν ταπεινοφροσύνην τοῦ ἀνδρός. Καὶ ὡς ἐπαύσατο λαλῶν, ἦλθέν τις ἐνεργούμενος ὑπὸ τοῦ ἐχθροῦ, ἔχων μάχαιραν σφάξαι αὐτόν. Ἀλλὰ διὰ τῶν συνόντων αὐτῷ ἀδελφῶν ἔσωσεν αὐτὸν Κύριος, θορύβου γενομένου ἐν τῇ ἐκκλησίᾳ. Τινῶν οὖν οὕτως λαλούντων καὶ ἄλλων ἄλλως, καὶ διασωθέντων τῶν ἀδελφῶν, ἦλθον εἰς τὴν μονὴν αὐτῶν τὴν ἐσχάτην, τὴν[4] λεγομένην Παχνούμ[5], οὖσαν ἐν τῇ ἐνορίᾳ τῆς αὐτῆς πόλεως Λατῶν.

a Deo sibi manifestari fatetur;

secreta cordium

Cf. Heb. 9,12; I Cor. 1, 24.

Ps. 143, 4.

II Cor. 6, 16.

mortem effugit.

113. Καὶ μετὰ τὸ ἐλθεῖν τὸ πλοῖον ἀπὸ τῆς Ἀλεξανδρείας — Act. SS. § 73.

[3] *in ras.* F. — [4] *corr.* F. — [5] *παχνοῦν* PD, *παχνῶν* N; *supra, c. 83, idem monasterium vocatur πιχνουμ* F, *παχμοῦ* A.

δύο δὲ ἦσαν μόνα ὅλου τοῦ κοινοβίου, τὸ μὲν εἰς τὰ ψιαθία πωλῆσαι εἰς τὴν διατροφὴν καὶ τὰς ἄλλας χρείας, τὸ δὲ διὰ τοὺς λεβίτωνας αὐτῶν — ἐλθόντες δὲ Ζακχαῖος καὶ Θεόδωρος ἠσπάσαντο αὐτὸν καὶ τοὺς ἀδελφούς. Καὶ λέγει αὐτοῖς· « Πῶς ἡ ἐκκλησία; » Ἐλυπεῖτο γὰρ δι' αὐτὴν τότε, ἐπειδὴ μετὰ βίας οἱ βλάσφημοι Ἀρειανοὶ μετὰ Γρηγορίου τινὸς ὡς λῃσταὶ ἐπανέστησαν αὐτῇ. Καὶ περὶ τούτου ἠΰχετο τὸν Θεόν, σφόδρα ὀδυνώμενος τῇ καρδίᾳ διὰ τὸν λαὸν τοῦ Θεοῦ οὕτως ἀδικούμενον, μὴ ἔχοντα τὸν ἀρχιεπίσκοπον Ἀθανάσιον τὸν χριστοφόρον. Καὶ ἔλεγεν· « Πιστεύομεν τῷ συγχωρήσαντι τοῦτο γενέσθαι Κυρίῳ πρὸς δοκιμὴν τῶν πιστῶν, ὅτι ταχέως ἐκδίκησις ἔσται καὶ οὐ χρονιεῖ. » Καὶ μετὰ ταῦτα λέγει αὐτοῖς καὶ τὴν θλῖψιν τὴν γενομένην [1] αὐτῷ ἐν τῇ Λατῶν, εὐχαριστῶν καὶ λέγων ὅτι· « Ὀφείλομεν ὑπομένειν πάντα πειρασμόν· οὐ γὰρ βλάπτει. Οὗτοι μὲν οὖν ὀρθόδοξοι πατέρες εἰσὶν καὶ ἀδελφοὶ οἱ ἐξετάζοντες τὰ καθ' ἡμᾶς, κἂν ὁ ἐχθρὸς ἔν τισιν ἡμῶν ἰδίοις ἐπονηρεύσατο, ἐκτὸς γενομένοις τοῦ τείχους ἤτοι τοῦ νόμου πρὸς ὀλίγον, ἀλλ' ὁ Θεὸς καὶ ἡμᾶς καὶ τούτους ἔσωσεν. Αὐτὸς δὲ ὁ ἁγιώτατος πάπας, τοσοῦτον χρόνον ὑπὸ ἐχθρῶν πολεμούμενος, ἀληθῶς μακάριός ἐστιν. Καὶ οὐ δύνανται πρὸς αὐτὸν ἔχοντα τὸν Θεὸν βοηθὸν τῆς πίστεως αὐτοῦ. Καὶ τὸ γεγραμμένον πληρωθήσεται ἐπ' αὐτόν· Πᾶσα φωνὴ ἣ ἐπαναστήσεταί σοι εἰς κρίσιν, καὶ πάντας αὐτοὺς ἥττήσει. » Καὶ οὕτως ἐγένετο· καὶ ἀπεκατεστάθη ταχέως εἰς τὴν ἐκκλησίαν μετὰ δόξης.

De Ecclesia Dei sollicitus,

Athanasium cito rediturum

Cf. Iac. 1,12.

Cf. Ps. 73, 3.

Is. 54, 17. *praedicit.*

114. Καὶ μετὰ τὸ πάσχα νόσος κατέλαβεν τοὺς ἀδελφοὺς παρὰ Κυρίου· καὶ ἐν πάσαις ταῖς μοναῖς ἀδελφοὶ ἐκοιμήθησαν ὡς ρ' καὶ πλεῖον ἐπὶ τὸ αὐτό. Καὶ αὐτὸς ἦν κακωθείς. Ἡ δὲ νόσος ἡ λοιμική ἐστιν· καὶ ὅτε τινὰ ἐλάμβανεν ὁ πυρετός, εὐθὺς ἠλλάσσετο τῷ χρώματι· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ αἱματώδεις· καὶ ὡς πνιγόμενος ἦν, ἕως ἀποδῷ τὸ πνεῦμα. Καὶ τότε Σούρους ἀπέθανεν, ἡγούμενος τῆς μονῆς Παχνούμ, καὶ Κορνήλιος, τῆς μονῆς Μωχώσεως, καὶ Παφνούτιος, ὁ οἰκονόμος ὅλων τῶν μοναστηρίων, ὁ μένων ἐν Παβαῦ, καὶ ἄλλοι πολλοὶ καὶ μεγάλοι ἀδελφοί. Θεόδωρος δὲ διηκόνει τῷ ἀββᾷ Παχουμίῳ. Καὶ τὸ σῶμα ἀπὸ τοῦ χρονίσαι ἐν τῇ νόσῳ ἐγένετο λεπτὸν σφόδρα· ἡ δὲ καρδία καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ πῦρ καιόμενον ἦν.

Multis fratribus peste exstinctis,

Pachomius eadem corripitur;

Καὶ πρὸ ἡμερῶν δύο τοῦ τελευτῆσαι αὐτόν, συγκαλεῖ τοὺς ἄλλους πατέρας τῶν μονῶν καὶ τοὺς ἄλλους ἡγουμένους καὶ λέγει αὐτοῖς· « Ἰδοὺ βλέπετε ὅτι ἐπισκέπτεταί με ὁ Κύριος. Ἐκλέξασθε

113. — F. — [1] *γινομένην* F.

οὖν ἑαυτοῖς τὸν δυνάμενον ἐν Κυρίῳ κυβερνῆσαι ὑμᾶς. » Καὶ καλεῖ τινα αὐτῶν τῆς μονῆς Χηνοβοσκείων, Ὡρσίσιον λεγόμενον. Καὶ αὐτὸς δὲ ἦν δυνατὸς τῇ πίστει καὶ ταπεινόφρων καὶ ἀγαθός. Καὶ λέγει αὐτῷ· « Περιελθὼν ἐξέτασον τίνα αἱροῦνται. » Καὶ περιῆλθεν· καὶ αὐτῶν δὲ λεγόντων μετὰ κλαυθμοῦ· « Ἀφ' οὗ παρέδωκεν ἡμᾶς ὁ Κύριος εἰς τὰς χεῖράς σου, οὐδένα οἴδαμεν εἰ μὴ σέ, » λέγει αὐτοῖς· « Πιστεύετέ μοι τοῦτο, ὅτι νομίζω, ἐὰν ζήσῃ Πετρώνιος, δύναται φροντίζειν ὑμῶν. » Ἦν γὰρ καὶ αὐτὸς ἀσθενῶν ἐν τῇ μονῇ αὐτοῦ, Τομὴν [1] λεγομένῃ [2], περὶ τὴν Πανός.

successorem sibi

Petronium designat;

115. Καὶ μετὰ τὸ εὔξασθαι αὐτοὺς καὶ ἀναχωρῆσαι, λέγει ὁ ἀββᾶς Παχούμιός τινι ἀδελφῷ· « Ποίησον ἀγάπην, ἔνεγκέ μοι στρῶμα καλόν, ὅτι τοῦτο βαρύ ἐστιν, καὶ τὸ σῶμά μου οὐ φέρει· ἔχω γὰρ ὡς μ' ἡμέρας νοσῶν· ἀλλὰ εὐχαριστῶ τῷ Θεῷ. » Καὶ ἀπελθὼν ἐκεῖνος εἰς τὸ οἰκονομεῖον ἔλαβεν στρῶμα καλὸν ἐλαφρὸν καὶ ἐπέβαλεν ἐπ' αὐτόν. Καὶ ἰδὼν τὴν διαφορὰν τοῦ στρώματος λέγει αὐτῷ· « Ἆρον αὐτό· οὐ γὰρ ὀφείλω ἐν οὐδενὶ διαφορὰν τῶν ἀδελφῶν ἔχειν, ὡς γὰρ δήποτε ἐκπλέκω ἕως ἂν ἐξέλθω [1] τοῦ σώματος. »

Act. SS. § 75.

stragulum levius recusat;

116. Καὶ ὠχλεῖτο ἀποδοῦναι τὸ πνεῦμα. Καὶ κρατεῖ παρακλητικῶς τὸν πώγωνα Θεοδώρου καὶ λέγει αὐτῷ· « Τὰ ὀστᾶ μου ἐὰν κρύψωσιν, ἐξένεγκον αὐτὰ ἐκεῖθεν. » Θεοδώρου δὲ νομίσαντος ὅτι παραγγέλλει αὐτῷ μὴ ἀφεῖναι τὸ σῶμα αὐτοῦ ὅπου θάπτουσιν αὐτό, ἀλλὰ μεταθεῖναι αὐτὸ ἀλλαχοῦ λάθρα, λέγει αὐτῷ ὅτι· « Οὐ μόνον τοῦτο λέγω σοι, ἀλλὰ καὶ τοῦτο· » καὶ τρὶς παρήγγειλεν αὐτῷ· ἔλεγεν δὲ καὶ τοῦτο, μὴ ἀμελεῖν αὐτὸν τῶν ἀδελφῶν τῶν ἀμελούντων, ἀλλὰ διεγείρειν αὐτοὺς τῷ νόμῳ τοῦ Θεοῦ. Καὶ λέγει αὐτῷ Θεόδωρος· « Καλῶς. » Καὶ οὕτως ἀπέδωκεν τὴν ἁγίαν ψυχὴν τῇ τεσσαρεσκαιδεκάτῃ [1] τοῦ παχὼν μηνός. Καὶ ὅλην τὴν νύκτα ἀγρυπνούντων περὶ αὐτὸν ἀναγνώσει καὶ προσευχαῖς, κηδευθὲν τὸ σῶμα ἀπηνέχθη ὁμοίως [2] μετὰ ψαλμῶν εἰς τὸ ὄρος καὶ ἐτάφη. Καὶ καταβάντων αὐτῶν, μετεβίβασεν αὐτὸ Θεόδωρος καὶ ἄλλοι τρεῖς ἀδελφοὶ εἰς ἄλλον τόπον. Καὶ ἐκεῖ ἐστιν ἕως ἄρτι.

Theodoro ultima verba locutus

moritur.

117. Οἱ δὲ ἀποσταλέντες ἐπὶ ἀββᾶν Πετρώνιον ἤνεγκαν αὐτὸν νοσοῦντα. Καὶ ἐν τῇ νόσῳ ἦν πάλιν ἐστυμμένος καὶ νηφάλιος σφόδρα. Καὶ ποιήσας ἡμέρας ὀλίγας κυβερνῶν τοὺς ἀδελφοὺς λόγῳ

Mox et Petronius moritur;

114. — F. — [1] *cf. infra, c. 134: τὸ μηνέ.* — [2] *λεγομένην* F.
115. — F. — [1] *ἐξέλθη* F.
116. — F. — [1] *τέσσαρις καὶ δεκάτη* F. — [2] *corr.* F.

Θεοῦ καὶ τῇ μνήμῃ τοῦ πατρὸς αὐτῶν, ἐτελεύτησεν ἐπιφὶ τοῦ μηνὸς ἑβδόμῃ καὶ εἰκάδι. Καὶ μέλλων ἀποδοῦναι τὸ πνεῦμα, ἐξήτασεν αὐτοὺς διάδοχον ἀντ' αὐτοῦ πατέρα. Εἰπόντων δὲ πάλιν τὴν μέριμναν ταύτην αὐτοῦ εἶναι, ἔταξεν αὐτοῖς τὸν ἀββᾶν Ὡρσίσιον παρόντα, περὶ οὗ ἐλαλοῦμεν τὸ πρότερον. Καὶ ἀκούσας ἔκλαυσεν λέγων · « Οὐκ ἔστιν μου δύναμις τοῦτο. » Καὶ κηδεύσαντες τὸν ἅγιον Πετρώνιον μετ' εὐχῶν καὶ ψαλμῶν ἔθαψαν αὐτὸν εἰς τὸ ὄρος.

cui succedens Orsisius,

Act.SS.§76. **118.** Ἀββᾶ Ὡρσίσιος[1] δὲ ἦν λίαν ἀγαθὸς καὶ ταπεινός. Καὶ περιήρχετο τὰ μοναστήρια ἐπισκέπτεσθαι τοὺς ἀδελφοὺς νηφαλέως[2], γινώσκων τὸν ἅγιον πατέρα ἀββᾶν Παχούμιον τέλειον ὄντα

Cf. Act. 16, 32.

ὅπως περὶ αὐτῶν[3] ἐσπούδαζεν. Καὶ στήκων ἢ καθήμενος λαλῆσαι αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ, ὠφέλει αὐτούς. Καὶ ἐμνημόνευεν πολλάκις τοῦ λόγου τοῦ ἀββᾶ Παχουμίου εἰπόντος αὐτῷ, ὅτε ἦν κεφαλὴ εἰς τὰ Χηνοβοσκεῖα, ὅτι · « Κἂν οὔπω ἔλαβες πολλὴν τὴν

parabolis

γνῶσιν τοῦ Θεοῦ, ἀλλ' εἰπὲ αὐτοῖς παραβολήν, καὶ ὁ Θεὸς ἐνεργεῖ αὐτήν. » Καὶ οὕτως ἔλεγεν παραβολὰς καὶ ἔλυεν · καὶ ἐθαύμαζον

fratres

ἀκούοντες οἱ ἀδελφοί. Μία δὲ αὐτῶν ἐστιν αὕτη λέγοντος · « Οἴδαμεν ὅτι ἀπὸ τῶν γραφῶν ὁ πατὴρ ἡμῶν τῇ τελείᾳ γνώσει ἐστήριξεν ἡμᾶς. Ἀλλὰ κατὰ τὴν πτωχείαν μου νομίζω, ὅτι ἐὰν μὴ ὁ ἄνθρωπος φυλάξῃ τὴν ἑαυτοῦ καρδίαν καλῶς, πάντα ὅσα ἤκουσεν ἐπιλανθάνεται καὶ ἀμελεῖ. Καὶ οὕτως ὁ ἐχθρὸς εὑρὼν ἐν αὐτῷ τόπον, καταβάλλει αὐτόν. Ὥσπερ γὰρ λύχνος σκευασθεὶς καὶ φαίνων, ἐὰν ἀμεληθῇ λαβεῖν ἔλαιον, σβέννυται κατ' ὀλίγον, καὶ λοιπὸν ἐνδυναμοῦται τὸ σκότος κατ' αὐτοῦ · οὐ μόνον δέ, ἀλλὰ ἐνίοτε μῦς περὶ αὐτὸν ἐρχόμενος ζητήσει τὸ ἐνλύχνιον καταφαγεῖν · πρὸ τοῦ μὲν σβεσθῆναι τέλεον, οὐ δύναται · ἐὰν δὲ ἴδῃ ὅτι οὐκ ἔχει οὐ μόνον φῶς, ἀλλ' οὐδὲ θέρμην πυρὸς τὸ ἐνλύχνιον, ἀναspάσας φαγεῖν καταβάλλει καὶ τὸν λύχνον συντριβῆναι ποιεῖ · καὶ ἐὰν μὲν ᾖ ὀστράκινος, ἀπόλλυται · ἐὰν δὲ ᾖ χαλκοῦς, εὑρεθεὶς ὑπὸ τοῦ οἰκοδεσπότου σκευάζεται ἄνωθεν. Οὕτως ψυχῆς ἀμελουμένης, ὅσον ὅσον τὸ ἅγιον Πνεῦμα ἀπ' αὐτῆς ἀναχωρεῖ, ἕως τέλεον ἀποσβεσθῇ τῆς θέρμης αὐτοῦ · καὶ λοιπὸν ὁ ἐχθρὸς καταφαγὼν τὴν προθυμίαν τῆς ψυχῆς καὶ τὸ σῶμα ἀφανίζει κακίᾳ · καὶ ἐὰν μὲν ᾖ ἐκεῖνος τῇ διαθέσει καλὸς πρὸς τὸν Θεόν, ἁπλῶς δὲ ἡρπάγη ἀμελείᾳ, ὁ Θεὸς ὁ οἰκτίρμων βαλὼν εἰς αὐτὸν τὸν φόβον αὐτοῦ καὶ τῶν κολάσεων τὴν μνήμην, νήψει ἐπὶ τὰ ἔμπροσθεν τηρῶν

fratres instruit.

118. — F. — [1] *ὡρσίος sed corr. in marg.* F. — [2] *νιφάλεος* F. — [3] *ὅπῶς (sic) περὶ αὐτὸν* F.

ἑαυτὸν μετὰ ἀσφαλείας πολλῆς ἕως τῆς ἐπισκοπῆς αὐτοῦ. » Καὶ ταῦτα λαλήσας, ἀνέστη εὔξασθαι, ὠφελήσας αὐτοὺς τῇ παραβολῇ.

Orsisium olim

119. Ἀββᾶ Ὡρσίσιος δὲ ἦν ἐν μέσῳ τῶν ἀδελφῶν ζηλῶν τὸν βίον τοῦ ἀββᾶ Παχουμίου · κατέλαβεν γὰρ αὐτὸν χρόνον. Καὶ ὅτε ἔταξεν αὐτὸν εἰς Χηνοβοσκεῖα πατέρα, γογγυζόντων τινῶν περὶ αὐτοῦ ὡς νεοφύτου ὄντος πρὸς τὴν τάξιν, ἀββᾶ Παχούμιος ἀκούσας ἔλεγεν περὶ αὐτοῦ οὕτως · « Μὴ νομίσητε ὅτι τῶν ἀρχαίων ἐστὶν μόνον ἡ βασιλεία τῶν οὐρανῶν. Καίτοι γε ἀρχαῖος κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ γογγύζων οὐκ ἔστιν ἀρχαῖος · ἀλλ' οὐδὲ οὔπω ἔβαλεν ἀρχὴν τοῦ μοναχοῦ. Οὐδὲν γὰρ παρὰ ἀνθρώπου θέλει ὁ Θεός, εἰ μὴ φόβον καὶ ἀγάπην · ἡ δὲ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. Λέγω ὑμῖν · οὕτως προκόπτων Ὡρσίσιος λυχνία ἐστὶν χρυσῆ ἐν οἴκῳ Κυρίου. Καὶ τὸ γεγραμμένον καταλήψεται αὐτόν · Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. »

Pachomius laudaverat.

Rom. 13, 10.

II Cor.11,2.

Act. SS.§ 77.

120. Καὶ ἐγένετο ὅτε ὁ ἀρχιεπίσκοπος ὁ ἅγιος Ἀθανάσιος ἀνέκαμψεν μετὰ δόξης Κυρίου ἀπὸ τοῦ κομιτάτου, παρερχόμενοι οἱ ἀδελφοὶ ἐν τῷ πλοίῳ εἰς Ἀλεξάνδρειαν ἤκουσαν τὸν πατέρα ἡμῶν τὸν μακάριον Ἀντώνιον ἐν τῷ ὄρει τῷ ἔξω εἶναι · καὶ ὁρμίσαντες ἀνέβησαν ἰδεῖν αὐτὸν καὶ εὐλογηθῆναι ὑπ' αὐτοῦ ἀνθρώπου Θεοῦ ὄντος. Καὶ αὐτὸς ἀκούσας ἤκειν τοὺς ἀδελφούς, ἑαυτὸν βιασάμενος ἀνέστη — ἦν γὰρ πρεσβύτης λίαν — καὶ ἐξελθὼν ἠσπάσατο αὐτούς. Καὶ λοιπὸν ἐξετάζει αὐτούς · « Πῶς ὁ ἀββᾶς Παχούμιος; » Αὐτῶν δὲ κλαιόντων, συνῆκεν ὅτι ἀπέθανεν · καὶ λέγει αὐτοῖς · « Μὴ κλαίετε · πάντες ὑμεῖς ἐγεννήθητε ὡς ἀββᾶ Παχούμιος. Λέγω ὑμῖν, μεγάλην ἀνεδέξατο διακονίαν τὴν συναγωγὴν τοσούτων ἀδελφῶν, καὶ τὴν τῶν ἀποστόλων ὁδὸν πορεύεται. » Ἀποκρίνεται ὁ ἀββᾶς Ζακχαῖος καὶ λέγει αὐτῷ · « Σὺ μᾶλλον, πάτερ, παντὸς τοῦ κόσμου τούτου φῶς τυγχάνεις · καὶ ἡ φήμη σου ἕως τῶν βασιλέων ἀπῆλθεν, καὶ δοξάζουσιν τὸν Θεὸν διὰ σοῦ. » Καὶ εἶπεν · « Ἀποπείθω σε, Ζακχαῖε. Κατὰ τὴν ἀρχήν, ὅτε μοναχὸς γέγονα, οὐκ ἦν κοινόβιον θρέψαι ἄλλας ψυχάς · ἀλλ' ἕκαστος τῶν ἀρχαίων μοναχῶν μετὰ τὸν διωγμὸν κατὰ μόνας ἠσκεῖτο. Καὶ μετὰ ταῦτα ὁ πατὴρ ὑμῶν ἐποίησεν τοῦτο τὸ ἀγαθὸν παρὰ Κυρίου. Ἄλλος μέν τις πρὸ αὐτοῦ ἠθέλησεν, Ἀωτας[1] λεγόμενος, τὴν διακονίαν ταύτην κτήσασθαι · καὶ ἐπειδὴ ἐξ ὅλης καρδίας οὐκ ἐσπούδασεν, διὰ τοῦτο οὐκ ἐπέτυχεν αὐτῆς. Περὶ δὲ τοῦ πατρὸς ὑμῶν ἤκουσα πολλάκις καλῶς ἀναστρεφομένου κατὰ τὰς γραφάς · καὶ

Fratres ab Antonio, qui Pachomium laudibus effert,

Cf.Mt.5,14.

Cf.Heb.13,18

120. — F. — [1] *ita* F, *ἀωτᾶς* PD, *ταωτᾶς* N.

γὰρ ἀληθῶς πολλάκις ἐβουλόμην ἰδεῖν αὐτὸν καὶ ἐν σώματι · τάχα δὲ ἄξιος οὐκ ἦμην · ὅμως ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν χάριτι Θεοῦ βλέπομεν ἀλλήλους καὶ πάντας τοὺς ἁγίους πατέρας, μᾶλλον δὲ τὸν δεσπότην καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστόν. Θαρσεῖτε οὖν καὶ στηρίχθητε καὶ τελειώθητε. Εἴπατε δέ μοι τίνα κατέστησεν διάδοχον αὐτοῦ; » Καὶ αὐτῶν εἰπόντων · « Τινὰ ἀββᾶν Πετρώνιον · κἀκεῖνος ἀποθνῄσκων τὸν ἀββᾶν Ὡρσίσιον, » λέγει · « Μὴ καλέσητε αὐτὸν Ὡρσίσιον, ἀλλ' Ἰσραηλίτην. Καὶ ἐὰν ἀπέλθητε πρὸς τὸν ἐπίσκοπον Ἀθανάσιον, τὸν ἄξιον ἀληθῶς τῆς ἐπισκοπῆς, εἴπατε αὐτῷ · Τάδε λέγει Ἀντώνιος · Πρόσεχε τοῖς τέκνοις τοῦ Ἰσραηλίτου. » Καὶ οὕτως εὐξάμενος καὶ εὐλογήσας αὐτούς, ἀπέστειλεν αὐτούς, γράψας ἐπιστολὴν αὐτῷ δι' αὐτῶν. Καὶ λοιπὸν ἐλθόντας εἰς Ἀλεξάνδρειαν πολλὰ ὑπεδέξατο αὐτοὺς ἀγαπῶν αὐτοὺς ὁ ἅγιος πάπας, μάλιστα διὰ τὸν λόγον τοῦ μακαρίτου, γινώσκων αὐτὸν ὁποῖος ἦν.

Cf. Iud. 4. Cf. Ioh. 1,48. *et ab Athanasio benigne excipiuntur.*

Act. SS. § 78. *Theodorus*

121. Καὶ μετὰ ταῦτα ἀββᾶ Ὡρσίσιος ἔταξεν πρὸς καιρὸν Θεόδωρον οἰκιακὸν τῶν τεκτόνων Παβαῦ. Καὶ Μακάριός τις, πατὴρ τῆς μονῆς Παχνοὺμ μετὰ ἀββᾶν Σούρουν [1], ᾐτήσατο τὸν Θεόδωρον παρὰ ἀββᾶ Ὡρσισίου, ὅπως μετ' αὐτοῦ πέμψῃ αὐτὸν εἰς τὴν μονὴν αὐτοῦ, ὡς ἵνα κολλήσῃ τοὺς ἄρτους αὐτῶν · ᾔδει γὰρ ὅτι εἰς παραμυθίαν γενήσεται τοῦτο. Καὶ μετὰ τὸ πάσχα ἀπῆλθεν μετ' αὐτοῦ εἰς τὴν μονήν. Καὶ ἔτι ἐν τῷ πλοίῳ ὄντων αὐτῶν, προσῆλθεν αὐτῷ καθημένῳ ἀδελφός τις · καὶ βλέπων ὡς νεόφυτον αὐτὸν ταπεινὸν καὶ ἥσυχον, λέγει αὐτῷ · « Πόσον χρόνον ἐποίησας ἐν τοῖς ἀδελφοῖς; » Ὁ δὲ εἶπεν · « Ὀλίγον. » Καὶ λέγει αὐτῷ · « Οἶδας πρὸ τοῦ σε ἐλθεῖν ἀρτοκόπος [2]; » Καὶ λέγει αὐτῷ · « Ἁπλῶς. » Πάλιν εἶπεν αὐτῷ · « Ἐὰν ἐλθὼν εἰς τὸ ἀρτοκοπεῖον ἴδῃς τινὰ πλέον γελῶντα ἢ ἕτερον μαχόμενον, ὡς καὶ ἐν κοινοβίῳ διάφοροί εἰσιν, μὴ σκανδαλισθῇς · ἀλλὰ σεαυτῷ καὶ τοῖς νηφαλέοις πρόσεχε. » Καὶ λέγει · « Καλῶς. » Καὶ μετὰ τὸ ὁρμίσαι τὸ πλοῖον εἰς τὸ μοναστήριον, ἀκούσαντες οἱ ἀδελφοὶ περὶ αὐτοῦ, ἐξῆλθον πάντες εἰς ἀπάντησιν μετὰ χαρᾶς · ᾔδεισαν γὰρ αὐτὸν ἀπὸ τότε παρακλήτορα ψυχῶν μετὰ τοῦ πατρὸς ἡμῶν. Κἀκεῖνος ὁ λαλήσας αὐτῷ ὡς νεοφύτῳ ἐν τῷ πλοίῳ, ἰδὼν τοὺς ἀδελφοὺς δοξάζοντας αὐτόν, ᾐσχύνθη καὶ ἐφοβήθη ὡς τοιαῦτα τολμήσας λαλῆσαι ἀνθρώπῳ τοιούτῳ.

ad pinsendos panes missus, *pro novicio* *se gerit.*

I Cor. 3, 10.

122. Ἀββᾶ Ὡρσίσιος δὲ ἔτρεφεν τοὺς ἀδελφοὺς κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν αὐτῷ. Καὶ ἔτι μᾶλλον προσετέθη αὐτῷ

121. — F. — [1] σουροῦν F *hoc loco.* — [2] ἀρτοκόπον? *Pasquali.*

ὁ λόγος τοῦ λαλῆσαι εἰς παράκλησιν τῶν ἀδελφῶν. Καὶ οὐ μόνον διὰ παραβολῶν ἐλάλει αὐτοῖς, ἀλλὰ καὶ τῶν ῥητῶν τὴν σύγκρισιν · καὶ τοὺς κανόνας τοῦ κοινοβίου, οὓς ἔθετο ἔτι ζῶν ὁ ἀββᾶς Παχούμιος εἰς σύστασιν αὐτοῦ, παρήγγειλεν τηρεῖν καὶ τὰς διαταγὰς τῶν πατέρων καὶ οἰκιακῶν καὶ δευτέρων τοῦ μοναστηρίου. Καὶ ἔταξεν αὐτοὺς κατὰ τοὺς δύο καιροὺς τοῦ ἐνιαυτοῦ, τῷ πάσχα καὶ τῇ μεγάλῃ ἀφέσει τῶν λόγων τῆς χρείας αὐτῶν τῆς σωματικῆς καὶ τοῦ ἔργου αὐτῶν καὶ ἀναλώματος, ὅπως γνῷ ὁ οἰκονόμος τῆς μεγάλης μονῆς πῶς οἰκονομεῖ.

Orsisius Pachomii instituta promovet,

Act. SS. § 79. *multis primorum discipulorum superstitibus.*

123. Καὶ οὕτως διετήρει αὐτοὺς ὁ Κύριος ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ, καθὼς ἦσαν τὸ πρότερον. Οὔπω γὰρ ἦσαν ἀκμὴν [1] πολλοὶ κοιμηθέντες τῶν ἀρχαίων. Οὗτοι δέ εἰσιν · Ψενταήσιος [2], Σαμουήλ, Παῦλος, Ἰωάννης καὶ Ἱερακαπόλλων [3], ὃς προείρηται ἐν Κυρίῳ παραμυθησάμενος τὸν πατέρα ἡμῶν Παχούμιον ἀπὸ θλίψεων, καὶ ὁ μέγας Τιθόης καὶ Ἰωνᾶς καὶ ἄλλοι πολλοί, καὶ Θεόδωρος ὁ πολιτικός, ἔτι δὲ σὺν τούτοις Θεόδωρος, ὃν ἐπύρωσεν ὁ Κύριος διὰ τοῦ ἀββᾶ Παχουμίου ἐν πνεύματι, τοῦ γενέσθαι αὐτὸν σκεῦος ἐκλογῆς. Διὰ τοῦτο τῶν τοσούτων λύχνων ὄντων ἐν τοῖς ἀδελφοῖς, σκότος οὐκ ἐφαίνετο · ἡ γὰρ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

Cf. Ps. 104,19. Act. 9, 15. Ps. 18, 8.

124. Καὶ τοῦ ἀββᾶ Παφνουτίου οἰκονόμου μεγάλου τῆς μονῆς Παβαῦ ἀποθανόντος, ἀββᾶ Ὡρσίσιος κατέστησεν ἄλλον ἀντ' αὐτοῦ, λεγόμενον Ψαρφεῖν [1], οἰκονομεῖν · ἱλαρὸς καὶ πόνοις καρτερικός, ἀρχαῖος καὶ αὐτός.

Psarphen magnum oeconomum instituit.

125. Καὶ τῶν ἀδελφῶν πολλάκις ἐξεταζόντων τὸν Θεόδωρον διὰ πνευματικὸν ῥῆμα λύειν αὐτοῖς ἢ ὅραμα τοῦ ἀββᾶ Παχουμίου εἰπεῖν, ἔλεγεν οὕτως · « Ἰδοὺ ὁ πατὴρ ἡμῶν Ὡρσίσιος, ἐξετάσωμεν αὐτὸν εἴ τι θέλομεν, καὶ λέγει ἡμῖν · καὶ γὰρ αὐτός ἐστιν ὁ πατὴρ ἡμῶν. » Καὶ καθημένου δὲ ἀββᾶ Ὡρσισίου λαλῆσαι αὐτοῖς — ἔθος γὰρ ἦν κατ' ὀψὲ ἐξ ἀρχῆς μετὰ τὸ ἔργον καὶ τὸ φαγεῖν ἐπὶ τὸ αὐτὸ καθεσθῆναι ἐρευνῶντες τὰς γραφάς, καθότι ἀμέριμνοι ἦσαν κατὰ πάντα, εἰ μὴ μόνον μεριμνᾶν περὶ τῆς ἑαυτῶν σωτηρίας · οἱ δὲ τεταγμένοι φροντίζειν δυνάμενοι ἐφρόντιζον ὡς ὑπηρέται Θεοῦ · « Ἐφ' ὅσον γὰρ ἐποιήσατε, φησὶν ὁ Κύριος, ἑνὶ τούτων τῶν πιστευόντων εἰς ἐμέ, ἐμοὶ ἐποιήσατε. » — Καὶ λαλοῦντος αὐτοῖς τοῦ ἀββᾶ Ὡρσισίου, ἦν καθήμενος καὶ αὐτὸς Θεόδωρος καὶ ἀκού-

Ipso Theodoro auscultante,

Cf. Ioh. 5,39. Matth. 25,40.

123. — F. — [1] ἀγμὴν F. — [2] ψενθαήσιος *Π.* — [3] ἱερακαπολλῶν F, ἱερακοπώλων P.

124. — F. — [1] ψαρφθίν P, ψαρφθήν ND ; ψάρφιος *infra, c. 138.*

fratres docet; ων ὡς παιδίον ἄκακον, ἐν ἑαυτῷ λέγων · « Οὐδὲν οἶδα[1], ἐφ' ὅσον ἐλύπησα τὸν Θεὸν καὶ τὸν πατέρα ἡμῶν, ἐν ᾧ ἐποίησα τότε. » Οὕτως δὲ ἦν ταπεινόφρων, ὡς καὶ ἐμαρτύρησεν περὶ αὐτοῦ ἀπόντος ὁ ἀββᾶς Παχούμιος, ὅτι ἑπταπλασίονα ἐκέρδησεν Θεόδωρος τῇ ἐπιτιμίᾳ ταύτῃ ὑπὲρ ὃ ἦν.

Act. SS. § 80. *ambitionem* **126.** Καὶ ταῦτα δὲ ἔλεγεν ὁ πατὴρ ἡμῶν Ὡρσίσιος · « Ὁρῶ τινας ὑμῶν θέλοντας λαβεῖν ὀνόματα καὶ ἄρχειν, ἢ οἰκιακὸν γενέσθαι ἢ ἕτερόν τι. Ὅστε γὰρ ἐπὶ τοῦ πατρὸς ἡμῶν εἰ μὴ δι' ὑπακοὴν

Cf. Mt. 5, 19. ἐπεὶ οὐδεὶς ἤθελεν ὀνομασθῆναι μέγας, φοβούμενος μὴ ἐλάχιστος εὑρεθῇ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ ὅτε κἀμὲ ἔταξεν ὁ ἀββᾶς Πετρώνιος, ἔκλαυσα ἱκανῶς φοβούμενος τὸν κίνδυνον τῶν ψυχῶν.

Cf. Ex. 4, 10, 14. Οὐ μόνον ἐγώ, ἀλλὰ καὶ οἱ ἅγιοι · πρῶτος Μωϋσῆς, πεμπόμενος ὑπὸ τοῦ Θεοῦ διὰ τὸν λαόν, παρῃτεῖτο τῇ ταπεινοφροσύνῃ, εἰ μὴ ὅτι ὠργίσθη αὐτῷ ὁ Θεὸς ἕνεκεν τούτου, καὶ τότε ἀνεδέξατο τὴν διακονίαν. Καὶ ἡμεῖς, ἀδελφοί, ἀκούοντες τὸ γεγραμμένον ·

Luc. 18, 14. « Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, » τηρήσωμεν ἑαυτούς. Οὐ πάντων ἐστὶν τὸ κυβερνῆσαι ψυχάς, εἰ μὴ τελείων ἀνθρώπων. Ἔστιν

vitandam παραβολὴ τοιαύτη · Πλίνθος ὠμή, βαλλομένη εἰς θεμέλιον ἐγγὺς ποταμοῦ, οὐχ ὑπομένει μίαν ἡμέραν · ὀπτὴ δὲ ὡς λίθος διαμένει. Οὕτως ἄνθρωπος, σαρκικὸν φρόνημα ἔχων καὶ μὴ πυρωθεὶς κα-

Cf. Ps. 104, 19. τὰ τὸν Ἰωσὴφ τῷ λογίῳ τοῦ Θεοῦ, λύεται εἰς ἀρχὴν μετελθών · πολλοὶ γὰρ τῶν τοιούτων οἱ πειρασμοὶ ἐν μέσῳ ἀνθρώπων ὄντων. Καλὸν δέ τινα γνόντα τὰ ἴδια μέτρα ἀποθέσθαι τὸ βάρος τῆς ἀρχῆς μετὰ τὸ κατασταθῆναι, ἵνα μὴ μᾶλλον κινδυνεύσῃ. Οἱ δὲ

Cf. I Cor. 15, 58. ἑδραῖοι τῇ πίστει ἀμετακίνητοί εἰσιν. Περὶ αὐτοῦ γὰρ τοῦ ἁγιωτάτου Ἰωσήφ, ἐὰν θέλῃ τις λαλῆσαι, λέγῃ ὅτι οὐκ ἐπίγειος ἦν · πόσα ἐπειράσθη καὶ ἐν ποίᾳ χώρᾳ, ὅπου οὐκ ἦν ἴχνος θεοσεβείας

Act. 7, 9-10. τότε; Ἀλλ' ὁ Θεὸς τῶν πατέρων αὐτοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἦν μετ' αὐτοῦ καὶ ἐξείλατο αὐτὸν ἐκ πάσης θλίψεως · καὶ νῦν ἐστιν παρὰ τοῖς πατράσιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

monet. Καὶ ἡμεῖς τὰ μέτρα ἡμῶν γνόντες ἀγωνισώμεθα · μόγις γὰρ οὕτως ἐκφύγωμεν τὴν κρίσιν τοῦ Θεοῦ. » Καὶ πολλὰ τοιαῦτα εἰπὼν

Cf. Rom. 2, 3. ηὔξατο. Καὶ ἀνεχώρησαν οἱ ἀδελφοὶ εἰς τὰ σκηνώματα αὐτῶν.

Act. SS. § 81. **127.** Καὶ ἐγένετο μετὰ ταῦτα, τῶν ἀδελφῶν πληθυνθέντων σφόδρα, καὶ ἕνεκεν τῆς τροφῆς τοῦ πλήθους ἤρξαντο πλατύνεσθαι ἐν ἀγροῖς καὶ ὕλαις πολλαῖς · καὶ ἑκάστη μονὴ ἤρξατο ὀλίγον ἀμελεῖν, καθότι ἐπληθύνθησαν αἱ ἄλλαι φροντίδες. Εἷς δέ τις, πατὴρ

Apollonio μοναστηρίου Μωνχώσεως, Ἀπολλώνιος ὀνόματι, ἠθέλησεν ἑαυτῷ

125. — F. — [1] <εἰ μὴ> *suppl. Pasquali.*

παρὰ τὸν κανόνα τῆς κοινωνίας ἀγοράσαι χρείας περισσάς · καὶ ἀνακρινόμενος τούτου χάριν ἀπὸ ἀββᾶ Ὡρσισίου καὶ ἐπιτιμώμενος ἠγανάκτησεν · καὶ ἠθέλησεν τὸ μοναστήριον αὐτοῦ ἀποχωρίσαι τοῦ κοινοβίου κατὰ πειρασμὸν τοῦ ἐχθροῦ · καὶ ἔπεισεν πολ-

schisma inter fratres exoritur; λοὺς μεγάλους τοῦ μοναστηρίου οὕτως ποιῆσαι. Καὶ πολλὰ τῶν ἄλλων μοναστηρίων δι' ἐκεῖνον βλαβέντων, ὅτι ἀντέστη λέγων · « Οὐκέτι διαφέρομεν τῇ κοινωνίᾳ τῶν ἀδελφῶν, » καὶ μὴ ἀκούσαντος ἐκείνου τοῦ ἀββᾶ Ὡρσισίου πείθοντος αὐτόν, ἐνίσχυσεν ὁ πειρασμός.

Orsisius, **128.** Καὶ ἰδὼν ὁ ἀββᾶς Ὡρσίσιος ὅτι θλίβεται σφόδρα — χρόνον γὰρ ἐποίησεν ὑπομένων καὶ σκεπτόμενος τὰς θλίψεις καρτερεῖν ἕως θανάτου — ὕστερον σκεψάμενος ἄλλον σύνεργον ἔχειν πρὸς τὴν πατρικὴν αὐτοῦ τάξιν, εἰσελθὼν εἰς [1] ἥσυχον τόπον νυκτὸς ἔκλαυσεν ἱκανῶς, ὡς καὶ αὐτοστοματὶ εἴρηκεν ἡμῖν, ταῦτα λέγων ·

Cf. I Cor. 9, 19, 22. « Ὁ Θεός, τοῦτο παρέδωκέν μοι ἀββᾶ Πετρώνιος ὁ δοῦλός σου, ἵνα κερδήσω μᾶλλον καὶ σώσω πολλούς. Νῦν δὲ βλέπω ὅτι οὐ πολλοὶ ἀκούουσιν ἡμῶν εἰς σωτηρίαν αὐτῶν · ἕκαστος γὰρ ἀκολουθεῖ τῇ ἑαυτοῦ καρδίᾳ, εἰ μὴ οἱ πιστοὶ δοῦλοί σου οἱ καλῶς ἀναστρα-

Cf Heb. 13, 18. φέντες σὺν τῷ πατρὶ ἡμῶν καὶ οἱ λοιποὶ οἱ ἔχοντες τὸν φόβον σου.

oneri se imparem sentiens, Ἐγὼ δὲ θλίβομαι βλέπων ὅλην τὴν μονὴν ταρασσομένην οὐκ ἐξ ἐμοῦ. Οὐδένα γάρ, ὡς οἶδας, ἔθλιψα. Σὺ οἶδας, Κύριε · οὐ μόνον δὲ αὕτη ἡ μονή, ἀλλὰ φοβοῦμαι διὰ τὰς ἄλλας, μὴ λαβόντες ἀφορμὴν μηκέτι θελήσουσιν τὴν ἐξ ἀρχῆς ἐν ὁμονοίᾳ ἀγάπην. Νῦν οὖν, Κύριε, οὐκέτι δύναμαι μόνος · δεῖξόν μοί τινα δυνάμενον, καὶ ὀνομάσω αὐτὸν αὐτοῖς, ἵνα μὴ ἐγὼ αἴτιος γένωμαι ψυχῶν. »

Act. SS. § 82. **129.** Καὶ τῇ νυκτὶ ἐκείνῃ εἶδεν ἐνύπνιον · καὶ ὡς βλέπων ἦν δύο κραβάττους · καὶ ὁ μὲν εἷς καλός, ἀλλὰ παλαιός · ὁ δὲ ἄλλος καλὸς καὶ στερεός. Καὶ χρηματίζεται οὕτως αὐτῷ · « Ἀνάπαυσον σεαυτὸν ἐπὶ τῷ στερεῷ τούτῳ. » Καὶ νοήσας τῷ πνεύματι ἐκεῖνον

Theodorum τὸν κράβαττον εἶναι Θεόδωρον [1], τόν ποτε μετὰ τοῦ μεγάλου ἀββᾶ Παχουμίου ὁμόψυχον, πρωΐας δὲ γενομένης, ὡς ἤδη κουφισθεὶς τῆς θλίψεως, μᾶλλον ὅτι καὶ ἠγάπα αὐτὸν σφόδρα ταπεινὸν ὄντα καὶ εἰδότα ὑπομένειν ἀντιλογίας ἀνθρώπων, συνήγαγεν πάντας τοὺς ἡγουμένους καὶ ἐλάλησεν αὐτοῖς, μὴ καλέσας Θεόδωρον, λέγων ·

« Οὐκ ἀγνοεῖτε τὸν περιόντα πειρασμόν; Καὶ ἔμεινα χρόνον, δοκῶν παύεσθαι αὐτόν, καὶ ἔτι μᾶλλον αὐξάνει, ὡς ὁρᾶτε. Διὰ τοῦτο ὁμολογῶ ὑμῖν, οὐκέτι δύναμαι ὑποστῆναι μόνος τὴν φρον-

128. — F. — [1] *corr.* F.
129. — F. — [1] *θεοδώρου* F ; *correxi ex* D.

vicarium renuntiat;

τίδα ταύτην. Καὶ οἶδα ὅτι οὐδεὶς ὑμῶν ἀναγκάζει με παραιτήσασθαι τοῦτο, ἀλλ' ὅτι ἔγνων ἀσφαλῶς ὅτι οὐ δύναμαι. Ὁ δὲ Θεὸς καὶ οἱ πατέρες οὐ μέμφονταί με, τὰ μέτρα μου γνόντες. Ὃν δὲ βλέπω ἱκανὸν εἰς τοῦτο κατὰ πάντα[2], αὐτός ἐστιν ὁ τότε καὶ πάλιν πατὴρ ἡμῶν Θεόδωρος. » Καὶ ταῦτα εἰπὼν ἀπῆλθεν πάλιν νυκτὸς εἰς τὴν μονὴν τὰ Χηνοβοσκεῖα καὶ ἔμεινεν ἐκεῖ. Οἱ δὲ ἀδελφοὶ πάντες ἀκούσαντες μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως ἐκράτησαν Θεόδωρον ὡς πατέρα. Καὶ αὐτὸς δέδωκεν λόγον μὴ στῆναι μηδὲ φαγεῖν μήτε πιεῖν τρεῖς ἡμέρας ποιήσας, λέγων · « Ἐὰν μὴ ἀπαντήσω ἀββᾷ Ὡρσισίῳ. »

Act. SS. § 83.

130. Καὶ μετὰ τὸ ἐλθεῖν αὐτὸν μεταπεμφθέντα συνήχθησαν πάλιν δι' αὐτόν. Καὶ λέγει αὐτῷ ἀββᾶ Ὡρσίσιος ὅτι · « Μὴ γὰρ ἡμεῖς ἐτάξαμέν σε; Ὁ πατὴρ ἡμῶν ἐστιν ὁ τάξας σε προσημαίνων, ὅτε

qui suscepto munere

ἐκράτησεν τὸν πώγωνά σου λέγων τρίτον · Μνήσθητι, Θεόδωρε, μὴ ἀφῇς τὰ ὀστᾶ μου ὅπου ἐτάφησαν. » Καὶ ἀκούσας τοῦτο ὁ ἀββᾶς Θεόδωρος οὐκέτι ἀντεῖπεν. Καὶ οὕτως αὐτὸν παραδοὺς τοῖς ἀδελφοῖς, ἀπῆλθεν εἰς Χηνοβοσκεῖα πάλιν. Καὶ ἐστάθη ὁ ἀββᾶς Θεόδωρος. Καὶ ὅλων τῶν μοναστηρίων οἱ ἀδελφοὶ ἀκούσαντες ἠγαλλιάσαντο, μάλιστα οἱ ἐξ ἀρχῆς γινώσκοντες αὐτὸν τέκνον γνήσιον τοῦ ἀββᾶ Παχουμίου, καὶ ὅτι ὁ λόγος αὐτοῦ χάριν εἶχεν

Cf. Pr. 16,24.

καὶ ἴασιν ψυχῆς ἐν θλίψει. Καὶ οὕτως ἦν θαυμαστὸς ὑποτακτικὸς τῷ ἀββᾷ Ὡρσισίῳ, ὥστε εἰπεῖν αὐτὸν ὅτι · « Ἀληθῶς κλίνη ἐστὶν πάσης ἀναπαύσεως ὁ ἄνθρωπος οὗτος. » Οὐδὲ γὰρ ἐπειδὴ ἔλαβεν τὴν τάξιν καὶ ἔκαμνεν νυκτὸς καὶ ἡμέρας ἕνεκεν τῆς σωτηρίας τῶν ἀδελφῶν ἐν Κυρίῳ, ἡγεῖτο ἑαυτόν ποτε εἶναι πατέρα, μιμνῃσκόμενος τῆς ἐπιτιμίας · ἀλλὰ διάδοχον ἑαυτὸν ἔλεγεν καὶ ὑπηρέτην τοῦ ἀββᾶ Ὡρσισίου, κἂν ᾖ ἀναχωρήσας τῆς διοικήσεως. Καὶ οὕτως ὅτε διέτασσέν τι ὁ ἄνθρωπος τοῦ Θεοῦ Θεόδωρος, περιπατῶν ἤρχετο πρὸς αὐτὸν διάστημα πολύ, ἐξετάζων τό · « Τί θέλεις ποιήσω; » Αὐτὸς δὲ ἐπειδὴ τὸ φίλαρχον ἐξερίζωσεν ἀφ' ἑαυτοῦ τέλεον, παιδευθεὶς ὑπὸ Θεοῦ καὶ ἐτασθεὶς εἰς τελειότητα, διὰ τοῦτο οὐ μόνον ἀββᾶ Ὡρσίσιον τῇ πολλῇ αὐτοῦ χρηστότητι ἀνέπαυεν, ἀλλὰ καὶ πάντας · ὥστε λέγειν ἀββᾶ Ὡρσίσιον · « Ἐγὼ ἄρχω ἄρτι ἢ ὅτε ἤμην μόνος. »

nihil inconsulto Orsisio agit;

Act. SS. § 84.

131. Ὅτε οὖν συνῆγεν τοὺς ἀδελφοὺς λαλεῖν αὐτοῖς τὴν πρώτην κατήχησιν, ἔλεγεν οὕτως · « Ποῦ εἰσιν οἱ ἀρχαῖοι; Ἐνισχύσατε ἐν Κυρίῳ, καὶ ὁμονοήσωμεν συμπάσχειν ἀλλήλοις, ἵνα μὴ ὁ ἐχθρὸς διασκορπίσῃ τὸν κάματον τοῦ πατρὸς ἡμῶν. Οὐκ ἀγνο-

monachos

[2] πάντας F, *corrrexi ex* N.

εἴτε γὰρ αὐτοῦ τὴν ὑπομονὴν τῶν θλίψεων πρὸς τοὺς δαίμονας, ἕως ἐδίδαξεν ἡμᾶς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὗ ἡ παρουσία φόβος καὶ φρίκη ἐστίν. Καὶ οὕπω πέντε ἔτη γέγονεν, καὶ ἐπελαθόμεθα τῆς τοσαύτης χαρᾶς καὶ εἰρήνης, ἣν εἴχομεν τότε πρὸς ἀλλήλους. Καὶ γὰρ ἤμεθα ἐπὶ τοῦ πατρὸς ἡμῶν μὴ ἔχοντες μήτε ἐν τῇ καρδίᾳ μήτε ἐν τῷ στόματι μηδὲν ἕτερον, εἰ μὴ τὸν λόγον τοῦ Θεοῦ τὸν ὑπὲρ μέλι καὶ κηρίον γλυκύτερον · καὶ οὐκ ἠσθανόμεθα ὡς ἐπὶ γῆς ζῶντες, ἀλλ' ἐν οὐρανῷ ἑορτάζοντες. Ἄνθρωπος γὰρ ἐν ψύχει καὶ παγετῷ μεγάλῳ ὑπάρχων, ὅσον ὅσον τρέχει ἕως εἰς τὴν θέρμην τοῦ πυρός, καὶ τέρπεται καὶ ἀναζῇ. Οὕτως τότε καὶ ἡμεῖς, καθ' ὅσον ἐζητοῦμεν τὸν Θεόν, τοσοῦτον ἡ χρηστότης αὐτοῦ μᾶλλον ἐφαίνετο γλυκαίνουσα τὰς ψυχὰς ἡμῶν. Ἄρτι δὲ πῶς ἐσμεν; Ὅμως πάντες ἐπιστρέψωμεν · καὶ πιστεύομεν ὅτι ἀνανεώσει ἡμᾶς ὁ Θεὸς κατὰ τοὺς οἰκτιρμοὺς αὐτοῦ. » Καὶ ταῦτα λέγων ἔκλαιεν · καὶ ἡ κραυγὴ τοῦ κλαυθμοῦ τῶν ἀδελφῶν ἐξῆλθεν τῆς συνάξεως μακράν. Καὶ οὕτως εὐξάμενος ἀπέλυσεν τοὺς ἀδελφούς. Καὶ ἐμβὰς εἰς πλοῖον μετὰ ταῦτα μετὰ ἀδελφῶν, ἐπεσκέψατο τοὺς ἀδελφοὺς τῶν μοναστηρίων καὶ ἐστήριξεν αὐτούς. Καὶ μετὰ πολὺν ἀγῶνα καὶ σύνεσιν πνευματικὴν ἔπεισεν τὸν πατέρα τῆς μονῆς ἐκείνης, Ἀπολλώνιον ὀνόματι, καὶ εἰρήνευσεν μετὰ τῶν ἀδελφῶν. Καὶ κατῃσχύνθη ὁ πειράσας αὐτοὺς ἐχθρός.

primaevum fervorem

Ps. 18, 10.

commemorat;

Cf. Tit. 3, 4.

turbas sedat;

Act. SS. § 85.

132. Καὶ ἦν ὁ ἀββᾶς Θεόδωρος νηφάλεος σφόδρα περὶ τὰς ψυχάς, παραμυθούμενος ἕκαστον καθ' ἑαυτὸν ὡς ἰατρὸς θεραπεύων. Καὶ οὐδεὶς τῶν ἀδελφῶν ἐφείδετο ἐξομολογήσασθαι κατ' ἰδίαν[1] αὐτῷ τὴν διάνοιαν αὐτοῦ, ἕκαστος ὡς πολεμεῖ τὸν ἐχθρόν. Καὶ αὐτὸς πεῖραν ἔχων τῆς νίκης ἐν Κυρίῳ τῷ λέγοντι · « Θαρσεῖτε, » ἐδίδασκεν αὐτοὺς πρὸς ἕνα ἕκαστον τῶν ἀλλοτρίων λογισμῶν ἀντιστῆναι, ὅπως ἀθλήσαντες νομίμως στεφανωθῶσιν, ὡς λέγει ὁ Παῦλος. Ἐὰν δὲ ἴδῃ τινὰ μὴ βουλόμενον ἐπιμελεῖσθαι τῇ ἰδίᾳ ζωῇ καὶ καταφρονοῦντα, μετὰ πολλῆς τῆς μακροθυμίας ἐνουθέτει αὐτὸν τὰ κρίματα τὰ φοβερὰ τοῦ Θεοῦ · « Φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Καὶ κολάζων δὲ ἁμαρτωλοὺς ὁ Θεὸς εὐεργέτης καὶ ἀγαθός ἐστιν · βούλεται γὰρ πάντας σωθῆναι καὶ εἰς τὴν αἰώνιον ἀνάπαυσιν χωρεῖν. » Καὶ ἔλεγεν πάλιν ὅτι · « Ἐάν τις σκανδαλισθῇ ἀπ' ἐκείνου τοῦ καταφρονοῦντος, ὑπὲρ τὸ μέτρον ἐμοῦ μακροθυμοῦντος, ἐγὼ αἴτιος εὑρίσκομαι τούτου. » Διὰ τοῦτο οὐχ ἡσύχαζεν, ἀλλὰ μετὰ σπουδῆς μεγάλης τὴν μέριμναν αὐτοῦ ἐπέρριπτεν ἐπὶ Κύριον, εὐχόμενος καὶ λέγων · « Μέγας ἀγών

fratrum animos

Ioh. 16, 33.

II Tim. 2, 5.

Hebr. 10, 31.

I Tim. 2, 4.

perite tractat.

132. — F. — [1] *καθ' ἰδίαν* F.

ἐστίν τινα ὑπὲρ ἑαυτοῦ λόγον δοῦναι · πόσῳ μᾶλλον ὑπὲρ πολλῶν;
Cf. Iob 8, 9. Διὰ τοῦτο γινώσκω ὅτι ὡς σκιά ἐσμεν, καὶ φύλακες ψυχῶν οὐκ
ἐσμέν · οὐ γὰρ φθάνομεν εἰς μέτρον τοιοῦτον. Σὺ δὲ ὁ γινώσκων
s. 32, 15. καὶ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων, φύλαξον ἡμᾶς
καὶ πάντα τὸν κόσμον ἀπὸ τῶν φθονερῶν δαιμόνων, ὅτι οὐδεὶς
Act. 7, 2. δύναται σῶσαι ἡμᾶς, εἰ μὴ σύ, Κύριε, Κύριε ὁ Θεὸς τῆς δόξης. »

Energumenos et aegrotos curat.

133. Καὶ ὅτε προσήρχοντό τινες κοσμικοὶ ἢ ἐν ὁδῷ ἢ ἐν τῷ μονα-
στηρίῳ περί τινος δαιμονιζομένου ἢ ἄλλως πάσχοντος, ἔλεγεν αὐ-
τοῖς · « Μὴ γὰρ νομίζετε ὅτι ἱκανοί ἐσμεν πρεσβεῦσαι τῷ Θεῷ
ὑπὲρ τούτων, ἁμαρτωλοὶ ὄντες; Ἐὰν δὲ θέλῃ ὁ Θεὸς οἰκτίρμων
ὢν τοῦ ἰδίου πλάσματος φείσασθαι, ἐξουσίαν ἔχει · ὡς καὶ ἀεὶ
ποιεῖ πρὸς πάντας τὴν ἀγαθότητα αὐτοῦ. » Καὶ ἐπὶ πολὺ ἐνο-
χλούντων καὶ ἀξιούντων εὔχεσθαι αὐτόν, ηὔχετο τὸ θέλημα τοῦ
Θεοῦ καὶ τὸ συμφέρον γενέσθαι. Καὶ οὕτως ἐθεράπευεν αὐτοὺς
ὁ Κύριος. Ταῦτα δὲ ἐποίει τῇ μνήμῃ τοῦ ἀναθρέψαντος αὐτὸν
πατρὸς τοῦ ἀββᾶ Παχουμίου · τὴν γὰρ ὁδὸν τῶν ἁγίων ἦν πορευό-
μενος ἐκεῖνος ἀκλινῶς.

Monasteria condit virorum et virginum.

Act. SS. § 86. **134.** Καὶ λοιπὸν ἐποίησεν καὶ αὐτὸς ἄλλα μοναστήρια ἐπὶ τοῖς
γενομένοις ἐξ ἀρχῆς περὶ τὴν Ἑρμούπολιν [1] δύο, λεγόμενα Καίορ [2]
καὶ Οὐΐ, μετὰ γνώμης τοῦ πατρὸς ἡμῶν Ὡρσισίου. Καὶ ἔταξεν
ὁμοίως κατὰ τὸν νόμον τῆς κοινωνίας πατέρας ἐκεῖ νηφαλέους καὶ
εὐλαβεῖς καὶ δευτέρους μονῆς, οἰκιακούς τε καὶ δευτέρους τῶν
οἰκιακῶν, καθ' ὁμοιότητα τῶν ἄλλων μοναστηρίων. Καὶ περὶ
Ἑρμωνθὶν [3] ἄλλο μοναστήριον, τάξας καὶ τοὺς αὐτοὺς ἡγουμένους
καλοὺς ἐν αὐτῷ καὶ ἀδελφούς, καὶ τοὺς αὐτοὺς κανόνας. Καὶ
τῶν παρθένων ἄλλην μονὴν ἐν κώμῃ λεγομένῃ Βηχνέ [4], μακρὰν
τῆς μονῆς τῆς Παβαῦ ὡς ἀπὸ μιλίου. Καὶ εἰς Τομηνὲ [5] ἄλλην
ἐποίησεν ἀββᾶ Παχούμιος περιών. Καὶ αὗται αἱ μοναὶ ἦσαν ἐπαρ-
κοῦσαι εἰς ἱμάτια ἐρεᾶ καὶ στρώματα, καὶ τὰ ἄλλα ὑφαίνουσαι,
καὶ ὠμόλινα νήθειν εἰς τοὺς λεβίτωνας, τοῦ οἰκονόμου τῆς μεγάλης
μονῆς πέμποντος αὐταῖς ἔργον διὰ τοῦ πατρὸς αὐτῶν Ἐπωνύχου,
ἁγίου καὶ ἐστυμμένου ἀνδρός, μετὰ τὴν τελευτὴν ἀββᾶ Πέτρου τοῦ
ἀρχαίου ἐν Ταβεννήσει.

De visorum

Act. SS. § 87. **135.** Καὶ ἐπειδὴ ὁ ἀββᾶς Θεόδωρος ἤκουσεν τὸν γογγυσμὸν τὸν
τότε κατὰ τοῦ ἀββᾶ Παχουμίου περὶ τοῦ διορατικοῦ καὶ τὴν θλί-
ψιν — ἐν Ἀλεξανδρείᾳ γὰρ ἦν τότε αὐτὸς ἐν τῷ πλοίῳ — ἀπὸ τό-
τε ἤρξατο κρύπτειν, εἴ τι βουλήματι Κυρίου ἐν ὁράματι ἔβλεπεν ·

134. — F. — [1] ἑρμουπόλιν F. — [2] καιῶρ *Π, infra.* — [3] ἑρμοθὶν F, ἑρμουθίμ *Π.* — [4] βηχλέ ND. — [5] τὸ μηνὲ F ; *cf.* τομήν, *supra, c. 114.*

συνῆκεν γὰρ ὠφέλιμον εἶναι. Καὶ οὕτως περὶ τούτου ἔλεγεν τοῖς *charismate*
ἀδελφοῖς · « Τί πλεῖον τοῦ ἔχειν Πνεῦμα ἅγιον; Εἰ ὁ πιστεύων
ὀρθῶς φυλάσσων τε τὰς ἐντολὰς τοῦ Θεοῦ ἄξιος γίνεται ναὸς Cf. II Cor.
Θεοῦ εὑρεθῆναι, δῆλον ὅτι ὅπου ἐστὶν Θεός, ἐκεῖ πᾶσα ἐξουσία 6, 16.
καὶ παρρησία. Καὶ ἐν παλατίῳ τοίνυν βασιλέως τί ἔνδοξον οὐκ
ἔστιν ἐκεῖ; Οὕτως καὶ ἡ τότε σκηνὴ ἦν ἔχουσα πάντα συντελοῦντα Cf. Ex. 25-27.
εἰς δόξαν Θεοῦ. Μηδεὶς οὖν ἀμφιβάλῃ περὶ ἀνθρώπου Θεοῦ, ἐὰν
ἀκούσῃ ὅτι εἶδεν ὅραμα, τοῦ δείξαντος τὰ ὁράματα ἐν αὐτῷ οἰ- Cf. I Cor. 3, 16
κοῦντος. Ἀλλὰ ἀσφαλείας χρεία καὶ ἐν τούτῳ, μὴ δόξῃ τις ἑαυτὸν Gal. 6, 3.
εἶναί τι μηθὲν ὤν, καὶ ἐξαπατηθῇ ὑπὸ τοῦ ἐχθροῦ εἰς ἐπιθυμίαν
τοῦ ἰδεῖν, καὶ σκελισθεὶς [1] ἐμπέσῃ εἰς ἔκστασιν ὡς οἱ πολλοί. *verba facit;*
Ἀλλ' ὁ μήπω εἰς ταῦτα τὰ μέτρα φθάσας καὶ αὐτὸς δὲ ὁ φθάσας
ἵνα ἔχωμεν πάντες ὁμοῦ ταπεινοφροσύνην πολλήν, εὐχόμενοί τε
ἐκφυγεῖν τὰς αἰωνίους κολάσεις. Καὶ γὰρ οἱ ἅγιοι τοῦτο ηὔχοντο,
λέγοντος ἑνός · « Φύλαξον τὴν ψυχήν μου καὶ λύτρωσαι αὐτήν. » Καὶ Ps. 24, 20 ;
πάλιν εὐχαριστῶν [2] τῷ Κυρίῳ Παῦλος ἐπὶ τῇ ἰδίᾳ σωτηρίᾳ λέγει · 68, 18.
« Ἐρύσθην ἐκ στόματος λέοντος · » τὸν ὠρυόμενον καταπιεῖν ψυχὰς II Tim. 4, 17 ;
ἔλεγεν. Πολὺ γὰρ δόλιός ἐστιν · καὶ ἐσθ' ὅτε τὸ ψεῦδος ποιεῖ ὡς Cf. I Pet. 5, 8.
ἀλήθειαν · καὶ ἐὰν μὴ ἀκρότατος διακριτικὸς εὑρεθῇ πρὸς αὐτὸν
ὁ πειραζόμενος πλανᾶται. Ὁ δὲ μὴ πλανώμενός ἐστιν ὁ ἐν παντὶ
τῷ Θεῷ καὶ τοῖς ἁγίοις ὑπακούων ἀδιακρίτως. Καὶ ἡμεῖς, ἀδελ-
φοί, νοήσαντες ταῦτα, τηρήσωμεν ἕκαστος τὸ ἴδιον μέτρον, ὁ *humilitatem*
δοκῶν ποιμὴν ψυχῶν εἶναι καὶ ὁ δοκῶν πρόβατον. Ὅμως δὲ πάν- *commendat.*
τες εὐξώμεθα πρόβατα εἶναι. Οὐδεὶς γὰρ ποιμήν, εἰ μὴ αὐτὸς ὁ
εἰπών · « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. » Ἀλλ' ἐπειδὴ ἐφάνη, προ- Ioh. 10, 14.
λέγοντος καὶ σημάναντος τοῦ Δαυίδ, ὁ Θεὸς Κύριος καὶ ἐπέφα- Ps. 117, 27.
νεν ἡμῖν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνὼς ὁ Θεὸς Λόγος καὶ ἔσωσεν
ἡμᾶς, χαριζόμενος ἡμῖν τὴν γνῶσιν τῆς πίστεως, ἀνερχόμενος
εἰς τὸν οὐρανὸν προκατεστήσατο διαδόχους αὐτοῦ τοὺς ἀποστόλους,
πρὸς Πέτρον λέγων · « Βόσκε τὰ ἀρνία μου, καὶ τὰ πρόβατά μου Ioh. 21, 15-16.
ποίμαινε. » Δι' ἣν αἰτίαν καὶ νῦν χρεία τῶν βοσκόντων ἐστὶν
κατὰ γενεὰν τὰς ψυχὰς ἐν Κυρίῳ τῷ λέγοντι · « Μεθ' ὑμῶν εἰμι. » Matth. 28, 20.
Οἴδαμεν γὰρ ὅτι μετὰ τοὺς ἀποστόλους οἱ πατέρες ἐπίσκοποί εἰ-
σιν. Ἀλλὰ καὶ πάντες οἱ ἀκούοντες τοῦ ἐν αὐτοῖς Χριστοῦ, τέκνα
αὐτῶν εἰσιν, κἂν οὐκ ἔχουσι κλῆρον ἢ τάξιν ἐκκλησιαστικήν. »

136. Ὁ δὲ ἀββᾶς Θεόδωρος ἀπὸ τότε ἀκούσας — καὶ αὐτὸς
γὰρ παρῆν, ὅτε ὁ μακάριος Ἀντώνιος ὑπεδέξατο τοὺς ἀδελφοὺς
ὡς τέκνα, καὶ ὁ ἅγιος πάπας σφόδρα ἠγάπησεν τοὺς δύο ὡς

135. — F. — [1] σκελλισθεὶς F. — [2] εὐχαριστῶ F ; *correxi ex Π.*

Pachomii sententia de Athanasio, Antonio et coenobitis.

τὸν ἀββᾶν Παχούμιον ἢ καὶ πλέον — λέγων [1] τοῖς ἀδελφοῖς μνησθεὶς ὅτι · « Ἐγὼ ἤκουσα, καὶ ὑμεῖς παρῆτε οἱ ἀρχαῖοι, τοῦ πατρὸς ἡμῶν λέγοντος ὅτι · « Ἐν τῇ γενεᾷ ἡμῶν ἐν τῇ Αἰγύπτῳ τρία ὁρῶ κεφάλαια ὑπὸ τοῦ Θεοῦ αὐξανόμενα εἰς ὠφέλειαν πάντων τῶν νοούντων · ὁ ἐπίσκοπος Ἀθανάσιος ὁ ἀθλητὴς τοῦ Χριστοῦ περὶ τῆς πίστεως ἕως θανάτου, καὶ ὁ ἅγιος ἀββᾶς Ἀντώνιος, τέλειος ὑπογραμμὸς τοῦ ἀναχωρητικοῦ βίου, καὶ ἡ κοινωνία αὕτη, < ἣ [2] > τύπος ἐστὶ πάντων τῶν θελόντων συνάγειν ψυχὰς κατὰ Θεὸν ἀντιλαβέσθαι αὐτῶν ἕως ἂν τελειωθῶσιν. »

Act. SS. § 88.

137. Καὶ ἐγένετο μετὰ ταῦτα ζητουμένου τοῦ ἁγίου ἐπισκόπου Ἀθανασίου ὑπὸ Κωνσταντίου τοῦ βασιλέως ἐξ ἐπιβουλῆς τῶν ἐχθρῶν τοῦ Χριστοῦ Ἀρειανῶν, ἐξουσίαν λαβών τις στρατηλάτης, ὀνόματι Ἀρτέμιος, ἠρεύνησεν πανταχοῦ δι' αὐτόν. Καὶ φήμης διαδοθείσης · « Μὴ ἄρα ἐστὶν παρὰ τοῖς μοναχοῖς τοῖς Ταβεννησιώταις κρυβόμενος; Ἀγαπᾷ γὰρ αὐτούς, » ἀνέπλευσεν ὁ δοὺξ ἐπὶ τούτῳ. Καὶ ἀναπλέοντος αὐτοῦ, κατὰ συντυχίαν ἦν καὶ αὐτὸς ἀββᾶς Θεόδωρος καταπλέων ἐπισκέψασθαι τὰς μονὰς τῶν ἀδελφῶν περὶ τὴν Ἑρμούπολιν [1]. Καὶ αὐτοῦ ἐγγίσαντος τῆς ἀνωτέρας μονῆς, Καίορ [2] λεγομένης, βλέπει ἀναπλέοντα τὸν δοῦκα · καὶ συνῆκεν παρὰ Κυρίου τὸ μέλλον γενέσθαι καὶ ἐδήλωσεν τοῖς ἀδελφοῖς · καὶ θελησάντων τῶν ἀδελφῶν ἀνακάμψαι καὶ προλαβεῖν αὐτὸν μὴ ταράξῃ τοὺς ἀδελφοὺς ἐν Παβαῦ, λέγει αὐτοῖς ὁ ἀββᾶς Θεόδωρος · « Δι' ὃν ἤλθομεν τοσοῦτον διάστημα ἐπισκέψασθαι τοὺς δούλους αὐτοῦ, ἱκανός ἐστιν καὶ τοῦτο διοικῆσαι χωρὶς λύπης. » Καὶ ταῦτα εἰπὼν ἀπῆλθεν εἰς τὰς μονάς.

Artemius dux, ad capiendum Athanasium missus,

Tabennesiotarum monasterium

138. Ἐλθὼν δὲ Ἀρτέμιος [1] εἰς τὴν μονήν, ἐκέλευσεν νυκτὸς τὸ στρατόπεδον περιτηρῆσαι τὴν μονὴν ὥσπερ ἐν πολέμῳ καθωπλισμένους · καὶ εἰς τὴν μονὴν ἦν [2] καθήμενος αὐτὸς ἔξω τῆς συνάξεως μετὰ πραιποσίτων, τοξόται ἔνθεν καὶ ἔνθεν παρεστῶτες αὐτῷ. Καὶ βλέποντες οἱ ἀδελφοὶ ἐφοβήθησαν. Ἦν δέ τις ἅγιος ὁ προειρημένος Πεκύσσιος [3] παραθαρσύνων τοὺς ἀδελφοὺς μὴ δειλιᾶν ἐν Κυρίῳ. Καὶ δι' ἑρμηνέως ἐξετάζει ὁ δούξ · « Ποῦ ἐστιν ὁ πατὴρ ὑμῶν; » Ἀποκρίνεται ὁ ἀββᾶς Πεκύσσιος λέγων · « Ἀπῆλθεν εἰς τὰς μονάς. » Καὶ λέγει · « Ὁ μετ' αὐτὸν ποῦ ἐστιν; » Δεικνύουσιν αὐτῷ τὸν ἀββᾶν Ψαρφεῖν [4] τὸν οἰκονόμον τὸν μέγαν. Καὶ λέγει

136. — F. — [1] *legendum videtur* λέγει οὖν. — [2] *om.* F ; *supplevi.*

137. — F. — [1] ἑρμουπόλιν F. — [2] καιὼρ *Π.*

138. — F. — [1] ἀρτεμίσιος F *hoc loco.* — [2] *suppl. ex Π.* — [3] πεκύσιος *supra, c. 26, 35, itemque Π.* — [4] *cf. supra, c. 124, adnot. 1.*

αὐτῷ κατ' ἰδίαν · « Ἐπειδὴ πρόσταγμα ἔχω βασιλικὸν κατὰ Ἀθανασίου τοῦ ἐπισκόπου καὶ λέγεται παρ' ὑμῖν εἶναι · » Ἀποκρίνεται αὐτῷ ὁ ἀββᾶς Ψάρφιος [5] λέγων · « Αὐτὸς μὲν πατὴρ ἡμῶν ἐστιν · οὐδέπω δὲ εἶδον αὐτοῦ πρόσωπον. Ὅμως δὲ ἰδοὺ ἡ μονή. »

perscrutatur frustra.

Καὶ μετὰ τὸ ἐρευνῆσαι καὶ μὴ εὑρεῖν αὐτόν, λέγει αὐτοῖς ἐν τῇ συνάξει · « Δεῦτε, εὔξασθε ὑπὲρ ἐμοῦ. » Καὶ λεγόντων αὐτῶν · « Οὐ δυνάμεθα, διὰ τὸ ἔχειν ἡμᾶς ἐντολὴν παρὰ τοῦ πατρὸς ἡμῶν μετ' οὐδενὸς εὔξασθαι συναιρομένου [6] Ἀρειανοῖς » — ἔβλεπον γάρ τινα τῶν Ἀρειανῶν ὡς ἐπίσκοπον μετὰ τοῦ δουκός — καὶ λοιπὸν ἐξελθόντων αὐτῶν, ηὔξατο μόνος. Καὶ κοιμωμένου αὐτοῦ ἐν τῇ συνάξει ἡμέρας, ἠγέρθη αἱμορροῶν τὴν ῥῖνα · καὶ ταρασσόμενος — οὐκ ᾔδειμεν δὲ ἀσφαλῶς τί γέγονεν αὐτῷ — ἀλλ' ἦν ἔμφοβος λέγων · « Τῷ ὁράματί μοι γενομένῳ μόλις ἐλέει Θεοῦ τὸν θάνατον ἐξέφυγον. » Καὶ οὕτως ἀνεχώρησεν. Ὁ δὲ ἀββᾶς Θεόδωρος ἀνελθὼν ἤκουσεν ταῦτα καὶ ἐδόξασεν τὸν Θεόν.

Act. SS. § 89.

139. Καὶ τῶν ἀδελφῶν πολλῶν ἀποθνῃσκόντων, ὥστε καθ' ἡμέραν ἑνὸς ἢ δύο τελειουμένων, καὶ μίαν ὑπαγόντων εἰς τὸ ὄρος, ἐκοπίασαν σφόδρα, ὅτι τὸ ὕδωρ τῆς ἀναβάσεως τὸν ἀγρὸν ἤρξατο πληρῶσαι. Καὶ λέγουσιν αὐτῷ · « Τί ποιήσωμεν, ἐὰν ἄλλος ἀποθάνῃ; Οὐδὲ γὰρ δύναται πλοῖον ἀπελθεῖν, διὰ τὸ μὴ εἶναι πάλιν πολλὰ ὕδατα. » Καὶ λέγει αὐτοῖς · « Ὡς πιστεύομεν, φείσεται ἡμῶν ὁ Θεὸς καὶ ἐν τούτῳ. » Καὶ οὐκέτι ἀπέθανέν τις, ἕως παρῆλθεν ἡ ἀνάβασις. Καὶ ἐθαύμασαν οἱ ἀδελφοί.

Pestem sedatum iri praenuntiat Theodorus.

A fratre interrogatus

140. Καὶ μίαν καθεζομένῳ καὶ ἐξηγουμένῳ λέγει αὐτῷ τις ἀδελφός · « Ἀββᾶ Θεόδωρε, διὰ τί ὅτε λέγουσίν μοί τινες σκληρόν τι, εὐθέως ὀργίζομαι; » Ἀποκρίνεται καὶ λέγει · « Οὐκ ἔνι [1] ξένον · καὶ ἡ ἄκανθα ἀπὸ πέλυκος [2] λαβοῦσα, ἐκφέρει κόμμι [3]. » Καὶ ἐξετάζουσιν αὐτὸν οἱ ἀδελφοί · « Τί ἐστιν τοῦτο; » Καὶ λέγει · « Ὁ ἄνθρωπος τοῦ Θεοῦ νοεῖται ἄμπελος · καὶ ἐάν τις λάβῃ τοῦ καρποῦ αὐτῆς βότρυν σταφυλῆς καὶ θέλῃ ἐκπιάσαι αὐτόν, οὐδὲν ἐκβάλλει εἰ μὴ οἶνον γλυκύν. Τοῦτ' ἔστιν, τοῦ πιστοῦ θλιβομένου ἢ ἔργῳ ἢ λόγῳ ἢ λογισμῷ, οὐδὲν ἔχει καρποφορεῖν εἰ μὴ τὴν χρηστότητα τῶν λόγων τοῦ Θεοῦ · σαρκικὸς δὲ καὶ θυμώδης ὁμοίως πικρίαν ἐκφέρει ἀνωφελῆ. Λέγω δὲ ὑμῖν ἐγὼ ὁ ταῦτα λαλῶν · φοβοῦμαι μὴ ἐκπέσω τῆς χάριτος τοῦ Θεοῦ ἐν τῷ [4] με πυροῦσθαι πρὸς τὴν στάσιν τοῦ καθ' ἡμᾶς πολέμου τοῦ ἐχθροῦ. Ὅλην τὴν

Cf. Gal. 5, 4.

Ps. 55, 1.

[5] ψαρφῆς N. — [6] συναιρουμένου F.

140. — F. — [1] ἓν F. — [2] πέλεκος F. — [3] κομήδιν *(lege* κομμίδιον ?) F. — [4] < μή > *supplet Pasquali ex Π.*

Dei timorem, ἡμέραν, φησίν, πολεμῶν ἔθλιψέν με. Εἰ γὰρ ἄγγελοι ἐξέπεσον καὶ ἄλλοι τῶν προφητῶν καὶ ἄλλοι τῶν ἀποστόλων — οὐ μόνον λέγω τὸν Ἰούδαν, ἀλλὰ καὶ τοῦ Παύλου πολλοὺς τῶν μαθητῶν,
Act.19,9. ἀφ' ὧν ἀφώρισεν αὐτοὺς τοὺς γνησίους ἐν ταῖς πράξεσιν — ὀφείλομεν καὶ ἡμεῖς φοβεῖσθαι. Θέλετε εἶπω ὑμῖν ὑπόδειγμα, ἵνα φοβηθῶμεν τὸν Θεόν; ὥσπερ πέτρα ἕως τῶν νεφελῶν ὑψηλὴ καὶ στενὴ καὶ τεθλιμμένη ὡς τεσσάρων πηχέων τὸ πλάτος, καὶ ἔνθεν αὐτῆς καὶ ἔνθεν ἀπέραντον βάθος, καὶ φθάνουσα ἀπὸ δυσμῶν ἕως ἀνατολῶν. Καὶ ὅτε βαπτίζεται ἄνθρωπος, ἐὰν ᾖ ἐπαγγειλάμενος τὸν μοναχόν, λαβὼν τὴν σφραγίδα τοῦ πνεύματος, εἰς ἀνατολὰς
Cf. Sap.4,19. ὁδεύει. Λογισώμεθα δὲ οὐ μόνον τὸ βάθος, ἀλλὰ καὶ τὸ στενὸν τῆς ὁδοῦ, ὥστε, ἐάν τις ἐκκλίνῃ ὀλίγον, ἀπώλετο καὶ ἡ μνήμη αὐτοῦ οὐχ εὑρίσκεται. Ἐξ ἀριστερῶν δὲ αὐτῆς ἐπιθυμία κακὴ τῆς σαρκός, καὶ ἐκ δεξιῶν ὑπερηφανία καρδίας · ταῦτά ἐστιν τὰ βάθη. Καὶ ὁδεύων τις καλῶς μετὰ φόβου, φθάσας εἰς ἀνατολάς,
Cf. Apoc. 4. εὑρίσκει ἐπὶ θρόνου τὸν σωτῆρα · καὶ ἔνθεν αὐτοῦ καὶ ἔνθεν στρατιαὶ ἀγγέλων, καὶ στέφανοι αἰώνιοι, στεφανοῦντες τὸν ὀρθῶς πρὸς αὐτὸν πορευόμενον. »

Act. SS. § 90. **141.** « Ἐὰν δέ τις εἴπῃ οὕτως ὅτι εἴ ποτέ τις ἠπατήθη ἢ ἡρπάγη
emendationis spem, ἐνὶ τούτων, ἤδη ἀπώλετο καὶ οὐκέτι ἔχει μετάνοιαν, ἐρῶ αὐτῷ ὅτι · ἔχων μετάνοιαν ἄνθρωπος καὶ γνησίαν συνείδησιν εἰς τὴν πίστιν καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ μετὰ σπουδῆς τῆς πρεπούσης εἰς τοῦτο, κἂν ἐγγίσει τοῦ ἐκπεσεῖν τῇ ἀμελείᾳ, ἀλλ' οὐκ ἀφῇ
Ps. 72, 2. αὐτὸν ὁ Κύριος τέλεον ἀπολέσθαι, ὥσπερ γέγραπται · « Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. » Καὶ δεικνύει αὐτῷ τὴν χάριν διὰ μάστιγος νόσου ἢ λύπης ἢ αἰσχύνης τοῦ σφάλματος, ἵνα αἰσθηθεὶς ἔλθῃ ἐν μέσῳ τῆς ὁδοῦ τῆς στενῆς ἕως παρέλθῃ καὶ μηκέτι ἐκκλίνῃ βῆμα ποδός, καθότι τεσσάρων πηχῶν ἡ ὁδός ἐστιν. Ὁ δὲ ἐκπίπτων τοιοῦτός ἐστιν οἷος Ἰούδας, πολλὰ ὑπὸ τοῦ Κυρίου εὐεργετηθεὶς καὶ ἰδὼν σημεῖα μεγάλα ἕως ἀναστάσεως
Ioh. 12, 6. νεκρῶν, ἔχων τὸ γλωσσόκομον οὐκ ᾐσθήθη τῆς χάριτος · διὰ τοῦτο ἐκκλίνας τῆς ὁδοῦ, τέλεον ἀπώλετο φιλαργυρίᾳ καὶ προδοσίᾳ. Οἱ δὲ καλοί, κἂν ὡς ἄνθρωποι αὐτεξούσιοι περὶ τὸ συμφέρον
Cf.Ps .65,10. ὀλίγον ἀμελήσουσιν, ἀλλ' ὡς ἄργυρος πυρούμενοι καθαρίζονται,
Ps. 5,7. τὸν ἰὸν ἀποβάλλοντες. Διὰ τοῦτο λέγει ὁ μακάριος Δαυίδ · « Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. » Εἰ αὐτὸς οὕτως λέγει, πόσῳ μᾶλλον ἡμεῖς οἱ ταλαίπωροι; »

Act. S .§ 91. **142.** « Νοήσωμεν δὲ καὶ τοῦτο τὸ κέρδος, ὅπερ παρὰ τοῦ πατρὸς ἡμῶν ἠκούσαμεν ἐκ τῶν νοημάτων τῶν θείων γραφῶν, ὅτι ἄνθρωπος καθαρισθῆναι θέλων ἀπὸ ἁμαρτίας τινός, οἷον ὀργῆς, ἐὰν μὴ

patientiam ὀνειδιζόμενος εἴπῃ ἅπαξ ἐν ἑαυτῷ ὅτι · « Ἰδοὺ ἐκέρδησα σήμερον νομισμάτιον χρυσίον ἕν [1], » καὶ ἐὰν δεύτερον ὑβρισθῇ, τὸ αὐτὸ φρονεῖν περισσὸν κέρδος ἕως πλῆθος χρυσίου, οὐ δύναται τὸ μὴ ὀργισθῆναι. Ἐὰν γὰρ γένηται ὡς βίᾳ βαστάζων ὀνειδιζόμενος ἅπαξ, τί ποιήσει καὶ ἐπὶ τῷ δευτέρῳ ὀνειδισμῷ, μᾶλλον δὲ πολλάκις; Καὶ γὰρ χρυσίον ἀληθῶς καὶ λίθοι τίμιοι αἱ ἐντολαὶ τοῦ Θεοῦ καὶ γλυκύτεραι ὑπὲρ μέλι καὶ κηρίον, ὡς γέγραπται. Ἀλλ' οὐκ οἴδαμεν οὐδὲ οὕτως αἰσθόμεθα διὰ τὸ φρόνημα τῆς σαρκός. Ps. 18,10.
Τίς δέ ποτε καὶ λέγει ἀνθρώπῳ ῥίψαντι αὐτῷ καθαρὸν ἄρτον ὅτι · Rom. 8,6.
« Βαστάζω σε τὸ ἅπαξ τοῦτο, καὶ ἐὰν προσθῇς δοῦναί μοι, ἐκφέρω τὰς κόρας τῶν ὀφθαλμῶν σου; » Οὐ μᾶλλον ἀγαπᾷ τὸν διδόντα αὐτῷ καὶ μὴ θέλοντα; Οἱ γὰρ ἄνθρωποι τοῦ Θεοῦ οὕτως εἰσίν · οὐ μόνον τοὺς διώκοντας αὐτοὺς ἔφερον καὶ κακοποιοῦντας, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν ηὔχοντο κατὰ τὴν ἐντολὴν τοῦ σωτῆρος, οὗ ἤμελ- Matth. 5,44.
λον τὸ χρυσίον αὐτοῦ κληρονομεῖν, κατὰ τὸ γεγραμμένον · Κληρο- Rom. 8, 17.
νόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Τί δὲ ἐποίησας ἄξιον, ἄνθρωπε, ὥστε κληρονόμον σε εἶναι τοῦ Θεοῦ; ὅτι ἐδιώχθης; ὅτι *inculcat* ἀπεκτάνθης δι' αὐτόν; Ὅλως ἀρκεῖ σοι εἰς μισθὸν τούτου μόνη *Theodorus.* ἡ δόξα τοῦ κόσμου. Τίς γὰρ ἄνθρωπον Θεοῦ οὐ δοξάζει, μάλιστα μάρτυρα τοῦ Χριστοῦ; Ὅμως μεγάλη τοῦ Θεοῦ ἡ ἀγαθότης. Ὅμοιος δέ ἐστιν ὁ Θεὸς ἀνθρώπῳ λέγοντι ἡμῖν · « Δότε μοι ὅσα σκεύη τῆς οἰκίας ὑμῶν ὀστράκινα, ἀπολέσω αὐτά · καὶ λάβετε ἀντ' αὐτῶν χρυσᾶ καὶ ἀπὸ λίθων τιμίων. » Καὶ οὐκ οἴδαμεν, ὡς γέγραπται · Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν · παρεσυνεβλήθη Ps. 48, 12.
τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. Γένοιτο δὲ ἡμᾶς νηφαλέους εἶναι ἕως τέλους τῇ χάριτι αὐτοῦ. »

143. Καὶ ταῦτα εἰπὼν ἀπέλυσεν εἰς ὑπάντησιν τοῦ ἐπισκόπου Act. SS. § 92.
Ἀθανασίου · ἤκουσεν γὰρ ὅτι ἀνῆλθεν ἐν πλοίῳ εἰς Θηβαΐδα. *Athanasium*
Καὶ παραλαβὼν ὁ ἀββᾶς Θεόδωρος πατέρας [1] πρέποντας καὶ ἀδελφοὺς [2] δυναμένους δοξάσαι τὸν Θεόν, ἀπῆλθεν. Καὶ εὑρήκασιν [3] αὐτὸν μήπω φθάσαντα εἰς τὸν Ἑρμουπολίτην. Καὶ μακρὰν [4] αὐτὸν ἰδόντες [5] οἱ ἀδελφοὶ ἐπορεύθησαν πρὸς αὐτόν. Ἦν δὲ ὄχλος ἀναρίθμητος ἔνθεν καὶ ἔνθεν τοῦ ποταμοῦ, καὶ ἐπίσκοποι [6] πολλοὶ καὶ κληρικοὶ καὶ μοναχοὶ τῶν τόπων. Καὶ ὁρῶν [7] μακρόθεν αὐτοὺς καὶ ἐπιγνούς, εἶπεν τὸ ῥητὸν τοῦτο περὶ αὐτῶν · « Τίνες οἵδε ὡς Is. 60, .

142. — F. — [1] *ἕνα* F.

143. — FA. — [1] *hic incipit, fol. 17, ultimum fragmentum codicis* A. — [2] *ἑτέρους add.* A. — [3] (*κ. εὗ.*) *εὗρον δὲ* A. — [4] *μακρόθεν* A. — [5] (*αὐ. ἰ.*) *ἰ. αὐ.* A. — [6] (*καὶ ἐ.*) *ἐ. τε* A. — [7] (*καὶ ὁρ.*) *ὁρ. δὲ ὁ πάπας ἀπὸ* A.

νεφέλαι πέτανται καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς ἐπ' ἐμοί; » Καὶ ἀσπασάμενος αὐτούς [8], μήπω γνοὺς τίς ἐστιν ὁ ἀββᾶς [9] Θεόδωρος — οὐ γὰρ πρῶτος ἠσπάσατο τὸν πάπαν, ἀλλ' ἔταξεν γεραιοὺς [10] εὐσχήμονας πρῶτον ἀσπάσασθαι αὐτόν [11] · — καὶ αἰσθηθεὶς αὐτὸν εἶναι [12], ἐκράτησεν τῆς χειρὸς αὐτοῦ λέγων αὐτῷ · « Πῶς οἱ ἀδελφοί; » Καὶ λέγει αὐτῷ [13] · « Ταῖς ἁγίαις σου εὐχαῖς [14] ὑγιαίνομεν, πάτερ. » Καὶ λοιπὸν ἤρξαντο [14*] ψάλλειν οἱ ἀδελφοί [15] · ἐγγὺς δὲ ἦσαν ὀνομάτων ρ' [16] · καὶ [11] ἐκ τοῦ πολλοῦ [17] ὄχλου οὐδεὶς ἐγίνωσκεν τὸν πλησίον [18]. Καὶ οὕτως ἦν [19] ὁ ἀββᾶς Θεόδωρος [20] κρατῶν τὸν ὄνον τοῦ πάπα, ἔμπροσθεν αὐτοῦ περιπατῶν [21] μετὰ τῶν ψαλλόντων ἀδελφῶν · καὶ [22] λαμπάδες καὶ λυχνίαι ἔνθεν καὶ ἔνθεν [23].

excipit,

Rom. 12,11. **144.** Βλέπων δὲ [1] ὁ πάπας τὸν ἀββᾶν [2] Θεόδωρον τῷ πνεύματι ζέοντα καὶ μὴ φειδόμενον μέσον [3] οὐ μόνον [4] τῆς συνοχῆς τοῦ ὄχλου εἶναι [5], ἀλλὰ καὶ αἱ λαμπάδες [6] σχεδὸν ἔκαιον [7] αὐτόν, καὶ τοσαύτην ἔχοντα προθυμίαν καὶ δύναμιν, λέγει τοῖς ἄλλοις ἐπισκόποις · « Βλέπετε τὸν πατέρα τῶν τοσούτων ἀδελφῶν πῶς κάμνει ἔμπροσθεν ἡμῶν [8] τρέχων; Οὐκ ἐσμὲν ἡμεῖς [9] πατέρες · ἰδοὺ οἱ πατέρες οἱ ἔχοντες [10] ταπεινοφροσύνην καὶ [10] ὑποταγὴν διὰ τὸν Θεόν. Μακάριοι καὶ εὐλογημένοι [11] οἱ τὸν σταυρὸν τοῦ Κυρίου φοροῦντες ἀεί, ὧν ἡ ἀτιμία δόξα ἐστὶν καὶ ὁ πόνος αὐτῶν [12] ἀνάπαυσις ἕως στεφανωθῶσιν. » Καὶ μετὰ τὸ ποιῆσαι αὐτὸν [13] ὀλίγας ἡμέρας ἐν [14] ταῖς πόλεσιν Ἀντινόου [15] καὶ Ἑρμοῦ πόλεως [16] ὠφελοῦντα αὐτοὺς θείοις λόγοις [17], λοιπὸν ἀνῆλθεν [18] εἰς τὰ μοναστήρια · καὶ βλέπων τὴν διάθεσιν τῶν ἀδελφῶν γνησίαν σφόδρα εἰς [19] αὐτόν, ἐχάρη δοξάζων τὸν Κύριον. Καὶ περιελθὼν ἐν τῷ μοναστηρίῳ [20] τὴν [21] σύναξιν [22], τὸν τόπον τοῦ φαγεῖν, ἑκάστης οἰ-

qui eius humilitatem extollit,

monasteria visit,

[8] (καὶ ἐπιγνοὺς - ἀσπ. αὐτούς) om. A. — [9] (μήπω - ἀβ.) οὔπω μὲν ἐγνώκει τίς ἐ. ἀββᾶ A. — [10] γηραιοὺς A. — [11] om. A. — [12] (καὶ αἰσθ. αὐ. εἶναι) ἐγνωκὼς δὲ ἤδη τίς ἐστιν A. — [13] ὁ θεόδωρος A. — [14] (σ. εὐ.) εὐ. σ. A. — [14*] corr., prius ἤρξατο F — [15] ἔμπροσθεν αὐτοῦ add. A. — [16] ἐγγὺς ὄντες τῶν ἑκατὸν ὀν. A. — [17] οὖν add. A. — [18] ἀββᾶ θεόδωρον A. — [19] in ras. F. — [20] (καὶ οὕτ. - θεόδ.) ὁ δὲ A. — [21] (ἔμπρ. αὐ. π.) περιεπάτει ἔμπρ. αὐ. A. — [22] ἦσαν δὲ καὶ A. — [23] αὐτοῦ add. A.

144. — FA. — [1] οὖν A. — [2] ἀββᾶ A. — [3] om. A. — [4] μέσον add. A. — [5] περιπατεῖν A. — [6] τὰς λαμπάδας A. — [7] καιούσας A. — [8] (κ. ἔ. ἡ.) ἔ. ἡ. κ. A. — [9] οἱ add. A. — [10] τὴν add. A. — [11] οὗτοι add. A. — [12] om. A. — [13] (καὶ μ. τὸ π. αὐ.) ποιήσας οὖν ὁ πάπας A. — [14] ἐκείναις add. A. — [15] ἐν ἀντινόῳ A. — [16] ἑρμουπόλει A. — [17] (ὠφ. αὐ. θ. λ.) καὶ λ. θ. ἅπαντας ὠφελῶν A. — [18] (λ. ἀ.) ἀ. λ. A. — [19] πρὸς A. — [20] (καὶ π. ἐν τῷ μ.) π. δὲ τὴν μονὴν καὶ ἰδὼν πάντα A. — [21] τε add. A. — [22] καὶ add. A.

κίας τὰ κελλία [23] ἕως τῶν καθισματίων [24], καὶ πάντα θαυμάσας, λέγει · « Θεόδωρε, ἐποιήσατε ἔργον μέγα [25] ἀναπαύοντες ψυχάς [26]. Μάλιστα [27] τοὺς κανόνας ὑμῶν τῶν μοναχῶν ἤκουσα [28] · πάντα καλὰ λίαν. » Καὶ λέγει αὐτῷ [29] · « Ἡ χάρις τοῦ Θεοῦ ἐστιν ἐν [30] ἡμῖν διὰ τοῦ πατρὸς ἡμῶν. Ἀλλ' ὁρῶντές σε [31], ὡς τὸν Χριστὸν ὁρῶμεν. » Καὶ ἡμέρας ὀλίγας ποιήσας ἐκεῖ [32], λέγει τῷ [33] ἀββᾷ Θεοδώρῳ · « Ἐπειδὴ ἐγγύς ἐστιν τὸ πάσχα, κατάλαβε τοὺς ἀδελφοὺς κατὰ τὸν τύπον ὃν ἔχετε. Καὶ ἐγὼ [34] ὡς ὁ Κύριος οἰκονομήσει με [33] ποιῶ. » Καὶ ἀσπασάμενος αὐτὸν ἀπέλυσεν, γράψας ἐπιστολὴν [35] δι' αὐτοῦ [33] τῷ ἀββᾷ Ὡρσισίῳ [35] καὶ τοῖς ἀδελφοῖς, οὕτως ἔχουσαν τὴν διάνοιαν [36] · « Εἶδον τὸν σύνεργόν σου καὶ πατέρα τῶν ἀδελφῶν Θεόδωρον καὶ ἐν αὐτῷ [37] τὸν Κύριον [38] τοῦ πατρὸς ὑμῶν Παχουμίου. Καὶ ὁρῶν ἠγαλλιασάμην [39] τῆς ἐκκλησίας τὰ τέκνα · καὶ εὐφραναν [40] ἡμᾶς τῇ παρουσίᾳ. Ὁ δὲ Κύριος μισθαποδότης αὐτῶν ἐστιν. Μέλλων δὲ ἀποδημῆσαι Θεόδωρος [41] πρὸς ὑμᾶς, ἔλεγέν μοι τοῦτο · Μνήσθητί μου. Κἀγὼ αὐτῷ ἔλεγον [42] · Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου · κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ [43]. » Καὶ οὕτως τὸ πλοῖον μετὰ τῶν ἀδελφῶν ὁ ἀββᾶς Θεόδωρος ἐάσας τῷ πάπᾳ, λέγει αὐτοῖς [44] · « Ὅπου δ' ἂν θέλῃ [45], ἀπέλθατε μετ' αὐτοῦ · ἐξουσίαν γὰρ ἔχει καὶ τοῦ σώματος ἡμῶν. »

Heb. 11, 6.

Ps. 136, 5, 6.

ad Orsisium litteras dat.

145. Καὶ ἦν ὁ ἀββᾶς Θεόδωρος παραμυθούμενος [1] τὸν πατέρα ἡμῶν Ὡρσίσιον διὰ τὴν ποτε [2] γενομένην θλίψιν. Καὶ [3] ἤρξατο ἕλκειν αὐτὸν μικρὸν [4] τοῦ ἐλθεῖν αὐτὸν [5] εἰς τὸ μοναστήριον Παβαῦ, ὡς ἵνα πρῶτον ἐπισκέψασθαι τοὺς ἀδελφοὺς ἔλθῃ [6] · ἦν γὰρ ἐν Μωχώσει [7]. Καὶ προτρεπόμενος αὐτὸν ἤγαγεν [8]. Καὶ προλαβὼν ἐποίη-

Act. SS. § 93. *Orsisium inducit Theodorus*

[23] (ἑ. οἱ. τὰ κ.) καὶ τὰ κ. ἑ. οἱ. A. — [24] καθισμάτων A. — [25] (ἐ. ἔ. μ.) μ. ἔ. ἐ. A. — [26] (ἀ. ψ.) ψ. ἀ. A. — [27] ἤκουσα δὲ καὶ A. — [28] καὶ A. — [29] (καὶ λ. αὐ.) λέγει θεόδωρος A. — [30] ἡ δοθεῖσα A. — [31] (ὁ. σε) σε ὁ. A. — [32] (καὶ ἡμ. ὀλ. π. ἐ.) διατρίψας δὲ ὁ πάπας ἐν τοῖς μοναστηρίοις ὀλ. ἡμ. A. — [33] om. A. — [34] κἀγὼ A. — [35] ὀρσισίω A hic et semper. — [36] (οὕτ. ἔχ. τ. δ.) δι' αὐτοῦ ταῦτα A. — [37] (καὶ ἐν αὐ.) ἐν αὐ. δὲ A. — [38] χριστὸν καὶ θεὸν A. — [39] (ὁ. ἡ.) ἡ. ὁ. A. — [40] (καὶ εὖ.) εὖ. γὰρ A. — [41] ἀπ' ἐμοῦ add. A. — [42] (αὐ. ἔ.) ἔ. αὐ. A. — [43] καὶ ταῦτα μὲν ἔγραψεν ἐκεῖνος add. A. — [44] (καὶ οὕτως - αὐτοῖς) ἀββᾶ δὲ θεόδ. ἀφεὶς αὐτῷ τὸ πλ. μ. τ. ἀδ., ὑπέστρεψεν ἐντειλάμενος αὐτοῖς οὕτως A. — [45] ἐθέλοι A.

145. — FA. — *Lemma* : ρς', περὶ τῆς πρὸς Ὀρσίσιον ὁμονοίας A. — [1] (καὶ - παρ.) μετὰ τοῦτο παρ. ὁ μέγας θεόδ. A. — [2] τότε A. — [3] om. A. — [4] ἤρξατο κατὰ μικρὸν ἕλκ. αὐτὸν A. — [5] τοῦ ἐ. αὐ. om. A. — [6] (ὡς - ἔλθῃ) om. A. — [7] μογχώσει A. — [8] ὡς ἵνα πρῶτον ἐπισκέψηται τοὺς ἀδ. add. A.

σεν [9] τὸν τῆς ἑβδομάδος κροῦσαι τοῖς ἀδελφοῖς· καὶ οὕτως [10] ἠσπάσαντο αὐτόν. Καὶ τῇ ὥρᾳ τῆς κατηχήσεως ἐποίησεν ἐν μέσῳ τὴν κατήχησιν ὡς ἦν τότε· καὶ ἔστηκεν ὁ ἀββᾶς Θεόδωρος [11] ἀκούων ὡς διάδοχος αὐτοῦ. Καὶ μετὰ ταῦτα ἀπὸ [12] τῆς εἰς ἀλλήλους ἀγάπης οὐκ ἠθέλησεν ἀββᾶ Ὡρσίσιος σαλευθῆναι αὐτούς [13]· ἀλλ' ἦσαν ὡς εἷς ἄνθρωπος [14] ἀμφότεροι· καὶ πάντες ἐθαύμαζον αὐτῶν [15] τὴν ζωοποιὸν χρηστότητα, παιδευθέντων παρὰ Κυρίου τὸ ἓν εἶναι [16]. Καὶ λοιπὸν ὡς δεύτερος ἦν αὐτοῦ [17]· ἠρώτα γὰρ αὐτὸν εἰς πάντα. Καὶ ἅπαξ [18] ἀπήρχετο ἀββᾶ [19] Ὡρσίσιος εἰς τὰ μοναστήρια ἐπισκέψασθαι τοὺς ἀδελφούς [20], καὶ [21] ὁ πατὴρ Θεόδωρος ἅπαξ [22]· ὁμοίως οὐκ ἦν σχολάζων [23] δι' ἣν εἶχεν φροντίδα.

ut secum fratres gubernet;

nimiis curis monachos obrui

146. Καὶ [1] ἐπειδὴ [2] προειρήκαμεν ὅτι πολλοὶ ἀγροὶ ἐγένοντο αὐτοῖς [3] καὶ πάλιν μετὰ [4] καιρὸν πλοῖα πολλά, ἑκάστου μοναστηρίου [5] ναυπηγοῦντος, ἐν ἀσχολίᾳ ἐγενήθησαν [1] καὶ ἐν [1] φροντίδι βαρείᾳ [6]. Τότε δὲ ἐπὶ [7] τοῦ ἀββᾶ Παχουμίου ὀλίγοι ὄντες ἑαυτοὺς

Matth.11,30. ἐτήρ υν [8] μὴ ἔχειν βάρος ὕλης τοῦ κόσμου· ὁ γὰρ ζυγὸς τοῦ Κυρίου ἐλαφρός ἐστιν. Καὶ [9] βλέπων πολλοὺς αὐτῶν ἀρξαμένους παραλλάξαι τῶν ἀρχαίων ἀδελφῶν τὴν πολιτείαν [10], ἐπένθησεν

dolet;

περὶ αὐτῶν [11]· καὶ ἦν [12] νηστεύων δύο δύο καὶ ἀγρυπνῶν εἰς εὐχὴν μετὰ τοῦ κλαίειν, καὶ τρίχινον ἱμάτιον ἔσωθεν τοῦ λεβίτωνος αὐτοῦ [13] φορῶν κατὰ νύκτα [14]· καὶ πολλάκις ὁρῶντες οἱ ἀδελφοὶ συνῆκαν αὐτόν τι ἔχειν [15]. Καὶ ἐπορεύετο πολλάκις νυκτὸς ἠρέμα εἰς τὸ ὄρος εὔξασθαι [16], ὅπου οἱ τάφοι τῶν ἀδελφῶν, ὡς ἀπὸ μιλίων [17] τριῶν. Καὶ ἀκολουθήσας [18] τις αὐτῷ μίαν [19], εἶδεν αὐτὸν

[9] (καὶ πρόλ. ἐπ.) προλ. δὲ παρεσκεύασε A. — [10] συναχθέντες add. A. — [11] (καὶ τῇ ὥρα - θ.) τῇ ὥ. δὲ τῆς κατ. παραβιασάμενος τὸν ὁρσίσιον ποιήσασθαι ταύτην ἐν μέσῳ κατὰ τὸ παλαιὸν ἔθος, αὐτὸς ἀββᾶ θ. ἔστηκεν A. — [12] (καὶ μ. τ. ἀπὸ) ἔκτοτε οὖν ἐκ A. — [13] ἀπ' αὐτοῦ A. — [14] om. A. — [15] αὐτοῦ F. — [16] (παιδ. - εἶναι) ἦν παρὰ τοῦ κ. ἐπαιδεύθησαν A. — [17] ὁρσισίου θεόδωρος A. — [18] μὲν add. A. — [19] ἀββᾶς F. — [20] (ἐπ. τ. ἀδ.) τ. ἀδ. ἐπ. A. — [21] ἅπαξ δὲ πάλιν A. — [22] om. A. — [23] (δμ. - σχ.) οὐ γὰρ ἠδύνατο σχολάζειν A.

146. — FA. — *Lemma: ρζ', περὶ τῆς ὑπαλλαγῆς τοῦ βίου τῶν μοναχῶν* A. — [1] om. A. — [2] ἐπεὶ δὲ A. — [3] πολλοὶ γεγόνασιν τούτοις ἀγροὶ A. — [4] κατὰ A. — [5] (ἑ.μ.) μ. γὰρ ἑ. A. — [6] ἐγένοντο add. A. — [7] (τότε δὲ ἐ.) ἐ. δὲ A. — [8] (ἑ. ἐ.) ἐ. ἑ. A. — [9] ἐπένθει περὶ αὐτῶν ἀββᾶ θεόδωρος A. — [10] παραλλάσσειν τὴν π. τῶν ἀρχ. ἀδ. A. — [11] ἐ. π. αὐ. om. A. — [12] (καὶ ἦν) ἦν οὖν A. — [13] om. A. — [14] (φ. κ. ν.) κ. ν. φ. A. — [15] (καὶ πολλ.-ἔχ.) συνῆκαν οὖν οἱ ἀδ. ὁρ. ταῦτα ἔχ. τι τοῦτον A. — [16] καὶ πορευομένου πολλ. εἰς τὸ ὄρ. νυκτ. ἠρ. πρὸς τὸ εὔξ. A. — [17] ὄντες add. A. — [18] (καὶ ἀ.) ἠκολούθησέ A. — [19] ποτε καὶ A.

μακρόθεν ἄνω στήκοντα [20] ἐπὶ τοῦ μνημείου [21] τοῦ πατρὸς ἡμῶν Παχουμίου [22] εὐχόμενον· καὶ ἤκουσεν [23] τί ηὔχετο καὶ ἐφοβήθη. Ταῦτα δὲ εὐχόμενος ἔλεγεν [24]· « Κύριε [24*] τοῦ δούλου σου ἀββᾶ [25] Παχουμίου, οὗ στήκω νῦν ἐπὶ τοῦ τάφου [26] αὐτοῦ [25], εὐδόκησον τοῦ ἐπισκέψασθαί με, εἰ θέλημά σού ἐστιν. Ἐπληθύνθη γὰρ ἡ ἀμέλεια ἡμῶν, καὶ οὐκ ἐργαζόμεθα τὸ ἀγαθόν. Ὅμως δὲ τοὺς δούλους σου μὴ ἐγκαταλείψῃς [27], Κύριε. Κἂν ἀμελῶμεν, διέγειρον ἡμᾶς· κἂν καταφρονῶμεν, φοβέρισον ἡμᾶς, ὑπομιμνήσκων τὰς αἰωνίους βασάνους. Καὶ δὸς αὐτοῖς [28] ὁδεύειν τὴν ὁδόν σου τὴν ἀγαθήν, ὅτι σὺ ἔπλασας ἡμᾶς, Κύριε, καὶ οὐκ ἐφείσω τοῦ μονογενοῦς σου Υἱοῦ, Cf.Ps.138,5; [29] παραδοῦναι αὐτὸν ὑπὲρ πάντων ἡμῶν ἵνα σωθῶμεν. » Καὶ ἐχρόνισεν [30] σφόδρα [25] ταῦτα εὐχόμενος· καὶ λοιπὸν κατέβη. Rom. 8,32.

147. Καὶ πρὸ τούτου παῖς ἦν [1] τις πολιτικός, Ἥρων [2] λεγόμενος, δεύτερος τοῦ [3] ἀββᾶ Θεοδώρου τοῦ πολιτικοῦ. Καὶ μέσον τοῦ πάσχα [4] προσεδόκων [5] αὐτὸν [3] ἀποθανεῖν. Αὐτῷ δὲ τῷ [6] σαββάτῳ ὀψὲ τῶν ἀδελφῶν ἐν τῇ συνάξει ὄντων [7], ὠχλεῖτο ἀποθανεῖν [8]· καὶ οὕτως ἐξελθὼν [9] ὁ πατὴρ ἡμῶν Θεόδωρος ἀπὸ τῆς συνάξεως εὗρεν αὐτὸν ἀποδιδόντα [10] τὸ πνεῦμα· καὶ ἐλάλησεν αὐτῷ καὶ ἐκάμμυσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ [11]. Καὶ λοιπὸν εἶπεν [12] ὅτι ὁ ἀδελφὸς οὗτος ὁ κοιμώμενος σημεῖόν ἐστιν ἄλλου ἀνυπονόητου τινὸς μέλλοντος κοιμηθῆναι [13]. Καὶ οὕτως ἠγρύπνησαν οἱ ἀδελφοὶ [14] ἀναγινώσκοντες περὶ τὸ σκήνωμα. Καὶ πρωΐ [15] τῇ κυριακῇ τῆς χαρᾶς ἐνταφιάσας ἔθαψεν αὐτὸν μετὰ [16] τῶν ἀδελφῶν ψαλλόντων [17]. Act. SS. § 94. *Heroni*

morienti adest;

148. Καὶ αὐτὸς ἐνόσησεν μεθ' ἡμέρας, πρῶτον προπέμψας τοὺς εἰσελθόντας ἐν τῷ πάσχα ἀδελφοὺς ἑκάστου μοναστηρίου [1] μετὰ παραμυθίας πολλῆς· ἐλάλησεν γὰρ τὰ συμφέροντα αὐτοῖς [2] μετὰ πολλῆς σπουδῆς [3], γινώσκων ἑαυτὸν μεταβεβηκέναι τοῦ κόσμου Cf.Ioh.13, 1.

aegrotat ipse

[20] (μ. ἄ. στ.) ἑστηκότα μ. ἄ. A. — [21] πρὸς τῷ μνημείῳ A. — [22] καὶ add. A. — [23] (καὶ ἤ.) προσεγγίσας δὲ ἤκουε A. — [24] *Lemma: ε ὐ χ ή* add. A. — [24*] ὁ θεὸς add. A. — [25] om. A. — [26] ἐν τῷ τάφῳ A. — [27] ὅμως μὴ ἐγκαταλίπῃς τοὺς δ. σου A. — [28] ἡμῖν A. — [29] τοῦ add. A. — [30] (καὶ ἐ.) ἐ. δὲ A.

147. — FA. — [1] (καὶ - ἦν) πρὸ τοῦ πάσχα οὖν ἀρρωστῶν A. — [2] ἥρων A. — [3] om. A. — [4] καὶ μ. τ. π. om. A. — [5] προσεδόκουν F, προσεδοκᾶτο A. — [6] θείῳ add. A. — [7] ὄντ. ἐν τῇ σ. A. — [8] τὴν ψυχὴν παραδοῦναι A. — [9] (καὶ οὗ. ἐξ.) ἐλθὼν οὖν A. — [10] ἀποδιδοῦντα F. — [11] καὶ λαλήσας αὐτῷ τ. ὀφθ. αὐτοῦ ἐκάλυψε A. — [12] (καὶ λ. εἶ.) τότε δὴ λέγει λοιπ. ἀββᾶ θεόδωρος A. — [13] (σημ. - κοιμ.) ἑτέρου κοιμ. μέλλ. ἀνυπ. σημ. ἐστι A. — [14] ψάλλοντες καὶ add. A. — [15] (κ. π.) π. δὲ A. — [16] om. A. — [17] ψ. τ. ἀδ. A.

148. — FA. — *Lemma: ρη', θάνατος Θεοδώρου* A. — [1] *Καὶ μεθ' ἡμ. ἐνόσ. ἀββᾶ θεόδωρος πρῶτον προπ. ἐκ. μον. ἀδ. τοὺς ἐλθόντας εἰς τὸ πάσχα* A. — [2] (τὰ σ. αὐ.) αὐ. τὰ σ. A. — [3] (π. σ.) σ. π. A.

ἤδη [4]. Καὶ λοιπὸν νοσοῦντι παρῆν ὁ ἀββᾶς [5] Ὡρσίσιος καὶ πάντες οἱ μεγάλοι καὶ [6] οἱ [6] ἀδελφοί. Βλέπων δὲ [7] αὐτὸν [8] ὅτι ἔκλινεν εἰς τὸ μέρος ἐκεῖνο [9] ἀπελθεῖν, συνεκάλεσεν τοὺς ἀδελφοὺς εἰς [10] σύναξιν εὔξασθαι περὶ αὐτοῦ τῷ Κυρίῳ [11] ἀφεῖναι αὐτόν· καὶ οὕτως [12] ἐπὶ πρόσωπον πεσὼν [13] μετὰ κλαυθμοῦ πικροῦ ὁμοῦ καὶ πάντων τῶν ἀδελφῶν [14], ἔλεγεν οὕτως· « Κύριε, τὸν ἀναπαύοντα πάντας [15] ἡμᾶς αἴρεις; Καὶ τίνι καταλιμπάνεις ἡμᾶς; ἆρόν με [16] καὶ ἄφες αὐτόν, τὸν [17] δυνάμενον διόρθωσιν ποιήσασθαι καὶ οἰκονομῆσαι τοὺς ἀδελφούς. » Καὶ [15] οὕτως τρεῖς ἡμέρας ἐποίησαν [18]. Καὶ ὁ ἄνθρωπος ἤγγισεν ἀποδοῦναι [19] τὴν ψυχήν. Καὶ [15] λέγει τῷ ἀββᾷ Ὡρσισίῳ, τῶν ἄλλων ἑστώτων· « Μὴ ἆρα [20] ἐλύπησά σέ ποτε ἐν λόγῳ ἢ ἐν [15] διαταγῇ [21]; » Καὶ οὐκ ἠδυνήθη [22] ἀπολογήσασθαι αὐτῷ ἀπὸ τοῦ κλαυθμοῦ, Καὶ πάλιν λέγει [23]· « Οὐκ οἶδα εἰ ἐλύπησά σε, οὐ μόνον [24] σέ, ἀλλ' οὐδὲ ἕτερον ἀδελφόν· οὐ γὰρ ἠμέλησά ποτε τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς καὶ τῶν ἀδελφῶν, ὅσον ἠδυνάμην [25]· καὶ τοῦτο [26] οὐκ ἔστιν ἐμόν, ἀλλὰ τοῦ ἐλεήμονος Θεοῦ. Ἰδοὺ ἐν οὐρανοῖς [27] ὁ μάρτυς μου, καὶ ὁ συνίστωρ μου ἐν [28] ὑψίστοις. » Καὶ τοῦτο [29] λέγων ἀπέδωκεν τὸ πνεῦμα τῇ δευτέρᾳ τοῦ παχὼν [30] μηνός.

Iob 16, 20. *et moritur,*

Act. SS. § 95. *plangentibus cunctis.*

149. Καὶ ἀπὸ [1] τῆς κραυγῆς — οὐ γὰρ ἠδυνήθησαν ἐγκρατεῖς γενέσθαι [2] κλαυθμοῦ — ἤκουσαν οἱ εἰς τὸ πέραν τοῦ ποταμοῦ. Καὶ οὐ δυνάμεθα γράφειν ὅσα ἐγένοντο. Καὶ ἀγρυπνήσαντες [3] ὁμοίως, καὶ πρωΐ κηδεύσαντες τὸ σῶμα [4] ἀπήνεγκαν μετὰ ψαλμῶν εἰς τὸ ὄρος καὶ ἔθαψαν. Καὶ μετὰ [5] τὸ ἐλθεῖν αὐτοὺς κάτω, ἀπῆλθεν ἀρχαῖός τις τοῦ μοναστηρίου Παβαῦ δεύτερος [6], Ναφερσαεῖς [7] λεγόμενος [8], μετὰ [9] ἄλλων, καὶ μετέθηκεν [10] αὐτὸν ἐγγὺς τοῦ [11] σκηνώματος τοῦ [11] ἀββᾶ Παχουμίου. Καὶ οἱ [12] ἀδελφοὶ ἐποίησαν ἡμέρας σφόδρα λυπούμενοι, λέγοντες ὅτι [13]· « Ἡμεῖς ἐλυπήσαμεν αὐτὸν ἕως ἐδεήθη [14] τοῦ Κυρίου συνεχῶς [1]· καὶ ἰδοὺ ἀπῆλθεν καταλείψας ἡμᾶς. » Καὶ μνημονεύοντες τῆς πολλῆς χρηστότητος αὐτοῦ [15*] πρὸς πάντας καὶ τὸν φόβον τοῦ Θεοῦ ὃν εἶχεν [16], λίαν κατώδυνοι ἦσαν. Ἐποίησεν γὰρ τοσοῦτον χρόνον ἐξ ὅλης καρδίας λατρεύων αὐτῷ [17].

Ἀββᾶ Ὡρσίσιος δὲ ἦν πάλιν ἔχων [18] τὴν ἰδίαν τάξιν καὶ κυβερνῶν [19] τοὺς ἀδελφοὺς κατὰ τὸ δυνατὸν αὐτῷ. Ἦν γὰρ ἀγαθὸς λίαν καὶ ἀγαπῶν τὰς ψυχὰς τῶν ἀδελφῶν σῶσαι [20]. Ὁ γὰρ [21] Θεὸς ἐνίσχυσεν αὐτόν, πλατύνας αὐτῷ τῶν γραφῶν τὰ νοήματα. Καὶ τοὺς ἀδελφοὺς ἐν εἰρήνῃ ἐκυβέρνησεν [22] χρόνον πολύν.

Orsisius fratres denu moderandos suscipit;

Act. SS. § 96. *quem Athanasius*

150. Ἀκούσας δὲ ὁ ἁγιώτατος [1] ἀρχιεπίσκοπος Ἀθανάσιος περὶ [2] τοῦ πατρὸς ἡμῶν Θεοδώρου [3] ἐλυπήθη. Καὶ ἔπεμψεν ταύτην τὴν ἐπιστολὴν [4] τῷ ἀββᾷ Ὡρσισίῳ καὶ τοῖς ἀδελφοῖς, παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ κοιμήσει αὐτοῦ οὕτως· « Ἀθανάσιος ἀββᾷ Ὡρσισίῳ, πατρὶ μοναχῶν, καὶ πᾶσιν τοῖς σὺν αὐτῷ τοῖς [1] τὸν μονήρη βίον ἀσκοῦσιν [5] καὶ ἐν [6] πίστει Θεοῦ ἱδρυμένοις, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν Κυρίῳ χαίρειν. Ἤκουσα περὶ τῆς [6] κοιμήσεως [6] τοῦ μακαρίου [7] Θεοδώρου, καὶ πάνυ μετὰ πολλῆς φροντίδος ἤνεγκα τὴν ἀκοήν, εἰδὼς αὐτοῦ τὸ πρὸς ὑμᾶς [8] χρήσιμον. Εἰ μὲν οὖν μὴ ἦν Θεόδωρος [9], πολλοῖς ἂν ὑμῖν [10] μετὰ δακρύων ἐχρησάμην λόγοις [6], λογιζόμενος τὰ μετὰ θάνατον. Ἐπειδὴ δὲ Θεόδωρός ἐστιν, ὃν ὑμεῖς τε καὶ ἡμεῖς ἐγνώκαμεν, τί δεῖ γράφοντά με λέγειν ἢ· μακάριος Θεόδωρος, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. Ἀλλ' ἀεὶ μακάριός [11] ἐστιν καὶ [12] φοβούμενος τὸν Κύριον. Νῦν γὰρ μακαρίζειν [13] τεθαρρήκαμεν, ἔχοντες ἀσφαλῆ τὸν λόγον, ὅτι καταντήσας ὥσπερ [6] εἰς λιμένα [14] ἀμέριμνον βίον ἔχει. Εἴθε καὶ ἐφ' ἑκάστου [15] ἡμῶν τοῦτο ἔφθανεν· εἴθε τρέχων ἕκαστος οὕτως καταντήσειεν· εἴθε πλέων [16] ἕκαστος προσορμίσειεν τὸ ἴδιον

Ps. 1, 1; 111, 1.

[4] (μεταβ. τ. κ. ἤ.) ἤ. μ. τ. κ. A. — [5] (καὶ - ἀβ.) λοιπ. δὲ νοσ. αὐτῷ συμπαρῆν ἀββᾶ A. — [6] om. A. — [7] οὖν A. — [8] ἀββᾶ ὀρσίσιος add. A. — [9] εἰς ἐκεῖνον τὸν κόσμον A. — [10] τὴν add. A. — [11] εὔξασθαι ὑπὲρ ἀββᾶ θεοδώρου καὶ παρακαλέσαι τὸν θεὸν A. — [12] αὐτὸς δὲ A. — [13] (ἐπὶ πρ. π.) π. ἐπὶ πρ. A. — [14] ὁμοῦ σὺν πᾶσι τοῖς ἀδελφοῖς A. — [15] om. A. — [16] ἐμὲ A. — [17] om. F. — [18] ἐπ. τρ. ἡμ. A. — [19] ἐγγίσας ἤδη τοῦ παραδοῦναι A. — [20] πάτερ add. A. — [21] corr. A. — [22] ὀρσίσιος add. A. — [23] ἐκεῖνος ἔλεγεν A. — [24] δὲ add. A. — [25] καὶ τῶν ἀδ. ὅσον ἐδ. om. A. — [26] (καὶ τ.) τ. δὲ A. — [27] οὐρανῶ A. — [28] τοῖς add. A. — [29] (καὶ τ.) ταῦτα A. — [30] πάχων F; μαΐος add. in marg. F.

149. — FA. — [1] (καὶ ἀ.) ἀ. δὲ A. — [2] τοῦ add. A. — [3] (καὶ ἀ.) ἀ. οὖν A. — [4] σκήνωμα A. — [5] (καὶ μ.) μ. δὲ A. — [6] τοῦ μον. π. δεύτ. om. A. — [7] ναφερσάης A, φερσαής N. — [8] τοῦ μον. παβ. δεύτ. add. A. — [9] τινων add. A. — [10] μετέθηκαν A. — [11] om. A. — [12] (καὶ οἱ) οἱ δὲ A.

[13] (λέγ. ὅτι) καὶ λέγ. A. — [14] (ἕως ἐ.) ἵνα δεηθῆ A. — [15] om. A. — [15*] τῆς πολλ. αὐ. χρ. ἧς εἶχε A. — [16] καὶ ὃν εἶχε φ. εἰς τὸν θεὸν ἀναλογιζόμενοι A. — [17] (λ. αὐ.) τῷ κυρίῳ λ. A. — [18] ἀββᾶ δὲ ὀρσ. ἀναλαβόμενος αὖθις A. — [19] (καὶ κυβ.) ἐκυβέρνα A. — [20] ἀγαπ. σῶσαι ψ. A. — [21] (ὁ γὰρ) καὶ ὁ A. — [22] (καὶ - ἐκ.) ἐκ. οὖν ἐν εἰρ. τ. ἀδ. A.

150. — FA. — *Lemma : ρθ', ἐπιστολὴ τοῦ μεγάλου Ἀθανασίου πρὸς Ὀρσίσιον* A. — [1] om. A. — [2] τῆς κοιμήσεως add. A. — [3] πάνυ add. A. — [4] τὴν ἐπ. ταύτ. A. — [5] ἀσκήσασι A. — [6] om. A. — [7] μακαρίτου A. — [8] ἡμᾶς A. — [9] (μὴ ἦν θ.) θ. ἐκεῖνος ἦν A. — [10] πρὸς ὑμᾶς λόγοις A. — [11] (ἀλλ' ἀεὶ μ.) μ. δέ A. — [12] ὡς A. — [13] αὐτὸν add. A. — [14] λοιπὸν add. A. — [15] ἑκάστω A. — [16] (ἕκαστος - πλ.) om. A.

σκάφος πρὸς τὸν ἀχείμαστον ἐκεῖ λιμένα [17], ἵνα μετὰ τῶν πατέρων
Ps. 131, 14. ἀναπαυόμενος λέγῃ· Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.
Οὐκοῦν, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί, μὴ κλαίετε Θεό-
Mt. 9, 24. δωρον· οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύδει. Μηδὲ δακρυέτω τις μνη-
μονεύων αὐτοῦ, ἀλλὰ ζηλούτω τὸν βίον αὐτοῦ [18]. Οὐ δεῖ γὰρ [19] ἐπὶ
τῷ ἀπελθόντι εἰς τὸν ἄλυπον τόπον λυπεῖσθαι [18]. Ταῦτα δὲ κοινῇ
datis litteris solatur. μὲν ὑμῖν γράφω, ἐξαιρέτως δὲ σοί, ὦ [18] ἀγαπητὲ καὶ ποθεινότατε
Ὡρσίσιε, ἵνα κοιμηθέντος ἐκείνου σὺ τὴν ὅλην φροντίδα ἀναδέ-
ξῃ [20]· καὶ γενοῦ [21] ἀντ' αὐτοῦ τοῖς ἀδελφοῖς [22]. Καὶ γὰρ περιόντος
ἐκείνου [23] ἀμφότεροι ὡς εἷς ἐτυγχάνετε· καὶ ἑνὸς ἀποδημοῦντος [24]
ἐπληροῦτο ἡ τῶν δύο χρεία, καὶ τῶν δύο παρόντων ὡς εἷς ἐγί-
νεσθε, τοῖς ἀγαπητοῖς τὰ πρὸς ὠφέλειαν ὁμιλοῦντες [25]. Οὕτως
οὖν [18] πράττε [26]· οὕτω ποιῶν γράφε καὶ σήμαινε ἡμῖν [27] περὶ τῆς
σεαυτοῦ [28] καὶ τῆς ἀδελφότητος σωτηρίας. Καὶ εὔχεσθε, παρακαλῶ,
κοινῇ πάντες, ἵνα [29] ἐπὶ πλέον εἰρήνην βραβεύσῃ ταῖς ἐκκλησίαις
ὁ Κύριος. Καὶ γὰρ καὶ νῦν μετ' εὐθυμίας ἑορτάσαμεν τό τε πάσχα
καὶ τὴν πεντηκοστήν· καὶ εὐφραινόμενοι ἐπὶ ταῖς τοῦ Κυρίου εὐ-
εργεσίαις ἐγράψαμεν [30] ὑμῖν [31]. Προσαγορεύετε πάντας τοὺς φο-
βουμένους τὸν Κύριον [32]. Προσαγορεύουσιν ὑμᾶς οἱ σὺν ἐμοί [33].
Ἐρρῶσθαι [34] ὑμᾶς ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι
ἀδελφοί [35]. »

[17] (πρὸς τὸν ἀ. ἐ. λ.) εἰς τὸν ἀμέριμνον βίον ἐκεῖνον A. — [18] om. A. — [19] οὐδὲ γὰρ λυπεῖσθαι δεῖ A. — [20] (φρ. ἀ.) ἀ. φρ. A. — [21] γένη A. — [22] ἀγαπητοῖς A. — [23] κἀκείνου γὰρ π. A. — [24] ἀποπληροῦντος A. — [25] ὁμ. τὰ πρὸς ὠφ. A. — [26] καὶ add. A. — [27] γράφε ἡμ. καὶ σήμ. A. — [28] ἑαυτοῦ τε A. — [29] ἵν' A. — [30] γράφομεν A. — [31] τοῦτο add. A. — [32] (προσ. -κύρ.) om. A. — [33] ἀδελφοί add. A. — [34] ἔρρωσθε F. — [35] προσαγορεύσατε πάντας τοὺς φοβουμένους τὸν κύριον add. A.

II. DE SANCTIS PACHOMIO ET THEODORO EPISTULA AMMONIS EPISCOPI (Θ).

E codice Florentino Laurentiano XI, 9 (= F), adhibito etiam (in uno cap. 11) codice Athoo monasterii Hiberorum 367 (= a).

Ἐπιστολὴ Ἀμμωνος ἐπισκόπου περὶ πολιτείας καὶ βίου μερικοῦ Παχουμίου καὶ Θεοδώρου.

Prologus. **1.** Ἐπειδὴ τῶν ἁγίων τοῦ Χριστοῦ θεραπόντων ἐραστὴς τυγχάνων, μιμητὴς γενέσθαι τῆς αὐτῶν καθαρότητος ἐσπούδασας, τόν τε ἄνθρωπον τοῦ Θεοῦ Θεόδωρον τὸν ἡγιασμένον, τῶν παρὰ Θηβαίοις καλουμένων Ταβεννησίων μοναζόντων, παρὰ πολλῶν ἀκηκοὼς θαυμάζεις, τριετῆ χρόνον ἐν τῷ παρ' αὐτῶν μοναστηρίῳ γεγενῆσθαί με μαθών, ὅσα παρὰ τῶν συνδιατριψάντων αὐτῷ ἁγίων ἀνδρῶ νέγνων, περὶ αὐτοῦ ἀκήκοα καὶ ἰδεῖν κατηξιώθην, γράψαι τῇ τιμιότητί σου προσέταξας, ἱκετεύσας τὸν Θεὸν τούτων μοι τὴν μνήμην ἀκριβῆ καὶ καθαρὰν ποιῆσαι, τῷ προστάγματι τῆς σῆς ὁσιότητος τὸ ἱκανὸν ποιῆσαι σπουδάσας, αὐτὰ ταῦτα δηλῶ.

Act. SS. § 1. **2.** Ἑπτακαιδεκαετὴς ἐξελθών, χριστιανὸς γενόμενος, καὶ τοῦ μακαρίου πάπα Ἀθανασίου ἐν τῇ ἐκκλησίᾳ τὴν πολιτείαν τῶν τε μοναζόντων καὶ ἀειπαρθένων διηγουμένου καὶ θαυμάζοντος τὴν ἀποκειμένην αὐτοῖς ἐν τοῖς οὐρανοῖς ἐλπίδα, ἀκηκοὼς ἐγὼ ταῦτα αὐτοῦ διαγγέλλοντος καὶ ἀγαπήσας, τὸν μακάριον αὐτῶν βίον ἐξελεξάμην· καὶ τοῦ λουτροῦ τυχὼν τῆς παλιγγενεσίας, Θηβαΐῳ τινὶ μοναχῷ συντυχὼν κατὰ τὴν πόλιν καὶ προθέμενος ἀκολουθῆσαι αὐτῷ, τὰ κατ' ἐμαυτὸν ἀνεθέμην, γνώμης γενόμενος τοῦ τῆς μακαρίας μνήμης Παύλου τοῦ πρεσβυτέρου τοῦ ἐν τῇ ἐκκλησίᾳ τῇ καλουμένῃ Περεοῦ· ὃς αἱρετικὸν εἶναι τὸν μονάζοντα καθοπτεύσας, τῷ ἁγίῳ Θεοδώρῳ εἰς τὴν Θηβαΐδα με ἀπέστειλεν διὰ Θεοφίλου καὶ Κόπρη, ἀνδρῶν ἀνακειμένων τῷ Θεῷ, οἵτινες ὑπὸ Θεοδώρου πρὸς τὸν μακάριον πάπαν Ἀθανάσιον μετὰ γραμμάτων ἀπεσταλμένοι ἐτύγχανον. Ὡς δὲ τῷ μοναστηρίῳ ἐν ᾧ ἦν ὁ δοῦλος τοῦ Θεοῦ Θεόδωρος ἐπέστημεν, ὃ καλεῖται Βαῦ, ἐν τῷ

Col. 1, 5. Cf. Tit. 3, 5. *vitae monasticae desiderio tactus,*

ἄνω Διοσπολίτῃ νομῷ τυγχάνοντι, πρὸς τῇ πόλῃ συντυχεῖν μοι καταξιώσας ὁ τοῦ Θεοῦ ἄνθρωπος Θεόδωρος καὶ ὁμιλήσας τὰ δέοντα, ἀμεῖψαί με ποιήσας τὴν ἐσθῆτα, εἰσήγαγεν εἰς τὸ μοναστήριον · ἐν ᾧ ἠῦρον συνηθροισμένους μονάζοντας περί που ἑξακοσίους, περιμένοντας ἐν μέσῳ τοῦ μοναστηρίου. Ὃς ὑπὸ φοίνικα καθεσθείς, πάντων αὐτῷ συγκαθεσθέντων, ξενιζόμενόν με τὴν τάξιν αὐτῶν καὶ ἐρυθριῶντα ἑωρακώς, πλησίον ἑαυτοῦ καθεσθῆναι πεποίηκεν.

ab ipso Theodoro suscipitur.

Act. SS. § 2. **3.** Καί τις τῶν μοναζόντων ἀναστὰς ὥσπερ ἔνθους τὸν Θεόδωρον ἠξίου εἰπεῖν αὐτοῦ τὰ πλημμελήματα ἐπὶ πάντων · ὃς ἀτενίσας αὐτῷ προσεφώνησεν λέγων · « Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ · καθήσεται κατὰ μόνας καὶ σιωπήσεται ὅτι ἦρεν ἐφ' ἑαυτόν · δώσει τῷ παίοντι αὐτὸν σιαγόνα · χορτασθήσεται ὀνειδισμῶν. Σὺ δὲ τί ἐπαχθῶς φέρεις τοὺς ὑπὲρ Χριστοῦ ὀνειδισμούς; » Καὶ οὕτως αὐτοῦ καθεσθέντος, ἕτερος ἀναστὰς ἠξίου περὶ ἑαυτοῦ ἀκοῦσαι · κἀκείνῳ ἀτενίσας ἔφη · « Γέγραπται · Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη · κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. Σὺ δ' ἐναντίως ἔχων τρυγᾶσαι ὑπὸ πάντων τῶν παραπορευομένων τὴν ὁδόν. » Καὶ τούτου μετὰ πολλῆς κατηφείας καθεσθέντος, ἑτέρῳ ἀναστάντι καὶ τὰ αὐτὰ ἐρωτήσαντι ἔφη · « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχεν μοι καὶ εἰσήκουσεν τῆς δεήσεώς μου · καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος, καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνεν τὰ διαβήματά μου · καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν. » Καὶ πολλὰ δακρύσαντος καὶ καθεσθέντος κἀκείνου, καὶ σὺν αὐτῷ καὶ ἄλλων πολλῶν δακρυόντων, ἄλλῳ ἀναστάντι καὶ τὰ περὶ ἑαυτοῦ μαθεῖν ἀξιοῦντι ἔφη · « Μακρόθυμος ἀνήρ, πολὺς ἐν φρονήσει · ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων · διόρθωσαι σεαυτόν. » Καὶ σκυθρωπάσαντος αὐτοῦ καὶ καθεσθέντος [1], Ὡρίωνί [2] τινι, Λίβυι μὲν τὸ γένος, τέκτονι δὲ τὴν τέχνην , ὡς ὕστερον ἔμαθον, ἀναστάντι καὶ τὰ περὶ ἑαυτοῦ ἀξιώσαντι ἔφη · « Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὰς ἐπαγγελίας. » Καὶ μετὰ Ὡρίωνα [3] Πατελλολὶ τοὔνομα ἀναστάντι καὶ τὰ καθ' ἑαυτὸν εἰπεῖν ἀξιώσαντι ἔφη · « Ἀλλήλων τὰ βάρη βαστάζετε · καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ · διόρθωσαι σεαυτόν. » Καὶ ἀποστάντος αὐτοῦ, πᾶσι τοῖς παροῦσι μονάζουσιν εἶπεν περὶ αὐτοῦ · « Πιστεύσατέ μοι λέγοντι · Δαίμοσι φοβερός ἐστιν. » Καὶ μετὰ

Thren. 3. 27-30. *Interest publicae fratrum reprehensioni,*

Cant. 4, 12. Ps. 79, 12.

Ps. 39, 1-3.

Prov. 14, 29.

Hebr. 10, 36.

Gal. 6, 2.

3. — [1] *corr. in marg., prius* θεσθέντος F. — [2] ὡρίω F. — [3] ὡρίωνι F.

τοῦτον ἄλλῳ ἀναστάντι καὶ ἐρωτήσαντι ἔφη · « Εὐλογητὸς Κύριος ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον · καὶ ἐν τούτοις ἀνδρίζου. » Καὶ μετὰ τοῦτον ἄλλῳ ἀναστάντι ἔφη · « Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας · ἀγωνίζου. » Καὶ μετὰ τοῦτον ἑτέρῳ ἀναστάντι ἔφη · « Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ, οὐ μόνον σαρκός, ἀλλὰ καὶ πνεύματος · πρόσεχε τοῖς κρυπτοῖς σου. » Καὶ μετὰ τοῦτον ἄλλῳ ἀναστήσαντι ἔφη · « Προσεύχου λέγων · Ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἑκατέρωθεν γὰρ πόλεμον ἔχεις ἰσχυρόν. »

Ps. 143, 1. Eph. 6, 12. II Cor. 7, 1. Ps. 18, 12.

4. Ταῦτα δὲ ἡμεῖς ἠκούομεν αὐτοῦ λέγοντος τῇ Αἰγυπτίων [1] διαλέκτῳ, ἑρμηνεύοντος ἑλληνιστὶ Θεοδώρου τοῦ Ἀλεξανδρέως, ἀναγνώστου γενομένου τῆς ἐκκλησίας τῆς λεγομένης Περεοῦ, ἀνδρὸς ἁγίου καὶ τῷ βίῳ καὶ τῇ γλώττῃ καθάπερ λέγοντος · « Χριστῷ συνεσταύρωμαι · ζῷ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Ὃς μέχρι τοῦ παρόντος ἐνδημῶν τῷ σώματι εὑρέστει τῷ Κυρίῳ.

inter prete altero Theodoro ;

Gal. 2, 20. II Cor. 5, 6.

5. Ὡς δὲ ἐξενιζόμην, τὰ λελαλημένα μήπω νοῶν διά τε τὸ νέον τῆς ἡλικίας καὶ τὴν πολλὴν ἀπειρίαν, ὑπὸ ἄλλου ἐρωτώμενος ὁ Θηβαῖος θεράπων τοῦ Θεοῦ Θεόδωρος καὶ σιωπῶν ἀτενίσας εἰς τὸν οὐρανὸν ἀνέστη · καὶ ἐν μέσῳ τῶν μοναζόντων γενόμενος, κυκλωθείς τε καθάπερ στεφάνῳ ὑπὸ πάντων, κελεύσας τῷ Ἀλεξανδρεῖ Θεοδώρῳ ἑρμηνεύειν, ἔφη · « Οἶδα μὲν ὅτι ἐὰν ἀκούσωσιν πάλιν οἱ σαρκικοὶ ἀγανακτοῦσιν · ἐπειδὴ δὲ ὁ Κύριος εἰπεῖν με ὑμῖν προσέταξεν, λέγω. Ὁ μὲν ὑπὸ τῶν ἐκ γένους ἐπικείμενος τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ διωγμὸς ἐπὶ πλεῖον προκόψει καὶ ἰσχύσει πολλοὺς βλάψαι. Τοιοῦτοι γὰρ ἦσαν οἱ καὶ τῷ ἁγίῳ ἀποστόλῳ Παύλῳ ἐπιβουλεύοντες, οἳ οὐχ ἁγνῶς, ἀλλ' ἐξ ἐριθείας τὸν Χριστὸν ἐκήρυττον. Ἀκμάζοντος δὲ τούτου τοῦ διωγμοῦ, ἐξ ἀπροσδοκήτου ἔλλην ἔσται βασιλεύς, ὃς λογιεῖται λογισμοὺς κατὰ τοῦ μυστηρίου τοῦ Χριστοῦ καὶ σπουδάσει τὸ ὅσον ἐφ' ἑαυτῷ χριστιανοῖς ἐπιβουλεῦσαι · ὁ δὲ Χριστὸς καταισχυνεῖ αὐτοῦ τὴν βουλήν · εἴρηκεν γὰρ καὶ περὶ αὐτοῦ · « Ὁ δὲ κατοιόμενος καὶ καταφρονητής, ἀνὴρ ἀλαζών, οὐθὲν οὐ μὴ περανεῖ. » Διὸ βοᾶν ἡμᾶς χρὴ πρὸς τὸν Θεόν, ἵνα τὴν ἐλεημοσύνην αὐτοῦ ταῖς ἐκκλησίαις εἰς σωτηρίαν πολλῶν παρατείνῃ. »

futuras ecclesiae persecutiones

Act. SS. § 3. Phil. 1, 1 Cf. Dan. 11, 24. Hab. 2, 5. Cf. Ps. 35, 10.

4. — [1] αἰγυπτίω F.

a Theodoro

6. Ἐρωτηθεὶς ὑπό τινος τίνες εἶεν[1] οἱ ἐκ γένους, ἔφη· « Οἱ ἀδόκιμοι Ἀρειανοί. » Καὶ ταῦτα εἰπών, πάλιν ὑπὸ τὸν φοίνικα ἐκάθισεν. Καὶ οὕτως συμβέβηκεν, ἀμείψαντά με τὸν τόπον ἐν ᾧ πρότερον ἐκαθήμην ὀλίγῳ διαστήματι, μακρὰν ἀπ' αὐτοῦ γενέσθαι. Καὶ τῶν μοναζόντων τῇ ἰδίᾳ διαλέκτῳ ἀλλήλοις διαλεγομένων,

Rom. 13, 14. Ἐλουρίων τοὔνομα, ἀνὴρ τὸν Χριστὸν ἐνδεδυμένος, ἔφη πρός με τῇ Ἑλλήνων διαλέκτῳ[2]· « Ἀναστὰς ἐρώτησον τὸν ἄνθρωπον τοῦ Θεοῦ πότε ταῦτα ἔσται. » Ὡς δὲ φοβούμενόν με καὶ ὑποτρέμοντα εἶδεν, εἶπέν μοι· « Μὴ φοβηθῇς· ἱλαρῷ σε τῷ βλέμματι ὁρᾷ προτρεψάμενός σε· ἀναστὰς τοίνυν ἐρώτησον. » Κἀγὼ τὴν πολιὰν αἰδούμενος τοῦ ἀνδρός, ἐπὶ πλεῖον συνειχόμην. Θεασάμενος δὲ τὸν θεράποντα τοῦ Θεοῦ Θεόδωρον μετὰ μειδιασμοῦ προσέχοντα τῷ τε μακαρίῳ γέροντι Ἐλουρίωνι κἀμοί, νυττόμενος ὑπὸ Ἐλουρίωνος ἔστην. Καὶ μειδιῶν Θεόδωρος ἐκέλευσεν τῷ Ἀλεξανδρεῖ Θεοδώρῳ ἑρμηνεῦσαι, καὶ δι' αὐτοῦ ἔφη πρός με· « Λέγε ὃ βούλει, γινώσκων ὅτι πρόσφατον τρυγηθείς, γλεῦκος τυγχάνεις. » Καὶ ἔτι πλεῖον φόβῳ συσχεθεὶς ἔφην· « Πότε ταῦτα ἔσται; » Ὁ δὲ εἶπεν· « Οὔπω, φησίν, ἀνέγνως τὰς θείας γραφάς; Γέγραπται δέ·

III Reg. 18, 41. Φωνὴ τῶν ποδῶν τοῦ ὑετοῦ. Διὸ κἀγώ σοι λέγω· Φωνὴ τῶν ποδῶν τῶν προμηνυθέντων πραγμάτων. Ὄψει δὲ ταῦτα· καὶ ἐν αὐτοῖς ἔσῃ πάσχων τά τε ἀηδῆ καὶ τὰ ἡδέα. Οἴσει γὰρ ὁ Θεὸς ἔλεος πολλαῖς ψυχαῖς. Καὶ πρῶτος ὁ ὑπὸ ἑλλήνων, ἔπειτα ὁ ἐκ γένους ἐπικείμενος ταῖς ἐκκλησίαις καταλυθήσεται διωγμός. »

Act. SS. § 4. Sacris litteris instrui iubetur.

7. Καὶ πάντων μοι ἀτενιζόντων, ἀναστὰς ὁ ἅγιος Θεόδωρος καὶ πᾶσιν προστάξας ἐπὶ προσευχὴν τραπῆναι, λαβόμενός με τῆς χειρός, παρέδωκεν διδασκάλοις καὶ ὁδηγοῖς τῷ Ἀλεξανδρεῖ Θεοδώρῳ καὶ Αὐσονίῳ τινὶ τοὔνομα δευτερεύοντι αὐτῷ, εἰπὼν πρὸς Αὐσόνιον· « Ἔπειξον αὐτὸν μαθεῖν τὰς θείας γραφάς· οὐ διαμένει γὰρ ἐν τῷ μοναστηρίῳ, ἀλλὰ ἔσται τῆς ἐκκλησίας τοῦ Θεοῦ λειτουργός. » Κἀκεῖνοι παραλαβόντες με καὶ εἰσαγαγόντες εἰς τὸν οἶκον, ἐν ᾧ οἱ ὑπ' αὐτοὺς[1] ὄντες ἦσαν οἰκοῦντες μονάζοντες

Ex Graecis monachis dicta Theodori

Ἑλληνισταὶ τὸν ἀριθμὸν εἴκοσι, καθίσαντες, ἕκαστον ἀπήτουν εἰπεῖν ἃ ἐμνημόνευσαν, ὧν ἠρωτήθη καὶ ἐλάλησεν ὁ ἅγιος Θεόδωρος. Καὶ οὕτως ἑκάστου τῶν εἴκοσι, μεθ' οὓς καὶ Αὐσονίου καὶ Θεοδώρου τοῦ Ἀλεξανδρέως, ἀκούσας λεγόντων ἃ ἐμνημόνευσαν, συμβα-

Luc. 2, 19. sciscitatur. λὼν ἐν τῇ καρδίᾳ μου, μνημονεῦσαι ταῦτα ἅπερ ἔγραφα ἡδυνήθην. Ἑρμήνευσεν γάρ μοι παραχρῆμα ἀξιωθεὶς παρ' ἐμοῦ ὁ Ἀλεξ-

6. — [1] ἦ||εν, *prius* ἦσαν (?) F. — [2] *corr.* F.
7. — [1] ἐπ' αὐτοὺς F.

ανδρεὺς Θεόδωρος τὸν νοῦν ὧν ἑκάστῳ τῶν ἐρωτησάντων εἰρήκει ὁ μέγας Θεόδωρος. Ταῦτα δὲ ἐρρέθη ἐνιαυτοῦ καὶ ὀλίγῳ πρὸς παρεληλυθότος, ἀφ' οὗ καῖσαρ ἀνηγορεύετο Γάλλος, ὁ ἐπικληθεὶς νέος Κωνστάντιος.

8. Ἐπειδὴ δὲ καὶ εἴ ποτε πόρρωθεν τῆς φωνῆς τοῦ ἁγίου Θεοδώρου ἤκουον, ἢ χαρᾶς ἢ λύπης ἢ φόβου ἐπληρούμην, καὶ τούτων ὁπότερόν τι ἂν εἴη θαυμάζων ὧν ἔπασχον ἐπυθόμην, καὶ ἔγνων καὶ ἄλλους τὸ αὐτό μοι πάσχειν, Αὐσόνιον μὲν ἰδίᾳ, Ἐλουρίωνα δὲ καθ' ἑαυτὸν παρεκάλεσα τὰ κατὰ Θεόδωρον τὸν ἄνθρωπον τοῦ Θεοῦ διηγήσασθαί μοι — οὔπω γὰρ ἐτόλμων τὸν Ἀλεξανδρέα Θεόδωρον συνεχῶς ἐρωτᾶν — ὧν ἕκαστος ἔφη·

Ab Ausonio et Elurione docetur

9. « Παχούμιός τις, ἡγησάμενος τούτων τῶν μοναστηρίων, εὐηρέστησεν τῷ Θεῷ· ᾧ ὁ Θεὸς πολλὰ μὲν δι' ἀποκαλύψεων, πλείονα δὲ καὶ ἐπὶ τὴν καρδίαν αὐτοῦ λαλῶν, ἕτερα δὲ δι' ἀγγέλων ἐγνώρισεν, διαφόροις χαρίσμασιν τιμήσας αὐτόν· ὃς δὴ καὶ πρὸ ἓξ τούτων ἐτῶν ἐκδημήσας τοῦ σώματος ἐνεδήμησεν πρὸς τὸν Κύριον. Οὗτός ποτε καθεζόμενος τοῖς περὶ αὐτὸν μονάζουσιν ἔφη[1]· « Τὸν δοῦλον τοῦ Θεοῦ Πεκύσσιον ἀπεστείλαμεν εἰς τὴν Λατῶν[2] πόλιν ἐπικουρῆσαι τοῖς ἀδυνάτοις ἐκεῖσε· ὃν νῦν καθεζομένῳ μοι εὐηγγελίσατο ἄγγελος Κυρίου μέλλειν σήμερον ἔρχεσθαι, ἐπαγόμενον σκεῦος ἐκλογῆς τῷ Θεῷ· ἔστιν δὲ τοῦτο παῖς τις τρισκαιδεκαετής, Θεόδωρος καλούμενος, πνεύματος ἁγίου πλήρης. » Καὶ μετὰ δυσμὰς ἡλίου ἐπέστη τῷ μοναστηρίῳ Πεκύσσιος, φίλος τοῦ Παχουμίου τυγχάνων γνήσιος, ἐπιφερόμενος καὶ τὸν ἅγιον τοῦτον Θεόδωρον, τρισκαιδεκαετῆ τότε ὡς ἔφην τυγχάνοντα· ὃν ὁ ἅγιος Παχούμιος ὑποδεξάμενος, ὡς υἱὸν ἀνέθρεψεν γνήσιον. »

Act. SS. § 5. Hebr. 11, 5. Cf. Os. 2, 14. II Cor. 5, 8. quomodo Theodorus Act. 9, 15; 7, 55. ad Pachomium venerit

10. « Καὶ γενάμενος εἴκοσι καὶ δύο ἐτῶν Θεόδωρος, ἐπιταχθείς τι παρὰ Παχουμίου καὶ ἀνύσας, ζητῶν τὸν ἅγιον Παχούμιον, ὥσπερ ὑπὸ τοῦ ἁγίου πνεύματος ὁδηγούμενος, γέγονεν πλησίον τοῦ οἴκου ἐν ᾧ τοὺς μονάζοντας ἑστιᾶσθαι ἔθος ἐστὶν πλησίον τῆς ἐκκλησίας τοῦ μοναστηρίου· καὶ σειομένης τῆς γῆς αἰσθόμενος ἤκουσεν Παχουμίου ἐν προσευχῇ λέγοντος· « Ὁ Θεὸς ὁ πολυέλεος, ὁ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, φεῖσαι τοῦ γένους τῶν ἀνθρώπων, καὶ πλήθυνον ἡμῖν ἔτι μᾶλλον τοὺς οἰκτιρμούς σου· καὶ μήτε τοὺς μονάζοντας μήτε τὰς ἀειπαρθένους κρίνῃς ἀπαιτῶν τὴν ἀκρίβειαν τοῦ ἐπαγγέλματος, ὁμοίως μήτε τὸν λαόν σου ὑπὲρ

ipsumque terra tremente Ioel 2, 13, 17. Cf. Ps. 35, 7.

9. — [1] *Lemma in marg. sup., man. rec.:* ἀρχὴ τοῦ βίου τοῦ ἁγίου Θεοδώρου F. — [2] λωτῶν F.

Ἐμοὶ δὲ τὸ Πνεῦμα τὸ ἅγιον εἶπεν ὅτι· « Στύλον αὐτὸν καὶ λύχνον ἔγειρα τῇ ἐκκλησίᾳ· » καὶ ὅτι· « θλίψεις πολλαὶ καὶ συκοφαντίαι ἀνθρώπων ἕνεκεν τῆς εἰς Χριστὸν εὐσεβείας μένουσιν αὐτόν· καὶ πάντα νικήσας πειρασμόν, μέχρι τέλους ὑπ' αὐτοῦ δυναμούμενος τὴν ἀλήθειαν τοῦ εὐαγγελίου ταῖς ἐκκλησίαις κηρύξει. »

Act. SS.§ 7. *Alterum Theodori visum.*

14. « Μετὰ δὲ ταῦτα Θεόδωρος ἅμα Παχουμίῳ γέγονεν ἐν τῷ προειρημένῳ μοναστηρίῳ τῶν Ταβεννησίων ἐν τῷ Τεντυρίτῃ νομῷ τυγχάνοντι[1]· καὶ νυκτεριναῖς εὐχαῖς καθ' ἑαυτὸν σχολάσας καὶ ὑπὸ τοῦ ὕπνου βαρηθείς, περιπατεῖν ἐν τῷ μοναστηρίῳ ἤρξατο· καὶ ὡς ἐν νυκτὶ μὴ ὁρώμενος ὑπὸ τῶν ἀνθρώπων, κατ' ὀλίγον προσηύχετο· κρίνας δὲ λοιπὸν συμμέτρως τὸ σῶμα ἀναπαῦσαι, καθίσας παρὰ τὴν θύραν τῆς ἐν τῷ μοναστηρίῳ ἐκκλησίας ἐκάθευδεν, μόνῃ τῇ τῆς φύσεως ἀνάγκῃ τὸ ἱκανὸν ποιῶν. Καὶ

Cf. Act. 12, 7-8.

ἄγγελος Κυρίου ἐπιστὰς διήγειρεν αὐτὸν λέγων· « Ἀκολούθει μοι. » Καὶ ἀναστὰς καὶ ἀκολουθήσας αὐτῷ εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ ὅλην φωτὸς πεπληρωμένην εἶδεν, καὶ πλῆθος ἀγγέλων συνηθροισμένων ἐν τῷ τόπῳ, ἐν ᾧ τὰς λατρείας ἀναπέμπειν τῷ Θεῷ οἱ ἱερεῖς εἰώθασιν. Καὶ ἔμφοβος γενόμενος καὶ κληθεὶς ὑφ' ἑνὸς τῶν συνηγμένων, ὡς πλησίον ἐγένετο, ἐφώμισεν αὐτόν τις ἐν πολλῇ δόξῃ τυγχάνοντα ξένην τροφήν· καὶ ἐνισχύσας αὐτόν, ἐκέλευσεν τὸ δεδομένον εἰς τὸ στόμα αὐτοῦ ἀναλῶσαι· ἥνπερ τροφὴν κατὰ πρόσταγμα τοῦ δεδωκότος αὐτῷ φαγὼν καὶ ξένης γεύσεως πειραθείς, τὸ μὲν φῶς καὶ τοὺς συνηθροισμένους ἀγγέλους ἐξιόντας εἶδεν· αὐτὸς δὲ ἔνθους ὢν Παχουμίῳ συντυχεῖν ἐσπούδασεν, χαρᾶς καὶ εὐφροσύνης πεπληρωμένος. Καὶ ταῦτα αὐτὰ διηγούμενος αὐτῷ, τὰ κρυπτὰ αὐτοῦ ἐξ ἀποκαλύψεως βλέπων,

Mt.25,22,20. I Petr.1,13.

ἐν τῷ λαλεῖν ἐμειδία· καὶ Παχουμίου λέγοντος· « Ὁ λαβὼν τὰ δύο τάλαντα τέσσαρα προσήνεγκεν καὶ ὁ τὰ ε' τάλαντα λαβὼν δέκα προσεκόμισεν· διὸ ἀναζωσάμενος τὴν ὀσφὺν καρποφόρει τῷ τὴν χάριν σοι δεδωκότι, » Θεόδωρος δὲ στενάξας πρεσβεύειν αὐτὸν πρὸς τὸν[2] Θεὸν ὑπὲρ αὐτοῦ ἠξίωσεν· καὶ ἀπ' ἐκείνης τῆς

Act. SS.§ 8.

ἡμέρας συνεχῶν ἀποκαλύψεων παρὰ τοῦ Κυρίου ἠξιοῦτο. Καὶ ταῦτα ἡμῖν Πεκύσσιος παρὰ Παχουμίου ἀκούσας μετὰ τὴν κοίμησιν παραδέδωκεν. »

Pecussium adit Ammon.

15. Ἅπερ παρά τε Αὐσονίου καὶ Ἐλουρίωνος μαθὼν ἐγώ, τὸν δοῦλον τοῦ Θεοῦ Πεκύσσιον πατέρα κτήσασθαι σπουδάσας, καὶ μαθὼν ὅσην εἶχεν παρὰ τοῦ Χριστοῦ λαβὼν κατὰ δαιμόνων δύναμιν, ἠξίωσα ἀπαγγεῖλαί μοι τίνα ἦν εἰπὼν αὐτῷ περὶ Θεοδώρου ὁ Παχούμιος· καὶ τὰ αὐτὰ εἰπόντος ἐθαύμασα.

14. — [1] *Pasquali; τυγχάνουσιν* F. — [2] *supra lin.* F$_1$

Cordis arcana quibusdam a Deo manifestari

16. Αὐσόνιον δὲ ἠξίουν, εἰ ὅλως δυνατόν ἐστιν ἄνθρωπον κρυπτὰ καρδίας ἀνθρώπων ὁρᾶν, ἐκ τῶν ἁγίων γραφῶν πληροφορῆσαί με. Ὁ δὲ ἔφη· « Παρέξω μέν σοι, φησίν, τῇ πείρᾳ τοῦ γνῶναι, ἐὰν Θεοδώρῳ ὁ Θεὸς τὰ κρυπτά σου ἀποκαλύψῃ· ἄνευ γὰρ τοῦ ἀποκαλύψαι τὸν Θεόν, οὐδεμία κτίσις τὰ ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων εἰδέναι δύναται. Ἵνα δὲ καὶ ἐκ τῶν θείων γραφῶν πληροφορηθῇς, ἄκουε τοῦ μὲν προφήτου λέγοντος Σαμουὴλ τῷ Σαούλ· « Λεῦρο καὶ ἀπαγγελῶ σοι πάντα τὰ ἐν τῇ καρδίᾳ σου, καὶ περὶ τῶν ὄνων σου τῶν ἀπολωλυιῶν σήμερον τριταίων· μὴ θῇς ἐν τῇ καρδίᾳ σου ἐν αὐταῖς, ὅτι ηὕρηνται. » Ἀνάγνωθι δὲ καὶ τὰ περὶ τῶν υἱῶν Ἰεσσαὶ πρὸς Σαμουὴλ ὑπὸ τοῦ Κυρίου εἰρημένα, ἵνα γνῷς ὅτι, ὅτε ἀποκαλύπτει Κύριος τοῖς δούλοις αὐτοῦ, ὁρῶσιν· ὅτε δὲ οὐκ ἀποκαλύπτει, τὰ κοινὰ τῶν ἀνθρώπων μέτρα ἐν ἑαυτοῖς βλέπουσιν. Ἐὰν γὰρ ὅλην τὴν βίβλον τῶν βασιλικῶν ἱστοριῶν ἀναγνῷς, ἀκούσῃ καὶ τοῦ προφήτου Ἐλισσαίου λέγοντος τῷ ἰδίῳ λειτουργῷ περὶ γυναικὸς θεοσεβοῦς ὅτι· « Κατώδυνός ἐστιν ἡ ψυχὴ αὐτῆς, καὶ Κύριος οὐκ ἀπεκάλυψέν μοι, » ὡς τοῦ Θεοῦ πολλῶν ἀποκαλύψαντος αὐτῷ καρδίας. Καὶ μάλιστα ἐξ ὧν ἀκούσῃ αὐτοῦ λέγοντος, ὡς ἔφη πρὸς τὸν ἴδιον λειτουργόν· « Πόθεν Γιεζί; » καὶ ἀποκριθέντος αὐτοῦ ὅτι· « Οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα », αὖθις εἰπόντος αὐτῷ· « Οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ ὅτε κατεπήδησεν ἀπὸ τοῦ ἅρματος αὐτοῦ Ναιμὰν ὁ Σύρος εἰς συνάντησίν σου; καὶ νῦν ἔλαβες τὸ ἀργύριον καὶ τὰ ἱμάτια· καὶ λήμψῃ σεαυτῷ κήπους καὶ ἐλαιῶνας καὶ ἀμπελῶνας καὶ ποίμνια καὶ βουκόλια καὶ δούλους καὶ δούλας· καὶ ἡ λέπρα Ναιμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου ἕως αἰῶνος. » Γέγραπται δὲ καὶ ἐν ταῖς παροιμίαις Σολομῶντος· « Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίων σου· καὶ ἐπιστήσεις σὸν ὄμμα σαῖς ἀγέλαις· » καὶ πάλιν· « Συνιεῖ δίκαιος καρδίας ἀσεβῶν καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς. » Γέγραπται δὲ καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων· « Καί τις ἀνὴρ ἐν Λύστροις ἐκάθητο χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιεπάτησεν. Οὗτος ἤκουσεν Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι ἔχει πίστιν τοῦ σωθῆναι, εἶπεν μεγάλῃ τῇ φωνῇ· « Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός. » Καὶ ἥλατο καὶ περιεπάτει. » Πίστις γὰρ ἐν καρδίᾳ καὶ οὐκ ἐν προσώπῳ σωματικῶς ὁρᾶται. Οὕτως δὲ καὶ ὁ Πέτρος τὴν κακίαν Σίμωνος τοῦ μάγου οὐκ ἐν τῷ τοῦ σώματος προσώπῳ, ἀλλ' ἐν τῇ καρδίᾳ βλέπων εἶπεν αὐτῷ· « Εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. » Καὶ ταῦτα παρὰ Αὐσονίου ἀκηκοώς, τὰς βίβλους δεξάμενος ἀνέγνων.

I Reg. 9, 19-20. Ibid.16,6-12 IV Reg.4,27. Ibid.5,25-27. *cum ex scripturis* Prov. 27,23; 21, 12. Act.14,8-10. Act. 8, 23. Act. SS.§ 9.

tum exemplo Theodori

17. Καὶ μετὰ χρόνον κατὰ τὸ μεσονύκτιον χρείας κατεπειξάσης καὶ σκοτίας οὔσης, προῆλθον ἐκ τοῦ οἴκου· καὶ ἀκηκοὼς τῆς τοῦ Θεοδώρου φωνῆς, οὕτως ἐφοβήθην, ὡς σάκκον λινοῦν μόνον με ἐνδεδυμένον ἱδρῶσαι χειμῶνος ὥρας οὔσης· ἦν γὰρ ὁ μὴν ὃν οἱ Αἰγύπτιοι καλοῦσιν τυβί. Καὶ λοιπὸν νοοῦντά με τὴν Θηβαίων γλῶτταν, καλέσας με ὀνομαστὶ καὶ πλησίον ἑαυτοῦ στήσας, ἔλεγέν τινι Θηβαίῳ μονάζοντι, Ἀμαεῖ τοὔνομα· « Διὰ τί τὸν φόβον τοῦ Θεοῦ οὐκ ἔχεις πρὸ ὀφθαλμῶν; Οὐκ οἶδας ὅτι ἐτάζει καρδίας καὶ νεφροὺς ὁ Θεός; Διὰ τί ἐν τῇ καρδίᾳ σου ὅτε μὲν πόρνας ὁρᾷς καὶ περιπλέκῃ, ὁτὲ δὲ δῆθεν μετὰ νομίμης γυναικὸς καθεύδεις καὶ ὅλον τὸ σῶμά σου σπιλοῖς· εἶτα στρατεύῃ καὶ ἐν πολέμοις ἑαυτὸν νικητὴν τοῖς ἐνθυμήμασιν ὁρᾷς, καὶ στρατηγοῖς ἀρέσκεις καὶ χρυσὸν παρ' αὐτῶν λαμβάνεις· καὶ πάντα τὰ ὑπενάντια τῷ ἐπαγγέλματι τῶν μοναχῶν λογιζόμενος, κέκρικας καὶ αὐτῷ τῷ σώματι πρᾶξαι ταῦτα ἅπερ λογίζῃ; Γίνωσκε τοίνυν ὅτι, ἐὰν μὴ μετανοήσῃς καὶ τῷ φόβῳ τοῦ Θεοῦ ἁγνίσας σεαυτὸν δάκρυσιν ἐξιλεώσῃ τὸν Κύριον, ἐμμείνῃς δὲ τῇ προθέσει ταύτῃ, οὐκ εὐοδώσει Κύριος τὴν ὁδόν σου, ἀλλὰ πυρὶ αἰωνίῳ σε κατακρίνει. » Ὁ δὲ πεσὼν παρὰ τοὺς πόδας αὐτοῦ καὶ οὕτως διακεῖσθαι ἑαυτὸν ὁμολογήσας, μετανοεῖν ἐπαγγειλάμενος, ἠξίου Θεόδωρον ὑπὲρ αὐτοῦ προσεύξασθαι. Καὶ εἶπεν Θεόδωρος· « Δώῃ σοι Κύριος ἀληθῶς καταγνῶναι σεαυτοῦ καὶ μετανοήσαντα σωθῆναι· ὡς γὰρ ὁρῶ, ἀπέστη τοῦ Θεοῦ ἡ καρδία σου· πλὴν ἐὰν θέλῃς, δύνασαι ἐπιστρέψαι· δέχεται γὰρ ὁ Θεὸς τοὺς γνησίως ἐπιστρέφοντας ἐπ' αὐτόν. » Καὶ ἐπὶ πολὺ δακρύσας ἀπέλυσεν αὐτόν. Ὁ δὲ Ἀμαεῖς μετὰ μῆνας δ' ἀποστὰς τοῦ μοναστηρίου καὶ στρατείᾳ ἐνόπλῳ ἑαυτὸν ἐπιδούς, νόσῳ περιπεσὼν πολυχρονίᾳ καὶ ὑδρωπιῶν, μετὰ ἐνιαυτὸν τετελεύτηκεν ταῦτα ἐξομολογούμενος.

docetur. Ps. 7, 9. Deut. 28, 29.

Act. SS. § 10.

18. Ἀπελθόντος δέ μου μετὰ Θεοδώρου καὶ ἄλλων ἀδελφῶν εἰς τὸ μοναστήριον τῶν καλουμένων Ταβεννησίων, ἐν ᾧ καὶ τὴν ὀπτασίαν ἣν ἑωρακὼς Θεόδωρος, καὶ συνόντων ἡμῶν αὐτῷ ἐν τῷ κήπῳ τοῦ μοναστηρίου, παρακειμένου τοῦ ποταμοῦ, κωμῆται περί που[1] λ' παραγενόμενοι πρὸς αὐτὸν προσέπεσαν αὐτῷ· καὶ ἀπαναινόμενος τὸ τοιοῦτον, ἀνέστησεν αὐτούς. Καὶ πάντων δακρυόντων, εἷς ἐξ αὐτῶν ἐδέετο αὐτοῦ λέγων· « Τῇ παρελθούσῃ ἑσπέρᾳ τὴν θυγατέρα μου πεντεκαιδεκαετῆ τυγχάνουσαν ἀνδρὶ παραδέδωκα· καὶ σήμερον ἀναγκασθεῖσα τροφὴν λαβεῖν καὶ στροφωθεῖσα κεῖται ἄφωνος, δηλητηρίου, ὡς πᾶσιν φαίνεται τοῖς ὁρῶσιν,

Puella moribunda

18. — [1] περί πω F.

αὐτῇ ἢ τῇ τροφῇ ἢ τῷ πότῳ ἐπιβληθέντος· καὶ ἐπειδὴ οἱ εὑρεθέντες ἐνταῦθα ἰατροὶ ἀπηγόρευσαν αὐτήν, δεόμεθά σου, καταξίωσον ἕως τῆς οἰκίας μου σκυλῆναι καὶ προσεύξασθαι περὶ αὐτῆς· οἴδαμεν γὰρ ὅτι ἐὰν ἐπικαλέσῃ τὸν Χριστόν, χαρίζεταί σοι τὴν θυγατέρα μου. » Ὡς δὲ οὐκ ἤθελεν εἰς τὴν οἰκίαν αὐτοῦ ἀπελθεῖν, κλαίουσιν αὐτοῖς καὶ ἱκετεύουσιν ἔφη· « Ὑμεῖς μὲν εἰρήκατε ἵνα εἰς τὸν οἶκον ὑμῶν ἐλθὼν προσεύξωμαι ὑπὲρ τῆς θυγατρὸς ὑμῶν· ὁ δὲ Θεὸς πάντα περιέχων πληροῖ· οὐ γὰρ περιγράφεται τόπῳ. Ἐνταῦθα οὖν αὐτὸν ἐπικαλεσμώεθα, καὶ ἐκεῖ οὖσαν τὴν θυγατέραν ὑμῶν ζωοποιεῖ. » Καὶ τῶν ἄλλων πάντων ὥσπερ ἀρραβῶνα τῆς ζωῆς τῆς παιδὸς ἀκουσάντων τὸν λόγον, Θεόδωρος μετὰ πάντων τῶν συνόντων αὐτῷ μοναζόντων ἐπὶ προσευχὴν ἐτράπη· καὶ τρίτον κλίνας τὰ γόνατα καὶ ἐκτενῶς τὸν Θεὸν ἱκετεύσας καὶ καταπαύσας ἔφη· « Ἐχαρίσατο ὁ Θεὸς τῇ θυγατρὶ ὑμῶν τὴν ζωήν. Θαρροῦντες ἀπέλθατε. » Καὶ φωνῆς γενομένης πλήθους ἀνδρῶν τε καὶ γυναικῶν περὶ τὸ μοναστήριον κλαιόντων — ἀποπνέειν γὰρ προσεδοκᾶτο — ἦκεν ἀπὸ τοῦ πέραν ὁ πατὴρ τῆς παιδός, ξέστην ἀργυρέον πεπληρωμένον ὕδατος φέρων. Καὶ μετὰ κλαυθμοῦ Θεοδώρῳ προσαγαγὼν ἔφη· « Ὀλιγόπιστός εἰμι, δέομαί σου, κἂν γοῦν ἐπὶ τὸ ὕδωρ τοῦτο ἐπικάλεσαι ὑπὲρ αὐτῆς τὸ ὄνομα τοῦ Θεοῦ· πιστεύω γὰρ ὅτι εἰσακούσας σου ὁ Θεὸς ποιεῖ τὸ ὕδωρ τοῦτο φάρμακον σωτηρίας τῇ θυγατρί μου. » Καὶ ὁ Θεόδωρος μὲν τὸν ξέστην λαβὼν καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ μετὰ δακρύων προσευξάμενος, τὸ σημεῖον τοῦ σταυροῦ τοῦ Χριστοῦ ἐπὶ τὸ ὕδωρ πεποίηκεν. Ὁ δὲ πατὴρ τῆς παιδὸς λαβὼν τὸ ὕδωρ καὶ μετὰ τοῦ ὄχλου εἰς τὸν ἴδιον οἶκον ἀπελθών, μετὰ τρεῖς ἢ τέσσαρας[2] ὥρας μετ' ὀλίγων φίλων καὶ συγγενῶν ἑαυτοῦ ὑπέστρεψεν, ἀπαγγέλλων τὰ μεγαλεῖα τοῦ Θεοῦ ἃ πεποίηκεν μετ' αὐτοῦ. Ἔλεγεν δὲ ὅτι· « Τῶν ἀδελφῶν μου βίᾳ δυνηθεισῶν διανοῖξαι τοὺς χαλινοὺς τῆς θυγατρός μου βραχύ τι τοῦ ὕδατος ἐμβαλεῖν, καὶ παραχρῆμα κάτωθεν πολλῆς ἐκκρίσεως γενομένης, ἐσώθη τὸ κοράσιον. » Σιλουανὸς δέ τις Ἀλεξανδρεὺς οἰκῶν ἐν τῷ Βενδηλίῳ, Ἀρειανός, λιθέμπορος, συνὼν τῷ ἀνδρὶ τῆς παιδὸς καὶ τῶν μεγαλείων τοῦ Θεοῦ αὐτόπτης γενάμενος ἐδόξασεν τὸν Θεόν.

et aqua benedicta Act. 2, 11. *sanatur.*

Mt. 14, 19.

19. Μετὰ δὲ τοῦτο Θεόδωρος περί που ρκ' μονάζοντας παραλαβὼν ἀπήγαγεν εἴς τινα νῆσον τοῦ ποταμοῦ συναγαγεῖν ὕλην, ἣν οἱ Αἰγύπτιοι θρύα καλοῦσιν, προσχωροῦσαν εἰς κατασκευὴν τῶν ψιαθίων· ἐν οἷς ἦν καὶ Σιλουανὸς τοὔνομα, Θηβαῖος, ὃς ἦν ἡγού-

Act. SS. § 11.

[2] *corr., prius* τέσσαρις F.

Silvanus μενος κβ′ μοναζόντων λινοῦφων, οὗ ἦν δεύτερος ἐκ τούτου τοῦ ἀριθμοῦ Μακάριος τοὔνομα, πρεσβύτερος ἀδελφὸς τοῦ ἁγίου Θεοδώρου, ὁμομήτριος, οὐχ ὁμοπάτριος. Καὶ τῇ ἐννάτῃ ἡμέρᾳ παραγενόμενός τις τῶν μοναζόντων ἐδήλωσεν ὡς τινες τῶν μετὰ Θεοδώρου ἀπελθόντων μοναχῶν, ἀγαγόντες ἐν σκαφίῳ ἀποπνέειν μέλλοντα Σιλουανόν, ἐν τῷ ὅρμῳ εἰσὶν τοῦ ποταμοῦ ὄντι πρὸ σημείου τῆς Βαῦ· ἦμεν γὰρ λοιπὸν ἡμεῖς ἐν τούτῳ τῷ μοναστηρίῳ. Καὶ ἐξελθόντες εἰς ἀπάντησιν αὐτοῦ, εὕρομεν αὐτοὺς κατὰ τὴν ὁδὸν

paralysi percussus φέροντας Σιλουανὸν ἐπὶ κλίνης ἀπόπληκτον, μήτε ἀκούοντα μήτε λαλοῦντα, τρίτην ἡμέραν ἄγοντα ἀφ' οὗ ἀπεπληκτίασεν. Καὶ τρισὶν ἄλλαις ἡμέραις οὕτω διατελοῦντος αὐτοῦ, μήτε τροφῆς μήτε ποτοῦ λαμβάνοντος αὐτοῦ, Θεόδωρος ὁ Ἀλεξανδρεὺς καὶ Πεκύσσιος καὶ Ψάρφιος[1] καὶ Ψενταήσιος καὶ Ἑλουρίων καὶ Ἰσίδωρος,

II Macc. 15, 21. ἄνθρωποι εὐαρεστοῦντες τῷ Θεῷ, ἀνατείναντες τὰς χεῖρας εἰς τὸν οὐρανόν, μετὰ πολλῶν δακρύων ἱκέτευον τὸν Θεὸν ἐλεῆσαι Σιλουανόν. Καὶ ἔτι προσευχομένων αὐτῶν, Σιλουανὸς ἔφη ἀκούοντός μου·

Cf.Ps.93,12. « Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ παιδεύσας με καὶ ἐλεήσας με. » Κἀμοῦ μεγάλῃ τῇ φωνῇ εἰπόντος· « Εὐλογητὸς ὁ Θεός, » ἐκεῖνοι μὲν τὴν προσευχὴν ἐπλήρωσαν· Θεόδωρος δὲ ἐμὲ ὑπηρετοῦντα ἔχων ἔθρεψεν αὐτόν. Καὶ ὑπὸ τὴν ἕω συνελθεῖν πάντας τοὺς ἐν τῷ μοναστηρίῳ πρὸς ἑαυτὸν Σιλουανὸς ἐκέλευσεν. Καὶ καθίσας ἐπὶ τῆς κλίνης, ἐμοῦ μὲν παρεστῶτος αὐτῷ, Ἑλουρίωνος δὲ τὰ ὑπ' αὐτοῦ λεγόμενα τῷ πλήθει μετὰ μεγάλης τῆς φωνῆς ἀπαγγέλλοντος,

narrat sibi id accidisse, ἔφη· « Ἀκούσατε πῶς μοι τοῦτο συμβέβηκεν· τῇ τετράδι τοῦ σαββάτου, Θεόδωρος ἑσπέρας ἐν τῇ νήσῳ ἐδίδασκεν τοὺς ἀδελφοὺς κεκυκλωκότας[2] αὐτόν· καὶ σιωπήσας καὶ ἀποστὰς τοῦ τόπου ἐν ᾧ εἱστήκει, δύο μικρὰς ἐχίδνας ἔδειξεν τοῖς ὀφθαλμοῖς λέγων· « Φονευσάτω τις αὐτάς. Ὡς γὰρ ὠμίλουν, περὶ τοὺς πόδας μου γινομένας, ἵνα μή τις τῶν ἀδελφῶν ταραχθῇ, ὥσπερ καμάραν ποιήσας τοὺς πόδας μου, ἔκρυψα αὐτάς. » Καὶ μετὰ τὸ ἀναιρεθῆναι αὐτάς, ἔλεγεν ἄγγελον αὐτῷ ὀφθέντα εἰρηκέναι ὅτι· Τινὲς τῶν μετὰ σοῦ μοναζόντων ἀμελοῦσιν τῆς ἑαυτῶν σωτηρίας· « καί τινων εἴρηκέν μοι τὰ ὀνόματα. » Κατὰ δὲ ἑνὸς ἐξ αὐτῶν καὶ ἀπόφασιν ὑπὸ τοῦ Θεοῦ ἐξενηνεχθῆναι[3] ἔλεγεν, ὃν ἐκέλευσεν ἐκβληθῆναι ἐκ τοῦ

dum male de Theodoro sentit. μοναστηρίου· καὶ οὗτος ἐν τῇ Βαῦ διάγει. Καὶ ταῦτα ἀκούων ἐγὼ ἐμυκτήρισα Θεόδωρον ἐν τῇ καρδίᾳ μου λέγων· « Οὐκ ἔστιν Μακαρίου τοῦ ἐμοῦ ἀδελφός; οὐχ ἡ Μακαρίου μήτηρ καὶ τοῦτον ἐγέννησεν; Πόθεν τούτῳ ἡ κενοδοξία αὕτη; Πολὺ ταπεινόφρων ἐστὶν

19. — [1] *ψάμφιος hic* F. — [2] *κεκυκλώτας* F. — [3] *ἐξενηνεχθέναι* F.

Μακάριος. » Καί τις ἐν ἀνθρωπίνῳ σχήματι ἐπιστάς μοι ἐν ἐσθῆτι ἀστραπτούσῃ, φοβερὸς ἄγαν τῷ προσώπῳ, ἔφη· « Οὐδὲ τὸν Θεὸν αἰδῇ τοιαῦτα κατὰ τοῦ θεράποντος αὐτοῦ ἐννοῶν; » Καὶ διατραπεὶς ἐγὼ μετὰ πολλῆς αἰσχύνης, ὥσπερ ῥάπισμα κατὰ τοῦ προσώπου μου ὑπ' αὐτοῦ δοθὲν ᾐσθόμην· καὶ λοιπὸν οὐκέτι ἔγνων ποῦ ἤμην κείμενος ἢ πῶς ἐνταῦθα ἦλθον, ἕως ὁ Θεός με ἰάσατο. » Καὶ πάντες ἡμεῖς ἀκούσαντες ἐδοξάσαμεν τὸν Θεόν.

20. Καὶ μετ' οὐ πολλὰς ἡμέρας ἐπιστὰς τῷ μοναστηρίῳ Θεό- Act. SS. §12.

δωρος τοὺς ἀδελφοὺς ἐκέλευσεν συναχθῆναι· καὶ ὁμιλήσας αὐτοῖς *Occulta fratrum peccata* καὶ εἰπὼν περιμεῖναι τὴν παρουσίαν αὐτοῦ, γέγονεν ἅμα δυσὶν τῶν μεθ' ἑαυτοῦ περὶ τὸν οἶκον ἐν ᾧ ἔθος ἐστὶν τοὺς μονάζοντας ἑστιᾶσθαι. Καί τινα μονάζοντα νεανίσκον ἐξελθόντα ἀπὸ τοῦ οἴκου κατασχών, εἵλκυσεν εἴς τινα οἶκον κεκαμαρωμένον· καὶ ἠνάγκαζεν εἰπεῖν αὐτὸν ἅπερ ἦν πεποιηκώς, αὐτὸν εἶναι δεικνὺς τὸν ὑπὸ τοῦ ἀγγέλου καταμηνυθέντα, ὃς καὶ ἐκβληθῆναι τοῦ μο- *angelo iubente* ναστηρίου κεκέλευστο. Ὡς δὲ οὐκ ἐβούλετο λέγειν, ἀρξαμένου Θεοδώρου λέγειν αὐτοῦ τὴν πρώτην πρᾶξιν καὶ ἐρωτῶντος εἰ οὐδένα τῶν μοναζόντων συνίστορα εἶχεν, πεσὼν εἰς τοὺς πόδας Θεοδώρου, ἠξίου τὰς ἄλλας αὐτοῦ πράξεις σιωπῆσαι καὶ ἐκπέμψαι τοῦ μοναστηρίου. Ὃς ὑποδειχθεὶς ὑπὸ Θεοδώρου τῷ συνηγμένῳ πλήθει τῶν ἀδελφῶν ἐξωμολογεῖτο λέγων ὅτι ἀληθῶς ὁ Θεὸς τὰ κατ' αὐτὸν τῷ θεράποντι αὐτοῦ ἀπεκάλυψεν καὶ ὅτι δικαίως τοῦ μοναστηρίου ῥιφῆναι ἐκελεύσθη. Καὶ Θεόδωρος κελεύσας αὐτὸν ἐκβληθῆναι, καὶ τοῖς ἀδελφοῖς ἐφ' ἱκανὸν ὁμιλήσας, τῶν ἄλλων μο- *castigat* ναζόντων τῶν αἰτιαθέντων ὑπὸ τοῦ ἀγγέλου ἰδίᾳ ἑκάστῳ νυκτὸς *Theodorus;* ἐπέστη· καὶ ἀπαγγείλας ὅσα ἑκάστῳ μετὰ τὸ ἅγιον βάπτισμα ἐπεπλημμέλητο, ἐξέστησεν ἕκαστον, πείσας λόγῳ πλείονι μετανοίᾳ ἐξιλεώσασθαι τὸν Θεόν· οἵτινες, ἐπιγνόντες ὅπως αὐτῶν ἐφείσατο ὁ Θεός, σπείδοντες πᾶσιν ἑαυτοὺς καταφανεῖς ποιῆσαι, ἐκωλύθησαν ὑπὸ Θεοδώρου λέγοντος μὴ δύνασθαι τοὺς πλείους τῶν ἀδελφῶν φέρειν τοιαύτας ἀκοάς, προστιθέντος ὅτι πρὸς τῷ τοὺς ἔτι νηπιάζοντας ἐν Χριστῷ βλάπτεσθαι, καί τισι τῶν ἀπαγγελ- Cf.I Cor.3,1. λόντων ἐγχωρεῖ παγίδα γενέσθαι ὀνειδισμὸν ὑπό τινος τῶν μηδέπω παγίων προσεπενεχθέντα αὐτοῖς· ἀλλ' ἐκείνων τοῖς ἁγίοις ἀνδράσιν τοῖς περὶ Πεκύσσιον καὶ Ψενταήσιον ἰδίᾳ ἕκαστος ἑαυτὸν φανερώσας, δεήσεις προσέφερεν προσεύχεσθαι ὑπὲρ αὐτοῦ πρὸς τὸν Θεόν.

21. Καὶ ταῦτα μὲν ἐν ταῖς ἡμέραις τῆς τεσσαρακοστῆς γέγονεν. Ἐν δὲ ταῖς ἡμέραις τοῦ ἁγίου πάσχα ἑσπέρας βαθείας τῇ τρίτῃ Act. SS. §13.

τῶν σαββάτων, πάντων τῶν μοναζόντων τῶν ἐν τοῖς ἕνδεκα μοναστηρίοις τοῖς ὑπὸ Θεόδωρον ἐν τῇ Βαῦ συνηγμένων — ἔθος γὰρ

αὐτοῖς κατ' ἔτος [1] ἐκεῖ συναγομένοις ἅμα τὴν τοῦ ἁγίου πάσχα ἑορτὴν ἑορτάζειν — πολλῶν ἀξιούντων Θεόδωρον ἑρμηνεῦσαι ἃ μὴ νενοήκεισαν ῥητὰ τῶν ἁγίων γραφῶν, ἑκάστῳ ὥσπερ ἠρώτησεν σαφὲς ποιήσας τὸ ζητούμενον, ἔφη· « Ἀγαθὸν χαρίεν εἰπεῖν ἐφ' ὑμῶν· πνεῦμα ἀκάθαρτον παραγενόμενον ἑνὸς ἐξ ἡμῶν κατεγέλασεν λέγον· « Συνήθως τῶν μοναζόντων τῇ παρελθούσῃ νυκτὶ μὴ μεταλαβόντων, καὶ οὗτος ἐν τοῖς μὴ μεταλαβοῦσιν ἦν· ἐπισκεψάμενος δὲ αὐτὸν ἐγὼ νυκτὸς καὶ εὑρὼν ὀξύπεινον καὶ ἄγαν ὀλιγωροῦντα — ἔθος γὰρ τοῖς δαίμοσιν τοῖς πάθεσι τῶν ἀνθρώπων παρακαθημένοις ἐπιτίθεσθαι — ἐνθυμήσεις αὐτῷ ὑποβαλὼν καὶ τὴν πεῖναν αὐτοῦ ἐξάψας, ἔπεισα αὐτὸν ἄρτους κλέψαι καὶ λάθρα φαγεῖν. Καὶ νῦν ἐν μέσῳ τῶν μοναζόντων κάθηται ὁ κλέπτης, παραβάτης τῆς οἰκείας προθέσεως γενόμενος, ὡς μετ' αὐτῶν ὑπερθέμενος. » Καὶ Θεόδωρος τοῖς μονάζουσιν ἔφη· « Μή τις ἑαυτὸν βιαζέσθω ὑπὲρ δύναμιν νηστεύειν, ἐπειδὴ ἐκ τῆς ἄγαν ἀσκήσεως ἐξησθένησεν ὑμῶν τὰ σώματα· οἱ οὖν ἄγαν ἀσθενεῖς καθ' ἑσπέραν ἐσθιέτωσαν πλὴν τῆς παρασκευῆς. » Καὶ ἀναστὰς ἐκεῖνος ἐν μέσῳ τοῦ ὄχλου τῶν μοναχῶν — ἦμεν γὰρ πλείους ἢ δισχίλιοι ἐπὶ τὸ αὐτό — προσέπεσεν τοῖς ποσὶν Θεοδώρου, ἑαυτὸν καταμηνύων· καὶ καλύψας τὸ πρόσωπον αὐτοῦ τῇ μηλωτῇ Θεόδωρος οὐκ εἴασεν τῷ πλήθει καταφανῆ γενέσθαι, εἰπών· « Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; »

immoderatum ieiunium reprehendit;

II Cor. 11, 29.

Act. SS. § 14. **22.** [1] Ὁμοίως ποτὲ ὁ μακάριος Θεόδωρος μετὰ μ' ἀδελφῶν ἐν ὀρεινοῖς καὶ ἀοικήτοις τόποις γενόμενος ξύλων ἐργασίμων ἕνεκα, ἄλλους ἐξαπέστειλεν τοσούτους τῆς αὐτῆς ἕνεκεν χρείας, ἐπιστήσας αὐτοῖς τὸν ἅγιον Ἰσίδωρον, ἄνδρα πάσης πραΰτητος καὶ συνέσεως τῆς κατὰ Χριστὸν πεπληρωμένον. Ἦν δὲ τὸ μεταξὺ διάστημα αὐτῶν ἡμέρας ἔχον ὁδόν. Καὶ τῇ ἡμέρᾳ τῇ πρώτῃ ἐν ᾗ οἱ περὶ Θεόδωρον ἦσαν ἀρξάμενοι τῆς τῶν ξύλων κοπῆς, τὸ ἑσπερινὸν καταπαύσασιν τοῦ ἔργου καὶ εἰς τὸ αὐτὸν ἠθροισμένοις ἐπὶ τὰς συνήθεις εὐχὰς προτρέπων ἔφη· « Χρεία μὲν ἦπειγεν, ἣν οὐκ ἀγνοεῖτε, πληρωθῆναι τὸ ἔργον ἐφ' ᾧ παραγεγόναμεν· ἀλλ' ἐπειδὴ ἐν τῇ δωδεκάτῃ προσευχῇ, θέντων ἡμῶν τὰ γόνατα ἐπὶ τὴν γῆν, τὸ Πνεῦμα τὸ ἅγιον ἐδήλωσέν μοι ὅτι τέσσαρες τῶν ἐν τῷ ἄλλῳ ὄρει μοναζόντων, καλῶς ἑαυτοὺς ἐκ παιδόθεν ἀναγαγόντες, ἐσφάλησαν — οἵτινες διὰ τῆς ἐμῆς βραχύτητος νουθετηθέντες πάντως ἐπαναδραμοῦνται ἐπὶ τὴν ἀρχαίαν κατάστασιν — ἀναγκαῖον οὖν

absentium petulantiam

per Spiritum cognitam

21. — [1] καθ' ἔτος F.
22. — [1] *Lemma:* περὶ τοῦ μὴ γελᾶν *in marg. sup., man. rec.* F.

ἐστιν τούτου τοῦ ἔργου καταφρονήσαντας καὶ ἡμᾶς καὶ τοὺς ἐν τῷ ἄλλῳ ὄρει εὑρεθῆναι ἐν τῇ Βαῦ τῇ ἡμέρᾳ τοῦ σαββάτου. » Καὶ καλέσας δύο τῶν ἀδελφῶν καὶ ἐντειλάμενος αὐτοῖς μηδενὶ ἐκλαλῆσαι ταῦτα, ἀπέστειλεν αὐτοὺς εἰς τὸ ἄλλο ὄρος παραγγεῖλαι τοῖς μετὰ Ἰσιδώρου ἐκεῖ οὖσιν, τῇ ἡμέρᾳ τοῦ σαββάτου ἐν τῇ Βαῦ εὑρεθῆναι. Καὶ οὕτως ἦλθεν εἰς τὸ μοναστήριον μετὰ δυσμὰς ἡλίου τῷ σαββάτῳ, ἄγων τοὺς μεθ' ἑαυτοῦ πάντας. Ἦσαν δὲ καὶ οἱ ἄλλοι προλαβόντες [2]. Καὶ εὑρὼν πάντας συνηγμένους εἰς τὴν ἐκκλησίαν παραγέγονεν [3]· καὶ καθ' ὃν καιρὸν εἰώθει τοὺς μονάζοντας διδάσκειν, σταθεὶς ἐν μέσῳ αὐτῶν, Θεοδώρου τοῦ Ἀλεξανδρέως ἑρμηνεύοντος, ἔφη·

23. « Οἴδατε, ἀδελφοί, ὅτι τῶν μοναζόντων καὶ ἀειπαρθένων ὁ βίος, ὑπερβαίνων τὴν τῶν ἀνθρώπων πολιτείαν, ἀγγελικὸς τυγχάνει· οἱ γὰρ οὕτως πολιτευόμενοι, τῇ κοινῇ τῶν ἀνθρώπων πολιτείᾳ ἀποθανόντες, ζῶσιν τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι· ἀρνησάμενοι τὸ ἑαυτοῖς ζῆν, Χριστῷ ἑαυτοὺς συνσταυροῦσιν· καὶ ταύτην ἕκαστος ἡμῶν ἑλόμενος τὴν ζωήν, τῇ πενίᾳ τῶν γονέων ἀποταξάμενος ἐνταῦθα παραγέγονεν· καὶ ζῆν ὀφείλει κατὰ Χριστόν, τύπον καὶ ὑπογραμμὸν ταύτης τῆς ὁδοῦ τοὺς ἐν ἡμῖν προβεβηκότας [1] ἔχων. Οὐ μόνον γὰρ τὰς ἁγίας γραφάς, ἀλλὰ καὶ τούτων τῶν θεραπόντων αὐτοῦ τὸν βίον καὶ τὸ ἑδραίωμα τῆς εἰς Χριστὸν πίστεως, ὥσπερ ὁδοὺς ἀπαγούσας εἰς τὴν βασιλείαν ἑαυτοῦ δέδωκεν ὁ Θεὸς πᾶσιν ἡμῖν τοῖς βουλομένοις εἰς αὐτὴν καταντῆσαι. Ἀλλά τινες ἐξ ἡμῶν καλῶς τρέχοντες τοῦτον τὸν δρόμον, ὠλίσθησαν μέν, οὐ πεπτώκασιν δέ· τέσσαρες γὰρ τῶν ἀδελφῶν ὧν ἀπεστείλαμεν εἰς τὸ ὄρος, κατὰ μόνας εὑρεθέντες, εὐτράπελα λέγειν πρὸς ἀλλήλους ἤρξαντο καὶ γελοιάζειν καὶ καχάζειν οὕτως, ὡς τὸ Πνεῦμα τὸ ἅγιον λυπηθὲν ὑπ' αὐτῶν τὰς προσηγορίας αὐτῶν καὶ τὸ πταῖσμα δηλῶσαί μοι, ὅπως ἐντραπέντες δάκρυσιν καὶ στεναγμοῖς ἀναλάβωσιν ἑαυτούς. Ἀδελφοί, ποῦ ἔθεσθε τὴν Ἱερεμίου φωνὴν λέγοντος τῷ Θεῷ· « Κύριε παντοκράτωρ, οὐκ ἐκάθισα μετὰ συνεδρίου αὐτῶν παιζόντων, ἀλλ' εὐλαβούμην ἀπὸ προσώπου χειρός σου· κατὰ μόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην; » Πῶς οὐκ ἐμνημονεύσατε τοῦ Ἰὼβ λέγοντος· « Εἰ δὲ καὶ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν, » τάδε μοι σκυθρωπὰ συμβαίνοι [2]; Ἢ πῶς τῶν τοῦ Παύλου ῥημάτων ἐπελάθεσθε ἃ συνεχῶς μελετᾶτε; Οὐκ οἴδατε ὅτι τὰ μικρὰ τῶν ἑαυτοῦ δούλων ἡττήματα παραχρῆμα ὡς μεγάλα ἐπισκέπτεται

Act. SS. § 15. *redarguit*

II Cor. 5, 15.

Cf. Gal. 2, 20.

I Tim. 3, 15.

Cf. Eph. 4, 30.

Ier. 15, 17.

Iob 31, 5.

[2] προσλαβόντες F. — [3] *corr., prius* παραγέγοναν F.
23. — [1] τῆς ὁδ. τῆς ἐν ἡμῖν προβεβηκότος F. — [2] συμβαίνει F.

ὁ Θεὸς πρὸς σωτηρίαν αὐτῶν; Οὐκ ἠκούσατε Σολομῶντος λέ-
Eccl. 7, 7; γοντος· « Ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως ὁ γέλως
2, 2; τῶν ἀφρόνων; » καὶ πάλιν· « Τῷ γέλωτι εἶπα περιφοράν· » καὶ
7, 4. πάλιν· « Ἀγαθὸν θυμὸς ὑπὲρ γέλωτα. » Διὸ ἀνανήψαντες ἀκού-
Iac. 4, 9. σατε τοῦ ἀποστόλου λέγοντος· « Ὁ γέλως ὑμῶν εἰς πένθος μετα-
στραφήτω καὶ ἡ χαρὰ εἰς κατήφειαν, » ἵνα μὴ πειραθῆτε τῆς σκυ-
Luc. 6, 25. θρωπῆς ἐκείνης ἀποφάσεως τοῦ σωτῆρος λέγοντος· « Οὐαὶ οἱ
γελῶντες νῦν, ὅτι κλαύσετε καὶ πενθήσετε. » Καὶ μᾶλλον τὸ ἑκού-
σιον πένθος καὶ τὸν ἑκούσιον κλαυθμὸν πρόσκαιρον ὄντα ἀναλά-
βετε σπουδαίως, ἵνα μὴ τῶν ἀκουσίων αἰωνίων ὄντων πεῖραν λά-
Ps. 37, 17. βητε. Εἴπατε ἕκαστος ὑμῶν τῷ Θεῷ ὅτι· « Ἐγὼ εἰς μάστιγας
ἕτοιμος. » Καὶ ἔτι λέγοντος αὐτοῦ, οἱ τέσσαρες ὥσπερ ἐκ μιᾶς
γνώμης, καίτοι γε διεστῶτες ἀλλήλων, ὀλολύζοντες καὶ κλαίοντες
et emendat. μεγάλῃ τῇ φωνῇ, εἰς ἀνατολὰς βλέποντες ἔρριψαν ἑαυτοὺς ἐνώπιον
τοῦ Θεοῦ, ἑαυτοὺς μὲν λέγοντες[3] εἶναι τοὺς αἰτιαθέντας, τὸ δὲ
πλῆθος τῶν ἀδελφῶν ἱκετεύοντες ὑπὲρ αὐτῶν προσεύξασθαι.
Καὶ πάντων μεθ' ἱκανοῦ κλαυθμοῦ προσευξαμένων, ἡ μὲν σύναξις
συνήθως ἐπετελεῖτο. Ἐκεῖνοι δὲ ὥσπερ ἐφόδιον εἰς ἅπαντα τὸν
βίον τὰ ὑπὸ τοῦ μακαρίου Θεοδώρου εἰρημένα λαβόντες, οὕτως
ἐβελτιώθησαν, ὡς πάντας τοὺς ἐν τῷ μοναστηρίῳ ἕκαστον αὐτῶν
ἔχειν τύπον καὶ ὑπογραμμὸν πρὸς σωτηρίαν. Τοιαύτη γὰρ ἦν
αὐτῶν καὶ ἡ ζωὴ καὶ πρὸ τοῦ ἐλαφροῦ τούτου πταίσματος.

Act. SS. §16. **24.** *Μουσαῖος*[1] δέ τις τοὔνομα μονάζων, Θηβαῖος, ὑπὸ τὸν μι-
Musaeus κρῷ πρόσθεν μνημονευθέντα Σιλουανὸν ἐτύγχανεν. Οὗτος μετὰ
Σιλουανοῦ καὶ τῶν ἄλλων ἀδελφῶν τῶν ὑπ' αὐτὸν εἴς τινα νῆσον
τοῦ ποταμοῦ ἀπέσταλτο, ὥστε τὰς λεγομένας λαψάνας συναγα-
γεῖν καὶ ταριχεῦσαι[2] εἰς βρῶσιν τοῖς ἀδελφοῖς. Ὡς δὲ πέμπτην
ἡμέραν διῆγον ἐκεῖ, μόνος κληθεὶς ὑπὸ Θεοδώρου οὐχ ὑπήκουσεν
λέγων· « Ἔρχομαι μετὰ πάντων τῶν ἀδελφῶν μου, ὅταν πληρώ-
σωμεν τὸ ἐπιτεταγμένον ἡμῖν. » Οὗτος δὲ καὶ ἄκων ἀχθεὶς εἰς τὸ
μοναστήριον εὗρεν Θεόδωρον μὲν πικρῶς κλαίοντα ἐν κελλίῳ,
Ψενταήσιον δὲ καὶ Ἰσίδωρον παρεστῶτας αὐτῷ· καὶ Θεόδωρος
ἐπὶ πολὺ προσσχὼν αὐτῷ εἶπεν· « Διά τί μὴ τοῦ σώματός σου —
ἄμεινον γὰρ ἦν — ἀλλὰ τῆς ψυχῆς σου ἀνηγγέλη μοι θάνατος;
Οὐχὶ νυκτὸς καὶ ἡμέρας μόνος σοι συντυγχάνων ἐν τῷ κελλίῳ σου
Cf. Iob 27,4. ἔλεγον· « Ἡ ψυχή σου κακὰ μελετᾷ· πάσης ἁμαρτίας βαρυτέρας
ἔχεις τὰς ἐνθυμήσεις· πολλοὺς γὰρ ἀπώλεσαν οἱ τοιοῦτοι διαλογι-

[3] *λέγοντας* F.

24. — [1] *μουσέως* F. — [2] *ταρριχεῦσαι* F.

σμοί »; Καὶ λέγοντός σου δαιμόνων εἶναι ὑποβολὰς ἐκείνας τὰς *pravis indulgens ogitatio ibus*
παμμιέρους ἐννοίας, ἔλεγον· « Οὔπω μὲν δαίμονες συνεχωρήθησαν
ἐπιθέσθαι σοι· σὺ δὲ οὕτως ὑλομανῶν νομὴν πολλὴν τοῖς δαίμοσιν
ἑτοιμάζεις, ἐπισπώμενος αὐτοὺς κατὰ σαυτοῦ ταῖς κακοβουλίαις. »
Οὐκ ἔλεγόν σοι· « Ἐπὶ σοὶ πεπλήρωται τὸ τῶν παροιμιῶν ῥητὸν
τὸ λέγον· « Ὥσπερ γεώργιον ἀνὴρ ἄφρων, καὶ ὥσπερ ἀμπελὼν Prov. 24,
ἄνθρωπος ἐνδεὴς φρενῶν· ἐὰν ἀφῇς αὐτόν, χερσωθήσεται καὶ ὑλο- 45-46.
μανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος, καὶ οἱ φραγμοὶ τῶν
λίθων αὐτοῦ κατασκάπτονται »; Εἰπὲ δὲ λοιπόν· ποῦ σε ἀπήγα-
γεν ἡ κακὴ ὁδός σου; » Καὶ λέγοντι αὐτῷ μηδεμίαν ἐνθύμησιν
καινοτέραν ἐσχηκέναι, πλὴν ὧν αὐτῷ συνῄδει ὁ Θεόδωρος, ἔφη
πρὸς αὐτόν· « Ὀπίσω οὖν τῆς καλύβης καθήμενος, τίνα ἐλογίσω
καὶ ἔστησας ἐν τῇ καρδίᾳ σου; » Καὶ εἰπόντι αὐτῷ δαιμόνων εἶναι
ὑποβολὰς Θεόδωρος εἶπεν· « Ἕως ἐκείνης τῆς ὥρας οὐδέπω ἦν
δαίμων συγχωρηθεὶς ἐπιθέσθαι σοι· ἐπειδὴ δὲ τοιαῦτα ἔστησας
ἐν τῇ καρδίᾳ σου κακὰ καὶ γέγονας δαιμόνων οἰκητήριον, μάτην
ἐνταῦθα διάγεις· ἐκελεύσθης γὰρ ἐκβληθῆναι τοῦ μοναστηρίου. » *expellitur.*
Καὶ παραδοὺς αὐτὸν τέσσαρσιν μονάζουσι νεανίσκοις, ἐκέλευσεν
εἰς τὸν ἴδιον αὐτοῦ οἶκον ἀπαγαγεῖν αὐτόν· ὃς γενόμενος πρὸς τῇ
πύλῃ τοῦ μοναστηρίου καὶ δαιμονισθείς, ὥσπερ ταῦρος μυκώ-
μενος ἐπὶ τὴν ἰδίαν κώμην ὥρμησεν, ἐαθεὶς[3] ὑπὸ τῶν τεσσάρων
μοναζόντων.

25. *Πλησίον δὲ Πτολεμαΐδος τῆς ἐν τῇ Θηβαΐδι, ὅπου μοναστήριον* Act SS.§17.
οἰκοδομήσας Θεόδωρος οἰκεῖσθαι ὑπὸ μοναζόντων πεποίηκεν·
ἐν οἷς τις ἦν Καροὺρ ὀνόματι, ὃ λέγεται παρὰ Θηβαίοις κολοβός· *Carurem*
ᾧ πλειστάκις εἰς τὰς νυκτερινὰς εὐχὰς ὀκνηροτέρῳ γινομένῳ ἐπέ-
πλησσεν Θεόδωρος· πολλοῦ δὲ πόρρω καὶ τῷ διαστήματι τοῦ *morientem*
μοναστηρίου τοῦ καλουμένου Βαῦ, ἐν ᾧ Θεόδωρος μετὰ δυσμὰς
ἡλίου μεταξὺ πάντων τῶν ἀδελφῶν καθήμενος, ἐξαίφνης περιχα-
ρὴς γενόμενος ἔφη· « Εὐαγγελίζομαι ὑμᾶς τὸ ἔλεος ὃ πεποίηκεν Cf. Luc. 1,72.
ὁ Θεὸς μετὰ Καροὺρ τοῦ ἐν τῇ Πτολεμαΐδι· ἄρτι γὰρ αὐτοῦ τὴν
ψυχὴν ἐκ τοῦ σώματος μεταστήσας εἰς τὸν οὐρανὸν μετὰ δόξης *procul*
πολλῆς ἀνήγαγεν, ἐπειδὴ καὶ τῶν ἐκκλησιαστικῶν δογμάτων ἀκρί- *cernit*
βειαν εἶχεν καὶ τὸ σῶμα μετὰ τῶν ἄλλων ἑαυτοῦ καλῶν πάναγνον *Theodorus.*
ἐφύλαξεν· τὰ γὰρ ἄλλα αὐτοῦ ἐλαττώματα νόσοις διαφόροις, αἷς
ἐπήγαγεν αὐτῷ, ἐξήλειψεν. » Καὶ μεθ' ἡμέρας ὀκτώ, δύο τῶν ἐκεῖ-
θεν ἀδελφοὶ παραγενόμενοι καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ἐν ᾗ
Καροὺρ ἐκοιμήθη ἀπαγγείλαντες ἐξέστησαν ἡμᾶς πάντας.

[3] *Pasquali; δεθεὶς* F.

Act. SS. § 18. **26.** *Καί ποτε πάντας τοὺς ἀδελφοὺς ἔχων Θεόδωρος, πρὸς Ψάρ-*
Patchelphii *φιον τὸν πάντων πρῶτον ἐν τῇ Βαῦ ἔφη· « Ἀπόστειλον εἰς τὸ κελ-*
λίον Πατχελφίου καὶ ποίησον αὐτὸν ἐλθεῖν μετὰ τοῦ νεανίσκου τοῦ
εὑρισκομένου μετ' αὐτοῦ ἐν τῷ κελλίῳ· μετάπεμψαι δὲ καὶ τὸν
υἱὸν αὐτοῦ τὸν πεσβύτερον. » Ὡς δὲ παρεγένοντο, εἶπεν πρὸς
τὸν Πατχέλφιον Θεόδωρος· « Εἰπὲ τίνα ἐδίδασκες τὸν νεώτερον
τοῦτον διὰ τῆς νυκτός; » Καὶ εἶπεν· « Τί ἐδίδασκον αὐτόν; φόβον
Θεοῦ. » Θεόδωρος εἶπεν· « Αὐτὸς ὁ Θεὸς δι' ἀγγέλου κατεμήνυσέν
σε· εἰπὲ οὖν τἀληθῆ, εἴπερ φῶς ἐστιν ἡ διδασκαλία σου. » Τοῦ δὲ
perniciosam *ἀρνουμένου, Θεόδωρος πρὸς πάντας εἶπεν· « Ἐδίδασκεν αὐτὸν*
haeresim *μὴ εἶναι σαρκὸς ἀνάστασιν, κακίζων τῆς σαρκὸς τὴν φύσιν. »*
detegit *Εἶτα πρὸς Πατχέλφιον λέγοντ[ες][1]· « Εἰπὲ εἰ οὕτως ἔχει ἢ οὔ, » ὁ*
υἱὸς Πατχελφίου ἐβόησεν λέγων· « Κἀμὲ τῇ παρελθούσῃ ἑσπέρᾳ
ταῦτα φρονεῖν ἔπειθεν. » Καί τις εὐνοῦχος ἐκ κοιλίας μητρὸς αὐ-
τοῦ ὑπάρχων, Ὦρ τοὔνομα, παρρησιέστερον εἶπεν πρὸς Θεό-
δωρον· « Τὸν νεανίσκον τὸν ἀπατώμενον ὑπόμνησον. » Θεόδωρος
εἶπεν· « Καὶ τούτου τοῦ νεανίσκου καὶ τοῦ υἱοῦ Πατχελφίου ἡ
ψυχὴ ὥσπερ ἀδάμας γενομένη οὐδὲν παρεδέξατο τῆς διδασκαλίας
αὐτοῦ. » Καὶ τῷ νεανίσκῳ εἶπεν· « Ἀπεδέξατό σου τὴν πρόθεσιν
ὁ Θεός. » Καὶ τῷ προεστῶτι τῆς οἰκίας ἐν ᾗ ὁ νεανίσκος ᾤκει,
παρήγγειλεν μὴ ἐπιπλῆξαι αὐτῷ ποτε ὡς ἀπολειφθέντι νυκτὸς
τῆς οἰκίας λάθρα καὶ παρὰ γνώμην αὐτοῦ. Εἶτα ἐπὶ πολὺ <πρὸς[2]>
Πατχέλφιον τὸν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τῆς θνητῆς ἡμῶν
Cf. I Cor. *σαρκὸς λόγον ἐκ τῶν ἁγίων γραφῶν παρατείνοντος, καὶ διαβε-*
15, 52-54. *βαιουμένου ταύτην ἡμῶν τὴν θνητὴν σάρκα δεῖν ἀθάνατον καὶ*
ἄφθαρτον ἐκ νεκρῶν ἐν δόξῃ ἀναστῆναι, Πατχέλφιος δακρύων
ἔμπροσθεν τοῦ πλήθους τῶν ἀδελφῶν — ἱκανὰ γὰρ ἦν τὰ ὑπὸ
et corrigit. *Θεοδώρου εἰρημένα εἰς πίστιν αὐτὸν ἀγαγεῖν — ἔρριψεν ἑαυτὸν*
συντιθέμενος τοῖς ἐκκλησιαστικοῖς δόγμασιν, ἀξιῶν δὲ πάντας
προσεύξασθαι περὶ αὐτοῦ, ἵνα καὶ ταύτην αὐτοῦ τὴν ἁμαρτίαν ὁ
Θεὸς ἐξαλείψῃ. Καὶ τῶν ἀδελφῶν μετὰ χαρᾶς προσευχομένων, ὁ
Πατχέλφιος ἐν μεγάλῃ τῇ φωνῇ ἐξωμολογεῖτο τῷ Θεῷ μετὰ πολ-
λῶν δακρύων.

Act. SS. § 19. **27.** *Καί ποτε γενομένων ἡμῶν πλῷ μετὰ Θεοδώρου εἴς τινα*
νῆσον συναγαγεῖν ξύλα εἰς καῦσιν, καὶ ἔτι ἐν τῷ πλοίῳ ὄντων ἡμῶν
τῶν Ἑλληνιστῶν, Θεόδωρος μὲν ἀφ' ἑτέρου πλοίου ἐξελθὼν μετὰ
μοναζόντων πλείστων — προειλήφει γὰρ ἡμᾶς — ἤρξατο μετ'
Patricium *αὐτῶν σκηνὴν ποιεῖν. Πατρίκιος δέ τις τοὔνομα βούπαις, ἀπὸ*

26. — [1] *λέγοντα* F. — [2] *om.* F.

Μύρων[1] *τῆς Λυκίας ὁρμώμενος, ἐν τῷ ἡμετέρῳ πλοίῳ βοήσας* *a serpente*
βοήθειαν ἐπεκαλεῖτο. Καὶ εἴδομεν ἀσπίδα μεγάλην μελανὴν τοῖς *morsum*
ὀδοῦσιν ἐπειλημμένην τοῦ ταρσοῦ τοῦ δεξιοῦ ποδὸς αὐτοῦ. Νεανίας
δέ τις Θηβαῖος, μονάζων, συνὼν ἡμῖν ἐν τῷ πλοίῳ, λαβόμενος τῆς
κέρκου τὸ θηρίον καὶ μόλις ἀποσπάσας τοῦ ποδὸς Πατρικίου,
τύπτων εἰς τὸν τοῖχον τοῦ πλοίου καὶ ἀνελών, εἰς τὸν ποταμὸν
αὐτὸ[2] *νεκρὸν ἔρριψεν. Καὶ Πατρικίου κλαίοντος καὶ πάντων ἡμῶν*
προσδοκώντων αὐτὸν ἄφνω καταπίπτειν νεκρόν, Θεόδωρος ἐπι-
στὰς καὶ ἐπὶ τὸν τόπον τῶν ὀδόντων τοῦ θηρίου ποιήσας τὸ ση- *crucis signo*
μεῖον τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἔφη πρὸς Πατρίκιον κλαίοντα·
« Μὴ φοβοῦ· ἰάσατό σε Χριστός. » Καί τινες τῶν μοναζόντων Cf. Act. 9, 34.
τῇ ἑξῆς ἔλεγον· « Ἡμεῖς ἀπιστοῦντες Θεοδώρῳ προσεδοκήσαμεν
Πατρίκιον διὰ τῆς νυκτὸς ἀποθανεῖν· ὁρῶντες δὲ αὐτὸν ὑγιαίνοντα *sanat.*
τὸν μὲν Χριστὸν εὐλογοῦμεν, Θεόδωρον δὲ θαυμάζομεν[3]*, ὅτι οὕ-*
τως ἐστὶν εὐπρόσδεκτος αὐτῷ. » Καὶ ὁ ἀποκτείνας δὲ τὸ θηρίον
ἔμεινεν ἀπαθής.

28. *Καὶ ἄλλων πλείστων μοναχῶν ἀπὸ τῆς Βαῦ πλῷ τῇ νήσῳ*
ἐπιστάντων καὶ ὄντων ἡμῶν τ' τὸν ἀριθμόν, περὶ ὀγδόην ὥραν
τῆς ἕκτης καὶ εἰκάδος[1] *τοῦ ἀθὺρ μηνός, Θεόδωρος πάντας ἡμᾶς*
καλέσας καὶ πρὸς ἑαυτὸν ἀθροίσας, τῷ Ἀλεξανδρεῖ Θεοδώρῳ *Divino*
ἔφη ἑρμηνεύειν ἃ ἤμελλεν λέγειν πρὸς πάντας· « Πάλαι μέν μοι *monitu*
ὁ Θεὸς ἀπεκάλυψεν ἃ εἰπεῖν ἔχω, καὶ παρήγγειλέν μοι τέως σιω- *iussus,*
πᾶν· ἄρτι δὲ ἐστῶτί μοι προσέταξεν εἰπεῖν ὑμῖν· ἔστιν δὲ ταῦ-
τα· Πολλοὶ τῶν μετὰ τὸ ἅγιον βάπτισμα ἡμαρτηκότων, σχεδὸν ἐν
παντὶ τόπῳ ἐν ᾧ τὸ ὄνομα τοῦ Χριστοῦ κηρύσσεται, τὴν ἀποστο- *paenitentibus*
λικὴν πίστιν φυλάττοντες, ἐν ᾗ καὶ ἡμεῖς ἑστήκαμεν, ἔκλαυσαν ἐφ' *remitti*
οἷς ἥμαρτον· καὶ τὸ γνήσιον αὐτῶν τῆς μετανοίας ὁ Κύριος ἀποδε- *peccata*
ξάμενος ἐξήλειψεν αὐτῶν τὰς ἁμαρτίας. Ὅσοι τοίνυν μέχρι τῆς
σήμερον ἐκλαύσατε γνησίως ἐφ' οἷς μετὰ τὸ λουτρὸν ἡμαρτήσατε, *docet.*
γινώσκετε ἀφέσεως τετυχηκέναι. Διὸ ἕκαστος ὑμῶν ἐξομολογούμε- Ps. 106, 8;
νος τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, λεγέτω· Ἔστρεψας τὸν κοπετόν μου 29, 11.
εἰς χαρὰν ἐμοί· διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με
εὐφροσύνην. »

29. *Καὶ λόγῳ πλείονι παρακαλέσας τοὺς ἀδελφούς, ὡς περί που* Act. SS. § 20.
ὥρα δεκάτη ἤμελλεν γίνεσθαι, Θεόδωρος ὀνομαστὶ τέσσαρας τῶν
ἀδελφῶν καλέσας, πάντων ἡμῶν ἀκουόντων ἔφη πρὸς αὐτούς·
« Οἱ ἀδελφοὶ ἡμῶν οἱ περὶ Θεόφιλον καὶ Κόπρην ἀπὸ Ἀλεξανδρείας

27. — [1] *μοίρων* F. — [2] *αὐτὸν* F. — [3] *ἐθαυμάζομεν* F.
28. — [1] *εἰκάδης* F.

ἐρχόμενοι ἐγγίζουσιν τοῖς ἐνταῦθα· καὶ ἵνα μὴ ἀγνοοῦντες παρέλθωσιν ἡμᾶς, ἀπέλθατε εἰς τὸ ἀκρωτήριον τῆς νήσου· καὶ τοῖς ἐν τῷ πρώτῳ πλοίῳ τῷ ἐξερχομένῳ τὴν καμπὴν τοῦ ποταμοῦ νεύσατε, ὅπως τῇ νήσῳ προσορμίσωσιν· Θεόφιλος δὲ κυβερνῶν οἶδεν τὸν ἀσφαλῆ ὅρμον κἀκεῖ παραβάλλει. » Οἱ δὲ ἀδελφοὶ ἀπελθόντες καὶ ὀλίγον περιμείναντες εἶδον ἐξελθὸν τῆς καμπῆς τὸ πλοῖον· καὶ ἐπιγνόντες Θεόφιλον κυβερνῶντα καὶ ἐξ ἑαυτῶν γενόμενοι, νεύσαντες αὐτοῖς καὶ δῆλον ποιήσαντες ἐν τῇ νήσῳ Θεόδωρον εἶναι, ἦλθον ἀπαγγέλλοντες ἐληλυθέναι τὸ πλοῖον· καὶ πάντες ἐξ ἑαυτῶν γενόμενοι ἠκολούθησαν Θεοδώρῳ ἐπὶ τὸν ὅρμον ἀπιόντι καὶ τοὺς ἀπὸ τοῦ πλοίου ἐξελθόντας μονάζοντας εἰς γῆν ἀποδεξαμένῳ καὶ ἀσπασαμένῳ ἐν ἁγίῳ φιλήματι· ὃς μετὰ τὸν ἀσπασμὸν κυκλωθεὶς ὑπὸ πάντων ἡμῶν ἔφη πρὸς αὐτούς· « Εὐφράνθητε ἐρχόμενοι· ἑωράκατε γὰρ τὸν πατέρα ἡμῶν Ἀντώνιον. »

Cf. Rom. 16, 16.

Ex Antonii epistula

Κἀκεῖνοι εἶπον· « Ἔγραφέν σοι δι' ἡμῶν. » Καὶ ἐπιδεδώκασιν αὐτῷ τὴν ἐπιστολήν. Ὁ δὲ ἀναγνοὺς καὶ περιχαρὴς γενόμενος ἐπιδέδωκεν Ἐλουρίωνι τὰ γράμματα, κελεύσας ἀναγνῶναι τοῖς ἀδελφοῖς, ἑρμηνεύοντος πάλιν Θεοδώρου τοῦ Ἀλεξανδρέως· ἦν γὰρ τῇ Αἰγυπτίων γλώσσῃ γεγραμμένη. Εἶχεν δὲ οὕτως· « Τῷ ἀγαπητῷ υἱῷ Θεοδώρῳ Ἀντώνιος ἐν Κυρίῳ χαίρειν. Ἤδειν μὲν ὅτι οὐ μὴ ποιήσει Κύριος ὁ Θεὸς πρᾶγμα, ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας· καὶ ἐνόμιζον μὴ δεῖν με δηλῶσαί σοι ἅπερ μοι ὁ Θεὸς πρὸ πολλοῦ ἀποκαλύψας ἦν [1]. Ἐπειδὴ δὲ ἑωρακότι μοι τοὺς ἀδελφούς σου τοὺς περὶ Θεόφιλον καὶ Κόπρην προσέταξεν γράψαι σοι, δηλῶν ὅτι πολλοὶ τῶν μετὰ ἀληθείας τὸν Χριστὸν προσκυνούντων, μετὰ τὸ βαπτισθῆναι ἡμαρτηκότων σχεδὸν ἐν ὅλῳ τῷ κόσμῳ, κλαυσάντων καὶ πενθησάντων ὁ Θεὸς τὸν κλαυθμὸν καὶ τὸ πένθος ἀποδεξάμενος, τὰς ἁμαρτίας ἐξήλειψεν πάντων τῶν οὕτως πορευσαμένων ἕως ἐκείνης τῆς ἡμέρας ἐν ᾗ ἂν ἡ ἐπιστολὴ ταύτη ἐπιδοθῇ σοι, ἀνάγνωθι οὖν αὐτὴν τοῖς ἀδελφοῖς σου, ἵνα καὶ αὐτοὶ ἀκούσαντες χαρῶσιν. Ἄσπασαι τοὺς ἀδελφούς. Ἀσπάζονταί σε οἱ ἀδελφοί. Εὔχομαί σε ὑγιαίνειν ἐν Κυρίῳ. » Ταῦτα πάντες οἱ παρόντες ἀκούσαντες καὶ ῥίψαντες ἑαυτοὺς ἐπὶ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ, οὕτως ἐκλαύσαμεν ὡς, τοῦ παρόντος πρεσβυτέρου τὴν εὐχὴν καταπαύσαντος, Θεόδωρον εἰπεῖν· « Πιστεύσατέ μοι λέγοντι ὅτι ηὐφράνθη πᾶσα ἡ ἐπουράνιος λογικὴ κτίσις καὶ ἐπὶ τούτῳ ὑμῶν τῷ κλαυθμῷ. Ὁ γὰρ Θεὸς προσδεξάμενος ἡμῶν τὴν δέησιν, τινῶν ἐξ

Am. 3, 7.

eadem confirmantur.

29. — [1] τί τοῦ κλαυθμοῦ ὄφελος m. rec. in marg. sup. F.

ἡμῶν τῶν ἐνταῦθα ἄρτι μοναχῶν οὕτω πικρῶς κλαυσάντων τὰς ἁμαρτίας ἐξήλειψεν· οὓς προγινώσκων οὕτως ἐλάλησεν ὡς κἀγὼ εἶπον καὶ ὁ πατὴρ ἡμῶν ἔγραψεν Ἀντώνιος. » Καὶ πολλῆς χαρᾶς πληρωθέντων πάντων ἡμῶν, Θεόδωρος ἔφη πρός με· « Ἄμμων, σὺ τὰ ἐνταῦθα μυστικῶς παρ' ἡμῶν λελαλημένα, ὅσα τε ἄλλα εἶδες καὶ ἤκουσας παρ' ἡμῶν, δημοσίᾳ καὶ ἐν ταῖς πλατείαις λαλήσεις. »

30. Καὶ παραγενομένου τοῦ τρίτου ἔτους τῆς ἐν τῷ μοναστηρίῳ παροικίας μου, φίλος τοῦ πατρός μου πρὸς τὴν πύλην τοῦ μοναστηρίου ἰδών με μετὰ Βησαρίωνος τοῦ δούλου τοῦ Θεοῦ κατ' ἐκεῖνο καιροῦ πυλωροῦ τοῦ μοναστηρίου ὄντος, παρεκάλεσεν λέγων ὅτιπερ καὶ ἡ μήτηρ μου, ἀφ' ἧς ἡμέρας ἐγκατέλειπον τοὺς ἰδίους, πενθεῖ καὶ ὁ πατήρ μου πάντα τὰ ἐν τῇ Αἰγύπτῳ μοναστήρια καὶ τῇ Αὐγουσταμνικῇ περιελθὼν καὶ μὴ εὑρών με, ὡς ἀποθανόντα θρηνεῖ. Ἅπερ ἀκηκοὼς ἐγὼ ἠξίωσα τὸν ἄνθρωπον τοῦ Θεοῦ Θεόδωρον δύο μονάζοντας συναποστεῖλαί μοι, ἵνα τὴν μητέρα ἴδω καὶ παρακαλέσας ἀνέλθω σὺν αὐτοῖς. Ὁ δὲ ἔφη πρός με· « Ἡ μὲν μήτηρ σου γέγονεν χριστιανή, σὺ δὲ λοιπὸν ἐκεῖνα τὰ μέρη οἰκήσεις· διὸ συμβουλεύω σοι ἐν τῷ ὄρει τῆς Νιτρίας οἰκῆσαι· εἰσὶ γὰρ ἐν ἐκείνῳ μάλιστα τῷ τόπῳ ἄνδρες ἅγιοι, εὐαρεστοῦντες τῷ Θεῷ. » Ἔλεγεν δὲ Θεόδωρον τὸν μετὰ τοῦ ἁγίου Ἀμοῦν — ἔτι γὰρ ἐνδημῶν ἦν τῷ σώματι — καὶ Ἐλουρίωνα καὶ Ἀμμώνιον, οἳ μετ' οὐ πολὺ ἐκοιμήθησαν, καὶ τὸν ἅγιον Παμβῶ καὶ τὸν δοῦλον τοῦ Θεοῦ Πιώρ, χαρίσματα ἰαμάτων παρὰ τοῦ Κυρίου λαβόντας, καὶ τοὺς σὺν αὐτοῖς ἁγίους ἄνδρας, ὧν τὰ ὀνόματα παρεσιώπησα [2], ἵνα μὴ μηκύνω τὸ γράμμα. Καὶ προπεμφθεὶς ὑπ' αὐτοῦ καταφιλήσας τε αὐτὸν μετὰ πολλῶν δακρύων παρεκάλεσα εὔξασθαι ὑπὲρ ἐμοῦ, ὥστε ἀπελθόντα ἰδεῖν τοὺς γονεῖς μου. Καὶ μετὰ τὸ ἰδεῖν αὐτούς, ᾤκησα λοιπὸν εἰς τὸ ὄρος τῆς Νιτρίας.

Act. SS. § 21.

Ammon genitores

II Cor. 5, 6.

I Cor. 12, 9.

invisit;

31. Καὶ μετὰ μῆνας ἕξ, τοῦ μακαρίου πάπα Ἀθανασίου ὑπὸ τῶν Ἀρειανῶν ἐν ταῖς ἡμέραις Κωνσταντίου διωχθέντος, καὶ τῶν ἁγίων μοναχῶν τότε κατὰ τὴν Αἴγυπτον καὶ Ἀλεξάνδρειαν καὶ τῶν ἀειπαρθένων καὶ τῶν σπουδαίων λαϊκῶν πολλὰ κακὰ παθόντων καὶ πληγαῖς ἀναιρουμένων, τῶν τε ἐπισκόπων τῆς Αἰγύπτου ἐξοριζομένων ὑπὸ Σεβαστιανοῦ τοῦ αἰγυπτιακοῦ δουκός, τοῦ διαδεξαμένου Συριανόν, τὸν πολλὰς ἀειπαρθένους ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Θεωνᾶ τοῦ ἐπισκόπου βέλεσιν φονεύσαντα [1], καὶ ὑπὸ Ἀρτεμίου τοῦ διαδεξαμένου Σεβαστιανόν, πολλῶν τε ἐν τῷ ξέε-

dein saeviente Arianorum furore,

30. — [1] μεθ' οὗ F. — [2] παρεσιώπα F.
31. — [1] φονεύσαντος F.

σθαι [2] ἀποθνῃσκόντων, καὶ τῶν ἀπὸ τῆς δύσεως ἁγίων ἐπισκόπων ἐξορισθέντων, καὶ ὅλως ἀνεκδιηγήτων [3] κακῶν ὑπὸ τῶν Ἀρειανῶν γινομένων — εἶχον γὰρ ἔξαρχον τὸν ὠμότατον Γεώργιον, — τοῖς περὶ τὸν ἅγιον Πιὼρ καὶ Παμβῶ καὶ τοῖς λοιποῖς πρεσβυτέροις τοῖς ἐν τῷ ὄρει τῆς Νιτρίας ἀπήγγελλον ἅπερ ὁ ἄνθρωπος τοῦ Θεοῦ Θεόδωρος εἰπὼν ἦν περὶ τοῦ διωγμοῦ τούτου, ὅτιπερ καὶ χαλεπὸς ἔσται καὶ παύσεταί ποτε.

Nitriotas monachos ex Theodori verbis

Act. SS. § 22. **32.** Καὶ τῶν Ἀρειανῶν ἐν κακοῖς προκοπτόντων, ἐπεδήμησαν τῷ ὄρει τῆς Νιτρίας τέσσαρες μονάζοντες ὑπὸ Θεοδώρου μετὰ γραμμάτων ἀποσταλέντες πρὸς τοὺς ἐν τῷ ὄρει μοναχούς · οἵτινες κατ' ἐντολὰς Θεοδώρου ἀναζητήσαντές με καὶ εὑρόντες, ἐμοὶ τὴν ἐπιστολὴν δεδώκασιν ὀψὲ σαββάτου · καὶ τῇ ἑξῆς, κυριακῆς οὔσης, πρῶτον ἰδίᾳ τοῖς πρεσβυτέροις, ἔπειτα κατ' ἐπιτροπὴν αὐτῶν παντὶ τῷ πλήθει τῶν μοναζόντων ἀνέγνων οὕτως ἔχουσαν · « Τοῖς ἀγαπητοῖς ἀδελφοῖς τοῖς ἐν τῷ ὄρει τῆς Νιτρίας πρεσβυτέροις καὶ διακόνοις καὶ μοναχοῖς Θεόδωρος ἐν Κυρίῳ χαίρειν. Γινώσκειν ὑμᾶς θέλω ὅτι ἡ ὑπερηφανία τῶν Ἀρειανῶν ἀνέβη πρὸς τὸν Θεόν · καὶ ὁ Θεὸς ἐπισκεψάμενος τὸν λαὸν αὐτοῦ καὶ ἰδὼν τὰς θλίψεις ἃς ὑπομένει, ἠλέησεν αὐτόν · καὶ ἐπηγγείλατο ἐλεῆσαι καὶ ἐλευθερῶσαι τῶν θλίψεων τούτων τὴν ἑαυτοῦ ἐκκλησίαν. Ἔσται οὖν καιρὸς ἐν ᾧ τῶν διωγμῶν τούτων ἡ ἐκκλησία ἐλευθερωθήσεται.

et litteris

Cf. Ps. 73,23.

Ier. 28, 44. Εἶπεν γὰρ ὁ Θεὸς περὶ μὲν τῶν Ἀρειανῶν · « Καὶ ἐκδικήσω ἐπὶ Βαβυλῶνα καὶ ἐξοίσω ἃ κατέπιεν ἐκ τοῦ στόματος αὐτῆς. » Περὶ δὲ τῆς ἐκκλησίας · « Τίς ἐξ ὑμῶν ὃς εἶδεν τὸν οἶκον τοῦτον τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. » Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀδελφοί, παρακαλεῖτε τοὺς ἐν τοῖς μέρεσιν ἐκείνοις θλιβομένους [1] ὑπ' αὐτῶν, ἵνα μή τινος ἐκκλίνῃ ἡ πίστις · οὕπω γὰρ πεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀρειανῶν. Ἀσπάζονται ὑμᾶς οἱ μετ' ἐμοῦ ἀδελφοί · ἐρρωμένους ὑμᾶς ὁ Κύριος διαφυλάξαι, ἀγαπητοὶ ἀδελφοί. » Καὶ ταῦτα ἀναγνόντος μου, πάντες μὲν οἱ ἀδελφοὶ τὸν Θεὸν ἐδόξαζον. Εἷς δὲ τῶν πρεσβυτέρων ἀνὴρ τοὔνομα Ἅγιος ἔφη πρός με μειδιῶν · « Καὶ ἡμεῖς σοι λέγομεν · οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν. » Καὶ ταύτην τὴν ἐπιστολὴν ἐδέξατο παρ' ἐμοῦ κατ' ἐντολὴν [2] Ἡρακλείδου τοῦ πρεσβυτέρου Ἰσαὰκ ὁ καὶ Χρυσόγονος, τότε μὲν ἐν τῷ ὄρει τῆς Νιτρίας μονάζων, ὕστερον δὲ διάκονος ὑπὸ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἰσιδώρου τῆς ἐκκλησίας

solatur et erigit.

Ioh. 4, 42.

[2] *ξαίνεσθαι Pasquali.* — [3] *ἀνεγδιηγήτων* F.

32. — [1] *θλιβομένους* F. — [2] *corr. (prius ἐντολῶν ?)* F.

τῆς μικρᾶς Ἑρμουπόλεως κατασταθείς, ὥστε τῷ ἁγιωτάτῳ ἐπισκόπῳ Δρακοντίῳ ἐν τῇ ἐξορίᾳ ὄντι ἀποστεῖλαι · ἤντινα, ὡς οἶμαι, δύναται ἀναζητήσας εὑρεῖν ὁ θεοφιλέστατος ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Διόσκορος, ὁ τοῦ ἁγίου Ἰσιδώρου διάδοχος.

Iuliani mors

33. Καὶ μετὰ τὸ διωχθῆναι τὸν πάπαν Ἀθανάσιον, τῷ ἐννάτῳ [1] μηνὶ τοῦ ἕκτου ἔτους Ἰουλιανὸς βασιλεύσας ἀνὴρ εἰδωλολάτρης τὸν μὲν πάπαν Ἀθανάσιον εἰς τὴν Θηβαΐδα ἐξώρισεν · πολλὰ δὲ τοῖς χριστιανοῖς ἀπειλήσας, ἐν τῇ Περσίδι σύντομον ἔσχε τὸ τέλος, οὐδὲν ἐπὶ πέρας δυνηθεὶς ἀγαγεῖν ὧν χριστιανοῖς ἠπείλησεν · ὡς πάντας ἡμᾶς τοὺς ἀκηκοότας Θεοδώρου δοξάσαι τὸν Θεόν, μετὰ τοσαῦτα ἔτη ἑωρακότας πληρούμενα ἃ εἶπεν, προσδοκῆσαι δὲ ἀναμφιβόλως καὶ τῶν Ἀρειανῶν τὴν καθ' ἡμῶν μανίαν καταργηθήσεσθαι · ἅπερ μετὰ τοσαῦτα ἔτη γινόμενα νῦν ὁρῶμεν.

a Theodoro praedicta.

Act. SS. § 23. **34.** Καὶ ταῦτα μὲν ἐγὼ τῷ προστάγματι τῆς ὁσιότητός σου πειθαρχῶν γράψαι τετόλμηκα, πολλὰ παρεὶς ὧν παρὰ Θεοδώρῳ εἶδον, ἃ ἢ τῶν πολλῶν ἀκοὴ οὐ φέρει, δεδοικὼς μή πως ἡ ἐπιστολή μου αὕτη εἰς χεῖρας μικρῶν καὶ ἔτι νηπιαζόντων ἐν Χριστῷ ἔλθῃ. Ἐπειδὴ δὲ φθάσας ὁ μακάριος πάπας Ἀθανάσιος, παρούσης τῆς ἐμῆς βραχύτητος καὶ ἄλλων κληρικῶν τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, τῷ μακαρίῳ τῇ μνήμῃ Ἀμμωνίῳ τῷ ἐπισκόπῳ γενομένῳ τῆς Ἐλαιαρχίας καὶ Ἑρμωνι τῷ τῆς Βουβαστινῶν εἶπέν τι περὶ Θεοδώρου — νομίζω δὲ καὶ [1] τὴν σὴν ἁγιότητα παροῦσαν τότε ἀκηκοέναι — ἀναγκαῖον πρὸς ὑπόμνησιν τῆς σῆς εὐλαβείας, ἃ εἶπεν γράφω [2]. Τῶν μνημονευθέντων ἐπισκόπων θαυμαζόντων τὸν μακάριον Ἀντώνιον — πολλάκις γὰρ αὐτῷ Ἀντώνιος συντυχὼν ἦν — ὁ πάπας Ἀθανάσιος πρὸς αὐτοὺς ἔφη · « Εἶδον καὶ ἐν τοῖς καιροῖς τούτοις ἀνθρώπους τοῦ Θεοῦ μεγάλους, Θεόδωρον τὸν ἡγιασμένον τῶν Ταβεννησίων μοναχῶν, καὶ περὶ τὴν Ἀντινόου μοναχῶν πατέρα [3] ἀππᾶ Πάμμωνα τοὔνομα, οἳ πρὸ ὀλίγου κεκοίμηνται. Ὡς γὰρ ἤμην διωχθεὶς ὑπὸ Ἰουλιανοῦ καὶ προσδοκῶν ἀναιρεθῆναι ὑπ' αὐτοῦ — δεδήλωτο γάρ μοι τοῦτο ὑπὸ γνησίων φίλων — ἦλθον οἱ δύο οὗτοι εἰς τὴν Ἀντινόου πρός με ἐν μιᾷ ἡμέρᾳ · καὶ βουλευσάμενος κρυβῆναι παρὰ Θεοδώρῳ, ἐπέβην τῷ ἐκείνου πλοίῳ πάντοθεν κεκαλυμμένῳ, προπέμποντος ἡμᾶς καὶ ἀππᾶ Πάμμωνος · καὶ τοῦ ἀνέμου ἀνεπιτηδείου γενομένου, ἐγὼ μὲν ἀγωνιῶν τῇ καρδίᾳ προσηυχόμην ·

de Theodoro et Pammone.

Cf. I Cor. 3,1.

Athanasii testimonium

33. — [1] *corr., prius ἐνάτῳ* F.

34. — [1] *supra l.* F. — [2] *γράφειν ? Pasquali.* — [3] *μοναχὸν παρὰ* F.

οἱ δὲ μετὰ Θεοδώρου μονάζοντες ἐξελθόντες παρεῖλκον τὸ πλοῖον. Καὶ ἀππᾷ Πάμμωνι [4] ἀγωνιῶντά με παραμυθουμένῳ ἔλεγον· « Πίστευσόν μοι λέγοντι· οὐχ οὕτως ἔχω πεποιθυῖαν τὴν καρδίαν μου ἐν καιρῷ εἰρήνης ὅσον ἐν τοῖς τοῦ διωγμοῦ καιροῖς· τεθάρρηκα
Cf. Phil. 1, 29. γὰρ ὅτι ὑπὲρ Χριστοῦ πάσχων καὶ τῷ ἐλέει αὐτοῦ δυναμούμενος,
Num. 11, 15. κἂν ἀναιρεθῶ, ἔτι μᾶλλον εὑρίσκω παρ' αὐτῷ ἔλεος. » Καὶ ἔτι μου λέγοντος ταῦτα, Θεόδωρος ἐνατενίσας ἀππᾷ Πάμμωνι ἐμειδίασεν· καὶ σχεδὸν γελάσαντος ἀππᾶ Πάμμωνος, ἐ; ὠ μὲν πρὸς αὐτοὺς ἔφην· « Διὰ τί ἐγελάσατε [6] ταῦτά μου λέγοντος; Ἆρα δειλίας μου κατέγνωτε; » Θεόδωρος δὲ πρὸς ἀππᾶ Πάμμωνα ἔφη· « Εἰπὲ αὐτῷ διὰ τί ἐμειδιάσαμεν. » Καὶ ἀππᾶ Πάμμωνος εἰπόντος· « Σὺ εἰπεῖν ὀφείλεις, » Θεόδωρος ἔφη· « Ταύτῃ τῇ ὥρᾳ ἀνῃρέθη Ἰουλιανὸς ἐν Περσίδι. Προειρήκει γὰρ περὶ αὐτοῦ ὁ Θεὸς οὕτως·
Hab. 2, 5. Ὁ δὲ κατοιόμενος καταφρονητής, ἀνὴρ ἀλαζών, οὐδὲν οὐ μὴ περανεῖ. Ἀναστήσεται δὲ βασιλεὺς χριστιανός, ὅστις λαμπρὸς μέν, ὀλιγόβιος δὲ ἔσται. Διὸ οὐκ ὀφείλεις ἐπὶ τὴν Θηβαΐδα σκυλλόμενος ἀπελθεῖν, ἀλλ' εἰς τὸ κομιτᾶτον λεληθότως γενέσθαι· συντεύξει γὰρ αὐτῷ καθ' ὁδόν, καὶ γνησίως ὑποδεχθεὶς παρ' αὐτοῦ ἐπανήξεις εἰς τὴν ἐκκλησίαν. Καὶ οὕτως ἐκεῖνος τάχ ον ὑπὸ τοῦ Θεοῦ προσληφθήσεται. » Καὶ γέγονεν οὕτως. Ὅθεν πιστεύω πολλοὺς εὐαρεστοῦντας τῷ Θεῷ ἐν τοῖς μονάζουσιν μάλιστα κρύπτεσθαι. Κἀκεῖνοι γὰρ λανθάνοντες ἦσαν, ὥσπερ καὶ ὁ μακάριος Ἀμοῦν καὶ ὁ ἅγιος Θεόδωρος, οἱ ἐν τῷ ὄρει τῆς Νιτρίας, καὶ ὁ δοῦλος τοῦ Θεοῦ ὁ εὐγηρότατος Παμβῶ. »

Act.SS. § 24. Coram Ammonio et Athanasio

35. Καὶ τοῦ ἐπισκόπου Ἀμμωνίου θαυμάζοντος τὸν μακάριον Πιὼρ καὶ Ἐλουρίωνα καὶ Ἀμμώνιον καὶ Ἰσίδωρον τὸν πρεσβύτερον τῶν ἀναχωρητῶν καὶ τὸν ἅγιον Μακάριον, οὓς ἐν τῷ ὄρει τῆς Νιτρίας εἶδεν ἡ ἁγιωσύνη σου, ἐμὲ περὶ τῶν ἁγίων ἐν τῇ Σκήθει ἀναχωρητῶν Παησίου καὶ Παύλου καὶ Ψωίου τῶν ἀδελφῶν αὐτοῦ καὶ Ἡσαίου καὶ Πησύρου καὶ Ἰσαὰκ καὶ Παύλου ἠρώτα εἰ καὶ [1] τὸν Θηβαῖον Θεόδωρον ἤμην ἑωρακώς· καὶ εἰπόντι μοι ὅτι Θεοδώρῳ τριετῆ χρόνον συνέζησα, ἐκέλευσεν εἰπεῖν εἴ τι παρὰ Θεοδώρῳ ἑώρακα. Καὶ εἰπόντος μου τῶν προγεγραμμένων τινά — ἐγὼ γὰρ πρὸς τὴν ἁγιότητα αὐτοῦ συνέτεμον τὸν λόγον — ὁ πάπας θαυμάσας ἔφη· « Πειραθεὶς τοῦ ἀνδρός, ταῦτα οὕτως ἔχειν πιστεύω. »

Theodorum laudat Ammon.

Act.SS. § [illegible]

36. Γράψας τῇ ἁγιωσύνῃ σου ἅπερ καὶ παρὰ τοῦ μακαρίου πάπα

[4] παμβῶ hoc loco F. — [5] ἔλεγεν F. — [6] ἐγελάσετε F.
35. — [1] εἰ καὶ F, καὶ εἰ καὶ Pasquali.

Ἀθανασίου ἤκουσα, παράκλησιν προσάγω, ὅπως πάντοτε προσεύχεσθαι ὑπὲρ ἐμοῦ καταξιοῖς, δεόμενος ἀπαύστως ἐπ' ἐμὲ εἶναι τὰ ἐλέη τοῦ Θεοῦ. Πρόσειπε τοὺς σὺν σοὶ ἀδελφούς. Οἱ σὺν ἐμοὶ τὴν ὁσιότητά σου προσαγορεύουσιν. Ἐρρωμένον σε καὶ ὑπὲρ ἐμοῦ
5 προσευχόμενον ὁ πανάγιος τῶν ὅλων Θεὸς πρὸς τὴν ἑαυτοῦ δόξαν Cf. II Macc. πολυετῆ ταῖς ἐκκλησίαις διαφυλάττοι, δέσποτα ἁγιώτατε ἀδελφέ 14, 35.

Conclusio.

EPISTULA THEOPHILI AD AMMONEM

37. Κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Act.SS. § 26.
Ἀμμωνι [1] Θεόφιλος ἐν Κυρίῳ χαίρειν.

Τὸν ἀγαθὸν ζῆλον ἐπιστάμενος τῆς σῆς εὐλαβείας, ἀποδέχομαι
10 μέν σε τῆς μνήμης τῆς περὶ τοὺς ἁγίους· ηὐφρανας δὲ ἡμᾶς καὶ τὰ πολλάκις ἐν διηγήμασιν ἡμῖν γνωσθέντα ἐγγράφως ἐπιστείλας. Εἴη σε τοίνυν καὶ ἡμᾶς ἅπαντας μετὰ τοῦ μακαρίου Θεοδώρου τὴν μερίδα καὶ κοινωνίαν ἔχειν. Οὐ γὰρ ὑπεριδὼν τῆς ἡμετέρας παρακλήσεως, ἀλλὰ καὶ ἐν τούτῳ [2] δεδωκὼς ὠφέλησας ἡμᾶς,
15 ἀγαπητὲ καὶ ποθεινότατε. Πρόσειπε τὴν σὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν Κυρίῳ προσαγορεύει. Ἐρρῶσθαί σε ἐν Κυρίῳ, ἀγαπητὲ καὶ ποθεινότατε ἀδελφέ.

Theophili responsum.

37. — [1] ἀμμωνίῳ hoc loco F. — [2] ἐν τοῦτο F, ἓν τοῦτο Pasquali.

III. DE SS. PACHOMIO ET THEODORO PARALIPOMENA (*Λ*).

E codicibus Florentino Laurentiano XI, 9 (= F) *et Ambrosiano D 69 Sup., fine mutilo* (= A).

Adhibitis etiam (*in cap. 17-20*) *codicibus Vaticano Ottoboniano 450* (= o), *Hierosolymitano Sabaitico 128* (= h) *et Athoo Vatopediano 38* (= b).

Ἐκ [1] τοῦ βίου τοῦ ἁγίου Παχουμίου [2].

Πρόλογος [1].

Prologus. Αὐτάρκως μὲν τὰ γραφέντα περὶ τοῦ ἁγίου, οἶμαι, πρὸς ὠφέλειαν δύναται συμβάλλεσθαι [2]· ἐνέχεσθαι δὲ [3] τῶν αὐτῶν οὐ βλαβερόν, ὅτι τὸ μὲν ἀναδραμεῖν ἐπὶ τοῖς αὐτοῖς ἀσφαλέστερον πρὸς τὴν θεωρίαν [4] παρασκευάζει τῶν λεγομένων [5] τὸν ἀκροατήν, τὸ δὲ δι' ὄκνον παραιτεῖσθαι τὰ αὐτὰ γράφειν, κίνδυνον τῷ παραιτουμένῳ παρέχει. Ὅθεν ἐπαναδραμόντες τῷ λόγῳ, συγγενῆ τῶν προτέρων ὀλίγα ἐκθώμεθα [6].

α' κεφάλαιον [1]. Περὶ τοῦ [1] ἁγίου [1] Θεοδώρου.

Senes iuvenem Theodorum

1. Ἔθος ἦν τοῖς ἀδελφοῖς τοῦ θεοφιλεστάτου καὶ ἁγίου [2] πατρὸς ἡμῶν Παχουμίου [3] καθ' ἑσπέραν [4] εἰς ὡρισμένον τόπον τῆς μονῆς συνέρχεσθαι [5] ἐπὶ [6] τὸ ἀκοῦσαι τῆς διδασκαλίας αὐτοῦ. Συναχθέντων οὖν ἐν [1] μιᾷ [1] κατὰ τὸ ἔθος ἐπὶ τὸ ἀκοῦσαι τοῦ μεγάλου [7], κελεύει Θεοδώρῳ τινί, εἰκοσαετῆ χρόνον ἔχοντι ἐν τῇ μονῇ, λαλῆ-

Lemma. — [1] Τοῦ αὐτοῦ *praemittit* F. — [2] Ὁ βίος ἐκ τῶν ἀσκητικῶν περὶ τῶν αὐτῶν · κεφάλαια ιδ' A.

Prologus — [1] *om.* F. — [2] αὐτάρκως οἶμαι τὰ γραφ. πρὸς ὠφ. συμβαλέσθαι δύν. A. — [3] (ἐν. δὲ) ἔχεσθαι δὲ πάντως A. — [4] τῶν λέξεων *add.* A. — [5] τ. λ. *om.* A. — [6] νῦν ἐξεθέμεθα A.

1. — [1] *om.* A. — [2] (θ. κ. ἁ.) μακαρίου A. — [3] παχωμίου A *hic et deinceps.* — [4] κατ' ἑσπ. F, καθ' ἡμέραν τὸ πρὸς ἑ. A. — [5] (τῆς μ. σ.) ἔρχεσθαι τῆς μ. A. — [6] πρὸς A. — [7] (ἐπὶ - μεγ.) πάντων ἐπὶ τούτω A.

σαι τοῖς ἀδελφοῖς [8]. Ὃς παραχρῆμα [9] ἄνευ πάσης παρακοῆς ἐλάλησεν αὐτοῖς [10] τὰ πρὸς ὠφέλειαν. Τινὲς δὲ τῶν ἀρχαιοτέρων ἰδόντες τὸ γινόμενον [11] οὐκ ἠβουλήθησαν ἀκοῦσαι αὐτοῦ [12] λέγοντες ἐν ἑαυτοῖς · « Ἐπεὶ [13] ἀρχάριός ἐστιν καὶ διδάσκει ἡμᾶς, οὐκ ἀκουσόμεθα αὐτοῦ. » Καὶ καταλείψαντες τὴν σύναξιν τῶν ἀδελφῶν ἀνεχώρησαν εἰς τὰ κελλία ἑαυτῶν. Ἀπολυθέντων δὲ τῶν ἀδελφῶν ἀπὸ τῆς ἀκροάσεως, ἀποστείλας ὁ μέγας [14] ἐκάλεσεν τοὺς ἀναχωρήσαντας [15]. Ἐλθόντων δὲ αὐτῶν πρὸς τὸν ἅγιον, ἠρώτα αὐτούς · « Τίνος ἕνεκεν [16] καταλείψαντες [17] ἡμᾶς ἀνεχωρήσατε εἰς τὰ κελλία ἑαυτῶν ; » Οἱ δὲ φασιν [18] · « Ὅτι παιδίον διδάσκαλον ἡμῶν ἐποίησας τοσούτων γερόντων καὶ ἄλλων [19] ἀδελφῶν. » Ἀκούσας δὲ ὁ μέγας ἐστέναξεν εἰπών · « Οἴδατε πόθεν ἡ ἀρχὴ τοῦ κακοῦ ἐχώρησεν εἰς τὸν κόσμον ; » Εἰπόντων δὲ ἐκείνων · « Πόθεν ; » ἀποκριθεὶς εἶπεν αὐτοῖς · « Ἐκ [20] τῆς ὑπερηφανίας, δι' ἣν [21] ἐξέπεσεν ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων καὶ συνετρίβη ἐπὶ τὴν γῆν · δι' ἣν καὶ [22] συνῴκησεν μετὰ τῶν θηρίων Ναβουχοδονοσὼρ [22*] ὁ βασιλεὺς Βαβυλῶνος. Ἢ οὐκ ἠκούσατε τὸ γεγραμμένον, ὅτι βδέλυγμα Κυρίῳ [23] ἀνὴρ ὑψηλοκάρδιος ; Πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Ἐσκυλεύθητε τοιγαροῦν παρὰ τοῦ διαβόλου πᾶσαν ὑμῶν τὴν [22] ἀρετήν, ἀγνοοῦντες ὅτι μήτηρ πάντων τῶν κακῶν ἡ ὑπερηφανία ἐστίν [24]. Οὐ γὰρ Θεόδωρον καταλείψαντες ἀπήλθατε, ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ ἀποφυγόντες ἐξεπέσατε [25] ἀπὸ [22] τοῦ ἁγίου Πνεύματος, ἄθλιοι ἀληθῶς καὶ παντὸς οἴκτου ἄξιοι. Πῶς οὐκ ἐνοήσατε ὅτι [26] Σατανᾶς ἦν ὁ ἐνεργήσας ἐν ὑμῖν τοῦτο, οὗ χάριν ἀπεσχοινίσθητε τοῦ Θεοῦ ; Ὦ μεγάλου θαύματος · ὁ [22] Θεὸς ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος ἄχρι [27] θανάτου δι' ἡμᾶς, καὶ ἡμεῖς κατὰ φύσιν ὄντες ταπεινοὶ φυσιούμεθα. Ἀνετράπη παρ' ἡμῶν ἡ τάξις · ὁ πανύψιστος [28] καὶ λίαν ὑπερμεγέθης διὰ τῆς ταπεινότητος τὸν κόσμον ἑαυτῷ ἐσαγήνευσεν, δυνάμενος καὶ βλέμματι μόνον [29] τὸν κόσμον [30] καταφλέξαι · ἡμεῖς δὲ μηδὲν ὄντες ὑπερηφανευόμεθα, ἀγνοοῦντες ὅτι ἐν τούτῳ [31] μᾶλλον ἑαυτοὺς καταβυθίζομεν εἰς τὰ κατώτατα τῆς γῆς [32]. Οὐκ εἴ-

audire recusantes

Cf. Eccli. 10, 12-13. Is. 14, 12. Dan. 5, 21. Prov. 15, 9 ; 16, 5. Luc. 14, 11.

de superbia redarguit Pachomius.

Phil. 2, 8.

[8] τὸν λόγον τοῦ Θεοῦ *add.* A. — [9] *om.* A. — [10] παραχρῆμα *add.* A. — [11] εἰδότες τὸ γενόμενον A. — [12] αὐ. ἀκ. A. — [13] ἐπειδὴ A. — [14] παχώμιος *add.* A. — [15] καὶ μὴ θελήσαντας ἀκοῦσαι θεοδώρου *add.* AΠ. — [16] ἕνεκε A. — [17] καταλιπόντες A. — [18] φησιν A. — [19] ἀρχαίων *add.* A. — [20] ἀπὸ A. — [21] ἧς A. — [22] *om.* A. — [22*] ναβουχοδονόσορ A. — [23] βδέλυγμα κυρίου A. — [24] (ἀγν. - ἐστίν) τῇ ὑπερηφανίᾳ A. — [25] ἐξεπέσετε A. — [26] ὁ *add.* A. — [27] μέχρι A. — [28] πανύψηλος A. — [29] μόνω A. — [30] (τ. κ.) πάντα A. — [31] ἐν τ. *om.* A. — [32] οὕτω φρονοῦντες *add.* A.

δετέ με ἑστῶτα [33] καὶ ἀκροώμενον αὐτοῦ τῆς διδαχῆς [34]; Ἐπ' ἀληθείας λέγω ὑμῖν ὅτι ὠφελήθην μεγάλως [35] ἀκούσας αὐτοῦ· οὐ γὰρ ὡς δοκιμάζων αὐτὸν ἐπέτρεψα αὐτὸν [36] λαλῆσαι ὑμῖν, ἀλλ' ὡς προσδοκῶν καὶ αὐτὸς ὠφελεῖσθαι [37]. Πόσῳ οὖν ὑμᾶς μᾶλλον [38] ἔδει μετὰ πολλῆς προθυμίας καὶ ταπεινοφροσύνης ἀκοῦσαι τοῦ λόγου [39] αὐτοῦ; Ἐπ' ἀληθείας ἐγὼ ὁ πατὴρ ὑμῶν ἐν Κυρίῳ, ὡς
Cf. Ion. 4,11. ἄνθρωπος [36] μὴ εἰδὼς [40] δεξιὰν ἢ ἀριστερὰν [41] αὐτοῦ [36], οὕτως ἐξ ὅλης ψυχῆς ἠκροώμην αὐτοῦ. Λέγω οὖν ὑμῖν ἐνώπιον τοῦ Θεοῦ ὅτι [42], ἐὰν μὴ μεγάλην ὑπὲρ τοῦ σφάλματος τούτου δείξητε μετάνοιαν, ὥστε κλαῦσαι καὶ πενθῆσαι ἑαυτούς, ὅπως [43] συγχωρηθῇ
Dan. 2, 5. ὑμῖν τὸ γενόμενον παρ' ὑμῶν, εἰς ἀπώλειαν ἔσεσθε. »

β'. Περὶ [1] Σιλβανοῦ.

Silvanus,

2. Ἦν ποτέ τις [2] ἐν τοῖς ἀδελφοῖς Σιλβανὸς ὀνόματι, εἰκοσαετῆ χρόνον ἔχων [3] ἐν τῷ σχήματι τοῦ μοναχοῦ [4]. Οὗτος δὲ ἦν ἀπὸ μίμων [5]· ὅστις [6] ἐν ταῖς ἀρχαῖς μὲν τῆς ἀποταγῆς αὐτοῦ [7] πάνυ ἐπεμελεῖτο τῆς ψυχῆς αὐτοῦ, ἐν νηστείαις καὶ πυκναῖς προσευχαῖς καὶ ἐν ταπεινοφροσύνῃ πολλῇ τὸν πάντα χρόνον διάγων [8]. Χρόνου
ob remissum fervorem eiciendus, δὲ πολλοῦ [9] παρελθόντος, ἤρξατο καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας, ὥστε βούλεσθαι αὐτὸν [9] σπαταλᾶν [9*] καὶ στρηνιᾶν, ἔτι μὴν καὶ τὰ τῆς θυμέλης ἄσεμνα ῥήματα ἀδεῶς [9] μεταξὺ τῶν ἀδελφῶν ἐκτραγῳδεῖν [10]. Τοῦτον καλέσας ὁ ἅγιος πατὴρ ἡμῶν Παχούμιος, ἐπὶ τῶν ἀδελφῶν ἐκέλευσεν ἀποδυθῆναι τὸ σχῆμα τοῦ μοναχοῦ καὶ λαβόντα αὐτὸν [9] τὰ κοσμικὰ ἱμάτια, ἐκβληθῆναι τῆς μονῆς [11] ὑπὸ τῶν ἀδελφῶν [12]. Ὁ δὲ πεσὼν εἰς [13] τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν [9] λέγων ὅτι· « Ἐὰν συγχωρήσῃς μοι ἔτι τὸ ἅπαξ τοῦτο,
promissam emendationem ὦ πάτερ [14], τοῦ μὴ βαλεῖν με ἔξω, ἔξεις με ἀπὸ τοῦ νῦν μετανοοῦντα ἐφ' οἷς ἐν ἀμελείᾳ διῆγον [15], ὥστε σε [9] χαρῆναι ἐπὶ τῇ μεταβολῇ τῆς ψυχῆς [16]. » Ὁ δὲ ἅγιος ἀποκριθεὶς εἶπεν αὐτῷ· « Οἶδας [17] πόσα σε ἐβάστασα καὶ πόσα [18] ἐνουθέτησα, ὥστε με καὶ τυπτῆ-

[33] στήκοντα A. — [34] διδασκαλίας A. — [35] (ὠ. μ.) μ. ὠ. A. — [36] om. A. — [37] ὠφεληθῆναι A. — [38] (ὑ. μ.) μ. ὑ. A. — [39] τὸν λόγον A. — [40] εἰδὼν F. — [41] ἀρ. ἢ δεξ. A. — [42] (λέγω - ὅτι) ὑμῖν οὖν ἐν. τοῦ θ. λέγω A. — [43] ἵν' οὕτως A.

2. — [1] τ ο ῦ ν έ ο υ add. A. — [2] (π. τ.) τ. π. A. — [3] (χρ. ἔχ.) τὸν πάντα χρ. A. — [4] ποιήσας add. A. — [5] οὗτ. ἀπὸ μ. ἐγένετο A. — [6] δς A. — [7] (τῆς ἀπ. αὐ.) καίτοι παιδίον ὤν A. — [8] (ἐν νηστ. - διάγ.) om. AΣΠ. — [9] om. A. — [9*] λοιπὸν add. A. — [10] ἀδεῶς ἐκφωνεῖν A. — [11] (ἐκ. τ. μ.) τ. μ. ἐκ. A. — [12] ὑπὸ τ. ἀ. om. A. — [13] ὑπὸ A. — [14] (ἔτι - πάτερ) πάτ. ἔτι τοῦ το ἅ. A. — [15] διῆλθον A. — [16] μου add. A. — [17] οἶδες F. — [18] σε add. A.

σαί σε πολλάκις, ἄνθρωπον μὴ βουλόμενον μήτε [19] τὴν χεῖρα ἐκτεῖναί ποτε τούτῳ τῷ λόγῳ [20]· ἐφ' οἷς ἀνάγκη τοῦτο πράττων ἐν σοί, μᾶλλον τοῦ τυπτομένου τὴν ψυχὴν ἤλγουν τῷ λόγῳ τῆς συμπαθείας [21]. Διὰ γὰρ τὴν ἐν Θεῷ [22] σου σωτηρίαν τύπτειν σε ἔδοξα, ἵνα ἐκ τούτου δυνηθῶμεν διορθῶσαί [23] σε τοῦ σφάλματος. Εἰ τοίνυν νουθετούμενος οὐ μετετράπης, οὐδὲ παρακαλούμενος ἐπὶ τὸ κρεῖττον μετηνέχθης [24], οὔτε μὴν τυπτόμενος ἐφοβήθης, πῶς δύναμαί σοι συγχωρεῖσθαι ἔτι [25]; » Ἐπεκτείνοντος [26] δὲ τὴν παράκλησιν ἐπὶ [27] πλεῖον [27] τοῦ Σιλβανοῦ [28] καὶ διαβεβαιουμένου διορθοῦν [29] ἑαυτὸν τοῦ λοιποῦ [30], ἐγγύας ᾐ ἤσατο [31] παρ' αὐτοῦ ὁ μέγας, μὴ μετὰ τὸ ἀφεθῆναι αὐτὸν τοῖς αὐτοῖς ἐμμεῖναι πάλιν [32]. Πετρωνίου δέ τινος [33] ἀναδεξαμένου αὐτὸν ἐφ' οἷς ὑπισχνεῖτο, συνεχώρησεν αὐτῷ ὁ μέγας [34]. Ὁ δὲ Σιλβανὸς τυχὼν τῆς ἀφέσεως οὕτως ἠγωνίσατο πάσῃ ψυχῇ αὐτοῦ, ὥστε αὐτὸν [27] ὑπογραμμὸν γενέσθαι [35] εἰς πᾶσαν ἀρετὴν θεοσεβείας πᾶσιν τοῖς ἀδελφοῖς μικροῖς τε καὶ μεγάλοις [36]. *egregie praestat;*

3. Τὸ δὲ μέγα [1] πλεονέκτημα αὐτοῦ τῶν ἀρετῶν [2] ἦν ἡ ἐπ' ἄκρον ταπεινοφροσύνη καὶ τὸ [3] μὴ διαλείπειν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀπὸ δακρύων [4], ὥστε καὶ ἐσθίοντος αὐτοῦ [5] μετὰ τῶν ἀδελφῶν, μὴ δύνασθαι ἐπικρατεῖν τῶν δακρύων [6], ἀλλὰ συνμίσγεσθαι τῇ τροφῇ τὰ δάκρυα [7]. Λεγόντων [8] δὲ αὐτῷ [9] τῶν ἀδελφῶν τὸ μὴ ἐπὶ ξένων προσώπων [10] τοῦτο ποιεῖν, διϊσχυρίζετο λέγων ὅτι· « Πολλάκις ἠθέλησα ἐπικρατῆσαι τῶν δακρύων τούτου χάριν, καὶ [11] οὐκ ἴσχυσα. » Φασκόντων δὲ τῶν ἀδελφῶν [12] ὅτι· « Δυνατόν ἐστιν καθ' ἑαυτὸν μὲν κλαίειν τὸν [13] κατανενυγμένον καὶ ἐν τῇ προσευχῇ ποιεῖν ὁμοίως [14] μετὰ τῶν ἀδελφῶν [15]· ἐπὶ δὲ τῆς τραπέζης *indesinenter lacrimatur;*

[19] μηδὲ A. — [20] (π. τ. τῷ λ.) τ. τῷ λ. π. A. — [21] (ἐφ' οἷς - συμπ.) AΣΠ, om. F. — [22] (ἐν θ.) κατὰ θεὸν A. — [23] δυνηθῶ διορθώσασθαί A. — [24] μετενέχθης F; (οὐδὲ - μετ.) om. A. — [25] (πῶς - ἔτι) π. ἄρτι μετανοήσεις ἢ πῶς ἔτι συγχωρῆσαί σοι δυνήσομαι A. — [26] ἐπεκτείναντος A. — [27] om. A. — [28] σιλβάνου F *hic et bis infra; cf. Φ 104, adnot.* [1]. — [29] διορθοῦναι F, διορθώσασθαι A. — [30] (ἑ. τοῦ λ.) τοῦ λ. ἑ. A. — [31] αἰτήσατο F. — [32] (μὴ - πάλιν) πρὸς τὸ μὴ πάλ. τοῖς αὐ. ἐπιμεῖναι μετὰ τὸ ἀφ. αὐτόν A. — [33] εὐλαβοῦς ἀδελφοῦ add. A. — [34] μακάριος A. — [35] (ὑ. γ.) γ. πᾶσιν ὑ. A. — [36] (πᾶσιν - μεγ.) μικρ. τὲ καὶ μεγ. ἀδ. A.

3. — [1] om. A. — [2] (αὐ. τ. ἀρ.) τ. λοιπῶν ἀρ. αὐ. A. — [3] τοῦ F. — [4] ποτέ add. A. — [5] (καὶ ἐ. αὐ.) ἐσθίοντα A. — [6] (ἐ. τ. δ.) τ. δ. ἐ. A. — [7] (ἀλλὰ - δάκρ.) om. A. — [8] παραινούντων A. — [9] om. A; *in* F *sequuntur litterae 2 vel 3 erasae.* — [10] ἢ ὅλως τινῶν add. A. — [11] (πολλάκις - καὶ) τούτου χάρ. ἠθ. καὶ αὐτὸς ἐπ. πολλὰ ἀλλ' A. — [12] (φ. δὲ τ. ἀδ.) ἀντέφασκον δὲ πάλιν ἐκεῖνοι A. — [13] om. A. — [14] (π. ὁ.) ὁ. π. A. — [15] μετὰ τ. ἀ. om. A.

ἐσθίοντι [16] μετὰ [17] τῶν ἀδελφῶν [18] δύναται καὶ ἡ ψυχὴ χωρὶς [19] τῶν φαινομένων τούτων δακρύων πάντοτε κλαίειν. Βουλόμεθα οὖν γνῶναι τί ἐνθυμούμενος ἀδιαλείπτως βρέχῃ τοῖς δάκρυσιν, ὥστε πολλοὺς ἐξ ἡμῶν [20] βλέποντάς σε [21] διατρέπεσθαι [22] εἰς κόρον φαγεῖν », ὁ δὲ φησιν [23] πρὸς τοὺς ἐρωτῶντας αὐτόν [24] · « Οὐ θέλετε ἵνα κλαύσω, βλέπων ἁγίους ὑπηρετοῦντάς μοι, ὧν καὶ τοῦ κονιορτοῦ τῶν ποδῶν οὐκ εἰμὶ ἄξιος [25] ; Οὐκ ὤφειλον οὖν πενθεῖν [26] ἐμαυτὸν ὅτι ἀπὸ θυμέλης ἄνθρωπος ὑπηρετοῦμαι ἀπὸ [27] τοιούτων ἁγίων ἀνδρῶν ; Κλαίω οὖν, ἀδελφοί μου, φοβούμενος
Num. 16,32. μήπως [28] καταποθῶ ὡς ὁ [29] Δαθὰν καὶ Ἀβειρών, μάλιστα ὅτι ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν γενόμενος [30], τῆς κατὰ ψυχὴν σωτηρίας [31] οὐκ ἐφρόντισα [32], ὡς κινδυνεῦσαί με ἐκβληθῆναι ἀπὸ τῶν ἀδελφῶν καὶ ἐγγύας [33] δοῦναί με [34] μετὰ φρικωδεστάτων ὅρκων, ὑπὲρ τοῦ μηκέτι καταφρονῆσαι τῆς ζωῆς μου. Διὰ τοῦτο οὐκ
Cf. Ps. 50,3. ἐπαισχύνομαι τὰ τοιαῦτα μετελθεῖν [35] · οἶδα γὰρ ἐγὼ [34] τὰς ἁμαρτίας μου · ὑπὲρ ὧν εἰ καὶ ἔκδοτον ἦν δοῦναι [36] τὴν ψυχήν μου, οὐκ ἔστιν μοι χάρις. »

a Pachomio laudatur. **4.** Τούτου οὖν οὕτως [1] ἀγωνιζομένου, διεμαρτύρατο [2] περὶ αὐτοῦ ὁ μέγας ἐπὶ πάντων τῶν ἀδελφῶν οὕτως λέγων [3] · « Ἰδοὺ διαμαρ-
I Tim. 5,21. τύρομαι ἐνώπιον τοῦ Θεοῦ, ἀδελφοί, ὅτι ἀφ' οὗ τὸ κοινόβιον τοῦτο γέγονεν, οὐδεὶς ἐκ πάντων τῶν συνόντων μοι ἀδελφῶν ἐμιμήσατο τὸν χαρακτῆρά μου παντελῶς, εἰ μὴ εἷς μόνον [4]. » Ἀκούσαντες δὲ ταῦτα οἱ ἀδελφοί, οἱ μὲν ᾤοντο τὸν ἕνα ὃν ἔλεγεν εἶναι Θεόδωρον [5], ἄλλοι δὲ Πετρώνιον ἢ [6] Ὡρσίσιον [7]. Ἐρωτήσαντος δὲ τοῦ [8] Θεοδώρου τὸν ἅγιον περὶ τίνος [9] ἔλεγεν [10] τοῦτο, οὐκ ἠθέλησεν ὁ μέγας εἰπεῖν. Ἐπιμείναντος δὲ [11] καὶ τῶν ἄλλων τῶν μεγάλων ἀδελφῶν [8] παρακαλούντων μαθεῖν τίς ἂν εἴη, ἀπεκρίθη ὁ μέγας λέγων [12] · « Εἰ [13] ᾔδειν ὅτι κενοδοξεῖν ἔχει [14] περὶ οὗ μέλλω λέγειν ἐπαινούμενος [15], οὐκ ἂν συνέστησα τὸν τοιοῦτον · ἀλλ' ἐπειδὴ οἶδα ὅτι [16] ἐπαι-

[16] ἐσθίοντα A. — [17] om. F. — [18] ἐπικρατεῖν add. A (*cf. ΣΠ*). — [19] δύν. γὰρ ψ. καὶ χ. A. — [20] οὕτω add. A. — [21] (βλ. σε) σε βλ. A. — [22] διατραπῆναι A. — [23] (ὁ δέ φ.) ἀπεκρίθη οὖν A. — [24] ὁ σιλβανός A. — [25] (οὐκ εἰμὶ ἄ.) ἀνάξιός εἰμι A. — [26] πῶς γὰρ οὐκ ὀφείλω π. A. — [27] ὑπὸ A. — [28] (φ. μ.) μήποτε A. — [29] om. A. — [30] εἰς γνῶσιν ἐλθὼν A. — [31] τὸ πρότερον add. A. — [32] ἐφρόντιζον A. — [33] ἐγγύην A. — [34] om. A. — [35] (τὰ τ. μ.) πενθῶν ἐμαυτόν A. — [36] (ἦν δ.) ποιήσομαι A .

4. — [1] οὕτω καλῶς A. — [2] ποτε add. A. — [3] (οὕ. λ.) λ. οὕ. A. — [4] εἰ μὴ μόνος εἷς A. — [5] ὤοντο θεόδ. εἶναι δν λέγει A. — [6] ἄλλοι δὲ A. — [7] ὀρσίσιον A. — [8] om. A. — [9] αὐτῶν add. A. — [10] εἰρήκει A. — [11] ἐπιμεινάντων δὲ F ; θεοδώρου add. AΣΠ. — [12] (ὁ μ. λ.) λ. ἐκεῖνος A. — [13] μὲν add. A. — [14] εἶχεν A. — [15] ἐπ. περὶ οὗ μ. λέγ. A. — [16] ὡς A.

νούμενος μᾶλλον ταπεινοῖ ἑαυτὸν [17] καὶ ἐξευτελίζει [18] πλέον, διὰ τοῦτο πρὸς τὸ μιμεῖσθαι ὑμᾶς [19] τὸν τρόπον αὐτοῦ ἀφόβως ἐπὶ πάντων ὑμῶν μακαρίσω αὐτόν. Σὺ μὲν γάρ [20], Θεόδωρε, καὶ ὅσοι εἰσὶν κατὰ σὲ ἐν τῇ μονῇ ἀγωνιζόμενοι [21], δήσαντες τὸν διάβολον Cf. Iob 40, 24.
ὥσπερ [22] στρουθίον ὑπὸ τοὺς πόδας ὑμῶν ἔθεσθε, καὶ καθ' ἑκάστην καταπατεῖτε αὐτὸν ὡς χῶμα [23] · ἀλλ' ἐὰν ἀμελήσητε [24] ἑαυτῶν, ἀναστὰς ὁ ὑπὸ τοὺς πόδας ὑμῶν κείμενος διάβολος φεύξεται καὶ πάλιν καθ' ὑμῶν στρατεύσεται [25]. Ὁ δὲ νεώτερος [26] Σιλβανός, ὁ πρὸ χρόνου ὀλίγου ἐκβάλλεσθαι τῆς μονῆς παρ' ἐμοῦ μέλλων [27] διὰ τὴν ἀμέλειαν αὐτοῦ, ἐχειρώσατο παντελῶς τὸν διάβολον καὶ ἐξηφάνισεν αὐτόν, ὡς μὴ δύνασθαι ἔτι φανῆναι παρ' αὐτῷ, τῇ ὑπερβολῇ τῆς αὐτοῦ ταπεινοφροσύνης [28] εἰς τέλος νικήσας αὐτόν [29]. Καὶ ὑμεῖς μὲν [30] ταπεινοῦντες ἑαυτούς, ὡς ἔχοντες ἔργα δικαιοσύνης καὶ ὡς προσθήκην ποιούμενοι τῆς ἑαυτῶν ἀρετῆς ἑαυτοὺς ταπεινοῦτε [31], θαρροῦντες [32] οἷς ἤδη ἐπράξατε [33]. Οὗτος δὲ ὅσον ἀγωνίζεται, τοσοῦτον ἑαυτὸν ἀδόκιμον ἀποφαίνεται [34], ἐξ ὅλης ψυχῆς αὐτοῦ [35] καὶ διανοίας ἄχρειον [35*] ἑαυτὸν καὶ εὐτελῆ ἐνθυμούμενος [36] εἶναι [35]. Διὰ τοῦτο γὰρ [35] καὶ τὸ δακρύειν [37] πρόχειρον ἔχει, ἐκ τοῦ πάνυ ἑαυτὸν ἐξευτελίζειν [38], καὶ τῶν ὁρωμένων ἑαυτὸν [39] ἀνάξιον εἶναι λέγων [40]. Ὥστε ὑμεῖς μὲν καὶ τῇ γνώσει καὶ τῇ ὑπομονῇ καὶ τοῖς κατὰ τοῦ Σατανᾶ ἀμετρήτοις ἀγῶσιν [41] ὑπερέχετε αὐτοῦ [42] · ὁ δὲ τῇ ταπεινοφροσύνῃ ὑπερεπήδησεν ὑμᾶς. Οὐδὲν γὰρ ἄλλο οὕτως [43] τὸν διάβολον ἐκνευροῖ, ὡς ἡ μετὰ πρακτικῆς δυνάμεως ἐξ ὅλης ψυχῆς [44] γινομένη ταπεινοφροσύνη [45]. » Οὕτως [46] ἀγωνιζόμενος [47] ἐν ὅλοις ὀκτὼ [48] ἔτεσιν, ἐτελείωσεν [49] αὐτοῦ [50] τὸν ἀγῶνα καταπαύσας [51] αὐτοῦ τὸν βίον, ὡς μαρτυρῆσαι περὶ τῆς ἐξόδου αὐτοῦ τὸν τοῦ Θεοῦ θεράποντα [52], ὅτι πλῆθος ἄπειρον τῶν ἁγίων ἀγγέλων [53] μετὰ χαρᾶς μεγάλης καὶ ψαλμῳδίας τὴν *Silvani beatus obitus.*

[17] (τ. ἑ.) ἑ. τ. A. — [18] ἐξουθενίζει A. — [19] τὸν βίον καὶ add. A. — [20] φησι add. A. — [21] ἀγ. ἐν τῇ μ. A. — [22] ὡς A. — [23] χοῦν A. — [24] ἀμελήσετε A. — [25] (καὶ πάλ. καθ' ὑμ. στρ.) AΣΠ, om. F. — [26] οὗτος add. A. — [27] (παρ' ἐ. μ.) μ. παρ' ἐ. A. — [28] (αὐ. τ.) τ. αὐ. A. — [29] (εἰς τ. ν. αὐ.) παντελῶς ἡττηθέντα καὶ ἐκλείποντα A. — [30] (καὶ ὑ. μ.) ὑ. μ. γὰρ A. — [31] (έ. τ.) τοῦτο ποιεῖτε A. — [32] καὶ θαρρεῖτε A. — [33] διεπράξατε A. — [34] οἴεται A. — [35] om. A. — [35*] ἀχρεῖον A. — [36] λογιζόμενος A. — [37] δάκρυον A. — [38] εὐτελίζειν A. — [39] ὑπ' αὐτοῦ πάντων A. — [40] (εἶ. λ.) λέγειν εἶναι A. — [41] τοῖς ἀμετρ. ἀγωνίσμασιν ὑμῶν κατὰ τοῦ διαβόλου A. — [42] σιλβανοῦ A. — [43] (ἄ. οὕ.) οὕ. ἄ. A. — [44] ἐξ ὅ. ψ. om. A. — [45] ταπείνωσις A. — [46] οὖν add. A. — [47] σιλβανὸς add. A. — [48] *sic etiam ΣΠ; ἑπτὰ ΦΓ;* μετὰ τὴν ἐπιστροφήν add. A. — [49] ἐτέλεσε A. — [50] om. A. — [51] ἀναπαύσας A. — [52] ὡς μαρτ. τὸν τοῦ θεοῦ θερ. παχώμιον περὶ τῆς ἐξ. αὐ. A. — [53] πλ. ἀγγ. ἀπείρων A.

ψυχὴν αὐτοῦ λαβόντες, ὡς ἐκλεκτὴν θυσίαν καὶ ὡς [54] παράδοξον ἐν [54] ἀνθρώποις εὑρεθὲν Θεοῦ [54] θυμίαμα προσήνεγκαν τῷ Θεῷ.

γ'. Περὶ τοῦ ἄνευ [1] ψαλμῶν ταφέντος ἀδελφοῦ.

Super mortuum fratrem psalli vetat Pachomius,

5. Ἐγένετό ποτε τῷ ἁγίῳ πατρὶ ἡμῶν Παχουμίῳ ἀπελθεῖν [2] εἰς ἕτερον [3] μοναστήριον ἐπὶ τὸ ἐπισκέψασθαι τοὺς ἐκεῖσε ἀδελφούς. Ἀπερχόμενος δέ, ἀπήντησεν [4] προκομιδήν [5] τινος ἀδελφοῦ κοιμηθέντος ἐκ τῆς μονῆς ἐκείνης. Ἦσαν δὲ [6] πάντες οἱ ἀδελφοὶ τῆς μονῆς ἐκείνης [7] ἀκολουθοῦντες τῷ ἐξοδίῳ καὶ ψάλλοντες. Ἦσαν δὲ καὶ μετ' αὐτῶν [8] καὶ οἱ γονεῖς καὶ οἱ συγγενεῖς τοῦ κοιμηθέντος [9]. Ἰδόντες δὲ [6] οἱ ἀδελφοὶ μήκοθεν τὸν ἅγιον ἐρχόμενον [10] πρὸς αὐτούς, ἀπέθεντο τὸν κράβαττον εἰς τὴν γῆν, ἵνα [11] ἐλθὼν ὁ ἅγιος εὔξεται [12] ἐπάνω [13] αὐτοῦ. Στήκοντες οὖν [14] οἱ ἀδελφοὶ ἔψαλλον μετὰ τῶν κοσμικῶν. Ἐλθὼν οὖν [15] καὶ εὐξάμενος ὁ μακάριος [16] ἐκέλευσεν τοῖς ἀδελφοῖς μηκέτι ψάλλειν ἔμπροσθεν αὐτοῦ. Καὶ ποιήσας ἐνεχθῆναι τὰ ἱμάτια τοῦ κοιμηθέντος [17], κελεύει ἔμπροσθεν πάντων καῆναι αὐτά. Καὶ καυθέντων αὐτῶν, προσέταξεν ἀρθῆναι τὸ σκήνωμα καὶ [18] ἄνευ ψαλμῳδίας κηδευθῆναι αὐτόν [19]. Τῶν δὲ ἀδελφῶν καὶ τῶν γονέων [20] τοῦ τετελευτηκότος [21] ῥιψάντων ἑαυτοὺς ὑπὸ τοὺς πόδας αὐτοῦ [22] καὶ ἱκετευόντων [23] συγχωρηθῆναι [24] ψάλλεσθαι αὐτόν [25], οὐκ ἠνέσχετο. Τῶν δὲ γονέων αὐτοῦ λεγόντων [26] · « Τί ποιεῖς, ὦ πάτερ, τὸ καινὸν [27] καὶ ἀθέμιτον πρᾶγμα [28] προσάπτων [29] τῷ υἱῷ ἡμῶν [30] ; Οὐ πρέπει τῇ σῇ ἁγιότητι τοιαύτην ἀσπλαγχνίαν [31] ἐπιδείξασθαι εἰς τὸν νεκρὸν τοῦτον [32], ὡς καὶ βαρβάρων ὠμότητα ἄγειν εἰς οἶκτον καὶ συμπάθειαν δύναται [33]. Οἶδεν [34] καὶ ἐχθρὸς ὁρῶν τοῦ ἀντιδίκου αὐτοῦ τὸ

consanguineis nequiquam deprecantibus;

[54] om. A.

5. — [1] δίχα A. — [2] (ἐγέν. - ἀπ.) ἀπερχόμενος ὁ ἅγιος πατὴρ ἡμ. παχώμιος A. — [3] αὐτοῦ add. A. — [4] (ἀπ. δὲ ἀπ.) συνήντησε A. — [5] προκομιδῆ A. — [6] οὖν A. — [7] om. A. — [8] καὶ μετ' αὐ. om. A. — [9] μετ' αὐτῶν add. A. — [10] (μήκ. τ. ἄ. ἐ.) τ. ἄ. ἐ. μ. A. — [11] ὡς ἂν A. — [12] εὔξηται A. — [13] ὑπὲρ A. — [14] δὲ A. — [15] δὲ ὁ ἅγιος A. — [16] ὁ μ. om. A. — [17] (καὶ ποι. - κοιμ.) ποι. δὲ καὶ τὰ ἱμ. τοῦ κοιμ. ἐνεχθ. A. — [18] ἀρθ. τὸ σκ. καὶ om. A. — [19] τὸ σκήνωμα A. — [20] τῶν δὲ συγγενῶν A. — [21] τελευτηκότος F. — [22] τοῦ ἁγίου A. — [23] αὐτὸν τοῦ add. A. — [24] συγχωρῆσαι A. — [25] τὸν ἀποιχόμενον A. — [26] (τῶν - λεγ.) ἔλεγον οὖν οἱ γονεῖς αὐτοῦ A. — [27] τοῦτο add. A. — [28] ὄνειδος A. — [29] περιάπτων A. — [30] (τῷ υ. ἡ.) ἡμῖν A. — [31] ἀσπλαχνίαν F *hic et infra.* — [32] ἐν τῷ νεκρῷ τούτῳ ἐνδείξασθαι A. — [33] ὃς καὶ βαρβ. ἀγριότητα δύναται πρὸς οἰκ. καὶ συμπ. ἀγαγεῖν A. — [34] ὅθεν F.

σκήνωμα ἀκίνητον [35] καὶ ἄφθογγον κείμενον, οἰκτειρῆσαι [36] πολλάκις. Καινότερον θέαμα εἴδαμεν νῦν [37] παρ' ὑμῖν τοῖς χριστιανοῖς, ὃ οὐδὲ [38] παρὰ βαρβάροις ὤφθη ποτέ. Διὰ τῆς τοιαύτης ἀσπλαγχνίας ὄνειδος ἀνεξάλειπτον τῷ γένει ἡμῶν προσάπτεις [39]. Εἴθε μὴ εἴδαμέν [40] σε σήμερον, ἵνα μὴ ὁ οἶκος ἡμῶν διὰ σοῦ αἰώνιον μῶμον κληρονομήσῃ [41]. Εἴθε μὴ μετῆλθεν τὸν ἀγριώτατον βίον τοῦτον [42] ὁ ἄθλιος [43] υἱὸς ἡμῶν · οὐ γὰρ ἂν κατέλειψεν τὴν αἰώνιον ταύτην ὀδύνην [44]. Λεόμεθά σου, εἰ καὶ τὰ ἱμάτια αὐτοῦ ἐποίησας καῆναι [45], τὸν ψαλμὸν [46] συγχώρησον λεχθῆναι. »

quaenam sit vera in mortuos pietas ostendit.

6. Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτοῖς · « Ἀληθῶς, ἀδελφοί, πλέον ὑμῶν οἰκτειρῶ [1] τὸν κείμενον τοῦτον · καὶ περισσοτέραν φροντίδα ποιούμενος αὐτοῦ ὡς πατὴρ προσέταξα τοῦτο γενέσθαι. Ὑμεῖς [2] γὰρ τοῦ φαινομένου σκήνους τούτου [3] ποιεῖτε [4] φροντίδα · ἐγὼ δὲ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἀγωνίζομαι. Ἐὰν γὰρ ψάλητε αὐτῷ [5], πλείονες αὐτὸν διαδέξονται κολάσεις [6] ἀπαιτούμενον ὑπὲρ τοῦ ψαλμοῦ [7] λόγον, ὅτι οὐκ ἀπῆλθεν ἔχων μεθ' ἑαυτοῦ τῶν ψαλμῶν [8] τὴν δύναμιν. Εἰ δὲ ἀληθῶς θέλετε [9] προσθήκην αὐτῷ ποιεῖν [10] τῶν αἰωνίων ὀδυνῶν, ψάλατε [11] αὐτῷ [12] · ἀλλὰ [13] πλέον ὀδυνώμενος ἐκεῖ ὑπὲρ τοῦ ψαλμοῦ [14] καταράσεται ὑμᾶς [15]. Εἰδὼς οὖν ἐγὼ τὸ συμφέρον τῇ ψυχῇ αὐτοῦ, οὐκ ἐπιμελοῦμαι τοῦ σώματος αὐτοῦ [12] τοῦ νεκροῦ. Ἐὰν [16] γὰρ συγχωρήσω ὑμᾶς [15] ψάλλειν, ὡς ἀνθρωπάρεσκος εὑρίσκομαι παρὰ τῷ Θεῷ, ὅτι ἕνεκεν ἀνθρωπίνης πληροφορίας τὰ συμφέροντα [17] τῇ μελλούσῃ [18] ἐν κρίσει κολάζεσθαι ψυχῇ [19] κατεφρόνησα. Πηγὴ γὰρ ὑπάρχων ἀγαθότητος [20] ὁ Θεὸς ζητεῖ προφάσεις [21] δι' ὧν [22] δράξασθαι δυνηθῇ [23] τοῦ πηγάζειν εἰς ἡμᾶς τὰ τῆς ἑαυτοῦ χάριτος [24] ῥεῖθρα. Ἐὰν οὖν ἡμεῖς οἱ παρὰ τοῦ Θεοῦ καταξιωθέντες [25] τῆς θείας αὐτοῦ ἰατρικῆς ἔμ-

[35] οἶδε καὶ ἄσπονδος ἐχ. τὸ τοῦ ἀντ. αὐ. σκ. νεκρὸν ὁρῶν A. — [36] οἰκτείρειν A. — [37] καιν. νῦν θ. βλέπομεν A. — [38] μηδὲ A. — [39] ὄν. πρ. τῷ γ. ἡ. ἀν. A. — [40] εἴδομέν A. — [41] ἵνα μὴ μῶμ. αἰ. ἐκληρονόμησεν ὁ οἶκ. ἡμ. A. — [42] (β. τ.) τ. β. A. — [43] om. A. — [44] κατέλιπε τοιαύτην αἰ. ὀδ. ἡμῖν A. — [45] (ἐπ. κ.) καυθῆναι ἐπ. A. — [46] τοὺς ψαλμοὺς A.

6. — [1] οἰκτείρω A. — [2] μὲν add. A. — [3] (σκ. τ.) τ. σκ. A. — [4] ποιεῖσθε A. — [5] ἐπ' αὐ. A. — [6] (αὐ. δ. κ.) δ. κ. αὐ. A. — [7] ὑπὲρ τῶν ψαλλομένων A. — [8] ψαλλομένων A. — [9] εἰ μὲν οὖν θέλ. ἀλ. A. — [10] ποιῆσαι A. — [11] καὶ δὴ ψάλλετε A. — [12] om. A. — [13] εἰ δὲ μή, συγχωρήσατέ μοι ποιεῖν ὅσα οἶδα πρὸς ὠφέλειαν καὶ ἄνεσιν τοῦ ἀπελθόντος γινόμενα · ἐπ' ἀληθείας γὰρ λέγω ὑμῖν ὡς ἐὰν ψάλητε ἐπ' αὐτῷ A. — [14] τῶν ψαλμῶν A. — [15] ὑμῖν A. — [16] εἰ A. — [17] τοῦ συμφέροντος A. — [18] τῆς μελλούσης A. — [19] ψυχῆς A. — [20] (ὑπ. ἀγ.) ἀγ. τυγχάνων A. — [21] πρόφασιν A. — [22] δι' ἧς A. — [23] δύναται A. — [24] χρηστότητος A. — [25] οἱ κατ. παρὰ θ. A.

πειροι [26] εἶναι, μὴ τὸ ἐπιτήδειον βοήθημα ἑκάστῳ πάθει προσφέρωμεν, εἰκότως ἀκούομεν καταφρονηταὶ κατὰ τὸ γεγραμμένον [27] · Hab. 1, 5. Ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς πρὸς τὸ κουφισθῆναι αὐτὸν τῆς τιμωρίας [28], χωρὶς ψαλμῶν ἄρατε αὐτόν [29]. Οἶδεν γὰρ ὁ Θεός, ἀγαθὸς ὤν, ὑπὲρ ταύτης τῆς γεναμένης [30] αὐτῷ ἀτιμίας ἄνεσιν αὐτῷ παρασχεῖν καὶ [31] εἰς ζωὴν ἄνωθεν ἀνακαλέσασθαι αὐτόν [32]. Εἰ γὰρ ἤκουσέν μου πολλάκις νουθετηθεὶς παρ' ἐμοῦ [33], οὐκ ἂν ἔφθασεν εἰς ταῦτα [34]. » Καὶ ταῦτα εἰπόντος τοῦ μακαρίου, ἀπηνέχθη [35] εἰς τὸ ὄρος χωρὶς ψαλμῶν καὶ ἐτάφη.

6 a [1]. Ἐποίησε δὲ ὀλίγας ἡμέρας ἐν τῇ μονῇ ἐκείνῃ ὁ ἅγιος πατὴρ ἡμῶν, νουθετῶν καὶ διδάσκων ἕνα ἕκαστον τῶν ἀδελφῶν τὸν πρὸς τὸν Θεὸν φόβον καὶ πῶς δεῖ ἀγωνίζεσθαι πρὸς τὸν διάβολον καὶ ὅπως τὰς τούτου μεθοδείας καὶ μετεμπλοκὰς καταλαβόντες ὀξυδερκῶς ἀκυρώσωμεν αὐτοῦ τὰ καθ' ἡμῶν σπουδαζόμενα τῇ δυνάμει τοῦ Κυρίου [2].

δ' [1]. Ἐν ᾧ περὶ παραβαλλόντων πρὸς τὸν ἅγιον κακοδόξων ἀναχωρητῶν [2].

Hospites fetentes

7. Ἄλλοτε πάλιν διαλεγομένου τοῦ μεγάλου τοῖς ἀδελφοῖς περὶ ὠφελείας ψυχῆς [3], παραγενάμενος [4] ὁ θυρωρὸς λέγει αὐτῷ ὅτι · « Μεγάλοι ἄνδρες ἀναχωρηταὶ ἐλθόντες [5] θέλουσίν [6] σοι συντυχεῖν. » Ὁ δέ φησιν · « Κάλεσον αὐτοὺς ὧδε. » Εἰσελθόντων οὖν αὐτῶν [7] εἰς τὴν μονήν [8], ἠσπάσατο αὐτοὺς [9] μετὰ τῶν ἀδελφῶν. Μετὰ δὲ τὸ ἰδεῖν αὐτοὺς [9] πᾶσαν τὴν ἀδελφότητα [10] καὶ περιελθεῖν ὅλα τὰ κελλία τῶν ἀδελφῶν [11], ἠθέλησαν αὐτῷ κατ' ἰδίαν διαλεχθῆναι. Καθεσθέντων οὖν [12] αὐτῶν ἐν [13] κελλίῳ ἐφησυχάζοντι [14], ἀντελάβετο αὐτῶν μεγάλης δυσωδίας ὁ γέρων · οὐκ ἔγνω δὲ τὴν αἰτίαν τῆς τοσαύτης [15] δυσωδίας αὐτῶν [16], διὰ τὸ κατὰ πρόσωπον διαλεχθῆναι αὐτοῖς καὶ [17] μὴ δύνασθαι αὐτὸν [18] διὰ τῆς πρὸς Θεὸν

[26] ἔμπ. τῆς θ. αὐ. ἰατρείας A. — [27] εἰκ. ὡς καταφρ. ἀκουσόμεθα τὸ γεγρ. A. — [28] (πρὸς - τιμ.) om. A. — [29] πρὸς τὸ κουφ. τῆς τιμ. add. A. — [30] γενομένης A. — [31] om. A. — [32] εἰς ζ. αἰώνιον A. — [33] παρ' ἐ. om. A. — [34] τοῦτο A. — [35] τὸ σκήνωμα add. A.

6 a. — [1] *integrum cap.* om. F. — [2] *in cod.* A *sequuntur cap. 13-16.*

7. — [1] β' A. — [2] (ἐν ᾧ - ἀναχ.) om. F. — [3] (Ἄλλοτε - ψ.) ταῦτα διαλεγ. τοῦ ἁγίου γέροντος τοῖς ἀδ. A. — [4] παραγενόμενος A. — [5] ἦλθον A. — [6] θέλοντές A. — [7] εἰσελθόντας οὖν αὐτοὺς A. — [8] εἰς τ. μ. om. A. — [9] om. A. — [10] (π. τ. ἀ.) τ. ἀ. π. A. — [11] (τ. ἀ.) τῆς μονῆς A. — [12] δὲ A. — [13] τινι add. A. — [14] ἐπ' ἡσυχάζοντι F, ἡσύχω καὶ ὁμιλούντων A. — [15] τοιαύτης A. — [16] ὁ ἅγιος A. — [17] κατὰ πρ. δ. αὐ. καὶ om. A. — [18] αὐτὴν A.

ἐντεύξεως τὴν αἰτίαν [19] μαθεῖν [20]. Ὁρῶν δὲ αὐτῶν τὸν προφορικὸν λόγον καὶ τὴν ἕξιν εἰθισμένην ἐν ταῖς γραφαῖς [21], ἠπόρει περὶ τῆς νοσερᾶς αὐτῶν [22] δυσωδίας. Μετὰ δὲ τὸ πολλὰ αὐτοῖς [23] διαλεχθῆναι ἐκ τῶν ἁγίων γραφῶν ὁ μέγας [24] καὶ λοιπὸν φθάσαι τὴν ὥραν τῆς ἐννάτης, ἀνέστησαν ἐπὶ τὸ ἀπελθεῖν εἰς τὰ ἴδια [25]. Παρακληθέντες δὲ [22] ὑπὸ τοῦ ἁγίου [26] ἐπὶ [27] τὸ γεύσασθαι αὐτοὺς ἐκεῖ, οὐ συνέθεντο [28] · σπουδὴν γὰρ εἶχον πρὸ τῆς δύσεως τοῦ ἡλίου καταλαβεῖν [29] τὸν τόπον αὐτῶν. Εὐξάμενοι δὲ καὶ συνταξάμενοι [30] ἀπῆλθον. Ὁ δὲ μέγας ὑπὲρ τοῦ μαθεῖν τὴν αἰτίαν τῆς δυσωδίας ἐκείνων [31] εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ καὶ παρεκάλεσεν τὸν Θεὸν [32] τοῦ γνωρίσαι αὐτῷ τὴν τῆς δυσωδίας αἰτίαν. Καὶ ἐλθὼν ἄγγελος Κυρίου λέγει αὐτῷ [33] ὅτι · « Δόγματα ἀσεβείας ἦν ἐν τῇ ψυχῇ [34] αὐτῶν Ὠριγένους [35], τὰ [36] τὴν [36] τοσαύτην δυσωδίαν ποιοῦντα [37]. Ἀλλὰ τάχιον πέμψας ὑπόστρεψον τοὺς ἄνδρας καὶ διαμάρτυραι αὐτοῖς τοῦ μηκέτι ἐνέχεσθαι τῶν τοιούτων βλαβερῶν καὶ ψυχοφθόρων δογμάτων, ἐπεὶ εἰς ἀπώλειαν ἔσονται [38]. » Παραχρῆμα οὖν ἐξελθὼν ἐκ τοῦ κελλίου αὐτοῦ [39], κατεδίωξεν τοὺς ἀνθρώπους ἐκείνους [40] διά τινος ἀδελφοῦ [41] · καὶ ὑποστρέψας [42] αὐτοὺς [36] λέγει αὐτοῖς · « Θέλω ὑμᾶς ἐρωτῆσαι λόγον. » Οἱ δὲ εἶπαν [43] · « Λέγε. » Ὁ δέ φησιν πρὸς αὐτούς · « Τοῦ λεγομένου Ὠριγένους τὰ συγγράμματα [44] ὑμεῖς ἀναγινώσκετε ; » Οἱ δὲ ἀκούσαντες ἠρνήσαντο λέγοντες · « Οὐχί. » Ὁ δὲ ἅγιος εἶπεν αὐτοῖς « Ἰδοὺ διαμαρτύρομαι ὑμῖν [45] ἐνώπιον τοῦ Θεοῦ, ὅτι πᾶς ἄνθρωπος ἀναγινώσκων Ὠριγένην καὶ δεχόμενος τὰ συγγράμματα αὐτοῦ [46] εἰς πυθμένα ᾅδου μέλλει καταντᾶν · καὶ ἡ κληρονομία αὐτοῦ ἐστιν τὸ σκότος [47] τὸ ἐξώτερον [48], ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων [49]. Ὃ οὖν ἐγνωρίσθη [50] μοι παρὰ [51] τοῦ Θεοῦ, ἐμαρτυ-

Origenistas esse ab angelo docetur.

Dan. 3, 29.

Prov. 14, 12.

Mt. 8, 12.

I Tim. 5, 21.

[19] (τ. αἰ.) τοῦτο A. — [20] συγκαθεζόμενος καὶ συνδιαλεγόμενος τοῖς ἀνθρώποις *add.* A. — [21] καὶ τὴν λέξιν ἠνθισμένην ἐκ τῶν γραφῶν A. — [22] om. A. — [23] αὐτοὺς A. — [24] (ἐκ - μέγ.) om. A. — [25] τὴν ὥραν τῆς πρὸς τὰ ἴδια ἐπαναλύσεως A. — [26] μεγάλου A. — [27] πρὸς A. — [28] συγκατέθεντο A. — [29] σπ. ἔχοντες πρὸ τῆς ἡλ. δύσ. καταλαβέσθαι A. — [30] ἀποταξάμενοι αὐτῷ A. — [31] ἐκείνης A. — [32] (παρ. τ. θ.) εὐξάμενος τῷ θεῷ A. — [33] (τοῦ γνωρ. - λέγει αὐτῷ) εὐθέως ἔγνω ΑΣΠ. — [34] (ἐν τῇ ψ.) τὰ ἐκ τῆς ψυχῆς A. — [35] om. ΑΣΠ. — [36] om. A. — [37] ἐκπέμποντα A. — [38] (ἀλλὰ τάχ. - ἔσονται) om. ΑΣΠ. — [39] ἐκ τ. κ. αὐ. om. A. — [40] (τοὺς ἀ. ἐ.) αὐτοὺς A. — [41] διὰ τ. ἀδ. om. ΑΣΠ. — [42] καταλαβὼν ΑΣΠ. — [43] εἶπον A. — [44] (τοῦ λεγ. ὠριγ. τὰ σ.) μή τινων αἱρετικῶν συντάγματα A. — [45] ὑμᾶς A. — [46] πᾶς ἄνθρ. αἱρετικῶν ἀναγ. δόγματα A. — [47] (ἐ. τὸ σκ.) σκ. ἐ. A. — [48] αἰώνιον A. — [49] (ὅπου - ὀδ.) om. ΑΣΠ. — [50] ἐγνώσθη A. — [51] ὑπὸ A.

Cf. Mt. 27,24. ράμην ὑμῖν · ἀνεύθυνος οὖν εἰμι πρὸς τὸν Θεὸν ὑπὲρ τούτου. Ὑμεῖς ὄψεσθε · ἰδοὺ ἠκούσατε τὴν ἀλήθειαν. Εἰ δὲ πιστεύετέ μοι καὶ θέλετε ἀληθῶς ἀναπαῦσαι τὸν Θεόν [52], ὅλα τὰ βιβλία Ὠριγένους [53] ἃ ἔχετε [54] λαβόντες εἰς τὸν ποταμὸν ῥίψατε καὶ μηκέτι θελήσατε [55] ἀναγνῶναι αὐτὰ καὶ κατ' ἐξαίρετον [56] τὰ βλάσφημα [57]. » Καὶ ταῦτα εἰπὼν ἀπέλυσεν [58] αὐτούς [59].

ε'. Περὶ τοῦ θέλοντος μαρτυρῆσαι ἀδελφοῦ.

Monachus martyrium temere appetens

8. Ἦν τις ἀδελφὸς ἀσκήσας καθ' ἑαυτόν, τῶν πάνυ ἐπισήμων [1]. Οὗτος ἀκούσας τὸν θεῖον βίον τοῦ μεγάλου Παχουμίου [2], παρεκάλεσεν [3] δέξασθαι αὐτὸν εἰς τὸ κοινόβιον. Δεξαμένου δὲ αὐτὸν τοῦ μεγάλου [4], ποιήσας ὀλίγον χρόνον μετὰ τῶν ἀδελφῶν ἐπεθύμει [5] μαρτυρῆσαι, τοῦ κόσμου [6] εἰρηνεύοντος καὶ τῆς ἐκκλησίας προκοπτούσης καὶ τῇ τοῦ Θεοῦ χάριτι εἰρηνευούσης [7], Κωνσταντίνου τοῦ μακαρίου καὶ χριστοφόρου τότε βασιλεύοντος [8]. Οὗτος [9] οὖν [10] συνεχῶς παρεκάλει τὸν μακάριον λέγων [10] · « Ἔδξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ [11], ἵνα γένωμαι μάρτυς. » Ὁ δὲ μέγας ἐνουθέτει αὐτὸν λέγων [10] · « Μὴ συγχωρήσῃς ἔτι τὸν λογισμὸν τοῦτον ἐμβληθῆναι [12] εἰς τὴν καρδίαν σου [13]. » Ἔλεγεν δὲ αὐτῷ · « Ἀδελφέ, ὑπόμεινον τὸν ἀγῶνα τοῦ μοναχοῦ [14] γενναίως καὶ ἀμώμως, κατὰ τὴν τοῦ Κυρίου [15] εὐαρέστησιν τὸν βίον σου κατορθώσας [16], καὶ [10] ἕξεις ἐν οὐρανοῖς τὴν μετὰ [17] μαρτύρων κοινωνίαν. » Ἐκείνου δὲ καθ' ἑκάστην ἐπιτείνοντος τὴν ἐπιθυμίαν εἰς τοῦτο καὶ ὀχλοῦντος τὸν ἅγιον ἵνα εὔξηται ὑπὲρ αὐτοῦ [18], ἀποσεισάμενος τὴν ὄχλησιν αὐτοῦ ὁ μέγας [19] εἶπεν αὐτῷ · « Ἔστω, ἐγὼ εὔχομαι · πλὴν εἰ τοῦτο θέλεις, καταλήψεταί σε. Ἀσφαλίζου δὲ ἑαυτόν [20], μήποτε ἐλθού-

[52] χριστὸν A. — [53] τῶν αἱρετικῶν A. — [54] ἃ ἔχ. om. A. — [55] θελήσητε A. — [56] καθεξαίρετον F. — [57] καὶ κατ' ἐξ. τὰ βλ. om. ΑΣΠ. — [58] κατέλιπεν ΑΣΠ. — [59] *in cod. A sequuntur cap. 17-23.*

8. — [1] ς', περὶ τοῦ θύσαντος μετὰ τῶν βαρβάρων · ἦν ἀδελφός τις καθ' ἑαυτὸν ἀσκούμενος ἐκ νεότητος A. — [2] τὸν θεῖον τοῦ πατρὸς ἡμῶν παχ. βίον A. — [3] ἐλθὼν add. A. — [4] ἁγίου πατρὸς A. — [5] εἰς ἐπιθυμίαν ἦλθε παρὰ τὸ εἰκὸς τοῦ A. — [6] παντὸς add. A. — [7] εἰρ. τῇ τοῦ θ. χάρ. A. — [8] (κωνστ. - βασιλ.) om. A. — [9] ἐκεῖνος A. — [10] om. A. — [11] (ὑ. ἐ. ἀ.) ἀ. ὑ. ἐ. A. — [12] ἐκβληθῆναι F. — [13] μὴ συγχωρῆσαι τῷ λογισμῷ ἔτι τούτω εἰς τὴν κ. αὐτοῦ ἐμβλ. A. — [14] τοῦ μον. τὸν ἀγ. A. — [15] (τοῦ κ.) χριστοῦ A. — [16] (τὸν β. σ. κ.) κατ. τὸν β. A. — [17] τῶν add. A. — [18] τούτου A. — [19] ἀποσείσασθαι βουλόμενος ὁ μέγ. τὴν τοιαύτην ὄχλ. ΑΣΠ. — [20] σεαυτόν A.

σης τῆς ὥρας [21], ἀντὶ τοῦ μαρτυρῆσαι εὑρεθῇς ἀρνούμενος τὸν Χριστόν. Ἀληθῶς γὰρ σφάλλῃ βουλόμενος ἑαυτὸν βαλεῖν [22] εἰς πειρασμόν, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κελεύοντος ἡμῖν [23] προσεύχεσθαι μὴ ἐμπεσεῖν εἰς πειρασμόν. » Καὶ ταῦτα εἰπὼν αὐτῷ [23], παρήγγειλεν αὐτῷ ἀσφαλίζεσθαι [24] ἑαυτὸν καὶ φρονεῖν τοῦτο μηκέτι [25]. Luc. 22,40.

9. Ἐγένετο δὲ μετὰ δύο ἔτη ἀποσταλῆναί [1] τινας τῶν ἀδελφῶν ἀπὸ [2] τοῦ μεγάλου εἰς ἀνωτέραν αὐτῶν κώμην θρύα συλλέξαι εἰς λόγον [3] ψιαθίων τῆς μονῆς. Αὕτη δὲ ἡ κώμη πρόσκειται τοῖς βαρβάροις τοῖς λεγομένοις [4] Βλέμμυες. Καὶ ὄντων [5] ἔτι ἐκεῖσε τῶν ἀδελφῶν [6] περὶ νῆσόν τινα ἐν ᾗ [7] πολλὰ θρύα ὑπῆρχεν [8], ἀπέστειλεν πρὸς αὐτοὺς ὁ μακάριος τὸν ἀδελφὸν τὸν ἐπιθυμοῦντα μαρτυρῆσαι, δαπάνας ὀλίγας ἀπενεγκεῖν τοῖς ἀδελφοῖς [9], παραγγείλας αὐτῷ [10] ἀσφαλίσασθαι ἑαυτὸν [11] καὶ εἰπὼν τὸ γεγραμμένον [12] δι' αἰνίγματος ὅτι [10] · « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος [13], νῦν ἡμέρα σωτηρίας · μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία. » Ὁ δὲ λαβὼν τὸν [10] ὄνον γεγομωμένον [14] δαπανῶν [15], πρὸς τοὺς ἀδελφοὺς ἐπορεύετο. Γενομένου δὲ αὐτοῦ [16] περὶ τὴν ἔρημον, κατελθόντες οἱ βάρβαροι ἐπὶ τὸ ὑδρεύσασθαι ἅπαντῶσιν αὐτῷ · καὶ κατενέγκαντες αὐτὸν ἀπὸ τοῦ ὄνου [17], ἔδησαν τὰς χεῖρας αὐτοῦ [18] · καὶ λαβόντες τὸν ὄνον μετὰ τῶν σκευῶν, ἀνήνεγκαν [19] αὐτὸν [20] εἰς τὸ ὄρος πρὸς τοὺς ἄλλους βαρβάρους. Ἰδόντες δὲ οἱ βάρβαροι ἐρχόμενον αὐτὸν [20*] μετὰ τοῦ ὄνου, ἤρξαντο χλευάζειν [21] αὐτὸν [20] λέγοντες · « Μονάζον, ἐλθὲ καὶ προσκύνησον τοῖς θεοῖς ἡμῶν. » Σφαξάντων δὲ αὐτῶν [22] ζῷα, σπονδὰς ἐποίησαν [23] τοῖς εἰδώλοις αὐτῶν. Καὶ ἀγαγόντες τὸν μοναχόν, ἠνάγκαζον αὐτὸν [20] συνσπεῖσαι [24] αὐτοῖς. Μὴ βουλομένου [25] δὲ αὐτοῦ [20] τοῦτο ποιῆσαι, μετὰ θυμοῦ προσῆλθαν αὐτῷ κατέχοντες γυμνὰ τὰ ξίφη [26] αὐτῶν [20] καὶ ἀπειλοῦντες ὡς [20], εἰ μὴ βούλοιτο

a barbaris capitur

et idolis libare compellitur;

[21] (ἐλθ. τ. ὥ.) τ. ὥ. ἐ. A. — [22] ἐσφάλης αὐτομολεῖν βουλ. A. — [23] om. A. — [24] ἀσφαλίσασθαι A. — [25] (φρ. τ. μ.) μ. τ. φρ. A.

9. — [1] σταλῆναί A. — [2] παρὰ A. — [3] (εἰς λ.) λόγω τῶν A. — [4] (τ. λ.) οἳ λέγονται A. — [5] τυγχανόντων A. — [6] (ἐκ. τ. ἀδ.) τ. ἀδ. ἐκ. A. — [7] (περὶ - ᾗ) καθ' ὃ A. — [8] ἐν αὐτῇ add. A. — [9] ἀπέστ. ὁ μακ. πρὸς αὐ. ὀλίγας ἀπεν. δαπ. αὐτοῖς τὸν ἐπιθ. μαρτ. ἀδελφόν A. — [10] om. A. — [11] (ἀ. ἑ.) ἑ. ἀ. A. — [12] ἐκεῖνο add. A. — [13] ἰδοὺ add. A. — [14] πεφορτωμένον A. — [15] δαπάνας A. — [16] γενομένω δὲ αὐτῶ A. — [17] (κατελθ. - ὄνου) ἀπαντῶσιν οἱ β. κατελθ. τοῦ ὄρους ἐπὶ τῶ ὑδρ. · κατενεγκόντες δὲ αὐτὸν τοῦ ζώου A. — [18] ἔδ.τ. χ. αὐ. om. A. — [19] ἀπήνεγκαν A. — [20] om. A. — [20*] (ἰδ. - αὐ.) οἳ καὶ ἰδ. αὐ. A. — [21] (ἤ. χλ.) χλ. ἤ. A. — [22] σφάξαντες δὲ οἱ βάρβαροι A. — [23] ἐποίουν A. — [24] σπεῖσαι A. — [25] βουλόμενον A. — [26] προσῆλθον ἐπισείοντες τὰ ξ. γ. A.

θῦσαι τοῖς θεοῖς αὐτῶν καὶ σπεῖσαι αὐτοῖς [27] σπονδάς, εὐθὺς ἀνελεῖν αὐτόν [27*]. Ὁ δὲ ἰδὼν γυμνὰ τὰ ξίφη αὐτῶν καὶ πτοηθεὶς αὐτῶν τὸ ἄγριον, εὐθὺς λαβὼν [28] τὸν οἶνον [29] ἔσπεισεν [30] τοῖς εἰδώλοις αὐτῶν καὶ ἔφαγεν [31] μετ' αὐτῶν ἐκ τῶν κρεῶν [32] τῶν εἰδωλοθύτων. Καὶ φοβηθεὶς τὸν τοῦ σώματος [33] θάνατον, ἀπέκτεινεν
Cf. Iud. 4. τὴν ἀθάνατον [34] ψυχήν [35], τὸν δεσπότην [36] ἁπάντων Θεὸν [34] ἀρνησάμενος. Ποιήσαντος [37] δὲ αὐτοῦ [34] τοῦτο, ἀπέλυσαν αὐτὸν οἱ Βλέμμυες.

peccati paenitens Cf. Is. 37, 1. **10.** Ὁ δὲ κατελθὼν ἐκ τοῦ ὄρους καὶ ἐλθὼν εἰς ἑαυτόν [1], ἔγνω τὴν ἀνομίαν αὐτοῦ, μᾶλλον δὲ τὴν ἀσέβειαν αὐτοῦ [2] ἣν ἐποίησεν [3]. Καὶ σχίσας αὐτοῦ τὰ ἱμάτια [4], μετὰ τὸ τύψαι πολλὰ τὸ πρόσωπον αὐτοῦ [5], ἔρχεται εἰς τὴν μονὴν αὐτοῦ [2]. Γνοὺς δὲ ὁ μακάριος τὸ συμβὰν αὐτῷ, ἐξῆλθεν εἰς ὑπάντησιν αὐτοῦ [6] πάνυ λυπούμενος [7]. Ὁ δὲ ἰδὼν αὐτὸν προσερχόμενον αὐτῷ [8], βάλλει ἑαυτὸν ἐπὶ
Cf.Luc.15,21. πρόσωπον ἐπὶ τὴν γῆν [9], κράζων μετὰ κλαυθμοῦ· « Ἥμαρτον τῷ Θεῷ καὶ σοί, ὦ [10] πάτερ, ὅτι οὐκ ἤκουσά σου τῆς ἀγαθῆς συμβουλίας οὐδὲ μὴν [11] τῆς νουθεσίας σου [12]. Εἰ γὰρ ἤκουσά σου, οὐκ ἂν ταῦτα ὑπέστην. » Ὁ δὲ μέγας ἀκούσας [12] ταῦτα [12] ἔφη πρὸς αὐτόν·
a Pachomio suscipitur « Ἀνάστα, ἄθλιε· σεαυτὸν ἀπέκλεισας [13] ἀπὸ [12] τοσούτων ἀγαθῶν, ὦ ταλαίπωρε. Ἀληθῶς ἐπετέθη σοι στέφανος, καὶ ἀπέρριψας αὐτὸν ἀπὸ σοῦ. Ἕτοιμος ὑπῆρχες συναριθμηθῆναι [14] τοῖς ἁγίοις μάρτυσιν [12], καὶ σεαυτὸν ἀπεσχοίνισας τῆς μακαρίας αὐτῶν κοινωνίας. Ὁ δεσπότης Χριστὸς παρῆν μετὰ τῶν ἁγίων ἀγγέλων αὐτοῦ, τὸ [12] διάδημα αὐτοῦ [12] ἐπὶ τῆς κεφαλῆς [15] σου βουλόμενος [12] θεῖναι, καὶ τοῦτον ἠρνήσω διὰ ῥοπὴν ὥρας. Καὶ θάνατον ὃν μέλλεις ὑφίστασθαι καὶ μὴ θέλων [16] φοβηθεὶς ἐξέπεσας τοῦ Θεοῦ [17], τὴν αἰώνιον ζωὴν ἀπολέσας [18]. Ποῦ οἱ πρὸ τούτου σου [19] λόγοι; ποῦ ἡ ὄρεξίς σου [20]; » Εἰπόντος δὲ ἐκείνου [21]· « Ἥμαρτον κατὰ
Cf.Luc.18,13. πάντα, ὦ πάτερ [22], καὶ οὐ δύναμαι εἰς τὸν οὐρανὸν ἐπᾶραι τὸ πρόσ-

[27] om. A. — [27*] αὐ. ἀν. A. — [28] ὁ δὲ ἰδὼν τὰ ξ. γ. καὶ τὸ ἄγρ. αὐτῶν ἦθος φοβηθεὶς λαβ. παρευθὺ A. — [29] ὄνον (sic) F. — [30] ἔπεισε A. — [31] (καὶ ἔ.) ἔ. δὲ A. — [32] (ἐκ τ. κρ.) καὶ A. — [33] ἀποθανεῖν add. A. — [34] om. A. — [35] ἑαυτοῦ add. A. — [36] τῶν add. A. — [37] ποιήσαντα A.

10. — [1] εἰς ἑ. ἐλθ. A. — [2] om. A. — [3] εἰργάσατο A. — [4] σχ. αὐ. τὰ ἱμ. om. A. — [5] σχίσας τὰ ἑαυτοῦ ἱμ. A. — [6] εἰς συνάντησιν αὐτῷ A. — [7] ὑπολυπούμενος A. — [8] ὁ δὲ ἰδὼν τὸν ἅγιον ἐρχόμενον πρὸς αὐτὸν A. — [9] βάλλει ἑ. εἰς γῆν ἐπὶ πρ. A. — [10] om. A. — [11] (οὐδὲ μὴν) καὶ A. — [12] om. A. — [13] ΑΣΠ; ἀπέκτεινας καὶ ἠλλοτριώθης F. — [14] συναριθμεῖσθαι A. — [15] τὴν κεφαλήν A. — [16] καὶ μὴ θέλων ΑΣΠ, om. F; τί add. A. — [17] σου καὶ add. A. — [18] ἀπώλεσας A. — [19] σοὶ A. — [20] ἐκείνη πρὸς τὸ μαρτυρῆσαι add. A. — [21] εἶπε δὲ ἐκεῖνος A. — [22] (κ. π. ὦ π.) ὦ π. κ. π. A.

ωπόν μου. Ἀπωλόμην, ὦ πάτερ [23]. Οὐ προσεδόκουν οὕτως γενέσθαι, » ταῦτα δὲ λέγοντος αὐτοῦ καὶ κλαίοντος [24], ἔφη ὁ μέγας πρὸς αὐτόν·

11. « Σὺ μέν, ὦ ἄθλιε, παντελῶς τοῦ Κυρίου ἀλλότριον κατέστη-
Cf. Mich. 7, 18-19. σας σεαυτόν [1]. Ἀγαθὸς δέ ἐστιν ὁ Κύριος καὶ οὐδέποτε συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστὶν καὶ τὰς ἁμαρτίας ἡμῶν δύναται καταποντίσαι εἰς τὰ [2] βάθη τῆς θαλάσσης·
Cf. Ps. 102, 11-12; Ez. 33, 11. ὅτι καθ' ὅσον ἀπέχει ὁ οὐρανὸς [3] τῆς γῆς, οὕτως μακρύνει ἀφ' ἡμῶν τὰς ἁμαρτίας ἡμῶν. Οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, καὶ τὸν πεσόντα [4] μὴ ἐμμένειν τῷ πτώματι, ἀλλ' ἀναστῆναι, καὶ τὸν ἀποστραφέντα μὴ μακρυνθῆναι, ἀλλ' ἐπιστρέψαι διὰ τάχους πρὸς αὐτόν. Διὰ τοῦτο μὴ ἀπογνῷς σεαυτόν [5]· ἔστιν γὰρ ἐλπὶς σωτηρίας. Ἐὰν γάρ, φησίν, ἐκκοπῇ [6]
Cf. Iob 14, 7. δένδρον, πάλιν ἐξανθήσει [8]. Ἐὰν οὖν θελήσῃς κἂν νῦν ἀκοῦσαί [7] μου κατὰ πάντα ὅσα ἂν εἴπω σοι, ἕξεις τὴν [7] συγχώρησιν παρὰ τοῦ Θεοῦ. » Ὁ δὲ κλαίων ἔλεγεν· « Ἀκούω [10] σου, ὦ πάτερ, ἐν πᾶσιν ἀπὸ τοῦ νῦν [11]. » Καὶ κελεύει αὐτὸν [12] ὁ μέγας ἀναχωρήσαντα [13] εἰς ἥσυχον τόπον [14] ἀποκλεῖσαι ἑαυτὸν [15] καὶ μηδενὶ συντυχεῖν [16] ἕως θανάτου αὐτοῦ [7], καὶ ὑπὲρ μίαν ἐσθίειν αὐτὸν ἅλας καὶ ἄρτον, καὶ ὕδατος μόνον μεταλαμβάνειν ὅλον τὸν χρόνον τῆς [17] ζωῆς αὐτοῦ, δύο δὲ ψιαθία [18] ποιεῖν αὐτὸν καθ' ἑκάστην ἡμέραν, καὶ ἀγρυπνεῖν μὲν ὅσον δύναται, εὔχεσθαι δὲ [18*] ὅσον ἰσχύει, κλαυθμοῦ δὲ μὴ ἀπολείπεσθαι καθ' ὅλου [19]. Ὁ δὲ ἀναχωρήσας ὡς προσέταξεν αὐτῷ ὁ μακάριος [20], ἐδιπλασίαζεν [21] πάντα ὅσα εἶπεν αὐτῷ ποιῆσαι. Οὐδενὶ δὲ συνετύγχανεν, εἰ μὴ μόνον τῷ μεγάλῳ [22] καὶ Θεοδώρῳ καὶ [23] ὀλίγοις τῶν λοιπῶν [24] μεγάλων γερόντων. Ποιήσας ‹δὲ [25]› δεκαετῆ χρόνον οὕτως ἀγωνιζόμενος ἐκοιμήθη τῇ τοῦ Κυρίου [26] χάριτι καλῶς μαρτυρήσας [27].

[23] (καὶ οὐ δύν. - πάτερ) om. A. — [24] corr., prius καίοντος F.

11. [1] παντελῶς ἑαυτὸν ἀλλότριον τοῦ κυρίου κατέστησας A. — [2] om. A. — [3] ἀπὸ add. A. — [4] ἀπαιτεῖ add. A. — [5] σεαυτοῦ A. — [6] (φ. ἐ.) ἐ. φ. A. — [7] om. A. — [8] ἀνθήσει A. — [9] εἰ οὖν θέλεις ἀκοῦσαι A. — [10] ἀκούσω A. — [11] (ἐν πᾶσιν ἀπὸ τ. ν.) ἀπὸ τοῦ νῦν ἐν πᾶσιν A. — [12] (καὶ κελ. αὐ.) κελ. οὖν A. — [13] καθ' ἑαυτὸν add. A. — [14] κελλίον ΑΣΠ. — [15] (ἀποκλ. ἑ.) ἑ. ἐγκλεῖσαι A. — [16] συντυγχάνειν A. — [17] (καὶ ὑπὲρ - τῆς) ἐσθίειν δὲ παρὰ μίαν ἄρτ. καὶ ἅλ. μόνον καὶ ὕδατος μικροῦ μεταλ. ἕως τέλους A. — [18] ψιάθια A. — [18*] (εὔχ. δὲ) καὶ εὔχ. A. — [19] (μὴ ἀπολ. καθ' ὅ.) τὸ καθόλου μὴ ἀπολ. A. — [20] ὡς προσετάχθη A. — [21] ἐδιπλασίασε A. — [22] πατρὶ add. A. — [23] τισιν add. A. — [24] om. A. — [25] om. F, οὖν A. — [26] θεοῦ A. — [27] μαρτυρήσαντος τῇ ἀναπαύσει αὐτοῦ τοῦ ἁγίου πατρός A (cf. ΣΠ); in cod. A sequuntur cap. 24-27.

ς'. <Περὶ τῶν πειρασμῶν καὶ τῆς πρακτικῆς[1]>.

12. Ἠρωτήθη ποτὲ ὁ μέγας Παχούμιος παρά τινος ἀδελφοῦ· « Διὰ τί πρὸ μὲν τῆς ἐπιστάσεως τοῦ ἐνοχλοῦντος δαίμονος, σῶον ἔχοντες τὸ τῆς διανοίας φρόνημα, περὶ ἐγκρατείας τε καὶ ταπεινοφροσύνης καὶ τῆς λοιπῆς ἀρετῆς φιλοσοφοῦμεν· γενομένης δὲ ὥρας τοῦ ἐπιδείξασθαι ἔργῳ τὰ φιλοσοφούμενα, οἷον μακροθυμίαν ἐν τῇ ὥρᾳ τοῦ θυμοῦ καὶ ἀμνησικακίαν ἐν τῷ καιρῷ τῆς ὀργῆς καὶ ἀκενόδοξον φρόνημα ἐπαίνου προκειμένου καὶ ἄλλα ἕτερα τοιαῦτα, πολλὰ ἡττώμεθα; » Πρὸς ὃν ἀποκριθεὶς ὁ μέγας εἶπεν· « Ἐπειδὴ τελείως τὴν πρακτικὴν οὐ μετερχόμεθα, διὰ τοῦτο πᾶσαν τὴν τῶν δαιμόνων ἔξιν τε καὶ μετεμπλοκὴν οὐκ ἐπιστάμεθα πρὸς τὸ δύνασθαι ἡμᾶς, τοῦ ἐνοχλοῦντος τὴν παρουσίαν[2] σημαίνοντος, ὀξύτερα τῇ θεωρητικῇ δυνάμει τῆς ψυχῆς ἀποκινῆσαι τὴν περικειμένην σύγχυσιν τῶν τοιούτων λογισμῶν. Διὰ τοῦτο γάρ, φησίν, καθ' ἡμέραν τε καὶ ὥραν τῷ θεωρητικῷ μέρει τῆς ψυχῆς καθάπερ ἔλαιον ἐπιχέοντες τὸν πρὸς Θεὸν φόβον, ὃς[3] τῆς πρακτικῆς ὢν ποιητικὸς[4] καὶ λύχνος πρὸς τὴν θεωρίαν τῶν ἐπιβαλλομένων ἡμῖν τυγχάνων, ἄσειστον μὲν τὸν νοῦν ἡμῶν ἀπεργάζεται, πρὸς ὀργὴν καὶ θυμὸν καὶ μνησικακίαν καὶ ἕτερόν τι τῶν εἰς κακίαν ἐμμοχλευόντων ἡμᾶς παθῶν μὴ ἁρπαζόμενον[5], θεωρητικὸν δὲ[6] καὶ μετάρσιον πρὸς τὴν τῶν ἀσωμάτων χώραν ποιήσας[7], τούτων τῶν ὑπὸ δαιμόνων ἐνεργουμένων[8] καταφρονεῖν ἀναγκάζει καὶ πατεῖν παρασκευάζει ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ. »

Dei timor passionum remedium.

Luc. 10,19.

ζ'[1]. Περὶ τῆς θεωρίας τῆς ψυχῆς[2].

13. [3]Ἦλθόν ποτέ τινες ἀδελφοὶ τῆς ἐν τῇ Χηνοβοσκείων μονῆς λέγοντες τῷ ἁγίῳ· « Νοσεῖ τις ἀδελφὸς[3] καὶ θέλει σε ἰδεῖν καὶ εὐλογηθῆναι πρὸ τοῦ αὐτὸν ἀποθανεῖν. » Ἀκούσας δὲ ταῦτα ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἀναστὰς ἠκολούθησεν[4] αὐτοῖς. Γενομένου δὲ ὡς ἀπὸ δύο μιλίων[5] τῆς μονῆς ἐκείνης, ἀκούσας[6] ὁ ἅγιος φωνὴν ἱερὰν ἐν τῷ ἀέρι[7], ἀνανεύσας εἶδεν τὴν ψυχὴν τοῦ κακουμένου ἀδελφοῦ μετὰ τῶν ἁγίων ἀγγέλων ψάλλουσαν καὶ εἰς τὴν μακαρίαν ζωὴν ἀπαγομένην τοῦ Θεοῦ[8]. Τῶν δὲ ἀκολουθούντων αὐτῷ ἀδελφῶν μὴ ἀκουσάντων μηδὲ θεασαμένων τι, ἑστῶτος αὐτοῦ καὶ ἀτενίζοντος ἐπὶ πολὺ κατ' ἀνατολάς, ἔλεγον πρὸς αὐτόν[9]· « Τί ἔστηκας[10], ὦ πάτερ; Ἀπέλθωμεν[11] ταχέως ἵνα ζῶντα καταλάβωμεν αὐτόν. » Ὁ δὲ πρὸς αὐτούς φησιν· « Οὐ καταλαμβάνομεν αὐτόν· ἐκεῖ γὰρ αὐτῷ ἐνατενίζω ἀναγομένῳ[12] εἰς ζωὴν αἰώνιον. Ἀπέλθατε[13] οὖν ὑμεῖς[14] εἰς τὴν μονὴν ὑμῶν, ὦ τέκνα. » Παρακαλεσάντων δὲ[15] αὐτὸν[14] τῶν ἀδελφῶν εἰπεῖν[16] αὐτοῖς πῶς ἐθεάσατο τὴν ψυχὴν τοῦ τετελευτηκότος[17] ἀδελφοῦ, εἶπεν[18] αὐτοῖς[19] τὸν τρόπον. Καὶ ἀκούσαντες ἐπορεύθησαν εἰς τὴν μονὴν αὐτῶν. Καὶ ἀκριβέστερον τὴν ὥραν πυθόμενοι[20] ἣν εἶπεν αὐτοῖς[14] ὁ μέγας παρὰ τῶν[21] ἐν τῷ μοναστηρίῳ ἀδελφῶν, οὕτως ἔγνωσαν ὅτι ἀληθῆ ἦν[22] τὰ ὑπὸ[23] τοῦ ἁγίου λεχθέντα αὐτοῖς περὶ τοῦ κοιμηθέντος ἀδελφοῦ.

Animam in caelum ferri videt Pachomius.

η'. Περὶ τῶν δαιμόνων τῶν λεγόντων· « Ἴδε ὁ εὐλογημένος ἄνθρωπος τοῦ Θεοῦ[1]. »

14. Τοῦ ἁγίου γέροντος Παχουμίου[2] ἀπερχομένου εἰς[3] ἴδιον μοναστήριον καὶ γενομένου περὶ τὴν ἔρημον τὴν λεγομένην Ἀμνών, ἐπέστησαν αὐτῷ λεγεῶνες δαιμόνων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων παρακολουθοῦντες αὐτῷ[2] καὶ ἄλλοι προτρέχοντες[4] καὶ λέγοντες· « Ἴδε ὁ εὐλογημένος ἄνθρωπος τοῦ Θεοῦ. » Τοῦτο δὲ ἐποίουν κενοδοξίαν βουλόμενοι ἐπισπεῖραι αὐτῷ[5]. Ὁ δὲ γνοὺς αὐτῶν τὴν πανουργίαν[6], ὅσον ἐκεῖνοι ἔκραζον, τοσοῦτον οὗτος ἀναβοῶν πρὸς τὸν Θεὸν τὰς ἑαυτοῦ ἐξωμολογεῖτο ἁμαρτίας. Καὶ

A daemonibus laudatus,

Cf. Mt. 3, 6.

12. — *Totum cap. deest in fragmentis* A(*mbrosianis*), *ubi inter cap. 33 et 34 verisimillime legebatur.* — [1] *lemma supplevi.* — [2] <ἑαυτοῦ> *ex* D *supplendum videtur.* — [3] ὡς F, *correxi ex* Σ N. — [4] *ποιητικὸν* F, *ex* D *supplendum videtur.* — [5] *ἁρπαζομένων* F. — [6] τε F. — [7] *ποιήσασθαι* F, *corr. ex* Σ. — [8] *τοῦτον τὸν ὑπὸ δ. ἐνεργούμενον* F.

13. — [1] *om.* A. — [2] *περὶ ἑτέρου ἀδελφοῦ κοιμηθέντος* A. — [3] *Ἔτι δὲ ὄντος ἐκεῖ τοῦ μεγάλου ἀνήγγειλαν αὐτῷ ἐλθόντες ἀπὸ τῆς τῶν χην. μονῆς ὅτι ἀδ. τις νοσεῖ* A. — [4] *ἠκολούθει* A.

14. — [1] δ', *περὶ τῆς εὐφημίας τῶν δαιμόνων· ἐν ᾧ καὶ περὶ ἑτέρων τεσσάρων ὑποθέσεων* A. — [2] *om.* A. — [3] *τὸ add.* A. — [4] *αὐτοῦ add.* A. — [5] *om.* F; (*β. ἐ. αὐ.*) *ἐ. αὐ. β.* A. — [6] *τὴν παν. αὐ.* A.

ἀναλύων τὴν πανουργίαν τῶν δαιμόνων, πρὸς αὐτοὺς ἀπεφθέγξατο [7] λέγων [8] · « Οὐ δύνασθέ με συναρπάσαι πρὸς κενοδοξίαν, ὦ ἀνόσιοι. Οἶδα γάρ μου τὰς ἀνομίας [9], δι' ἃς ὤφειλον πάντοτε κλαίειν περὶ τῆς αἰωνίου κολάσεως. Οὐ δέομαι οὖν τῆς παρ' ὑμῶν ψευδολογίας καὶ δολερᾶς ἀπάτης · ὑμῶν γὰρ τὸ ἔργον ἀπώλεια ψυχῶν ἐστιν. Οὐ συναρπάζομαι οὖν ὑμῶν [10] τοῖς ἐπαίνοις. Οἶδα γὰρ τὸ σοφὸν τῆς ἀνοσίας [11] ὑμῶν γνώμης. » Καὶ ταῦτα τοῦ ἁγίου Παχουμίου λέγοντος πρὸς αὐτούς, οὐδὲ οὕτως ἐπαύσαντο τῆς ἀναιδείας αὐτῶν · ἀλλὰ παρείποντο [12] αὐτῷ, ἕως οὗ [10] ἤγγισεν εἰς τὴν μονὴν αὐτοῦ ὁ μακάριος.

Cf. Ps. 50,3. *se ipse demittit.*

Περὶ [1] τοῦ ἐντυχόντος παιδὸς καὶ τοῦ ἐψήματος [2].

Coquos qui solita cibaria non paravere rant

15. Τῶν οὖν ἀδελφῶν ἐξελθόντων εἰς ἀπάντησιν [3] αὐτοῦ καὶ ἀσπαζομένων αὐτόν, παιδίον ἐκ τῆς μονῆς ἐξελθὸν μετὰ τῶν ἀδελφῶν ἀσπάσασθαι τὸν ἅγιον ἤρξατο ἐντυγχάνειν αὐτῷ λέγον [4] · « Ἀληθῶς, ὦ πάτερ, ἀφ' οὗ εἰς τὴν ἐπίσκεψιν τῶν ἀδελφῶν ἀπῆλθες ἕως ἄρτι, οὔτε λάχανον οὔτε ἀθὴρ [4*] ἐψήθη ἡμῖν. » Πρὸς ὃν χαριέντως ἀποκριθεὶς [5] εἶπεν ὁ ἅγιος γέρων · « Μὴ λυποῦ, τέκνον · ἐγὼ ποιῶ ἀπὸ τοῦ νῦν [6] ἐψηθῆναι ὑμῖν. » Περιελθὼν οὖν τὴν μονὴν εἰσῆλθεν εἰς τὸ μαγειρεῖον · καὶ εὑρὼν [7] τὸν μάγειρον ἐργαζόμενον ψιαθία [8] εἶπεν αὐτῷ · « Πόσον χρόνον ἔχεις μὴ ἐψῶν τοῖς ἀδελφοῖς λάχανον ; » Ὁ δέ φησιν · « Δύο μῆνας. » Καὶ εἶπεν ὁ μέγας · « Τί τοῦτο πεποίηκας, τῶν ἐντολῶν καὶ τῶν ἁγίων πατέρων κελευόντων [9] κατὰ σάββατον καὶ κυριακὴν ἐφεῖσθαι λάχανον τοῖς ἀδελφοῖς [10] ; » Ὁ δέ φησιν πρὸς [11] αὐτόν [11] · « Ἀληθῶς, ὦ [11] πάτερ, ἤθελον καθ' ἑκάστην ἡμέραν αὐτοῖς ἐψῆσαι. Ἀλλ' ἐπειδὴ εἶδον ὅτι [12] ἑψούμενον [13] τὸ λάχανον οὐκ ἐσθίεται, τῶν ἀδελφῶν σχεδὸν πάντων [14] ἐγκρατευομένων καὶ μὴ ἐσθιόντων ἔψημα [15], ἵνα μὴ οὖν [16] τὸ μετὰ τοσούτου κόπου γινόμενον ἀνάλωμα μηδενὸς ἐσθίοντος βληθῇ ἔξω [17] — μέ [18] γὰρ ξέστας ἐλαίου βάλλομεν τοῦ μηνὸς [19] εἰς τὸ σύνηθες ἔψημα τῶν ἀδελφῶν · — ἐπεὶ οὖν εἶδον ὅτι οὐκ ἐσθίου-

[7] ἀπεφθέγγετο A. — [8] *om.* A. — [9] ἁμαρτίας A. — [10] *om.* A. — [11] ἀνοσίου A. — [12] παρέμενον A.

15. — [1] α' ἐν ᾧ, *praemittit* A. — [2] *lemma om.* F. — [3] ὑπάντησιν A. — [4] καὶ λέγειν A. — [4*] ἄθηρον A. — [5] *om.* A. — [6] ἐγὼ ἀπὸ τοῦ ν. ποιῶ A. — [7] εὗρε A. — [8] ψιάθιον καὶ A. — [9] παρακελευομένων A. — [10] (λάχ. τ. ἀδ.) τ. ἀδ. λάχ. A. — [11] *om.* A. — [12] ὡς A. — [13] ἐψόμενον A. — [14] (σχ. π.) π. σχ. A. — [15] τούτου χάριν οὐχ ἕψησα *add.* A. — [16] *om.* A. — [17] ἔξω βλ. μηδ. ἐσθ. A. — [18] τεσσαράκοντα A. — [19] τοῦ μηνὸς A, τῆς ἡμέρας F, *nec pro* PN.

σιν, οὐχ ἥψησα [20], ἄτοπον ἡγησάμενος τὸ βαλεῖν τοσαῦτα ἀναλώματα ἔξω [21]. Διὰ τοῦτο πρὸς τὸ μὴ ἀργόν με καθίσαι [22], ἐργάζομαι ψιαθία μετὰ τῶν ἀδελφῶν, λογισάμενος ἕνα μόνον ἐπαρκεῖν [23] ἐν τῷ μαγειρείῳ πρὸς τὸ καταρτῦσαι τὰ μικρὰ βρώματα τοῖς ἀδελφοῖς ἅπερ ἐστὶν λαψάνια μετὰ ὄξους καὶ ἐλαίου [24] καὶ σκουρδωμας καὶ λεπτολάχανον [25]. »

severe punit.

16. Ἀκούσας δὲ ὁ ἅγιος ταῦτα [1], εἶπεν αὐτῷ · « Πόσα ψιαθία ἐποιήσατε ὑμεῖς οἱ ἀπὸ τοῦ μαγειρείου σχολάσαντες τῷ ἔργῳ τούτῳ ; » Ὁ δέ φησιν · « Πεντακόσια. » Καὶ λέγει αὐτῷ [2] · « Φέρε μοι αὐτὰ ὧδε, ἵνα ἐγὼ [3] μετρήσω αὐτά [4]. » Ἐνεχθέντων δὲ τῶν ψιαθίων, κελεύει αὐτὰ εἰς πῦρ βληθῆναι [5]. Καὶ καυθέντων αὐτῶν εἶπεν πρὸς τοὺς μαγείρους · « Ὥσπερ [6] τὸν κανόνα τὸν δοθέντα ὑμῖν περὶ τῆς τῶν ἀδελφῶν οἰκονομίας παρείδατε διὰ τὴν σατανικὴν ἔννοιαν [7], οὕτως κἀγὼ [8] τὸ ἔργον τῶν χειρῶν ὑμῶν ἀφειδῶς κατέκαυσα [2], ἵνα μάθητε τί ἐστι τὸ καταφρονεῖσθαι [9] θεσμῶν πατέρων εἰς σωτηρίαν ψυχῶν δοθέντων. Πόσην ὠφέλειαν περιείλατε [10] ἀπὸ τῶν ἀδελφῶν ἐν τῷ μὴ ἐψῆσαι ὑμᾶς ; Ἢ ἀγνοεῖτε ὅτι οὗ τὴν ἐξουσίαν ἔχει τοῦ [2] ἐφίεσθαι ὁ ἄνθρωπος [11], τούτου τὴν ἀποχὴν διὰ [12] Θεὸν ποιησάμενος μισθὸν οὐκ ὀλίγον παρὰ Θεοῦ ἕξει [13] · οὗ δὲ τὴν δεσποτείαν οὐκ ἔλαβεν, ἀλλ' ἀνάγκῃ καὶ βίᾳ διὰ τὸ μὴ ἔχειν ἀπεχόμενος [14], μάτην ὑπὲρ τούτου μισθὸν ἐπιζητεῖ ; Οὐκ οἴδατε ὅτι ἐὰν βληθῇ <τι [15]> εἰς τὴν τράπεζαν καὶ τούτου μὴ γεύσωνται διὰ τὸν Θεὸν ἐγκρατευόμενοι οἱ ἀδελφοί, ἔξουσιν πολὺν τὸν μισθόν [16] · ἐὰν [17] δὲ μὴ δοθῇ αὐτοῖς ἔψημα, οὗπερ [18] οὐκ εἶδον ἐγκράτεια οὐ μὴ [19] λογισθήσεται αὐτοῖς ; Διὰ π' [20] ξέστας ἐλαίου, τοσαύτην καρποφορίαν ἀρετῶν [21] ἐξεκόψατε ; Ὅλη τοῦ παντὸς κόσμου [22] ὕλη ἀπολέσθω, καὶ μία καὶ [21] εὐτελὴς ἀρετὴ μὴ ἐκκοπτέσθω ἀπὸ τῆς [21] ψυχῆς. Ἐγὼ μὲν οὖν καθ' ἑκάστην ἀληθῶς ἠβουλόμην ἑψῆσαι [23] καὶ πολλὰ παραθῆσαι [24] τοῖς ἀδελφοῖς ἐδέσματα [25], ἵνα καθ' ἑκάστην ἐγκρατευόμενοι καὶ ἀπεχόμενοι τῶν διδομένων αὐτοῖς [26],

Cotidie cibi coquendi

ad maius abstinentium meritum

[20] (ἐπεὶ - ἥψ.) *om.* A. — [21] ἄτοπ. οὖν ἡγησάμην τὸ β. ἔξω τοσ. ἀναλ. μηδενὸς χρήζοντος A. — [22] καθέζεσθαι A. — [23] ἀρκεῖν A. — [24] ἐλαίαι A. — [25] καὶ σκ. καὶ λ. *om.* A.

16. — [1] (ὁ ἅ. τ.) τ. ὁ ἅ. A. — [2] *om.* A. — [3] *corr.* F. — [4] (μ. αὐ.) αὐ. μ. A. — [5] ἐνεχθέντα δέ τὰ ψιάθια κελ. πυρὶ βλ. A. — [6] ὑμεῖς παρείδετε *add.* A. — [7] (παρείδ. - ἔνν.) δι' ἔνν. σατ. A. — [8] κατέκαυσα *add.* A. — [9] καταφρονεῖν A. — [10] περιείλετε A. — [11] (ἐφ. ὁ ἄ.) ὁ ἄ. ἐφ. A. — [12] πρὸς A. — [13] μισθ. ἕξει παρὰ τοῦ θ. οὐκ ὀλ. A. — [14] ἀπέχεται A. — [15] *supplevi* ; ἐάν τι τεθῇ A. — [16] μὴ γεύσ. οἱ ἀδ. διὰ τ. θ. ἐγκρ. πολὺν ὑπὲρ τούτου μισθ. ἕξουσιν A. — [17] εἰ A. — [18] ὅπερ FA. — [19] (οὐ μὴ) οὐδέποτε A. — [20] ὀγδοήκοντα A. — [21] *om.* A. — [22] ἡ *add.* A. — [23] οὖν ἀλ. ἐβουλ. ἐψεῖν καθ' ἑκ. A. — [24] παρατιθέναι A. — [25] βρώματα A. — [26] ἐδεσμάτων *add.* A.

προσθήκην τῆς ἀρετῆς καθ' ἑκάστην ποιήσωνται [27]. Εἰ δὲ καὶ [28] *et infirmorum solacium.*
συνέβη [29] τινὶ κακωθέντι [30] μὴ θελῆσαι εἰς [31] τὸν τῶν νοσηρῶν [32]
τόπον ἀπελθεῖν, ἐλθόντι δὲ εἰς τὴν τράπεζαν [33] ἐπὶ τὸ μεταλαβεῖν
τοῦ κατὰ συνήθειαν διδομένου αὐτοῖς [34] λαχάνου μὴ εὑρεῖν [35], τί
ἐγίνετο [36]; οὐκ ἐσκανδαλίζετο ἄρα τοῦ [37] μὴ εὑρεῖν ἐν τῇ κοινῇ 5
τραπέζῃ τὴν χρείαν αὐτοῦ; Ἢ οὐκ οἴδατε ὅτι παιδία [38] μάλιστα οὐ
δύνανται παραμένειν ἐν τῇ ἀρετῇ [39], μὴ ὑπαρχούσης αὐτοῖς ἀνέ-
σεως ἢ μικρᾶς παραμυθίας [40]; »

θ'. Περὶ τῆς ἀποκαλύψεως [1].

17. Καὶ εἰσελθόντων τῶν ἀδελφῶν εἰς τὰς εὐχάς, συναχθεὶς 10
καὶ αὐτὸς μετ' αὐτῶν [2] ἐπλήρωσεν τὰς εὐχάς. Καὶ ἐξελθόντων
ἐπὶ τὸ γεύσασθαι [3], ἔμεινεν μόνος ἐν τῷ οἴκῳ ἐν ᾧ τὰς εὐχὰς συνή-
θως ἐπετέλει [4] τῆς συνάξεως· καὶ κλείσας τὴν θύραν προσηύξατο
τῷ Θεῷ, ἀξιῶν γνωσθῆναι αὐτῷ περὶ τῆς μετὰ ταῦτα τῶν ἀδελφῶν
καταστάσεως [4*] καὶ τί ἐν τοῖς μεταγενεστέροις τὰ συμβησόμενα 15
αὐτοῖς [5]. Καὶ παρατείνοντος αὐτοῦ τὴν εὐχὴν ἀπὸ ὥρας δεκάτης
ἕως οὗ κρούσωσιν τοῖς ἀδελφοῖς [6] τὴν νυκτερινὴν λειτουργίαν,
περὶ [7] τὸ μεσονύκτιον ἄφνω ἐφάνη αὐτῷ [8] ἐξ οὐρανοῦ ὀπτασία
γνωρίζουσα αὐτῷ [9] τὸ τέλος τῆς μετὰ ταῦτα καταστάσεως τῶν
Cf. II Tim. 3, 12. ἀδελφῶν καὶ ζῆν μὲν ὡσαύτως κατὰ Χριστὸν εὐσεβῶς [10] καὶ τὸν 20
Futuram multorum μέλλοντα πλατυσμὸν γίνεσθαι τῶν μοναστηρίων [11]. Ἐθεάσατο [12]
δὲ καὶ πλῆθος ἄπειρον ἀδελφῶν [13] ἐν κοιλάδι βαθυτάτῃ καὶ αὐ-
χμηρᾷ ὁδευόντων, καὶ πολλοὺς ἐξ αὐτῶν θέλοντας ἀναβῆναι ἐκ τῆς

[27] καθ' ἑκ. ἡμέραν ποιῶνται A. — [28] om. A. — [29] συμβῇ F. — [30] τὸ σῶμα add. A. — [31] πρὸς A. — [32] νοσούντων A. — [33] (ἐλθ. - τρ.) ἀλλ' εἰς τὴν τῶν ὑγιαινόντων τρ. A. — [34] om. A. — [35] μὴ εὑ. om. A. — [36] τί ἂν ἐγένετο A. — [37] ἐν τῷ A. — [38] (ἢ - π.) οὐκ οἶδ. δὲ ὅτι καὶ τὰ π. A. — [39] (παρ. ἐν τῇ ἀ.) τῇ ἀ. π. A. — [40] (μ. π.) π. μ. A; *in cod.* A *sequitur cap. 7.*

17. — [1] *γ', ἐν ᾧ περὶ τῶν μελλόντων ἐν τοῖς ἐσχάτοις καιροῖς συμβήσεσθαι τοῖς μοναχοῖς* A; *inc. cod.* o: *περὶ τῆς ἀποκαλύψεως τοῦ ἁγίου Παχωμίου.* — [2] *Εἰσελθὼν δὲ εἰς τὴν μονὴν εὗρε τοὺς ἀδελφοὺς συναχθέντας ἐν τῷ καιρῷ τῶν εὐχῶν· καὶ συναχθεὶς μετ' αὐ.* A. — [3] (*καὶ ἐξ. ἐπὶ τὸ γ.*) ἐξ. δὲ αὐτῶν γ. A. — [4] *τὰς συνήθεις ἦν ἐπιτελῶν εὐχ.* A. — [4*] (*καὶ κλείσας - καταστ.*) om. o. — [5] *καὶ τίνα τὰ συμβ. αὐτ. ἐν τοῖς μετ.* A. — [6] (*καὶ παρ. - ἀδ.*) *παρέτεινε δὲ τὴν εὐ. ἀπὸ δεκ. ὥρ. τῆς ἡμέρας ἕως οὗ τοῖς ἀδ. ἔκρουσαν* A. — [7] *Εὐχομένῳ οὖν πρὸς* A. — [8] (*ἄ. ἐ. αὐ.*) *ἐ. αὐ. ἄ.* A. — [9] om. A. — [10] *εὐλαβῶς τοὺς ἐφεξῆς ἐδιδάσκετο* A. — [11] *καὶ τὸν μέλλ. γενέσθαι πλατ. ἐν τοῖς μοναστηρίοις ἐμάνθανε* A. — [12] *hic inc. cod.* h: *ὅρασις τοῦ μεγάλου Παχομίου.* — [13] ἀδ. ἀπείρων A.

κοιλάδος καὶ μὴ ἰσχύοντας, πολλοὺς δὲ κατὰ πρόσωπον ἀλλήλων *fratrum*
ἀπὸ τῆς πολλῆς περὶ αὐτοὺς [14] σκοτίας [15] ἀπαντῶντας καὶ μὴ γνω- *defectionem*
ρίζοντας ἀλλήλους [16], πολλοὺς δὲ [17] πεσόντας ἀπὸ τῆς ἀτονίας,
ἑτέρους δὲ [18] βοῶντας ἐλεεινὴν φωνήν [19], ὀλίγους δὲ ἐξ αὐτῶν [20]
μετὰ πολλοῦ καμάτου [21] ἰσχύσαντας ἀνελθεῖν [22] ἀπὸ τῆς κοιλάδος
ἐκείνης [23]· καὶ ἀνελθοῦσιν εὐθὺς [23*] φῶς ὑπήντησεν αὐτοῖς· ἐλ-
θόντες δὲ εἰς τὸ φῶς εὐχαρίστησαν μεγάλως τῷ Θεῷ [24]. — Τότε
ἔγνω ὁ μακάριος τὰ συμβησόμενα τοῖς ἀδελφοῖς [25] ἐπ' ἐσχάτων [26]
καὶ τὴν μέλλουσαν [27] ἐν τοῖς καιροῖς ἐκείνοις ἀμέλειαν γίνεσθαι [28]
καὶ τὴν πολλὴν πώρωσίν τε καὶ πλάνην καὶ τὴν τῶν ποιμένων [29]
ἔκλειψιν συμβήσεσθαι [30] αὐτοῖς, καὶ ὅτι τῶν καλῶν οἱ σήμερον [31]
ἀμελέστεροι [32] κρατήσουσιν τῷ ἑαυτῶν πλήθει νικήσαντες· καὶ [33] *in viso*
τύπος μόνον ἔσται [34] ταῦτα, ὧν τὰς ἀρχὰς ἡμεῖς οἱ γράψαντες *cognoscit*
διήλθαμεν [35]· ὥστε [36] τοὺς κακοὺς ἄρξαι τῶν ἀδελφῶν καὶ τοὺς *Pachomius;*
μὴ εἰδότας γνῶσιν τῶν μοναστηρίων κρατῆσαι καὶ μάχεσθαι περὶ
ἀρχῆς, καὶ τοὺς καλοὺς παρὰ τῶν κακῶν διώκεσθαι [37] καὶ μὴ
ἔχειν τοὺς ἀγαθοὺς παρρησίαν ἐν ταῖς μοναῖς· καὶ τὸ δὴ λεγόμενον
τὰ θεῖα εἰς ἀνθρώπινα μεταβάλλεσθαι [38].

18. Γνοὺς οὖν [1] ὁ μακάριος [2] ταῦτα, ἀνεβόησεν μετὰ κλαυθμοῦ Cf.Ro.1,25.
πρὸς τὸν Θεὸν [3] λέγων· «Ὦ [4] Κύριε παντοκράτωρ, εἰ οὕτως ἔχει [5]
γενέσθαι, διὰ τί συνεχώρησας τὰ κοινόβια ταῦτα [6] γενέσθαι [7]; Εἰ ἐν
τοῖς καιροῖς ἐκείνοις οἱ μέλλοντες ἄρχειν τῶν ἀδελφῶν κακοὶ ἔσον-
ται, τί οἱ ποιμαινόμενοι [8] μέλλουσιν ἔσεσθαι; Τυφλὸς γὰρ τυφλὸν Mt. 15, 14.
ὁδηγῶν [9], ἀμφότεροι [10] εἰς βόθυνον πεσοῦνται [11]. Εἰκ ἐμόχθη-
σα; Μνήσθητι, Κύριε, τῶν κοπάτων μου καὶ πάντων τῶν ἀδελφῶν

[14] αὐτῶν *corr.* h. — [15] (ἀπὸ - σκ.) om. A. — [16] om. h; ἀπὸ τῆς πολλ. περὶ αὐτῶν σκοτίας *add.* A. — [17] (π. δὲ) ἄλλους h. — [18] om. h. — [19] ἐλεεινὰς φωνὰς h; (ἑτέρους - φων.) om. A. — [20] μόλις *add.* A. — [21] μετὰ πολλοὺς καμάτους καὶ ἱδρῶτος (*sic*) h. — [22] (ἰ. ἀ.) ἀ. ἰ. A. — [23] (ἀπὸ τ. κ. ἑ.) οἵς h. — [23*] om. A. — [24] φῶς ἀπήντησαν καὶ ηὐχαρίστουν τῷ θ. h. — [25] μοναχοῖς h. — [26] τῶν χρόνων *add.* h. — [27] μένουσαν h. — [28] (ἀ. γ.) γ. ἀ. h. — [29] μελλόντων A. — [30] μετὰ τῶν ἄλλων κακῶν συμβησομένην A. — [31] om. A h. — [32] ἀμελέστερα h. — [33] καὶ ὅτι A. — [33] τὰ μετὰ *add.* A. — [35] διήλθομεν A. — [36] καὶ *add.* A. — [37] (τῶ ἑαυτῶν πλήθει - διώκ.) τὸ ἑαυτῶν θέλημα σπεύδοντες ποιεῖν διάκεινται (*l.* διώκειν) τὲ τοὺς ἀγαθοὺς καὶ σπουδαίους τοὺς δὲ ῥαθύμους καὶ συμπαθεῖς κατέχειν μεθ' ἑαυτῶν ἵνα καὶ κοινω<νητὰ> τὰ κατ' αὐτῶν κρύπτεται h. — [38] (καὶ μὴ ἔχ. - μεταβ.) om. o h.

18. — [1] δὲ A. — [2] παχόμιος *add.* h. — [3] πρὸς τ. θ. om. A h. — [4] om. h. — [5] μέλλει h. — [6] om. oh. — [7] συστῆναι A, οἰκοδομεῖσθαι h. — [8] παρ' αὐτῶν *add.* h. — [9] ἐὰν ὁδηγῇ A. — [10] ἀμφοτέρους h. — [11] ἐμπεσοῦνται h; *cf. p. 142, annot.* [20].

τῶν ἐξ ὅλης ψυχῆς νῦν [12] πολιτευομένων. Μνήσθητι [13] ὅτι οὐνέθου
Mt. 28, 20. μοι ἕως τῆς συντελείας τοῦ αἰῶνος τοῦτο [14] ἀφεῖναί [15] μου τὸ
πνευματικὸν σπέρμα [16]. Σὺ οἶδας, δέσποτα, ὅτι [17] ἀφ' οὗ ἐνεδύθην τὸ
σχῆμα τοῦ μοναχοῦ, οὐδέποτε ἐκορέσθην οὐδενὸς [18] ἐπὶ τῆς γῆς,
Cf. Act. 10,13. οὔτε [19] μέχρις ὕδατος [20]. » — Ταῦτα δὲ λέγοντος αὐτοῦ [21], φωνὴ
πρὸς αὐτὸν ἐγένετο λέγουσα [22] · « Καυχᾶσαι, Παχούμιε [43], ἄνθρω-
πος ὤν ; Αἴτησαι σεαυτῷ ἔλεος, ὅτι τὰ σύμπαντα τῷ ἐλέει μου
συνίστανται. » Ἀκούσας δὲ ταῦτα [23] ὁ μακάριος παραχρῆμα ῥί-
ψας ἑαυτὸν ἐπὶ τὴν γῆν ᾐτήσατο ἔλεος παρὰ τοῦ Θεοῦ λέγων ·
« Κύριε παντοκράτωρ, τὸ ἔλεός σου κατάπεμψον ἐπ' ἐμέ, καὶ μη-
δέποτε αὐτὸ [24] ἀφέλῃς ἀπ' ἐμοῦ, ὅτι οἶδα [25] κἀγὼ ὅτι ἄνευ τοῦ
a Christo sibi apparente ἐλέους σου τὰ σύμπαντα οὐ δύνανται [26] εἶναι [27]. » Ταῦτα δὲ λέγον-
τος [28] αὐτοῦ, παραχρῆμα ἐπέστησαν αὐτῷ δύο ἄγγελοι [29] τοῦ Θεοῦ ·
καὶ νεώτερος ἦν [30] μετ' αὐτῶν, ἀνεκλάλητον ἔχων τὸ πρόσωπον
καὶ ἄφραστον τὴν θέαν · καὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανος
ἔκειτο ἀκάνθινος [31]. Καὶ [21] ἀναστήσαντες Παχούμιον οἱ ἄγγελοι [32]
εἶπον πρὸς αὐτόν · « Ἐπειδὴ ᾐτήσω τὸν Θεὸν καταπέμψαι σοι [33]
I Cor. 2,8. τὸ ἔλεος αὐτοῦ, ἰδοὺ οὗτός ἐστιν τὸ ἔλεος αὐτοῦ, ὁ Κύριος τῆς δό-
I Ioh. 4,9. ξης, Ἰησοῦς [34] Χριστὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ, ὃν ἀπέστειλεν τῷ
Mt. 27, 29. κόσμῳ [35], καὶ ἐσταυρώσατε αὐτὸν καὶ στέφανον ἐξ [36] ἀκανθῶν [36]
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐθήκατε. » Εἶπεν δὲ [34] Παχούμιος πρὸς τὸν
νεώτερον [37] · « Δέομαί σου τῆς ἀχράντου φύσεως [38], δέσποτα · οὐκ
ἐσταύρωσά σε ἐγώ. » Ὁ δὲ νεώτερος ὀλίγον τῷ προσώπῳ μειδιά-
σας [39] εἶπεν [40] πρὸς αὐτόν · « Οἶδα κἀγὼ [41] ὅτι οὐκ ἐσταύρωσάς με
σύ, ἀλλ' οἱ πατέρες ὑμῶν [42]. Θάρσει δὲ [43] ὅτι ἡ ῥίζα τοῦ σπέρματός
Mt. 28, 20. σου ἕως [44] αἰῶνος [44] οὐ μὴ ἐκλείπῃ [45] · καὶ [46] ἕως [47] συντελείας τοῦ
αἰῶνος φυλαχθήσεται [48] τὸ σπέρμα σου [49] ἐπὶ τῆς γῆς · καὶ [50] οἱ

[12] ἄρτι A. — [13] *κύριε add.* o. — [14] *om.* A, τούτου o. — [15] τηρῆσαι A. — [16] τὸ πν. μου σπ. A. — [17] ὡς A. — [18] τῶν *add.* A. — [19] οὐδὲ A. — [20] (εἰκῆ - ὕδατος) *om.* h. — [21] *om.* A. — [22] *Ταῦτα αὐτοῦ φθεγγομένου πρὸς τὸν θεὸν μετὰ δακρύων ἦλθε φωνὴ πρὸς αὐτὸν λέγ.* h. — [23] (δὲ τ.) οὖν A. — [24] τοῦτο A. — [25] (ὅτι οἶδα) οἶδα γὰρ A. — [26] δύναται o. — [27] μεῖναι A, στῆναι o. — [28] (τ. δὲ λ.) καὶ τ. εἰπόντος A. — [29] παρ. δύο ἄγγ. ἐπ. αὐ. A. — [30] (καὶ ν. ἦν) ἦν δὲ ν. A. — [31] (ἔ. ἀ.) ἀ. ἔ. A. — [32] ἀν. οὖν οἱ ἄ. τὸν παχ. A. — [33] σου o. — [34] ὁ *add.* A. — [35] εἰς τὸν κόσμον A. — [36] *om.* A. — [37] (εἶπεν - νεώτ.) ὁ δὲ παχούμιος (*ita hoc loco*) ταῦτα ἀκούσας ἀπέβλεψεν εἰς τὸν νεανίσκον καὶ εἶπεν o. — [38] τῆς ἀ. φ. *om.* o. — [39] ὑπομειδιάσας A ; ὁ δὲ ὑπομειδ. τῷ προσ. o. — [40] ἔφη o. — [41] *om.* Ao. — [42] ἐσταύρωσάν με *add.* Ao. — [43] (Καυχᾶσαι παχ. - θ. δὲ) θάρσει παχόμιε h. — [44] *om.* h. — [45] οὐκ ἐκλείψει o. — [46] ἀλλ' o h. — [47] τῆς *add.* h. — [48] τούτου διατηρηθήσεται o. — [49] τὸ σπ. σου *om.* oh. — [50] πλὴν o.

μέλλοντες ὀλίγοι [51] σῴζεσθαι [52] ἐν τοῖς καιροῖς ἐκείνοις [53] ἀπὸ *instituta sua*
τῆς πολλῆς ὁμίχλης [54], ὑπὲρ τοὺς ἄκρως νῦν πολιτευομένους [55] *perpetuo*
εὑρεθήσονται · ὅτι [56] οἱ νῦν [57] ἔχοντές σε ὡς [51] φωστῆρα [58] πρὸ *servatum iri*
ὀφθαλμῶν αὐτῶν ἐναρέτως τῷ σῷ φωτὶ ἐπερειδόμενοι πολιτεύ- *docetur.*
ονται [59] · οἱ δὲ μεταγενέστεροι [60] ἐν αὐχμηρῷ τυγχάνοντες τόπῳ,
ἐὰν ἀγαθῷ φρονήματι ἐξ ἑκουσίας προθέσεως [61], μηδενὸς αὐτοὺς [62]
ὁδηγοῦντος ἐπὶ [63] τὴν ἀλήθειαν, ἀποπηδήσαντες τῆς σκοτίας [64] τὴν
δικαιοσύνην μετέλθωσιν [65], ἀμὴν [66] λέγω σοι, μετὰ τῶν νῦν ἄκρως [67]
καὶ [68] ἀμέμπτως πολιτευομένων [69] εὑρεθήσονται [70] τῆς αὐτῆς
ἀπολαύσαντες [71] σωτηρίας [72]. » Καὶ ταῦτα εἰπὼν εὐθὺς εἰς τὸν οὐ-
ρανὸν ἀνῆει [73].

19. Θαυμάζοντος δὲ [1] ἐπὶ τοῖς λαληθεῖσιν αὐτῷ [2] τοῦ μεγάλου [3], *Monachos, adhortatur*
εὐθὺς κρούουσιν τοῖς ἀδελφοῖς [4] εἰς τὴν νυκτερινὴν [5] σύναξιν. Καὶ
τελειωθείσης τῆς λειτουργίας τῆς νυκτερινῆς [6], ἐκάθισαν [7] εἰς

[51] *om.* h. — [52] *εὑρεθῆναι* h. — [53] *ἐν ταῖς ἡμέραις ἐκείναις* A, *ἐν τοῖς ἐσχάτοις καιροῖς* o. — [54] (*ἀπὸ τῆς π. ὁμ.*) *πράττοντες μικρὸν ἔργον μοναχικῆς καταστάσεως* h. — [55] *τὴν ἀρετὴν ἐξασκοῦντας* o. — [56] *διότι* o. — [57] *μοναχοὶ add.* A, *μὲν μοναχοὶ add.* h. — [58] *ὡς φ. om.* A. — [59] (*ἐναρέτως - πολιτ.*) *ὡς φωστῆρα λάμποντα τῷ σῷ φωτί καταυγαζόμενοι ἐν ἀρετῇ πολιτ.* A, *εὐχερῶς τὴν ἀρετὴν κατορθοῦν δύνανται* o. — [60] *τότε* h. — [61] (*ἐὰν - προθ.*) *om.* Ah. — [62] *αὐτοῖς* h. — [63] *πρὸς* A. — [64] (*ἀπ. τ. σκ.*) *εἴγε τῆς σκ. ἀποπηδ. ἐξ ἑκουσίας προθ. ἐν ἀγ. φρον.* A. — [65] (*ἐπὶ τὴν ἀλ. - μετέλθ.*) *ἂν ἐξ ἑκ. προθ. ἀποπηδήσωσι ἐκ τῆς σκ. καὶ πρὸς τὴν ἀλ. ἔλθωσιν* h. — [66] *bis* A. — [67] (*ν. ἄ.*) *ἄ. ν.* h, *ἄκρων μοναχῶν* A. — [68] *τῶν νῦν* A. — [69] *ἀμέπτως* (*sic*) *πολιτευσαμένων* h. — [70] *στήσονται καὶ ταχθήσονται* A. — [71] *ἀπολαύοντες* A, *ἀπολάβοντες* (*sic*) h. — [72] *δόξης τε καὶ λαμπρότητος* h. — [73] (*καὶ ταῦτα - ἀνῆει*) *om.* h ; *ἀνοιχθέντων αὐτῷ τῶν οὐρανῶν καὶ τοῦ ἀέρος φωτισθέντος ὡς μὴ δύνασθαι τὴν δόξαν τοῦ φωτὸς ἐκείνου λόγοις ἀνθρωπίνοις διηγήσασθαι add.* A ; *οἱ δὲ μεταγενέστ. ἐν αὐχμηρῷ τινι εὑρισκόμενοι καιρῷ, ἐν τῷ μηδένα καθηγεῖσθαι αὐτῶν τῶν ἐπὶ τὸ φῶς τῆς ἀληθείας ὁδηγούντων, δυσχερίαν οὐ μικρὰν πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν ἔξουσιν · ἐὰν οὖν οἱ τοιοῦτοι προαιρέσει οἰκεία ἀποπηδήσαντες τοῦ γνόφου τῆς ἀδικίας τὸ φῶς τῆς δικαιοσύνης ἀγαπήσωσιν καὶ τούτῳ ἐνβιωτεύσωσιν, ἀμὴν λέγω σοι μετὰ τῶν πάνυ ἄκρως νῦν τὴν κατὰ τὴν ἀρετὴν πολιτείαν μετερχομένων στήσονται, ὁμοίως τούτοις τῆς αἰωνίου ζωῆς ἀξιούμενοι καὶ τῶν οὐρανίων ἀπολαύοντες ἀγαθῶν. Καὶ ταῦτα εἰπὼν εὐθέως ἀνῆλθεν εἰς τὸν οὐρανόν, ἀνεωχθέντος αὐτοῦ αὐτῷ καὶ τοῦ ἀέρος φωτισθέντος φωτὶ οὗ τὴν δόξαν ἀδύνατον ἀνθρωπικῶς ἐκφρασθῆναι λόγῳ* o.

Cf. II Tim. 3, 1.

Sap. 5, 6.

19. — [1] τοῦ μεγάλου *add.* h. — [2] πρὸς αὐτὸν h. — [3] τοῦ μ. *om.* h. — [4] (εὐθὺς - ἀδ.) *ἐκρούσθη δὲ τὸ ξύλον τὸ καλοῦν τοὺς ἀδελφοὺς* h. — [5] *om.* h. — [6] *καὶ τελεσθείσης τῆς νυκτ. λειτ.* A. — [7] *οἱ ἀδελφοὶ add.* A.

Mt. 5, 2. ἀκρόασιν τοῦ λόγου αὐτοῦ οἱ ἀδελφοί [8]. Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ λέγει αὐτοῖς [9] ·

Κατήχησις [10] ὠφέλιμος πάνυ τοῦ μεγάλου Παχωμίου .

Aeternae mercedis vel damnationis

« Ἀδελφοί, ὅσον ἔχετε τὴν πνοὴν ὑμῶν ἐν τῷ στόματι, ἀγωνίσασθε ὑπὲρ τῆς σωτηρίας ὑμῶν · πρὸ τοῦ ἐλθεῖν τὴν ὥραν ἐκείνην ἐν ᾗ μέλλομεν ἑαυτοὺς κλαίειν [12], ἐργασώμεθα προθύμως τὴν ἀρετήν [13]. Λέγω γὰρ [14] ὅτι [15] εἰ [16] ᾔδειτε τὰ ἐν οὐρανοῖς ἀγαθὰ καὶ τὴν ἀποκειμένην τοῖς ἁγίοις ἐπαγγελίαν καὶ πῶς οἱ ἀποπεσόντες τοῦ Θεοῦ κολάζονται καὶ τὰ βασανιστήρια ἃ τοῖς ἀμελή-

I Tim. 4, 3. σασιν ἀπόκειται [17], μάλιστα τοῖς ἐπεγνωκόσι τὴν ἀλήθειαν καὶ μὴ ἀξίως αὐτῆς πολιτευσαμένοις ὑπὲρ τοῦ κληρονομῆσαι τὴν ἀποκειμένην [18] ἐκείνην [19] τοῖς ἁγίοις μακαριότητα, ἀποφυγεῖν δὲ [20] τὴν ἐν ταῖς [21] βασάνοις κόλασιν, πάντα πόνον ὑπεμείνατε [22] ἂν ὑπὲρ τοῦ [23] ἐν τῇ κατὰ Χριστὸν ἀρετῇ τελειωθῆναι [24]. Ἀπέλθατε

Cf. Ps. 102, 14; Eccli. 10, 9. γὰρ εἰς [25] τοὺς τάφους καὶ ἴδετε τὴν τῶν ἀνθρώπων ὑπόστασιν ὅτι οὐδέν ἐστιν. Τί οὖν κενοδοξεῖ ἄνθρωπος χοῦς τυγχάνων ; τί δὲ [26] ὑπερηφανεύεται ὅλος [27] δυσωδία ὑπάρχων ; Κλαύσωμεν οὖν [24]

[8] οἱ ἀ. om. A. — [9] (λ. αὐ.) ἔλεγε ταῦτα A ; (τελειωθ. - αὐτοῖς) ἐλθόντων τῶν ἀδελφῶν διηγήσατο αὐτοῖς πάντα ὅσα εἶπε καὶ ἤκουσε · καὶ ἔδωκαν δόξαν τῷ θεῷ τῷ οἰκονομοῦντι πάντα πρὸς τὸ συμφέρον τοῦ πλάσματος αὐτοῦ h, *qui codex hic desinit; θαυμάζοντος δὲ τοῦ γέροντος ἐπὶ πᾶσι τοῖς ἀποκαλυφθεῖσιν αὐτῷ οὔπω τε τῆς ἐκ τῶν φανερωθέντων αὐτῷ καταπλήξεως ἀπαλλαγέντος, ἀνέστησαν οἱ ἀδελφοὶ τὰς νυκτερινὰς λειτουργίας ἐπιτελέσοντες · οἷς συμπαραμείνας ὁ μακάριος μέχρι πέρατος* Cf. Luc. 17, 18. *τῶν εἰθισμένων αὐτοῖς λειτουργιῶν, ἑωρακώς τε μετὰ ταῦτα καθεσθέντας αὐτοὺς καὶ ἐκδεχομένους παρ' αὐτοῦ διδασκαλίας λόγον, ἀνοίξας τὸ στόμα* (corr., prius στόματα) *αὐτοῦ λέγει αὐτοῖς* o. — [10] *bis in* A. — [11] *Lemma om.* Fo ; *inc. excerptum* b : παραίνεσις τοῦ ἁγίου Παχωμίου. — [12] (ἑ. κλ.) κλ. καὶ θρηνεῖν ἑ. A. — [13] Ἀδελφοί μου ἕως ἂν ἔχωμεν τὴν πνοὴν ἡμῶν ἐν ταῖς ῥισίν, ἀγωνισώμεθα Cf. Iob 27, 3. ὑπὲρ τῆς σωτ. ἡμῶν ἵνα ἐν τῇ ὥρα τῆς ἀνάγκης μὴ εὑρεθῶμεν μελόμενοι ἀνόνητα (corr.) · ἐργασώμεθα προθ. τὴν ἀρ., ἀγαπητοί · φύγωμεν ἀπὸ παντὸς εἴδους ἁμαρτίας καὶ πάσῃ δυνάμει τὸ ἀγαθὸν διώξωμεν ὅπως τῶν ἐπηγγελμένων τοῖς ἁγίοις ἀγαθῶν καταξιωθῶμεν Cf. I Thess. 5, 22. o. — [14] ὑμῖν *add.* A b. — [15] ὡς A. — [16] εἴπερ A. — [17] τὰ βασ. τὰ τοῖς ἀμελ. ἀποκείμενα A, τὰ ἀποκείμενα βασ. τοῖς ἀμελ. b. — [18] ἐπηγγελμένην A. — [19] *om.* Ao. — [20] τε b ; (ἀ. δὲ) καὶ ἀ. A. — [21] τοῖς Fob. — [22] ὑπομείνατε F. — [23] τελειωθῆναι *add.* A. — [24] *om.* A. — [25] ἀπέλθετε πρὸς A. — [26] *om.* b. — [27] ὅλως Ab.

ἑαυτοὺς ὡς καιρὸν ἔχομεν, μήποτε, ἐλθούσης τῆς ὥρας [28] τῆς ἐξόδου ἡμῶν, εὑρεθῶμεν τότε τὸν Θεὸν καιρὸν ἄλλον αἰτοῦντες πρὸς τὸ μετανοῆσαι [29]. Λειλαία ἀληθῶς ἡ ψυχὴ ἐκείνη καὶ τρισαθλία, Gal. 6, 10. *memoriam* ἣ [30] τὸν κόσμον καταλείψασα [31] καὶ ἑαυτὴν καταγράψασα [32] τῷ *commendat;* Θεῷ, ἀξίως δὲ τοῦ ἐπαγγέλματος αὐτῆς μὴ ζήσασα [33]. Μὴ οὖν συγχωρήσωμεν, ἀδελφοί, τῷ αἰῶνι τούτῳ, ὀλίγῳ ὄντι καὶ εὐτελεῖ καὶ σκιᾷ παρερχομένῃ ἐοικότι, ἁρπάσαι τὴν μακαρίαν ἐκείνην καὶ Cf. Sap. 5, 9. ἀθάνατον ζωὴν ἀφ' ἡμῶν. Ἀληθῶς φοβοῦμαι μήποτε οἱ κατὰ σάρκα ἡμῶν [34] πατέρες [35] ἐν τῷ κόσμῳ διατρίβοντες καὶ περιαντλούμενοι [36] μερίμναις [37] καὶ περιστάσεσιν [38], οἰόμενοι περὶ ἡμῶν [34] ὡς δῆθεν ἀνακειμένων [39] τῷ Θεῷ καὶ ἐντεῦθεν ἀρραβωνισθέντων [40] πρόσοδα [41] τῆς μακαρίας ζωῆς [42], ἐπικουρίας δὲ τυχεῖν ἐν τῷ μέλλοντι αἰῶνι [43] παρ' ἡμῶν [44] προσδοκῶντες [45], εὑρεθῶσιν κατακρίνοντες ἡμᾶς [46] καὶ λέγοντες τὸ γεγραμμένον [47] · Πῶς ἐταλαιπωρή- Cf. Ier. 9, 19; σατε καταισχυνθέντες [48] σφόδρα ; μεγάλη ἡ θλῖψις ὑμῶν · πῦρ 11, 16; ἀνήφθη ἐφ' ὑμᾶς · ἠχρειώθησαν [49] οἱ κλάδοι ὑμῶν [50] · διὰ τοῦτο 2, 14-15. εἰς προνομὴν ἐγένοντο · ἐπ' αὐτὴν ὠρύοντο λέοντες [51] καὶ ἐπ' αὐτὴν ἔδωκαν φωνὴν αὐτῶν. Διὰ τοῦτο ἐγένοντο [52] οἱ ἠγαπημέ- Os. 9, 10. νοι [53] ὡς οἱ ἐβδελυγμένοι · καὶ ὁ στέφανος τῆς κεφαλῆς ὑμῶν Cf. Ier. 13, ἀφῄρηται. Πόλεις αἱ πρὸς νότον πῶς συνεκλείσθητε ; οὐκ ἔστιν ὁ 18-19. ἀνοίγων ὑμῖν. Ἀρθήτω γὰρ ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου · Is. 26, 10. ἠκούσατε [54]. »

20. « Διὰ τοῦτο, ἀδελφοί [1], ἀγωνισώμεθα ἐξ ὅλης καρδίας, τὸν *de morte* θάνατον [2] πρὸ ὀφθαλμῶν ἡμῶν [3] κατὰ πᾶσαν ὥραν φέροντες [4] καὶ τὴν φοβερὰν [5] κόλασιν κατὰ πᾶσαν ὥραν [6] φανταζόμενοι [7] · δι' ὧν εἰς αἴσθησιν ὁ νοῦς ἔρχεται [8], καὶ [9] βρίθει μὲν δακρύουσα ἡ *et iudicio*

[28] τῆς ὥρ. *om.* Ab. — [29] καιρὸν αἰτούμενοι ἕτερον πρὸς μετάνοιαν A, αἰτοῦντες καιρὸν ἄλλον μετανοῆσαι b. — [30] μὴ *add. sup. lin. al. man.* b. — [31] καταλιποῦσα A. — [32] (ἑ. κ.) κ. μὲν ἑ. A. — [33] ἀξίως δὲ μὴ ζ. τοῦ ἑαυτῆς ἐπ. A ; ἀξ. δὲ τοῦ ἑαυτῆς ἐπ. μὴ (*sup. lin.*) ζής. b. — [34] ὑμῶν b. — [35] (ἡ. π.) π. ἡ. A. — [36] ταῖς τοῦ κόσμου *add.* Ab. — [37] τε *add.* b. — [38] καὶ π. *om.* A. — [39] (δ. ἀ.) ἀ. δ. A. — [40] ἀρραβονιασθέντων F o ; (ἐντ. ἀρρ.) ἀρρ. ἑ. A. — [41] ἤδη A ; τὰ προσώδια b. — [42] τὴν μακαρίαν ζωὴν A. — [43] *om.* A. — [44] ὑμῶν Fb o. — [45] (ἐπικουρ. - προσδ.) προσδοκοῦντες δὲ καὶ τυχ. ἐπικ. παρ' ἡμ. ἐν τῷ μέλλ. A. — [46] ὑμᾶς b. — [47] (λέγ. τὸ γ.) τὸ γ. ἐκεῖνο λέγ. A. — [48] καταισχυθέντες o, καὶ κατησχύνθητε b. — [49] ἠφανίσθησαν b. — [50] ἡμῶν Fo. — [51] ἐπ' αὐ. ὠρ. λ. *om.* o. — [52] (ἐπ' αὐ. ὠρ. - ἐγέν.) *om.* b. — [53] ἡγούμενοι A. — [54] ἀδελφοί *add.* A b.

20. — [1] *om.* Ab. — [2] *sup. lin.* A. — [3] *om.* Ao ; ἔχοντες b. — [4] *om.* b. — [5] ἡμέραν καὶ *add.* b. — [6] κατὰ π. ὥ. *om.* Ab ; (φέροντες - ὥρ.) *om.* o. — [7] καθ' ἑκάστην *add.* A. — [8] (ὁ ν. ἔ.) ἐρχόμενος ὁ νοῦς A. — [9] *om.* A.

cotidie meditandum

ψυχή [10], καὶ [11] θεωρητικὴν δὲ κατεργάζεται αὐτὴν [12] καὶ [13] ἀπὸ τῶν γηΐνων ἀμετέωρον παρασκευάζει αὐτὴν πρὸς τὸν Θεόν [14]· οὐ μὴν δέ, ἀλλὰ καὶ ταπεινοφροσύνην ἐκ τούτων ἐργαζόμενος [15], οἰκτράν [16] τε καὶ ἀκενόδοξον καὶ [17] εὐτελῆ [17] καὶ παντὸς [18] ἀπηλλοτριωμένην αὐτὴν [17] τοῦ κοσμικοῦ [19] φρονήματος ἀναπείθει αὐτὴν γενέσθαι [20]. *Φιλοσοφείτω οὖν καθ' ἑκάστην, ἀδελφοί* [21], πρὸς τὸ παχύτατον σῶμα τοῦτο [22] ἡ ψυχὴ ἡμῶν ἐρχομένων [23] περὶ τὴν κοίτην ὀψέ, λέγουσα πρὸς ἕκαστον μέλος τοῦ σώματος· Ὦ πόδες, ὡς ἔχετε ἐξουσίαν σταθῆναι καὶ κινεῖσθαι [24], πρὸ τοῦ τεθῆναι ὑμᾶς [25] καὶ ἀκινήτους εἶναι [26], στήκετε προθύμως τῷ Κυρίῳ ὑμῶν. Πρὸς δὲ τὰς χεῖρας λέγουσα [27]· Ἔσται ὥρα ἐν ᾗ ἔσεσθε ἐκλελυμέναι καὶ ἀκίνητοι καὶ [28] δεδεμέναι ἀλλήλαις καὶ μήτε μίαν κίνησιν ἔχουσαι [29]· διὰ τοῦτο πρὸ τοῦ ἐμπεσεῖν ὑμᾶς εἰς ἐκείνην τὴν ὥραν, μὴ ἐκκακεῖτε ἐπεκτεινόμεναι πρὸς τὸν Κύριον [30]. Πρὸς δὲ τὸ σῶμα ὅλον λεγέτω ἡ ψυχὴ οὕτως [31]· Ὦ σῶμα, πρὸ τοῦ διαχωρισθῆναι καὶ μακρυνθῆναι ἡμᾶς ἀπ' ἀλλήλων [32], ἐμὲ [33] μὲν εἰς ᾅδην κατενεχθῆναι, δεσμοὺς ἀϊδίους [34] ὑπὸ ζόφον διαλαβοῦσαν [35], σὲ δὲ εἰς [36] τὴν ἀρχαίαν οὐσίαν μεταβληθῆναι καὶ διαλύεσθαι εἰς γῆν δυσωδίᾳ καὶ σηπεδόνι καταναλωθεῖσαν [37], θαρσαλέως στῆθι, προσκύνει [38] τῷ Κυρίῳ [39]· λάβε μοι [40] τὴν [41] αἴσθησιν διὰ δακρύων γνωριζομένην· γνώρισον [42] τῷ δεσπότῃ τὴν ἀγαθήν σου δουλείαν· βάστασόν με προθύμως τῷ Θεῷ [43] ἐξομολογουμένην, πρὸ τοῦ σε βασταχθῆναι ὑπὸ ἄλλων· μή, θέλον κοιμᾶσθαι καὶ ἀνακτᾶσθαι [44], εἰς αἰώνιον κόλασιν καταδικάσῃς με [45]· ἔσται γὰρ καιρὸς ὅτε ὁ βαρύτατος ἐκεῖνος ὕπνος [46] διαδέχεσθαί σε μέλλει [47]. Ἐὰν ἀκούσῃς

docet.

Mt. 25, 46.

[10] *ita* b ; *φριττει μὲν δακρ. ψ.* Fo ; *βρίθειν μὲν δάκρυσι ποιεῖ τὴν ψυχήν* A. — [11] *om.* A ob. — [12] (*κ. αὐ.*) *αὐ. κατ.* A, *αὐ. ἀπεργάζεται* b. — [13] *om.* Fo. — [14] (*ἀπὸ - θεόν*) *μετέωρον* (*sic*) *πρὸς τὸν θ. ἀπὸ τῶν γ.* A. — [15] *ἐμποιῶν* A. — [16] *οἰκτρήν* Fo. — [17] *om.* A. — [18] *παντελῶς* b. — [19] *σαρκικοῦ* b. — [20] *πείθει γεν. αὐτήν* A ; *quae sequuntur om.* o : *cf. p. 147, annot.* [72]. — [21] *ἀδελφέ* A. — [22] (*σ. τ.*) *τ. σ.* b, *τοῦ σώματος* A. — [23] *ἡ. ἐ. om.* A. — [24] *κινηθῆναι* A. — [25] *ἐν τάφῳ add.* A. — [26] (*ἀκ. εἶναι*) *μένειν ἀκ.* A. — [27] *αὖθις λεγέτω* A ; *ὦ χεῖρες add.* Ab. — [28] *om.* b. — [29] (*μήτε - ἔχ.*) *om.* A. — [30] *ἐπεκτ. πρὸς κύρ.* b ; *πρ. κύρ. ἐπεκτ.* A. — [31] (*λεγ. - οὕτ.*) *οὕτ. ἡ ψ. ὁμιλείτω* A. — [32] *διαχωρ. ἡμᾶς ἀπ' ἀλλ. καὶ μακρ.* A, *διαχωρ. ἡμ. καὶ μακρ. ἀπ' ἀλλ.* b. — [33] *κἀμὲ* A. — [34] *ἰδίους* F ; *δεσμοῖς ἀϊδίοις* A b. — [35] *διαλαβοῦσαι* b, *τετηρημένην* A. — [36] *πρὸς* A. — [37] *ita* b ; *διαλύεσθαι εἰς τὴν δυσωδίαν καὶ σηπεδόνα κατ.* F ; *διαλυθῆναι εἰς δυσωδίαν καὶ σηπεδόνα* A. — [38] *προσκύνησον ἀόκνως* A. — [39] *ἀόκνως add.* b. — [40] *μου* b, *καὶ αὐτὸ* A. — [41] *ἐμὴν add.* A. — [42] *γνώριζε* b, *ἐμφάνισον* A. — [43] *κυρίῳ* b. — [44] *ἀναπαύεσθαι νῦν* A. — [45] *εἰς αἰωνίαν κατ. με κόλ.* A. — [46] (*ἐ. ὕ.*) *ὕ. ἐ.* b. — [47] *ὅτε βαρύτ. ὕπ. μέλλει σε διαδ.* A.

μου, ἀπολαύσομεν ὁμοῦ τῆς μακαρίας κληρονομίας. Ἐὰν [48] *δὲ μὴ ἀκούσῃς* [49] *μου, οἴμοι* [50] *ὅτι συνεδέθης μοι· διὰ* [51] *σὲ κἀγὼ* [52] *ἡ ἀθλία κατάδικος γίνομαι. — Ἐὰν οὕτως* [53] *ἔσεσθε καθ' ἑκάστην ἑαυτοὺς ἀλείφοντες* [54], *ἀληθῶς* [55] *ἀληθινὸς ναὸς τοῦ Θεοῦ ὑπάρξητε* [56]· *καὶ ἐνοικοῦντος ἐν ὑμῖν τοῦ Θεοῦ* [57], *ποία σατανικὴ μεθοδεία δύναται ὑμᾶς ἀπατῆσαι* [58]; *Ἀντὶ γὰρ μυρίων διδασκάλων* [59] *ὁ* [60] *τοῦ Θεοῦ λόγος* [61] *ἐνοικῶν ἐν ὑμῖν* [62] *πλέον διδάσκει ὑμᾶς καὶ σοφίζει* [63] *μᾶλλον* [64] *τὴν ἑαυτοῦ γνῶσιν. Καὶ ὅσα ὁ ἀνθρώπινος λόγος οὐ δύναται λέγειν* [65], *ταῦτα τὸ πανάγιον* [66] *πνεῦμα διδάσκει* [67]. *Τὸ γὰρ τί* [68], *φησίν* [69], *προσευξόμεθα* [70] *καθ' ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει* [71] *ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις* [72]. *Καὶ ἕτερα μὲν εἰπεῖν πολλὰ ὠφέλιμα δυνατὸν πρὸς ὑμᾶς τῇ τοῦ Θεοῦ χάριτι* [73]. *Ἀλλ' ἵνα μὴ ἐγχρονίσωμεν ἐν τῇ αὐτῇ ὑποθέσει* [74], *ἐφ' ἑτέρᾳ* [75] *τρέψωμεν τὸν λόγον* [76]. »

Cf. II. Cor. 6, 16.

Cf. Col. 3, 16.

Cf. Lc. 12, 12. Rom. 8, 26.

Περὶ τῶν ἑκατὸν νομισμάτων τοῦ σίτου.

Fratrem qui ad emendum frumentum missus

21. *Λιμοῦ γενομένου ποτὲ* [1] *ἐπὶ τοῦ μακαρίου πατρὸς ἡμῶν Παχουμίου* [2], *καὶ τῶν ἀδελφῶν μὴ ἐχόντων σῖτον, μᾶλλον δὲ σίτου μὴ εὑρισκομένου καθ' ὅλην σχεδὸν* [3] *Αἴγυπτον, ἀπέστειλεν* [4] *ὁ ἅγιος γέρων τινὰ τῶν ἀδελφῶν περιελθεῖν τὰς πόλεις* [5] *καὶ τὰς κώμας* [6] *ζητοῦντα σῖτον ἀγοράσαι* [7], *δεδωκὼς αὐτῷ ἐπὶ λόγῳ τῆς τοῦ σίτου ἀγορασίας ρ' νομίσματα* [8]. *Περιελθὼν δὲ* [9] *ὁ πι-*

[48] *εἰ* A. — [49] (*μὴ ἀκ.*) *παρακούσῃς* b. — [50] *οἴμμοι* Fb. — [51] *γὰρ add.* A. — [52] *ἐγὼ* b. — [53] *ἀδελφοὶ add.* A. — [54] *corr. in marg., prius ἔσεσθ' ἑκάστην ἑαυτ. ἀλ.* F ; *καθ' ἑκ. ἦτε ἀλ. ἑαυτ.* A ; *ἐστὲ ἑαυτ. καθ' ἑκ. ἀλ.* b. — [55] *ὄντως* A. — [56] *ὑπάρξετε τοῦ θ.* A. — [57] (*καὶ ἐνοικ. - θ.*) *καὶ τούτου ἐνοικ. ἐν ὑ.* A. — [58] (*ὑ. ἀ.*) *ἀ. ὑ.* b. — [59] (*ἀντὶ - διδ.*) *om.* A. — [60] *γὰρ add.* A. — [61] *φόβος* A. — [62] *μυρίων διδασκ. add.* A. — [63] *σοφίσει* b ; (*ὑ. καὶ σ.*) *καὶ σ. ὑ.* A. — [64] *om.* A. — [65] *ποιεῖν* A. — [66] *καὶ θεῖον τῆς ἀχράντου φύσεως add.* Ab. — [67] *καὶ ὑφηγεῖται add.* A. — [68] (*τὸ γὰρ τί*) *τί γὰρ* A. — [69] *om.* b. — [70] *προσευχόμεθα* A. — [71] *ἐντυγχάνει* b. — [72] (*φιλοσοφείτω - ἀλαλήτοις*) *om.* o. — [73] (*καὶ ἕτερα - χάρ.*) *ἐξῆν μὲν οὖν καὶ ἕτερα πολλὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ ὠφελείας τῇ χάρ. τοῦ θ.* A. — [74] (*ἐν τῇ αὐ. ὑπ.*) *τοῖς αὐτοῖς* A. — [75] *ἐφ' ἕτερα* A. — [76] *τὸν λόγον τρεψώμεθα* A ; (*καὶ ἕτερα - λογ.*) *ταῦτά τε καὶ ἄλλα πολλὰ τοιαῦτα εἰπὼν ἀπέλυσεν αὐτούς* o, *αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν* b. *Des.* ob. Apoc. 1, 6.

21. — [1] *ε', περὶ τοῦ σίτου καὶ τῶν σανδαλίων· λιμοῦ ποτε γεν.* A. — [2] (*ἐπὶ - παχ.*) *om.* A. — [3] *τὴν add.* A. — [4] *ἀπέσταλεν* A. — [5] *κώμας* A. — [6] *χώρας* A. — [7] (*ζ. σ. ἀγ.*) *καὶ ἀγ. σ.* A. — [8] *δεδ. αὐ. καὶ νομ. ἑκατὸν λόγῳ τῆς τοῦ σ. τιμῆς* A. — [9] *οὖν* A.

στευθεὶς [10] πολλοὺς τόπους [11] παραβάλλει εἴς τινα πόλιν λεγομένην Ἑρμωνθίν [12]. Καὶ [13] κατ' οἰκονομίαν [14] Θεοῦ ηὗρεν [15] ἐκεῖ ἄνθρωπόν τινα [13] πολιτευόμενον [13], πάνυ εὐλαβῆ καὶ τὸν Θεὸν φοβούμενον [16], ἀκούσαντα περὶ τοῦ βίου τοῦ ἁγίου [17] Παχουμίου καὶ τῶν ἀδελφῶν. Οὗτος ὁ πολιτευόμενος δημόσιον σῖτον πεπίστευτο. Τούτῳ [18] προσελθὼν ὁ ἀδελφὸς παρεκάλει αὐτὸν [19] πωλῆσαι σῖτον αὐτῷ [20] ρ' [21] νομισμάτων. Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· « Ἀληθῶς, ἀδελφέ, εἰ [22] εἶχον ἐμὸν σῖτον, ἀπὸ τῶν τέκνων μου ἂν λαβὼν [23] ἐδίδουν ὑμῖν. Ἀκούω γὰρ περὶ τῆς θείας τε [19] καὶ ἐναρέτου ὑμῶν πολιτείας [24]. Ἄκουσον δέ μου ὃ μέλλω σοι λέγειν [25]· δημόσιον σῖτον ἔχω κείμενον [26], καὶ [27] τέως ἄρτι [19] οὐ ζητεῖται παρὰ τοῦ ἄρχοντος. Εἰ οὖν θέλεις λαβεῖν [28] αὐτόν, ἕως [29] τοῦ καιροῦ τῆς ἄλωνος ὑπερθέσθαι δύναμαι τὰ δημόσια. Ἐὰν οὖν [30] οἶδας [31] ὅτι δύνασαι ἀποκαταστῆσαι τὸν σῖτον ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ δὴ λάβε ὅσον θέλεις. » Τοῦ δὲ ἀδελφοῦ εἰπόντος ὅτι· « Οὐχ οὕτως θέλω, ἀλλ' ἐὰν θέλῃς τῶν ρ' ὁλοκοτίνων δοῦναί μοι οἵας θέλεις τιμῆς, καλῶς ποιεῖς [32], » ἐκεῖνος ἔφη [33]· « Ναὶ [19] δύναμαι· οὐ μόνον τῶν ρ' ὁλοκοτίνων [34], ἀλλ' ἐὰν θέλῃς [35] καὶ ἄλλων τοσούτων ὁλοκοτίνων λαβεῖν σῖτον [36], χάριν μοι ποιεῖς ἐν τούτῳ· μόνον εὔχεσθε [37] ὑπὲρ ἐμοῦ. » Εἰπόντος δὲ τοῦ ἀδελφοῦ [38] ὅτι· « [39] Οὐκ ἔχομεν εἰ μὴ τοῦτο », ὁ πολιτευόμενος ἀκούσας εἶπεν [40]· « Μὴ μελέτω σοι περὶ τούτου· λάβε τὸν σῖτον, καὶ ὅταν εὕρητε τὴν τιμήν, ἐνέγκατέ μοι. » Ἐπὶ τούτῳ οὖν τῷ ὅρῳ γομώσας τὸ πλοῖον σίτου [41] ἐκ δεκατριῶν ἀρταβῶν τοῦ ὁλοκοτίνου, μηδαμοῦ καθ' ὅλην τὴν Αἴγυπτον εὑρισκομένου πέντε ἀρταβῶν τοῦ ὁλοκοτίνου [42], κατέπλευσεν εἰς τὴν μονὴν μετὰ πολλῆς χαρᾶς ὁ ἀδελφός [43].

duplum acceperat mutuum,

[10] τὴν διακονίαν add. A.— [11] (π. τ.) τ. π. A.— [12] ἑρμωθιν F ; (παρ. - ἑρμ.) πόλει τινὶ παραβάλλει ἑρμούθει λεγομένη A. — [13] om. A.— [14] δὲ add. A. — [15] εὗρεν A. — [16] (τ. θ. φ.) φ. τ. θ. A. — [17] ἀκούοντα περί τε τοῦ ἁγ. A. — [18] (οὗτος - τούτῳ) τούτω πολιτευομένω καὶ δημ. σ. πεπιστευμένω A.— [19] om. A.— [20] (σ. αὐ.) αὖ. σ. A. — [21] ἑκατὸν hic et infra A.— [22] εἴπερ A. — [23] (ἂν λ.) λ. ἂν A. — [24] (ὑ. π.) π. ὑ. A. — [25] (σοι λ.) λ. σοι A.— [26] παρ' ἐμοὶ add. A. — [27] ὃς A. — [28] λάβε A. — [29] καὶ μέχρι A. — [30] (ἐὰν οὖν) καὶ εἴπερ A. — [31] οἶδες F. — [32] οὐχ οὕτως θέλω ἵνα ποιήσῃς μοι· οὐ γὰρ δύναμαί σοι τὸν σῖτον ἀποκαταστῆσαι· ἀλλ' εἰ ὅλως ὑπερθέσθαι δύνασαι τὰ δημόσια μέχρι τῆς ἄλωνος καὶ δώσεις μοι οἵας θέλεις τιμῆς ἑκατὸν νομισμάτων, καλῶς ποιήσεις A. — [33] εἶπε A. — [34] νομισμάτων hic et deinceps A. — [35] εἰ θέλεις A. — [36] (λαβ. σῖτ.) σῖτ. λαβ. A. — [37] (ἐν τούτῳ μόν. εὔχ.) πρὸς τὸ εὔχεσθαι τοὺς ἀδελφοὺς A. — [38] καὶ τοῦ ἀδ. εἰπ. A. — [39] χρυσίον add. A.— [40] (ἀκ. εἶπεν) ἀπεκρίνατο A.— [41] γεμίσας σίτου τὸ πλ. A. — [42] (μηδαμοῦ - ὁλοκ.) om. A. — [43] κατέπλ. μετὰ χαρᾶς πολλῆς ὁ ἀδ. εἰς τ. μονήν A.

improbat

22. Ἀκούσας δὲ ὁ μέγας ὅτι ὥρμισεν [1] τὸ πλοῖον γεγομωμένον [2] σίτου [3], καὶ τὸν τρόπον τῆς τοῦ σίτου ἀγορασίας [4] μαθών [5], πέμπει εὐθὺς εἰς τὸ πλοῖον λέγων [6]· « Ἕνα κόκκον τοῦ σίτου τούτου μὴ εἰσενέγκητε εἰς τὴν μονὴν ταύτην [5]· μηδὲ ὁ ἀγοράσας εἰς πρόσωπόν μου ἔλθῃ [7], ὅτι ἠνόμησεν πάνυ [8] τοῦτο πεποιηκώς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἄλλων ρ' ὁλοκοτίνων σῖτον λαβών, ὅπερ οὐκ ἐκέλευσα αὐτῷ ποιῆσαι [9], τῷ [10] ἰδίῳ φρονήματι ὑπηρετῶν τὸ πλέον ἠγάπησεν, καὶ τῷ τῆς φιλοκερδίας πάθει πυρωθεὶς κατεδουλώσατο [11] ἡμᾶς πάντας ποιήσας ὑποχρέους εἶναι [12], καὶ ἀκορέστως [13] μὲν [14] φιλανθρωπίᾳ τοῦ δεδωκότος χρησάμενος, πλεονεξίας δὲ τρόπον ἐργασάμενος, ὑπὲρ τὴν χρείαν ἡμῶν κομίσας σῖτον [15], καὶ [16] ἐξ αὐθεντίας ἑαυτῷ [16] δανεισάμενος ὃν [17] οὐκ ἔχομεν πόθεν ἀποδοῦναι [18]. Οὐ μὴν δέ, ἀλλ' εἰ καὶ συνέβη ἐρχομένῳ αὐτῷ ἀνθρώπινον [19] ὑποστῆναι, ναυαγήσαντος τοῦ πλοίου, τί εἴχαμεν [20] ποιῆσαι; οὐκ ἐμέλλομεν πάντοτε [21] δοῦλοι γενέσθαι; Διὰ τοῦτο, ὅσον ἤνεγκεν σῖτον, τοῖς περὶ τὰ μέρη ταῦτα κοσμικοῖς τυγχάνουσιν [16] πωλεῖτω, ὡς [22] ἔλαβεν [23] παρὰ τοῦ πιστεύσαντος αὐτῷ, ἐκ ιγ' ἀρταβῶν τοῦ ὁλοκοτίνου [24]· καὶ [25] λαβὼν τὸ χρυσίον κομιζέτω [26] τῷ πιστεύσαντι αὐτῷ [27]· τῶν δὲ ρ' ὁλοκοτίνων τῶν ἡμετέρων, ὡς πωλεῖται πανταχοῦ, οὕτως ὠνησάμενος φερέτω [28]. » Ἐποίησεν δὲ οὕτως καθὼς εἶπεν ὁ μέγας [29]· καὶ ἤνεγκεν τὸν σῖτον ἐκ πέντε ἡμισυ ἀρταβῶν τοῦ ὁλοκοτίνου ἀγοράσας [30]. Καὶ ἀπὸ τότε οὐκέτι ἀφῆκεν αὐτὸν ἐκβῆναι τοῦ μοναστηρίου εἰς [31] διακονίαν τῶν ἀδελφῶν, τάξας ἕτερον ἀντ' αὐτοῦ [32].

et castigat;

eundem

23. Ἄλλοτε πάλιν λαβὼν ὁ αὐτὸς ἀδελφὸς [1] παρὰ τοῦ σκυτέως σανδάλια πολλὰ [2] καὶ ἕτερά τινα εἴδη [3] ἐπὶ [4] τὸ διαπωλῆσαι,

22. — [1] προσώρμησε A. — [2] γέμον A. — [3] σίτον (sic) F. — [4] τῆς τούτου ἐξωνήσεως A. — [5] om. A. — [6] εἰπεῖν A. — [7] ἕως οὗ ἀποκαταστήσει τὸν σῖτον εἰς τὸν ἴδιον τόπον add. A Σ Π. — [8] (ἠ. π.) π. ἠ. A. — [9] ἀλλὰ καὶ νομισμάτων ἑτέρων ἑκατὸν σῖτον ἔλαβε παρὰ τὴν ἐμὴν ἐντολήν A. — [10] γὰρ add. A. — [11] κατεδουλώσατε F. — [12] ἡμᾶς ὑπ. εἶναι ποι. A. — [13] ἀκορέστω F. — [14] τῇ add. A. — [15] (ἡμ. κομ. σ.) ἡμῖν σῖτον ἐκόμισεν A. — [16] om. A. — [17] χρυσίον δ A.— [18] (π. ἀ.) ἀ. π. A.— [19] τι add. A. — [20] εἴχομεν A. — [21] πάντες A. — [22] καθὼς A. — [23] τοῦτον add. A. — [24] (αὐτῷ - ὁλ.) om. A. — [25] μετὰ τὸ πωλῆσαι αὐτὸν add. A Σ Π. — [26] ἀποκομισάτω A. — [27] (π. αὐ.) ἐμπιστεύσαντι A. — [28] τῶν δὲ ἡμετ. (corr.) ἑκατὸν νομισμάτων σῖτον ὠνησ. καθὼς παντ. πωλ., πρὸς ἡμᾶς φερ. A. — [29] ὁ τοῦ θεοῦ ἄνθρωπος A. — [30] ἀγ. ἐκ πέντε ἥμ. ἀρτ. τῷ νομίσματι A.— [31] (καὶ - εἰς) ἔκτοτε οὖν οὐκέτι τοῦτον ἀφ. προελθεῖν τῆς μονῆς ἐπὶ A. — [32] τάξ. ἕτ. ἀντ' αὐ. om. A.

23. — [1] (ἄλλ. - ἀδ.) ὁ γὰρ αὐτὸς λαβὼν ποτε A.— [2] om. A. — [3] καὶ ἄλλα εἴδη τινὰ A. — [4] πρὸς A.

πλέον τῆς τιμῆς ἧς εἶπεν αὐτῷ ὁ σκυτεὺς λαβὼν ἤνεγκεν αὐτῷ [5]. Λαβὼν δὲ τὸ χρῆμα ὁ σκυτεὺς [6] καὶ εὑρὼν [7] τριπλοῦν τὸ ἀργύριον, εὐθὺς ἀπελθὼν πρὸς τὸν μέγαν εἶπεν αὐτῷ· « Ἀληθῶς, ὦ πάτερ, κακῶς ἐποίησας [8] τάξας τοῦτον τὸν ἀδελφὸν [9] εἰς [10] διακονίαν τῶν τοιούτων ἀποκρίσεων τῆς μονῆς σου [11], ὅτι ἔχει [12] ἐν ἑαυτῷ τὸ κοσμικὸν φρόνημα [13]. Δέδωκα γὰρ αὐτῷ [14] σανδάλια καὶ ἕτερά τινα [11] εἴδη ἐπὶ [15] τὸ πωλῆσαι, εἰπὼν αὐτῷ [16] τὴν ποσότητα τῆς τιμῆς [17]. Ὁ δὲ πλείονος πωλήσας αὐτά, ἤνεγκεν τριπλῆν [18] τὴν τιμὴν παρ' ὃ εἶπον αὐτῷ. » Ἀκούσας δὲ ὁ μέγας ἐκάλεσεν τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· « Διὰ τί οὕτως ἐποίησας ; » Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· « Τὴν τιμήν, ὦ πάτερ [19], ἣν εἶπεν ὁ ἀδελφός [20], εἶπον τοῖς ἀνθρώποις [21] τοῖς ἀγοράζουσιν. Οἱ δὲ λέγουσίν μοι· « Ἀδελφέ, ἐὰν [22] μὴ κλεψιμαῖά [23] εἰσιν, περισσοτέρας τιμῆς εἰσιν ἄξια [24]. » Ἐγὼ δὲ διατραπεὶς εἶπον αὐτοῖς· « Κλεψιμαῖα [23] μὲν οὐκ εἰσίν· τοσοῦτον [25] δὲ ἐκελεύσθην πωλῆσαι αὐτά· ὅσον δὲ θέλετε δοῦναι, δότε. » Οἱ δὲ ὅσον ἤρεσεν [26] αὐτοῖς ἐδίδουν, ἐμοῦ μὴ μετροῦντος τὸ παρ' αὐτοῖς [27] διδόμενον κέρμα. » Ὁ [28] μέγας ἀκούσας εἶπεν αὐτῷ· « Ἡμάρτηκας μεγάλως, τὸ πλέον ἀγαπήσας. Ἀλλὰ ταχέως δραμὼν τὸ περισσὸν τῆς τιμῆς ἀπόδος τοῖς δεδωκόσιν σοι. Καὶ ἐλθὼν μετανόησον ὑπὲρ τοῦ σφάλματός σου [29], καὶ κάθου εἰς τὴν μονὴν ἐργαζόμενος τὸ ἴδιόν σου ἔργον. Οὐ συμφέρει σοι γὰρ τοῦτο τὸ ἔργον ἔτι ποιεῖν [30]. » Ἔταξεν δὲ λοιπὸν [31] ὁ μέγας [32] εἰς τὴν διακονίαν πασῶν τῶν ἀποκρίσεων τῆς μονῆς τὸν ἅγιον Ζακχαῖον, ἄνδρα ἀγαθὸν καὶ πάντα ἔπαινον ἀνθρώπων τῇ τῶν ἀγαθῶν πράξεων ἀποδείξει νικῶντα [33].

sandalia pluris vendentem quam iussus erat

ab officio summovet

[5] πλέον ἤνεγκε χρῆμα ἧς εἶπ. αὐ. τιμ. ὁ σκ. A. — [6] ἀπολαβὼν δὲ οὗτος ἐμέτρησε τὴν τιμὴν τοῦ δέρματος καὶ τοῦ καμάτου τῶν χειρῶν αὐτοῦ ἓκ πεντήκοντα λεπτῶν ὁρίσας τὰς ἡμέρας ἐν αἷς εἰργάσατο τὰ εἴδη ἐκεῖνα A (*cf.* Σ). — [7] (καὶ εὑ.) εὑ. δὲ A. — [8] (ἀλ. - ἐπ.) οὐ καλῶς ἐπ. πάτ. A. — [9] τοῦτ. τὸν ἀδ. τάξ. A. — [10] τὴν *add.* A. — [11] *om.* A. — [12] (ὅτι ἔ.) ἔ. γὰρ A. — [13] Εἰπόντος δὲ τοῦ μεγάλου· τί ἐστι τὸ πρᾶγμα ὃ ἐποίησε κακῶς ; ὁ σκυτεὺς ἀπεκρίνατο λέγων *add.* A (*cf.* Σ Π). — [14] ἔδωκα τούτω A. — [15] πρὸς A. — [16] καὶ *add.* A. — [17] τῆς τιμ. τὴν ποσ. A. — [18] (ἤν. τρ.) τρ. ἤν. A. — [19] ὦ πάτερ *om.* A. — [20] ἣν λαβεῖν μοι ὁ ἀδ. ἐνετείλατο A. — [21] τοῖς ἀνθρ. *om.* A. — [22] εἰ A. — [23] κλοπιμαῖα A. — [24] περισσότερον λήψη A. — [25] τοσούτου A. — [26] ἤθελον καὶ ἤρεσκον (*sic*) A. — [27] παρ' αὐτῶν A. — [28] δὲ *add.* A. — [29] τούτου *add.* A. — [30] οὐ συμφέρει γάρ σοι διακονεῖν ἔτι A ; *dein* ἐποίησεν οὖν ὁ ἀδελφὸς ἐκεῖνος ὡς εἶπεν αὐτῷ ὁ μέγας *add.* A (*cf.* Σ Π). — [31] *om.* A. — [32] πατὴρ A. — [33] *in cod.* A *sequuntur cap. 8-11.*

ι' [1]. Περὶ τῆς νυκτερινῆς φαντασίας.

24. Ἐγένετό ποτε τὸν μέγαν Παχούμιον καὶ Θεόδωρον τὸν ποθούμενον ὑπ' αὐτοῦ, περιπατοῦντας ἐν τῇ μονῇ τὴν νύκτα, ἄφνω ἰδεῖν αὐτοὺς ἀπὸ μήκοθεν φαντασίαν τινὰ μεγάλην καὶ ἀπάτης πολλῆς γέμουσαν [1*]. Ἦν δὲ τὸ φαινόμενον γυναικὸς σχῆμα κάλλος ἐχούσης [2] ἀνεκλάλητον [3], ὥστε [4] τὸν Θεόδωρον τὴν φαντασίαν ταύτην [5] ἰδόντα πάνυ ταραχθῆναι καὶ ἀλλοιοῦσθαι τῷ προσώπῳ. Ὃν ἰδὼν ὁ μακάριος οὕτως ταραχθέντα καὶ δειλιάσαντα, ἔλεγεν αὐτῷ· « Θάρρει ἐν Κυρίῳ, Θεόδωρε, καὶ μὴ ἀγωνιάσῃς. » Καὶ ταῦτα εἰπὼν ὁ ἅγιος ἤρξατο μετ' αὐτοῦ εὔχεσθαι πρὸς τὸ ἀπελασθῆναι [6] ἀπ' αὐτῶν τὴν ἔκπληκτον [7] φαντασίαν ἐκείνην. Εὐχομένων δὲ αὐτῶν, μᾶλλον ἐχώρει κατ' αὐτῶν [8] ἀναιδευομένη. Ἐγγιζούσης δὲ αὐτῆς μετὰ πλήθους δαιμόνων προτρεχόντων ἔμπροσθεν αὐτῆς, καὶ τῆς εὐχῆς μὴ ἀποστρεψάσης αὐτήν, ἐλθοῦσα πρὸς αὐτοὺς λέγει αὐτοῖς [9]· « Μάτην [10] κοπιᾶτε· οὐ δύνασθε γὰρ [11] τέως ἄρτι κατ' ἐμοῦ ποιεῖν οὐδέν. Ἐξουσίαν γὰρ ἔλαβα [12] παρὰ τοῦ παντοκράτορος Θεοῦ πειράσαι οὓς βούλομαι. Πολὺν γὰρ [11] χρόνον ἔχω [11] αἰτουμένη παρ' αὐτοῦ τοῦτο. » Ἐρωτήσαντος δὲ αὐτὴν [11] τοῦ ἁγίου καὶ εἰπόντος [13] · « Σὺ γὰρ πόθεν εἶ, καὶ τίς εἶ, καὶ τίνας ἤλθες πειράσαι ; » ἀπεκρίθη λέγουσα· « Ἐγώ εἰμι ἡ θυγάτηρ τοῦ διαβόλου, ἡ πᾶσα δύναμις αὐτοῦ λεγομένη· ἐμοὶ γὰρ πᾶσα [14] φάλαξ τῶν δαιμόνων δουλεύει. Ἐγώ εἰμι ἡ τοὺς ἁγίους φωστῆρας εἰς γῆν καταφέρουσα. Ἐγώ εἰμι ἡ σκυλεύσασα τὸν Ἰούδαν ἐκ τῆς ἀποστολικῆς παρεμβολῆς. Πρὸς σὲ οὖν, Παχούμιε, ἔλαβον ἐξουσίαν πολεμῆσαι [15] · οὐκ ἠδυνήθην γὰρ στέξαι τῶν δαιμόνων τὸν ὀνειδισμόν [16] · οὐδεὶς [17] οὕτως ἐξενεύρωσέν [18] με ὡς σύ· παιδίοις γὰρ καὶ γέρουσιν καὶ νεωτέροις πατεῖσθαί με παρεσκεύασας· καὶ συνῆξας κατ' ἐμοῦ τοσοῦτον ὄχλον, τεῖχος ἀρραγέστατον φόβον

Pachomio et Theodoro

apparet filia diaboli,

24. — [1] ζ' A. — [1*] ἐγένετό ποτε περιπατοῦντα τὸν μέγαν νυκτὸς ἅμα θεοδώρῳ τῷ ποθουμένῳ φαντ. ἰδεῖν ἀπὸ μήκ. ἄφνω μεγάλην τινὰ καὶ πολλ. γέμ. ἀπάτης A. — [2] ἔχουσαν F. — [3] ὡς μὴ δύνασθαι μήτε τὸ κάλλος μήτε τὸ σχῆμα μήτε τὴν θέαν τῆς προσούσης αὐτῇ φαντασίας διηγήσασθαι *add.* A, necnon (*perpaucis mutatis*) Σ Π. — [4] καὶ A. — [5] τὴν φ. τ. *om.* A. — [6] ἀπελαθῆναι A. — [7] ἔμπληκτον A. — [8] (ἐ. κατ' αὐ.) κατ' αὐ. ἐ. A. — [9] (ἐλθ. - αὐτ.) ἤκουον λεγούσης A. — [10] τί μ. A. — [11] *om.* A. — [12] ἔλαβον A. — [13] λέγοντος αὐτῇ A. — [14] ἡ *add.* A. — [15] (ἔ. ἐξ. π.) π. ἔ. ἐξ. A. — [16] οὐ γὰρ ἠδ. στ. τὸν ὀν. τῶν δ. A. — [17] ὅτι οὐδεὶς A. — [18] ἐξενεύρησέ A.

τοῦ Θεοῦ περιθεὶς αὐτοῖς [19], ὡς μὴ δύνασθαι λοιπὸν τοὺς ἡμετέρους ὑπηρέτας μετὰ παρρησίας ἐγγίζειν τινὶ ὑμῶν [20]. Ταῦτα [21] συνέβη μοι διὰ τὸν ἐνανθρωπήσαντα Θεοῦ [22] λόγον· αὐτὸς [23] γὰρ
Cf. Lc.10,19. ἔδωκεν ὑμῖν ἐξουσίαν καταπατεῖν τὴν δύναμιν ἡμῶν πᾶσαν καὶ ἐμπαίζειν ἡμῖν. »

25. Ἐρωτήσαντος δὲ αὐτὴν [1] τοῦ ἁγίου Παχουμίου· « Ἐμὲ μόνον [2] ἦλθες πειράσαι ἢ καὶ ἄλλους; » εἶπεν ἐκείνη· « Καὶ σὲ καὶ τοὺς κατὰ σὲ πάντας. » Εἶπεν [3] Παχούμιος πάλιν πρὸς αὐτήν· « Οὐκοῦν καὶ Θεόδωρον; » Ἡ δὲ εἶπεν· « Καὶ πρὸς σὲ καὶ πρὸς Θεόδωρον ἔλαβον ἐξουσίαν· ἀλλ' οὐ δύναμαι ὑμῖν ἐγγίζειν τὸ σύνολον [4]. » Εἰπόντων δὲ αὐτῶν· « Διὰ τί; » εἶπεν ἐκείνη· « Ἐὰν πολεμήσω ὑμῖν [5], αἰτία ὑμῶν γίνομαι [6] ὠφελείας μᾶλλον ἢ βλάβης [7],
Cf. Ioh.1,14. ὅτι κατηξιώθητε θεαταὶ εἶναι [8] τῆς δόξης τοῦ Θεοῦ. Ἀλλ' [9] οὐκ εἰς τὸν αἰῶνα μέλλετε ζῆν αὐτοῖς, οὓς [10] νῦν διὰ τῶν εὐχῶν τειχίζετέ τε καὶ βοηθεῖτε [11]· ἔσται γὰρ [12] καιρὸς μετὰ τὸν θάνατον ὑμῶν
quae se efficacius iis mortuis τῶν νῦν φρουρούντων [13] αὐτοὺς ἀπ' ἐμοῦ [14], ἐν ᾧ μέλλω χορεύειν ἐν αὐτοῖς. Ὑμεῖς γὰρ ἐποιήσατε καταπατεῖσθαί με [15] ὑπὸ τοσούτου πλήθους μοναχῶν. » Εἰπόντος δὲ τοῦ μεγάλου πρὸς αὐτήν [16]·
« Πόθεν γάρ σου οἶδας ὅτι οἱ μεθ' ἡμᾶς οὐκ ἔσονται μᾶλλον ἡμῶν
monachos impetituram sperat γνησίως [17] τοῦ Θεοῦ [18], πρὸς τὸ δύνασθαι αὐτοὺς [19] ἀσφαλίσασθαι τοὺς μεθ' ἡμᾶς [20] τῷ τοῦ Θεοῦ φόβῳ; » εἶπεν ἐκείνη [21] ὅτι· « Οἶδα τοῦτο. » Λέγει αὐτῇ ὁ μέγας· « Ψεύδῃ κατὰ τῆς ἀνοσίας σου κεφαλῆς, μήτε ὅλως [22] τι προγνωστικὸν ἔχουσα· Θεῷ γὰρ μόνον [23] πρόγνωσιν μὲν κατὰ τὸν σὸν λόγον [25] οὐδὲν ἐπίσταμαι· Θεοῦ γὰρ μόνον ἴδιον προγνῶναι [26]. Κατὰ στοχασμὸν δὲ εἶπόν [27] σοι ὅτι [1] οἶδα. » Εἰπόντος δὲ αὐτῇ τοῦ μακαρίου Παχουμίου [1]· « Πῶς στοχάζῃ; » εἶπεν [28] ἐκείνη· « Ἐκ τῶν ἤδη προλαβόντων τὰ μηδέπω

[19] τεῖχ. ἀρραγὲς αὐ. περιτεθεικὼς τὸν τοῦ θ. φ. A. — [20] τινὶ προσεγγίζειν ὑμ. μετὰ παρρ. A. — [21] δὲ add. A. — [22] θεὸν A. — [23] ἐκεῖνος A.

25. — [1] om. A. — [2] ὡς λέγεις add. A. — [3] λέγει δὲ A. — [4] τὸ σύν. ἐγγ. ὑμ. A. — [5] corr. F, πρὸς ὑμᾶς A. — [6] (ὑ. γ.) γ. ὑμῖν A. — [7] καὶ μάλιστά σοι παχώμιε add. ΑΣΠ. — [8] κατηξιώθης σωματικοῖς ὀφθαλμοῖς θεατὴς γενέσθαι ΑΣΠ. — [9] ἀλλὰ γὰρ A. — [10] οἷς A. — [11] (τειχ. τε κ. β.) β. καὶ τεῖχός ἐστε A. — [12] (ἔ. γ.) ἐλεύσεται δὲ A. — [13] περιφρουρούντων A. — [14] ἀπ' ἐ. om. A. — [15] ὑμ. γάρ ἐστε οἱ ποιήσαντές με κατ. A. — [16] εἶπε δὲ ὁ μέγας A. — [17] (ἡμῶν γν.) γνήσιοι A. — [18] τῷ θεῷ sup. lin. A. — [19] τοὺς μετ' αὐτῶν A. — [20] τ. μεθ' ἡ. om. A. — [21] εἰπούσης δὲ αὐτῆς A. — [22] μηδ' ὅλως A. — [23] μόνω A. — [24] σὺ δὲ τοῦ ψεύδους ἄρχεις add. ΑΣΠ. — [25] (κατὰ τὸν σ. λ.) ὡς καὶ αὐτὸς εἶπας A. — [26] ἐπιγνῶναι F; θεῷ γὰρ μόνῳ ἴδ. τὸ προγν. τὰ μέλλοντα A. — [27] λέγω A. — [28] ἀπεκρίθη A.

γενόμενα στοχάζομαι. » Ὁ δὲ εἶπεν· « Πῶς; » Ἡ δέ φησιν πρὸς αὐτόν· « Ἔγνων ὅτι παντὸς πράγματος ἡ ἀρχὴ διατεταμένῳ πόθῳ πρὸς τὰ σπουδαζόμενα ἔχει τὴν ἐνέδραν [29], μάλιστα ἐπὶ θείας φυτείας καὶ οὐρανίου κλήσεως [30], ἥτις θελήματι Θεοῦ βεβαιοῦται, Cf.Hebr.3,1.
τέρασι καὶ σημείοις καὶ ποικίλαις δυνάμεσι τοὺς μετερχομένους αὐτὴν ἀσφαλιζομένη. Παλαιουμένη δὲ καὶ γηράσκουσα ἢ ἀρχὴ τῆς μὲν αὐξήσεως ἀποπίπτει· ἀποπίπτουσα δὲ τῆς αὐξήσεως ἢ χρόνῳ ἀναλίσκεται ἢ νόσῳ μαραίνεται [31] ἢ καταφρονήσει ἀμβλύνεται. »

26. Ἐρωτήσαντος δὲ αὐτὴν [1] τοῦ ἁγίου· « Τί οὖν, ὡς φῄς, τοὺς μεγάλους ἦλθες πειράσαι [2] καὶ οὐχὶ πάντας τοὺς ἀδελφούς, εἴπερ ὡς λέγεις ἴδιόν σου ἔργον ἐστὶν ἀπώλεια ψυχῶν καὶ ὑπερβάλλεις πάντας τοὺς δαίμονας εἰς κακίαν καὶ τοσοῦτον ἰσχύεις ὥστε [3] δύνασθαί σε [1] πρὸς τοὺς [1] τηλικούτους ἄνδρας ἀντιτάττεσθαι; »
ἀποκριθεῖσα εἶπεν αὐτῷ· « Φθάσασα ἤδη εἶπόν σοι [4], ὅτι [5] ἀφ' οὗ ἡ δύναμις τοῦ σωτῆρος ὑμῶν Θεοῦ ἐφάνη [6] ἐπὶ γῆς, ἐξενευρί- Cf. Tit.3,4.
σθημεν [7], ὥστε ἡμᾶς ὡς στρουθίον παρὰ τοῖς θέλουσιν δουλεύειν Cf. Iob 40,24.
τῷ Κυρίῳ ἐμπαίζεσθαι [8] καὶ καταγελᾶσθαι παρὰ τῶν τοιούτων πνευματοφόρων [9] ἀνδρῶν. Ἀλλ' εἰ καὶ ἄτονοι γεγόναμεν [10], οὐκ
modosque tentationum describit. ἀργοῦμεν τῆς ἐνεργείας ἡμῶν καθ' ὃ δυνάμεθα· οὔτε μὴν ἡσυχάζομεν [11] τοῦ ἀντικεῖσθαι ὑμῖν, σπείροντες [12] τὴν ἰδίαν μὲν [5] κακίαν πρὸς [13] τὴν ψυχὴν τοῦ ἀγωνιστοῦ [14]· ἐὰν δὲ ἴδωμεν [15] ὅτι ὑποδέχεται καὶ [16] ὅλως συγχωρεῖ ἡμῖν ἐπιβῆναι αὐτῷ, πλέον ὑπεκκαίομεν [17] τὰς ἡδονάς [18]· ἐὰν δὲ μὴ θελήσῃ [19] ὑποδέξασθαι ἡμῶν τὸν σπόρον [20] τῇ πρὸς τὸν [21] Θεὸν πίστει αὐτοῦ, ὡς καπνὸς διαλυόμενος εἰς ἀέρα [22], οὕτως ἐσόμεθα αὐτῷ [23]. Διὰ τοῦτο πρὸς πάντας [24] οὐ

[29] ἔχει τὴν ἔνεδραν F; τὴν ἐνέργειαν ἔχει καὶ A; cf. Σ: ἔχει τὸ εὔτονον, εἰ Π: ἔχει τὴν ἕδραν. — [30] (οὐρ. κλ.) κλ. οὐρ. A. — [31] ἢ νόσω μαρ. om. A.

26. — [1] om. A. — [2] διατί τοὺς μεγ. πειρ. ἦλθ. ὡς ἔφης A. — [3] ὡς A. — [4] φθ. εἶπόν σοι ἤδη A. — [5] om. A. — [6] ἀφ' οὗ ἡ παντοκρατορικὴ δύν. τοῦ σωτ. χριστοῦ ἐπεφάνη A. — [7] ἡμεῖς add. A. — [8] ὥστε παρὰ τ. θέλ. τῶ κ. δουλ. ὡς στρ. ἡμᾶς καταπαίζεσθαι A. — [9] θεοφόρων A. — [10] παρ' αὐτοῦ add. A. — [11] (οὔτε μὴν ἡσυχ.) ἀλλὰ ποτὲ μὲν ἡσυχάζειν δοκοῦμεν A. — [12] ποτὲ δὲ σπείρομεν A. — [13] ἐπὶ A. — [14] ἀνταγωνιστοῦ A. — [15] (ἐὰν δὲ ἴ.) καὶ μάλιστα εἴπερ ἴδομεν A. — [16] ἢ A. — [17] ἐκκαίομεν αὐτῷ A. — [18] καὶ ὡς δυνατοὶ καὶ παλαμναῖοι καὶ δυσμαχώτατοι ἐπιβαίνομεν αὐτῷ add. A (cf. Σ Π). — [19] εἰ δὲ μὴ θελήσει A. — [20] μηδὲ τὰ παρ' ἡμῶν προβαλλόμενα ἡδέως καταδέξεται add. A (cf. iterum Σ Π). — [21] sup. lin. A. — [22] (δ. εἰς ἀ.) εἰς ἀ. δ. A. — [23] πρὸ τῶν φλιῶν τοῦ νοὸς αὐτοῦ A. — [24] πρ. π. om. A.

συνεχωρήθημεν πολεμῆσαι, διὰ τὸ μὴ πάντας τὴν τελειότητα ἔχειν [25]· εἰ γὰρ συνεχωρούμην πρὸς πάντας πολεμῆσαι, πολλοὺς ἂν ἐπερειδομένους [26] τῇ σῇ σκέπῃ ἐξηπάτησα. » Ὁ δὲ μακάριος εἶπεν πρὸς αὐτήν [27]· « Ὦ τῇ ἀκοιμήτῳ ὑμῶν κακίᾳ· οὐ παύεσθε [28] κατὰ τοῦ γένους [29] τῶν ἀνθρώπων μαινόμενοι, ἕως ἂν ἡ θεία χάρις τοῦ Θεοῦ ἐξελθοῦσα καταναλώσῃ ὑμᾶς [30]. » Καὶ ταῦτα εἰπὼν ἐπέτρεψεν ὅπου προσετάχθη [31] ἀπελθεῖν, παραγγείλας αὐτῇ μήτε [32] ὅλως ἐγγίσαι τῇ μονῇ αὐτοῦ. Πρωΐας δὲ γενομένης, καλέσας τοὺς μεγάλους πάντας ἀδελφούς [33], ἀπήγγειλεν [34] αὐτοῖς πάντα [35] ὅσα εἶδεν καὶ ἤκουσεν παρὰ τοῦ ὀλεθρίου δαίμονος. Ἀπέστειλεν δὲ καὶ πρὸς τοὺς ἐν ταῖς ἄλλαις μοναῖς μεγάλους ὑπάρχοντας, ἀσφαλιζόμενος αὐτοὺς διὰ τῶν γραμμάτων αὐτοῦ [35] τῷ φόβῳ [36] τοῦ Θεοῦ καὶ τὴν ὑπόθεσιν τῆς ὀπτασίας γνωρίσας [37] αὐτοῖς.

ια'. Περὶ τοῦ Ῥωμαίου [2].

Ut Romanum quemdam sine interprete iuvare possit,

27. Ἐγένετο δὲ πάλιν τὸν μακάριον ἐν τοῖς κελλίοις ἐπισκεπτόμενον τοὺς ἀδελφοὺς [3] καὶ ἐπανορθούμενον ἑκάστου τὰ νοήματα παραβαλεῖν καὶ πρὸς Ῥωμαῖόν τινα ἀπὸ μεγάλου ἀξιώματος τυγχάνοντα [4], εἰδότα [5] καὶ τὴν ἑλληνικὴν γλῶτταν [6] καλῶς. Ἐλθὼν οὖν πρὸς αὐτὸν [7] ὁ μέγας ἐπὶ τὸ νουθετῆσαι αὐτὸν [8] πρὸς ὠφέλειαν καὶ γνῶναι αὐτοῦ [8] τῆς καρδίας τὰ [9] κινήματα, αἰγυπτιστὶ ἐλάλει αὐτῷ ὁ μέγας [10]· οὐκ ἐγίνωσκεν δὲ ὁ ἀδελφὸς τί [11] ἐλάλει αὐτῷ [12]· οὐδὲ ὁ μέγας ᾔδει τί ἔλεγεν ὁ Ῥωμαῖος [13], διὰ τὸ μὴ εἰδέναι ἑλληνιστὶ τὸν μακάριον [14]. Ἠναγκάσθη οὖν ὁ μέγας καλέσαι ἀδελφὸν τὸν δυνάμενον ἑρμηνεῦσαι τὰ παρ' [15] ἀμφοτέρων λεγόμενα. Ἐλθόντος δὲ τοῦ ἑρμηνέως [16], οὐκ ἠβούλετο [17] ὁ Ῥωμαῖος τὰ τῆς καρδίας αὐτοῦ πλημμελήματα δι' ἑτέρου εἰπεῖν τῷ μεγάλῳ· καὶ

[25] (τὴν τ. ἕ.) ἕ. τὴν τ. A. — [26] καὶ τῶν ἐπερειδομένων A. — [27] πρ. αὐ. om. A. — [28] ὦ τῆς ἀκοιμήτου κακίας ὑμ. ὅτι μὴ π. A. — [29] τ. γ. om. A. — [30] ἡ θεία καὶ ἄχραντος χάρ.τοῦ χριστοῦ κατελθοῦσα ἐξ οὐρανοῦ ἀναλώσῃ ὑμ. A. — [31] προσετάγη A. — [32] μηδὲ A. — [33] (π. ἀδ.) ἀδ. π. A. — [34] παρήγγειλεν F. — [35] om. A. — [36] εἰς τὸν φόβον A. — [37] γνωρίζων A.

27. — [1] ἡ' A. — [2] καὶ τοῦ χαρίσματος τῶν γλωσσῶν add. A. — [3] ἐγένετο πάλ. ἐπισκ. τοὺς ἀδ. τὸν μακ. ἐν τοῖς κ. A. — [4] (ἀξ. τ.) τ. ἀξ. A. — [5] δὲ add. A. — [6] γλῶσσαν A. — [7] ἦλθεν οὖν πρὸς τοῦτον A. — [8] τὰ add. A. — [9] om. A. — [10] (αἰγ. - μέγ.) λαλοῦντος οὖν τοῦ ἁγίου γέροντος αἰγ. μόνον διὰ τὸ μὴ εἰδέναι ἑλληνιστί A. — [11] οὐκ ἐγίν. ἐκεῖνος ἃ A. — [12] ἀλλ' add. A. — [13] (τί ἔ. ὁ ῥ.) τὰ παρὰ τοῦ ῥωμαίου λεγόμενα A. — [14] (διὰ - μακ.) om. A. — [15] παρὰ A. — [16] ἐλθ. οὖν τοῦ ἀδελφοῦ ἐπὶ τῷ ἑρμηνεῦσαι A Σ Π. — [17] ἐβούλετο A.

λέγει οὕτως· « Σὲ μόνον βούλομαι μετὰ Θεὸν τῶν τῆς καρδίας μου κακῶν γνώστην εἶναι [18], καὶ οὐχ ἑτερόν τινα [19]. » Ἀκούσας δὲ ταῦτα [20] ὁ μέγας ἐκέλευσεν ἀναχωρῆσαι [21] τὸν ἑρμηνέα [22]· καὶ νεύσας αὐτῷ τῇ χειρὶ ἐκδέξασθαι [23] ἕως οὗ ἀπέλθῃ [24] πρὸς αὐτόν, καταλείψας αὐτὸν ἀπῆλθεν προσεύξασθαι πρὸς [25] ἑαυτὸν ὁ μακάριος· καὶ ἐκτείνας τὰς χεῖρας αὐτοῦ [26] εἰς τὸν οὐρανὸν προσηύξατο πρὸς τὸν Θεὸν λέγων [26*]· « Κύριε παντοκράτωρ, εἰ οὐ δύναμαι ὠφελῆσαι τοὺς ἀνθρώπους [27] οὓς ἀποστέλλεις [28] πρός με ἀπὸ τῶν περάτων τῆς γῆς διὰ τὸ ἀγνοεῖν με τὰς γλώσσας τῶν ἀνθρώπων [29], τίς χρεία παραγενέσθαι [30] αὐτούς; Εἰ θέλεις σῶσαι αὐτοὺς ἐνταῦθα δι' ἐμοῦ, δός μοι, δέσποτα [31], πρὸς διόρθωσιν τῶν ψυχῶν αὐτῶν [32] εἰδέναι με τὴν ὁμιλίαν αὐτῶν. » Καὶ ἐπὶ ὥρας τρεῖς προσευχομένου αὐτοῦ καὶ πολλὰ παρακαλοῦντος τὸν Θεὸν περὶ τούτου, ἄφνω ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐν τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ ὡς ἐπιστόλιον [33] χάρτινον γεγραμμένον· καὶ ἀναγνοὺς αὐτὸ ἔμαθεν πασῶν τῶν γλωσσῶν τὰς λαλιάς. Καὶ δόξαν ἀναπέμψας τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, μετὰ χαρᾶς μεγάλης ἔρχεται πρὸς τὸν ἀδελφὸν ἐκεῖνον· καὶ ἤρξατο αὐτῷ διαλέγεσθαι καὶ ἑλληνιστὶ καὶ ῥωμαϊστὶ ἀπταίστως, ὥστε τὸν ἀδελφὸν ἀκούσαντα λέγειν περὶ τοῦ μεγάλου ὅτι πάντας ὑπερβάλλει τοὺς σχολαστικοὺς εἰς τὴν διάλεκτον. Διορθωσάμενος οὖν αὐτὸν καθὼς ἔδει καὶ ὑπὲρ τῶν πλημμεληθέντων αὐτῷ μετάνοιαν προσήκουσαν ὁρίσας αὐτῷ, παραθέμενος αὐτὸν τῷ Κυρίῳ ἐξῆλθεν ἀπ' αὐτοῦ.

Cf. IV Macc. 4, 11.

linguarum charismate donatur Pachomius;

Cf. Act. 20, 32;

ιβ'. Περὶ τῆς συκῆς.

Ficum scandali causam

28. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον ἐξελθεῖν τὸν μακάριον εἰς ἐπίσκεψιν τῶν λοιπῶν μονῶν. Παραβαλὼν δὲ ἐν τῇ μονῇ τῇ λεγομένῃ Μωνχώσει, εἰσῆλθεν ἐν αὐτῇ. Ἐν δὲ τῷ μέσῳ τῆς μονῆς ταύτης ὑπῆρχεν συκῆ μεγάλη, ἐν ᾗ συκῇ εἰώθει τινὰ τῶν παιδίων λαθραίως ἀνιέναι καὶ τίλλειν ἑαυτοῖς σῦκα καὶ ἐσθίειν. Εἰσελθὼν δὲ ὁ μέγας

[18] γν. εἶναι τῶν τῆς καρδ. μου κακ. A. — [19] (καὶ οὐχ ἕ. τ.) οὐ θέλω οὖν σοι δι' ἑτέρου εἰπεῖν ἀλλ' οὐδὲ ἀκοῦσαί τινα ἕτερον ταῦτα πλὴν σοῦ A (cf. ΣΠ). — [20] τοῦτο δὲ ἀκ. A. — [21] ἀνα ἀναχ. F. — [22] (τὸν ἑ.) τὸν ἐλθόντα ἀδελφὸν ἑρμηνεῦσαι· μὴ δυνάμενος δὲ αὐτῷ διαλεχθῆναι τὰ πρὸς ὠφέλειαν καὶ σωτηρίαν ῥήματα διὰ τὸ μὴ εἰδέναι ἑλληνιστὶ A, cf. Σ Π. — [23] αὐτὸν add. A. — [24] ἔλθῃ A. — [25] καθ' A. — [26] om. A. — [26*] Lemma: ε ὐ χ ή add. in marg. A. — [27] τοὺς ἀνθρ. ὠφ. A. — [28] ἀποστέλλει F. — [29] (τ. ἀ.) αὐτῶν A. — [30] παραγίνεσθαι A. — [31] τὴν ὁμιλίαν αὐτῶν εἰδέναι add. A. — [32] Hic desinit ultimum fragmentum A(mbrosianum); addidit tamen man. rec. litteras reclamantes ἐπὶ. — [33] ἐπιστολίου F.

καὶ ἐγγίσας τῇ συκῇ ἐκείνῃ, ὁρᾷ πνεῦμα ἀκάθαρτον καθήμενον ἐν αὐτῇ, καὶ εὐθέως ἔγνω ὅτι ὁ τῆς γαστριμαργίας ἐστὶ δαίμων · καὶ γνοὺς ὁ ἅγιος ὅτι αὐτός ἐστιν ὁ ἀπατῶν τὰ παιδία, καλεῖ τὸν κηπουρὸν καὶ λέγει αὐτῷ · « Κόψον τὴν συκῆν ταύτην, ὅτι σκάνδαλόν ἐστιν τοῖς γνώμην μὴ ἔχουσιν ἑδραίαν, καὶ ὅτι ἀπρεπὲς πρᾶγμά ἐστιν εἶναι αὐτὴν ἐν μέσῳ τῆς μονῆς. » Ὁ δὲ κηπουρὸς ἀκούσας ἐλυπήθη σφόδρα.

succidi ubet.

Ionae hortulani

29. Ἰωνᾶς δὲ ἐλέγετο ὁ κηπουρός · πέ' ἔτη ἐποίησεν ἐν τῇ μονῇ ἐκείνῃ, πάνυ σεμνὸν βίον ἀσκήσας · καὶ μόνος ἔχων πᾶσαν τὴν φροντίδα τῶν ὀπωρῶν καὶ αὐτὸς μόνος ὅλα τὰ κάρπιμα δένδρα τῆς μονῆς ἐκείνης φυτεύσας, οὐδέποτε ἕως τῆς τελευτῆς αὐτοῦ ἐγεύσατο ὀπώρας οὐδεμίας καθόλου, πάντων τῶν ἀδελφῶν καὶ ξένων καὶ τῶν περιοικούντων εἰς πλησμονὴν ἐσθιόντων τῷ καιρῷ τῆς ὀπώρας. Εἶχεν δὲ τὸ ἔνδυμα ὁ ἀδελφὸς τοιοῦτον · τρεῖς μηλωτὰς συνάψας εἰς πᾶσαν περιβολὴν τοῦ σώματος, ταύταις ἠρκεῖτο · οὐδέποτε περιεβάλετο στρῶμα χειμῶνος ὥρας ἢ θέρους ἕτερον · οὐδὲ ᾔδει τί ἐστιν ἀνάπαυσις σώματος ἀπὸ τῆς συνεχείας τοῦ ἔργου διὰ τὸ πάντοτε αὐτὸν ἐργάζεσθαι προθύμως · ἀλλ' οὐδὲ ἐψημένου τινὸς ἐγεύσατό ποτε οὔτε φακῆς οὔτε ἑτέρου τινὸς βρώματος, ἀλλὰ μόνον ὄξους μετὰ λεπτολαχάνων ὠμῶν ἤσθιεν ὅλον τὸν βίον αὐτοῦ. Καὶ οἱ ἀδελφοὶ διεβεβαιοῦντο περὶ αὐτοῦ λέγοντες ὅτι οὐδὲ τὸν οἶκον τοῦ νοσοκομείου ᾔδει ὁποῖος ἦν οὐδὲ τί ἐσθίουσιν οἱ κακούμενοι ἀδελφοί. Πρὸς δὲ τούτοις πᾶσιν, καθὼς ἠκούσαμεν, οὐδέποτε ἐπὶ νῶτον ἐκοιμήθη ὁ μακάριος ἕως τῆς τελευτῆς αὐτοῦ · ἀλλ' ἡμέρας εἰργάζετο εἰς τοὺς κήπους, περὶ δὲ τὴν δύσιν τοῦ ἡλίου μεταλαβὼν τῆς τροφῆς εἰσῄει εἰς τὸ κελλίον αὐτοῦ, καὶ καθήμενος ἐπὶ τοῦ δίφρου ἐν τῷ μέσῳ τῆς κέλλης ἔπλεκεν σχοινία ἕως τῆς νυκτερινῆς συνάξεως. Καὶ οὕτως εἰ συνέβη αὐτὸν ἁρπάσαι ὀλίγου ὕπνου διὰ τὴν τῆς φύσεως ἀνάγκην, καθήμενος καὶ μετὰ χεῖρας ἔχων τὰ πλεκόμενα σχοινία ἐκοιμᾶτο · οὐχ ἅπτων λύχνον ἔπλεκεν τὰ σχοινία, ἀλλ' ἐν τῇ σκοτίᾳ καθήμενος καὶ ἐκστηθίζων τὰς γραφάς. Ἕνα δὲ λεβίτωνα ἔσχεν ὃν ἐφόρει ὅταν ἔμελλεν μεταλαμβάνειν τῶν θείων καὶ ἀχράντων μυστηρίων τοῦ Χριστοῦ, καὶ εὐθέως ἀπετίθετο αὐτόν, καθαρὸν αὐτὸν διατηρήσας αὐτῷ ἐν τοῖς πέ' ἔτεσιν. Καὶ ἄλλα πολλὰ ἔργα ἐποίει ἐπαίνων ἄξια ὁ μακάριος γέρων ἐκεῖνος.

eiusdem

30. Τοῦτον κατελάβομεν ἡμεῖς ζῶντα [1], καινοτέρῳ τρόπῳ κοιμηθέντα. Καθήμενος γὰρ ἐπὶ τοῦ δίφρου αὐτοῦ καὶ πλέκων τὰ σχοι-

30. — [1] <καὶ ἔγνωμεν αὐτὸν> ex Π supplendum videtur.

νία κατὰ τὴν συνήθειαν, παρέδωκεν τὴν ἁγίαν αὐτοῦ ψυχήν. Οὐκ ἄφνω δὲ ἐτελεύτησεν ὁ ἅγιος οὗτος, ἵνα μὴ τὰ τοῦ δικαίου ἀνδραγαθήματα σμικρυνθῇ · ἀλλ' ἐνόσησεν μὲν καθὼς πάντες οἱ ἄνθρωποι · οὐκ ἐπείσθη δὲ ἀπελθεῖν εἰς τὸν τῶν νοσερῶν τόπον, διὰ τὸ μὴ θέλειν αὐτὸν ὑπηρετεῖσθαι καθὼς καὶ οἱ λοιποὶ νοσεροὶ μηδὲ γεύσασθαι τῶν βρωμάτων ὧν ἤσθιον οἱ κακούμενοι ἀδελφοί. Οὐτὲ μὴν ἐπὶ τοῦ νώτου αὐτοῦ ἐκοιμήθη κακούμενος, οὔτε συνεχώρησεν καθημένου αὐτοῦ ὑποβληθῆναι προσκεφάλαιον ἢ ἄλλο τι εἶδος τὸ δυνάμενον αὐτὸν ἀναπαῦσαι. Οὐδεὶς δὲ παρειστήκει αὐτῷ τελευτῶντι. Ἀμέλει κατέχοντος αὐτοῦ τὸ ἐργόχειρον τῶν σχοινίων καὶ πλέκοντος, ἀνεπαύσατο. Θαυμαστὸν δέ ἐστιν ἀκοῦσαι πῶς ἐθάψαμεν αὐτόν. Τῶν γὰρ ποδῶν αὐτοῦ μὴ δυνηθέντων ἐκτανυθῆναι διὰ τὸ ἀποξυλωθῆναι αὐτούς, μηδὲ τῶν χειρῶν αὐτοῦ δυναμένων προσκολληθῆναι τῷ σώματι αὐτοῦ, μηδὲ δύνασθαι αὐτὸν ἀπεκδυθῆναι [2] τοῦ δέρματος ἐκείνου, διὰ τοῦτο ἠναγκάσθημεν ὡς φορτίον ξύλων οὕτως θάψαι αὐτόν.

obitus mirabilis.

31. Πρὸς τοῦτον παραγενάμενος ὁ ἅγιος Παχούμιος εἶπεν κόψαι τὴν συκῆν ἐκείνην. Ὁ δὲ ἀκούσας εἶπεν τῷ μεγάλῳ · « Μηδαμῶς, πάτερ, ὅτι πλῆθος καρπῶν εἰώθαμεν ἐκ τῆς συκῆς ταύτης ἐκλέγεσθαι τοῖς ἀδελφοῖς. » Ἰδὼν δὲ ὁ μέγας ὅτι ἐλυπήθη ἐπὶ τούτῳ, οὐκ ἠβουλήθη ἀναγκάσαι αὐτόν, ἵνα μὴ περισσοτέρως λυπηθῇ. Ἤδει γὰρ ὁ μέγας ὅτι ὁ βίος αὐτοῦ μέγας καὶ θαυμαστὸς ἦν παρὰ πᾶσιν μικροῖς τε καὶ μεγάλοις. Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ ηὑρέθη ἡ συκῆ ἐκείνη οὕτως ξηρανθεῖσα, ὡς μήτε φύλλον εὐθαλὲς μήτε καρπὸν εὑρεθῆναι ἐν αὐτῇ. Τοῦτο οὖν ἑωρακὼς ὁ μακάριος Ἰωνᾶς ἐλυπήθη μεγάλως, οὐ διὰ τὴν συκῆν, ἀλλὰ διὰ τὴν παρακοήν, ὅτι εἰπόντος τοῦ μεγάλου παραχρῆμα οὐκ ἔκοψεν αὐτήν.

Ficus exarescit.

Cf. Marc. 11, 20.

ιγ'. Περὶ τοῦ εὐκτηρίου.

32. Ὠκοδόμησεν ὁ μακάριος Παχούμιος εὐκτήριον οἶκον καὶ ἐποίησεν αὐτῷ στοὰς καὶ στύλους διὰ πλίνθων ἔστησεν καὶ πάνυ ἐφιλοκάλησεν αὐτόν · καὶ ἐτέρφθη ἐπὶ τῷ ἔργῳ, ὅτι καλῶς ᾠκοδόμησεν αὐτόν. Καὶ ἐλογίσατο ἐκ διαβολικῆς ἐνεργείας εἶναι τὸ θαυμάσαι αὐτὸν ἐπὶ τῇ ὡραιότητι τοῦ οἴκου. Λαβὼν οὖν σχοινία καὶ δήσας τοὺς στύλους, καὶ ποιήσας εὐχὴν παρ' ἑαυτῷ, καὶ κελεύσας τοῖς ἀδελφοῖς ἑλκύσαι, ἔκλινεν πάντας τοὺς στύλους ὥστε σκαμβοὺς αὐτοὺς ἀπομεῖναι. Καὶ λέγει πρὸς τοὺς ἀδελφούς · « Δέομαι

Cavenda in aedificiis vana gloria.

[2] ἀπεγδυθῆναι F.

ὑμῶν, ἀδελφοί, μὴ βιάζεσθε ἐπὶ τὸ καλλωπίζειν τὸ ἔργον τῶν χειρῶν ὑμῶν ἐπὶ πολύ· ἀλλὰ μᾶλλον σπουδάσατε ἵνα, εἴ τι ἐκ τῆς χάριτος τοῦ Χριστοῦ καὶ τῆς δωρεᾶς αὐτοῦ γένηται ἐν τῷ ἔργῳ ἑνὸς ἑκάστου ὑμῶν, ἵνα μὴ διὰ τοῦ πρὸς [1] τὴν τέχνην ἐπαίνου ὀλισθήσας ὁ νοῦς θήραμα γένηται τῷ διαβόλῳ. »

ιδ'. Περὶ τῶν τὰ τρίχινα φορούντων αἱρετικῶν.

Hospites ad miraculum provocantes

33. Αἱρετικοί τινές ποτε μονάζοντες, τρίχινα φοροῦντες ἱμάτια, ἀκούσαντες τὰ περὶ τοῦ ἁγίου Παχουμίου, παραγενάμενοι ἐν τῷ μοναστηρίῳ αὐτοῦ εἶπαν πρός τινας τῶν ἀδελφῶν ὅτι· « Ὁ πατὴρ ἡμῶν πρὸς τὸν μέγαν ὑμῶν ἀπέστειλεν ἡμᾶς λέγων· Εἰ ἀληθῶς τοῦ Θεοῦ εἶ ἄνθρωπος καὶ πέποιθας ὅτι ἀκούει σου ὁ Θεός, δεῦρο κοινῶς τὸν ποταμὸν διαβαίνωμεν τοῖς ποσὶ περιπατοῦντες, ὅπως γνῶμεν τίς ἡμῶν μᾶλλον ἔχει παρρησίαν πρὸς τὸν Θεόν. » Ἀναγγειλάντων δὲ τῶν ἀδελφῶν ταῦτα, ἀγανακτήσας κατ' αὐτῶν εἶπεν· « Ὅλως γὰρ διὰ τί κατεδέξασθε ἀκοῦσαι αὐτῶν ταῦτα φθεγγομένων; Οὐκ οἴδατε ὅτι τὰ τοιαῦτα προβλήματα ἀλλότρια εἰσὶν τοῦ Θεοῦ καὶ ξένα παντελῶς τῆς ἡμετέρας πολιτείας; ἀλλ' οὐδὲ κοσμικοῖς τοῖς φρονοῦσιν ἴδια ταῦτα καθέστηκεν. Ποῖος γὰρ τοῦ Θεοῦ νόμος ἐπιτρέπει ἡμῖν ταῦτα ποιεῖν; Τοὐναντίον δὲ διὰ τῶν ἁγίων εὐαγγελίων ἐνετέλλετο ὁ σωτὴρ ὅτι· Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου. Οὐδὲν γὰρ ἀθλιότερον τῆς τοιαύτης ἀνοίας καθέστηκεν, τὸ καταλεῖψαί με πενθεῖν τὰς ἁμαρτίας μου καὶ πῶς ὀφείλω φυγεῖν τὴν αἰώνιον κόλασιν, καὶ νηπιάζοντα τὰς φρένας ἐπὶ τὰ τοιαῦτα προβλήματα ἐλθεῖν. » Ἀποκριθέντες δὲ οἱ ἀδελφοὶ εἶπαν· « Πῶς οὖν αἱρετικὸς ὢν οὗτος καὶ ἀλλότριος τοῦ Θεοῦ προσκαλέσασθαί σε εἰς τοῦτο ἐθάρρησεν; » Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· « Ἠδύνατο περᾶσαι τὸν ποταμὸν ὡς ἐπὶ ξηρᾶς ὁδεύων κατὰ συγχώρησιν Θεοῦ, ἐνεργοῦντος αὐτῷ τοῦ διαβόλου πρὸς τὴν αἵρεσιν τῆς ἀσεβείας αὐτοῦ, καὶ μὴ διαλύεσθαι τὸ δρᾶμα [1] τῆς ἐπιχειρήσεως αὐτοῦ, πρὸς τὸ ἐμβαλεῖν πίστιν τοῖς ἀπατηθεῖσιν παρ' αὐτοῦ. Ἐξελθόντες οὖν εἴπατε τοῖς τὴν τοιαύτην ἀγγελίαν κομίσασιν ὅτι· Τάδε λέγει ὁ ἄνθρωπος τοῦ Θεοῦ Παχούμιος· Ὁ ἐμὸς ἀγὼν καὶ πᾶσά μου ἡ σπουδή, οὐ τὸ περᾶσαι ποταμὸν πεζοποροῦντα, ἀλλὰ πῶς διαφυγεῖν με τὴν κρίσιν τοῦ Θεοῦ, ὑπερπηδᾶν τε τὰς τοιαύτας σατανικὰς μεθοδείας τῇ τοῦ Θεοῦ δυνάμει. »

Cf. IV Reg. 1, 10; I Ioh. 5, 15; 3, 21.

Mt. 6, 3.

Mt. 25, 46; cf. I Cor. 14, 20.

audire recusat Pachomius.

32. — [1] πατρὸς F, *correxi ex Σ.*
33. — [1] (πρὸς τὴν αἵρ. — δρᾶμα) *sic* F; *cf. Σ Π.*

Καὶ εἰπὼν ταῦτα παρήγγειλεν τοῖς ἀδελφοῖς μὴ ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν μέγα φρονεῖν, μηδὲ ἐπιθυμεῖν ὀπτασίας ἰδεῖν μηδὲ δαίμονας θεάσασθαι, μηδὲ πειράζειν διὰ τῶν τοιούτων αἰτήσεων τὸ θεῖον, παρακελευομένου διὰ τῶν ἁγίων γραφῶν κατὰ πρόγνωσιν τὰ τοιαῦτα καὶ λέγοντος· Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.

Deut. 6,16.

ιε'. Περὶ τοῦ δείξαντος τὰ ψιαθία ἃ ἐποίησεν.

Vane gloriantem

34. Ἐγένετό ποτε καθημένου τοῦ μεγάλου ἐν τόπῳ τινὶ τῆς μονῆς μετὰ ἄλλων τινῶν ἀδελφῶν, ἀδελφόν τινα τῆς μονῆς ἐν αὐτῇ τῇ ἡμέρᾳ δύο ψιαθία ποιήσαντα, προθεῖναι αὐτὰ ἔμπροσθεν τοῦ κελλίου αὐτοῦ, κατέναντι τοῦ τόπου οὗ ἦσαν καθήμενοι μετὰ τοῦ μακαρίου οἱ ἀδελφοί. Τοῦτο δὲ ἐποίησεν τῷ τῆς κενοδοξίας ἐπαιρόμενος λογισμῷ, οἰόμενος ἐν τούτῳ ἐπαινεθῆναι παρὰ τοῦ μεγάλου, τὴν τοιαύτην σπουδὴν ἐπιδειξάμενος, τοῦ κανόνος ἔχοντος ἓν ψιάθιον τῆς ἡμέρας ποιεῖν καθ' ἕκαστον ἀδελφόν. Ἰδὼν δὲ ὁ μέγας πρὸς ἐπίδειξιν τοῦτο ποιήσαντα αὐτὸν καὶ κατανοήσας τὸν εἰς τοῦτο κινοῦντα αὐτὸν λογισμόν, στενάξας μέγα εἶπεν τοῖς συγκαθημένοις αὐτῷ ἀδελφοῖς· « Βλέπετε τοῦτον τὸν ἀδελφόν, ἀπὸ πρωΐ ἕως ἄρτι ὅλον τὸν κόπον αὐτοῦ τῷ διαβόλῳ χαρισάμενον, καὶ μηδὲν τοῦ ἔργου αὐτοῦ εἰς παραμυθίαν τῆς ἰδίας ψυχῆς ἐάσαντα, ὅτι τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἢ τοῦ Θεοῦ ἠγάπησεν. Καὶ τῷ μὲν καμάτῳ τὸ σῶμα αὐτοῦ ἀναλώσας, τὴν ψυχὴν κενὴν τῆς ἀπὸ τῶν ἔργων ἀπολαύσεως κατέστησεν. » Καλέσας οὖν τὸν ἀδελφὸν ἐκεῖνον ἐπετίμησεν αὐτῷ κελεύσας ἵνα, εὐχομένων τῶν ἀδελφῶν, κατέχων τὰ δύο ψιαθία σταθῇ ὄπισθεν αὐτῶν καὶ εἴπῃ· « Δέομαι ὑμῶν, ἀδελφοί, εὔξασθε ὑπὲρ τῆς ἀθλίας μου ψυχῆς, ἵνα ὁ πανοικτίρμων Θεὸς συγχωρήσῃ καὶ ἐλεήσῃ αὐτήν, προκρίνασαν μᾶλλον τὰ δύο ψιαθία ταῦτα τῆς βασιλείας αὐτοῦ. » Καὶ πάλιν ἐν τῷ ἐσθίειν τοὺς ἀδελφοὺς ἐκέλευσεν τὸν αὐτὸν τρόπον ἑστάναι αὐτὸν ἐν τῷ μέσῳ μετὰ τῶν ψιαθίων, ἕως οὗ ἀναστῶσιν ἐκ τῶν τραπεζῶν οἱ ἀδελφοί. Καὶ μετὰ ταῦτα ἐκέλευσεν αὐτὸν εἰς κελλίον ἐγκλεισθῆναι αὐτὸν ἐπὶ πενταμηναῖον χρόνον, καὶ καθ' ἑκάστην ἡμέραν ποιεῖν δύο ψιαθία, καὶ ἐσθίειν ἄρτον μετὰ ἅλατος μόνον, καὶ μηδένα τῶν ἀδελφῶν συντυγχάνειν αὐτῷ.

acriter castigat.

ις'. Περὶ τοῦ κελεφοῦ.

Leprosum

35. Ἀναγκαῖον δὲ ἐπὶ τούτοις πρὸ τοῦ καταπαῦσαι τὸν λόγον,

fratrem μνημονεύσαντας ἄλλου τινὸς ἁγίου ἐν τοῖς ἀδελφοῖς ἄκρως τὴν ἀρετὴν πολιτευσαμένου, ὀλίγα τῶν αὐτοῦ βιωθέντων πρὸς οἰκοδομὴν διηγήσασθαι. Οὗτος ὁ τῆς μακαρίας μνήμης ἀδελφός [1], κελεφὸς ὢν τὸ σῶμα, ἀφωρισμένον εἶχεν τῶν ἀδελφῶν τὸ κελλίον αὐτοῦ, ἄλατι καὶ ἄρτῳ μόνον πάντα τὸν βίον αὐτοῦ διαιτώμενος. Ἓν δὲ καθ' ἑκάστην ἐποίει ψιαθίον, ὡς πολλάκις, πλέκοντος αὐτοῦ τὰ σχοινία τὰ προχωροῦντα εἰς τὰ ψιαθία, συμβαίνειν [2] ὑπὸ τῶν θρύων κεντουμένας τὰς χεῖρας αὐτοῦ αἱμάττεσθαι, ὡς καὶ αὐτὰ τὰ ψιαθία ἃ ἐποίει τῷ αἵματι αὐτοῦ μολύνεσθαι. Καὶ ἐν τοιαύτῃ ἀσθενείᾳ τυγχάνων οὐκ ἀπελείφθη ποτὲ τῆς συνάξεως τῶν ἀδελφῶν ἢ ἐκοιμήθη ἡμέρας ποτὲ ἕως τῆς ἐξόδου τῆς ζωῆς αὐτοῦ. Ἔθος δὲ ἦν αὐτῷ κατὰ νύκτα πρὸ τοῦ κοιμηθῆναι αὐτὸν ἐκστηθίζειν αὐτόν τινα ἐκ τῶν γραφῶν, καὶ οὕτως ἐκοιμᾶτο, ἕως οὗ ἔκρουσεν εἰς τὴν σύναξιν τὴν νυκτερινήν. Εἰσελθόντος δέ ποτε ἀδελφοῦ πρὸς αὐτὸν καὶ θεασαμένου τὰς χεῖρας αὐτοῦ ἀπὸ τῶν ψιαθίων ἡμαγμένας [3], λέγει αὐτῷ· « Ἀδελφέ, τί κοπιᾷς οὕτως ἐργαζόμενος, ἐν τοιαύτῃ ὑπάρχων νόσῳ; Μὴ γὰρ ἐὰν μὴ ἐργάζῃ, ἀργίας ἔγκλημα ἕξεις παρὰ τῷ Θεῷ; Οἶδεν ὁ Κύριος ὅτι νοσεῖς· καὶ οὐδεὶς οὐδέποτε ἔχων τοιαύτην νόσον ἥψατο ἔργου, μάλιστα μηδενός σε ἀναγκάζοντος εἰς τὸ ἔργον. Ἄλλους τρέφομεν ἡμεῖς ξένους τε καὶ πτωχούς· καὶ σοὶ τῷ ἰδίῳ καὶ τηλικούτῳ ἁγίῳ ἐκ ψυχῆς καὶ μετὰ χαρᾶς πολλῆς οὐκ ὀφείλομεν δουλεύειν; » Ἐκείνου δὲ εἰπόντος ὅτι· « Ἀδύνατόν ἐστιν τοῦ μὴ ἐργάζεσθαί με, » ἔλεγεν αὐτῷ ὁ

oleo unxerat ἀδελφός· « Εἰ οὖν σοι δοκεῖ, παρακαλῶ σε, κἂν ἄλειφε τὰς χεῖράς σου ἐλαίῳ κατ' ὀψέ, ἵνα μὴ κοπιάσῃς. » Ἀκούσας δὲ ἠλείψατο τὰς χεῖρας αὐτοῦ καθὼς εἶπεν αὐτῷ ὁ ἀδελφός. Καὶ ἀπαλυνθεῖσαι αἱ χεῖρες αὐτοῦ πλέον ἐβλάβησαν ὑπὸ τῶν θρύων κεντούμεναι.

reprehendit. **36.** Τότε παραγενάμενος ὁ μέγας ἐπὶ τὸ ἐπισκέψασθαι αὐτὸν ἐν τῷ κελλίῳ, λέγει αὐτῷ· « Νομίζεις, Ἀθηνόδωρε, ὅτι τὸ ἔλαιόν σε ὠφελεῖ; Τίς γάρ σε ἠνάγκασεν ἐργάσασθαι, ἵνα προφάσει τοῦ ἔργου τῷ ἐλαίῳ μᾶλλον ἢ τῷ Θεῷ τὰς ἐλπίδας τῆς ὑγείας ἀναθήσῃς; Μὴ γὰρ ἀδύνατον ἦν τῷ Θεῷ θεραπεῦσαί σε; Ἀλλὰ τὴν ὠφέλειαν τῆς ψυχῆς σου οἰκονομῶν συνεχώρησέν σοι εἶναι ἐν ταύτῃ τῇ ἀσθενείᾳ. » Ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς τὸν μέγαν· « Ἥμαρ-

Cf. Ps. 50, 5. τον, ὦ πάτερ, καὶ τὸ σφάλμα μου ἐπιγινώσκω. Ἀλλ' εὔξαι ὑπὲρ ἐμοῦ, παρακαλῶ σε, ἵνα συγχωρήσῃ μοι ὁ Θεὸς τὴν ἁμαρτίαν ταύ-

35. — [1] ἀδεφός F.— [2] (μνήμης - συμβ.) *alia manu, ut videtur, scripta sunt haec verba.* — [3] αἱμαγμένας F.

την. » Καὶ ὡς διεβεβαιοῦντο οἱ συνόντες αὐτῷ πατέρες ὅτι· Ἐνιαυτὸν ὁλόκληρον ἐπένθει ἑαυτὸν ὑπὲρ τοῦ πράγματος τούτου, καὶ διὰ δύο ἡμερῶν ἤσθιεν. Εἰώθει δὲ ὁ μέγας τοῦτον ἐν ταῖς ἀρχαῖς πρὸ τοῦ σφοδρῶς αὐτὸν κατακρατηθῆναι [1] ὑπὸ τοῦ πάθους ἀποστέλλειν ἐν ἑκάστῃ μονῇ ὡς τύπον καὶ θεμέλιον τοῖς ἀδελφοῖς πᾶσι γενέσθαι, διὰ τὸ εὐχαρίστως αὐτὸν φέρειν τὴν βαρεῖαν ἐκείνην τοῦ πάθους ἀσθένειαν.

ιζ'. Κατὰ εἰδωλολατρείας.

Idololatria **37.** Καὶ ὁμιλῶν πάλιν ἔλεγεν κατὰ τῆς εἰδωλολατρείας ὅτι [1]· « Ἀθεότης ἐστίν. Ἀλλ' ἐρεῖ τις ἕλλην· « Οὐ λατρεύω δαιμονίοις, ἀλλὰ τῷ Θεῷ· κἂν ἔχω εἴδωλα, ἀλλὰ δι' αὐτῶν ἐπικαλοῦμαι τὰς δυνάμεις τοῦ Θεοῦ ὡς θεοὺς καὶ δι' αὐτῶν τὸν μέγαν Θεόν. Οὐ λυπεῖται δὲ ὁ μέγας, ἀλλὰ κατάληπτός ἐστιν, ἐὰν ὑφ' ἑαυτὸν ἔχῃ ἄλλους θεούς. » Ἐχρῆν μὲν σιωπᾶν περὶ τούτων, ἕως ὁ Θεὸς κατανύξῃ ἐκείνους ἐπιστρέφειν εἰς τὴν ἀλήθειαν, ὡς κἀγὼ ἠλεήθην. Ὅμως δὲ τοῦ Κυρίου παραγγέλλοντος· « Δωρεὰν ἐλάβετε, Matth. 10, 8.
δωρεὰν δότε, » συντόμως εἴπωμεν. Ἐξ ἀρχῆς τοῦ κόσμου γενομένης τῆς παραβάσεως Ἀδάμ, ἐπλανῶντο οἱ ἄνθρωποι, μὴ θέλοντες Rom. 5, 14.
τὸν νόμον τῆς συνειδήσεως μηδὲ διὰ τῆς θαυμαστῆς καὶ φοβερᾶς *in paradiso*
καὶ ποικίλης κτίσεως τὸν πάντων ποιητὴν ἐπιγνῶναι Θεόν· καὶ *initium*
οὕτως ἑαυτοῖς θεοὺς ἐποίησαν, ὡς καὶ ἔτι ἐν τῷ παραδείσῳ ἤρ- *habuit.*
ξατο ἡ κακὴ συμβουλία τοῦ ἐχθροῦ συμβουλεύοντος τό· « Ἔσεσθε Gen. 3, 5.
ὡς θεοί ». Φθονερὸς γὰρ ὤν, οὐκ αὐτοὺς ἤθελεν γενέσθαι, ἀλλ' ἑαυτὸν εἶναι. Ἐν τῷ γὰρ μὴ εἶναι αὐτοὺς κυριευομένους τοῦ Θεοῦ
τῷ λόγῳ, δῆλον ὅτι αὐτὸς αὐτῶν κυριεύει ὁ ἀντικείμενος τῷ λόγῳ. Cf. II Th. 2, 4.
Μὴ παρούσης γὰρ τῆς ζωῆς, θάνατός ἐστιν. Διὸ καὶ ἐπιθυμία γυ- Dan. 11, 37.
ναικῶν καὶ πρὸ τούτου ἀδελφοκτονία καὶ γιγάντων ἀπόνοια, ὡς Cf. Gen. 4, 8;
ἐπὶ Νεβρώδ, καὶ ἐπιγείων μόνον ἡ ἐλπίς, καίτοι γε ἐνεργετικώτερον 6, 4; 10, 8;
ὑπὸ τοῦ ἀγαθοῦ Θεοῦ τῶν ἐπουρανίων ἐδείχθη καὶ τότε ἐλπὶς
καὶ αὐτῆς τῆς ἀναστάσεως διὰ τῆς μεταθέσεως τοῦ ἁγιωτάτου 5, 24;
Ἐνὼχ ὡς εἰς τὸν οὐρανόν· καὶ μετὰ ταῦτα Ἠλίας. » IV Reg. 2, 11.

Cf. Gen. 7. **38.** « Καὶ τούτων χάριν ὀργὴ κατακλυσμοῦ, δικαίου δὲ συντηρηθέντος, ζύμης ἀληθείας ὄντος. Καὶ τοσούτων κακῶν γενομένων, ὁ μακρόθυμος κριτὴς ἐβοήθησεν πάλιν τῷ αὐτεξουσίῳ ἀνθρώπῳ
— αὐτεξουσίῳ δὲ οὐκ εἰς τὸ κακὸν μόνον, ἀλλ' εἰς τὸ ἀγαθόν· πάν-

36. — [1] *corr., prius* κατακριθῆναι F.
37. — [1] *bis scriptum in* F.

I Cor. 6, 12. τα γὰρ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει — διδοὺς νόμον διὰ Μω-
Gen. 2, 17. σέως, καὶ νόμον δὲ οὐχ ἑνὶ λόγῳ ὡς ἐν τῷ παραδείσῳ τό· « Οὐ
Nova lex per Moysem data. φάγῃ ἐκ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν », ἀλλὰ κατὰ
μέρος ὡς τυφλὸν χειραγωγῶν ἕως τοῦ πῶς φρονεῖν καὶ πῶς λαλεῖν,
ἕως τοῦ ἐν πολέμῳ φυλακὴν ἔχειν λόγου καὶ τοῦ [1] πῶς εὐχαριστοῦν-
τα λέγειν ἐπὶ γεννήσει τέκνων καὶ κτηνῶν καὶ γενημάτων ἀγροῦ
καὶ ἀμπελῶνος καὶ ὁμοίων καρπῶν καὶ αὐτῆς τῆς κληρονομίας,
φοβερίζων αὐτοὺς ἐπὶ τῇ τῶν ποτε ἐνοικούντων ἀπωλείᾳ, ὡς καὶ
Cf. Ex. 7-11 ἐν Αἰγύπτῳ διὰ πολλῶν δυνάμεων, ἔτι δὲ καὶ ἐπὶ θαλάσσης, πρὸς τὸ
et 14; αὐτοὺς ἔχοντας τούτων ὅλων τὴν μνήμην φοβεῖσθαι τὸν Θεόν, μά-
Act. 7, 36. λιστα δὲ ὅτι καὶ ἡ νομοθεσία ἐγράφη δακτύλῳ αὐτοῦ. Ἐπὶ δὲ ταύ-
Ex. 31, 18. Deut. 4,11. τῃ πόσα φοβερά; ὄρος καιόμενον, πῦρ ἕως τοῦ οὐρανοῦ καὶ σαλ-
Ex. 19,19; πίγγων ἰσχύουσαι φωναὶ σὺν τοῖς ἄλλοις. Καὶ ἦν ὡς πατὴρ θάλπων
13, 21; αὐτούς, ἡμέρας μὲν σκέπων νεφέλῃ, νυκτὸς δὲ φωτίζων πυρί, καὶ
16, 4-35. ἀμερίμνως οὐρανόθεν ἐν ἄρτῳ τρέφων καὶ ἐν τούτῳ ὠφελῶν αὐ-
Num. 11,34; τοὺς μὴ ἔχειν ἐπιθυμίαν βρωμάτων· διὸ καὶ μνήματα ἐπιθυμίας
Ex. 16,25; Num. 20,8-11. ἄλλοις ἀκρατέσιν· καὶ ἕως τοῦ πόματος μὴ εὑρισκομένου πολλά-
κις ἐπαίδευεν αὐτοὺς ὡς τέκνα εἰς προκοπὴν κατὰ Μωϋσέα· ἐπεὶ
καὶ αὐτὸς τοὺς πατέρας ἐμιμεῖτο, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
καὶ αὐτὸν τὸν ἅγιον Ἰωσὴφ καὶ ἀληθῶς τῶν πατέρων τὴν εἰκόνα. »

39. « Ἀλλ' ἐρεῖ τις· « Διὰ τί οὐκ ἐξ ἀρχῆς ὑπὲρ ἡμῶν τοσοῦτον
Cf. Sap. 11, 24; Gen. 1, 27. ἐσπούδασεν; » Ὁ Θεὸς ἀεὶ σπουδάζει· φιλεῖ γὰρ τὸ πλάσμα τὸ
ἴδιον καὶ εἰκόνα αὐτοῦ ἁγιωσύνῃ καὶ ἀληθείᾳ. Ἰδοὺ τοιγαροῦν
τῆς παλαιᾶς διαθήκης καὶ ἄνθρωποι μάρτυρες πολλοὶ ἕως νῦν,
Ἰουδαῖοι μάλιστα, τὴν ἀλήθειαν ἐξ αὐτῆς ἐννοήσαντες ὁμολογοῦ-
Is. 52, 6. *Agnoscant Iudaei etiam Dei filium;* σιν· « Ὁ λαλῶν γάρ, φησίν, πάρειμι. » Τὰ δὲ βιβλία Μωϋσέως ἀλή-
θεια [1], ἀρχὴν λαβόντα παρὰ Θεοῦ καὶ τέλος. Συνωμολογήσατε
οὖν ἐκ φυλῆς Ἰούδα τέως [2] τὸν πρῶτον νόμον εἶναι παρὰ τοῦ
παντοκράτορος Θεοῦ. Καὶ μετὰ τοῦτο ἐγγὺς ἔχοντες τὸν ἴδιον καὶ
ὁμόφυλον εἰς δόξαν ὑμῶν, Θεοῦ ὄντα [3] υἱόν, Θεὸν κρατήσατε,
κἂν οὐκ ἐμοὶ πεισθέντες, ἀλλὰ πᾶσι τοῖς ἁγίοις καὶ τοῖς εἰρημένοις
Bar. 4, 3. ὑπὸ Βαρούχ· ἵνα μὴ ἑτέροις μόνοις τὴν δόξαν σου δῷς [4]. Μὴ θελή-
Lev. 19,18. σῃς γὰρ μόνος ἔχειν αὐτόν, μνημονεύων τοῦ· « Ἀγαπήσεις τὸν
πλησίον σου ὡς ἑαυτόν ». Λέγετε ἤδη [5], συμπείθοντες ὅμως τὸν
Deut. 4,35. ἀγνοοῦντα ἕλληνα, ὅτι· « Οὐκ ἔστιν Θεὸς ἄλλος εἰ μὴ εἷς », καὶ ὅτι·
« Οὐ βούλεται δαίμονας εἶναι θεοὺς τῶν τέκνων αὐτοῦ καὶ δούλων. »

38. — [1] τὸ F.
39. — [1] ἀλήθειαν F. — [2] τὲ ὡς F. — [3] ὄντος F. — [4] (σου δῶς) οὐδ' ὡς F. — [5] εἰ δὲ F.

Καὶ γὰρ ἐπιτιμῶν [6] γράφει ἐξολοθρεῦσαι ὅλην τὴν πόλιν ἡμῶν τοῦ Cf. Deut. 9,
Ἰσραήλ, τοὺς ἀνθρώπους καὶ τὰ ὄντα σκεύη ἐμπρῆσαι, ὅτι ὅλως 19-20; 13,16.
ἐνεθυμήθησαν ἔχειν θεοὺς μὴ ὄντας· καὶ ἕως τοῦ ἀρχιερέως ἡμῶν,
εἰ μὴ διὰ τὸν ἅγιον Μωϋσῆν, ἀπώλετο ἂν Ἀαρών [7]. Ἀκούσας οὖν ὁ *gentes vero*
ἕλλην παρὰ τοῦ Ἰουδαίου πεισθεὶς πιστευέτω τῷ μόνῳ Θεῷ. Ἀ- *unum Deum confiteantur*
δύνατον γὰρ ἄλλους εἶναι τοῦ μόνου ὄντος· ὡς καὶ ἐπὶ Ἀδὰμ οὐκ
ὠφελήθησαν οὐδέν, καὶ ἐν τούτῳ δι' αὐτὸν ἐπιτιμηθέντες ὑπὸ
Κυρίου, οὐ μόνον τὸ ἐπὶ τῇ κοιλίᾳ καὶ τῷ στήθει πορεύεσθαι καὶ Gen. 3,14-15.
ὅτι « αὐτὸς ἐλθὼν ὁ δίκαιος Κύριος μετὰ ταῦτα ἐκ σπέρματος Δα-
υὶδ τηρήσει σου [8] τὴν κεφαλὴν καὶ τὸν αὐχένα συγκόψει τῶν ἁμαρ- Ps. 128,4.
τωλῶν· » ἀλλὰ καὶ ὁ συμβουλευθεὶς τότε εἶναι Θεός (ὁ δὲ ἄνθρω- Cf. Gen. 3, 5,
πος ζῶν ἦν) καὶ ἐξεβλήθη τοῦ παραδείσου. Καὶ ὑμεῖς φύγετε τὴν 23.
μέλλουσαν ὀργήν, πρῶτον μὲν ἀποστάντες τῆς ἀλλοτρίας θεοποι- Luc. 3, 7.
ΐας· καὶ προσκυνήσατε τὸν εὐεργέτην ὑμῶν καὶ ἡμῶν καὶ πάντων
ἐν τῷ ἐπιγνῶναι Θεὸν αὐτόν. Οὐ γὰρ μακρὰν ἡμῶν ἐστιν· ἀλλ' ἐν Act. 17,27-28.
αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς τοῖς Ἀθηναίοις λέγει
ὁ Παῦλος τῆς ἀληθείας ὁ κῆρυξ. Καὶ ἐπειδὴ εἴδωλα ἀναίσθητα ὁρῶ-
μεν ὅτι ἐκ πατέρων ἔχετε, ὡς δι' αὐτῶν τὸ θεῖον προσκυνεῖται
πιστεύσαντες, μᾶλλον προσκυνεῖτε ὃν ἐγέννησεν ὁ δεσπότης ἡμῶν *Iesumque adorent.*
Θεός, Θεὸν ἀληθινόν, τὸν δι' ἡμᾶς γενάμενον ἄνθρωπον Ἰησοῦν
Χριστόν, τὸν ἔχοντα [9] πάντας τοὺς ἁγίους περὶ αὐτόν, μάρτυρας,
πατριάρχας, προφήτας, ἀποστόλους, καὶ πλέον πάντων τὰ ἔργα Cf. Is. 40,10.
αὐτοῦ. Καὶ καθάπερ μαργαρίτης οὐ χρείαν ἔχει μαρτύρων δύο
ἢ τριῶν εἰς σύστασιν αὐτοῦ (αὐτὸς γὰρ ὁ μαργαρίτης καὶ σιωπῶν
θαυμάζεται), καὶ οὕτως ἄνθρωπος ὢν καὶ σὺ ὑπὸ ὁμοιοπαθοῦς Cf. Hebr.
16. — [1] *om.* B. — [2] *νύκταν* R. — [3] *ἕ. ὄ. om.* H. — [4] (*τ. π.*) *π. τ.* WOM. — [5] *θέρους γ. ἦν ὁ καιρὸς* B. — [6] *ὡσεὶ* O. — [7] *εἰώθε* B. — [8] *om.* W. — [9] *om.* S. — [10] *καθελεῖν corr.* V. — [11] *ταύτας καθ.* O. — [12] *ἐκστάσει* W, *ante corr.* C. — [13] *καταπονοῦν* R. — [14] *ἐπαγαγεῖν* VC. — [15] *ὡς* R, *om.* VBC. — [16] *δὲ* BC. — [17] *τελ. χρ.* S. — [18] *τελευτήσαντα αὐτὸν add.* B. — [19] *om.* B. — [20] *δὲ* R; *om.* S. — [21] (*πν. αὐ.*) *τούτου πν.* B. — [22] (*εἰς ὃν ἐ.*) *ᾧ ἐπεπόθει* S.

εἶχετο πάλιν τῆς ἐπιπόνου [23] κατὰ μόνας ἀσκήσεως, ἀγωνιζόμενος *Φ 18.*
ἀκέραιον ἑαυτὸν [24] ἐν [25] παντὶ [26] διαφυλάττειν [27] καὶ πάντα ὑπαρὸν λογισμὸν ἐπιόντα ἀποκρούεσθαι· ἐμελέτα οὖν [28] ἀεὶ τὸν φόβον τοῦ Θεοῦ ἔχειν ἐν ἑαυτῷ, μνήμην λαμβάνων [29] τῆς αἰωνίου κολάσεως Cf.Mt.25,46;
καὶ τῶν βασάνων τοῦ αἰωνίου πυρὸς καὶ τοῦ σκώληκος τοῦ ἰο- Marc.9,48.
βόλου.

17 [1]. Ἐν τούτοις δὲ τοῦ Παχωμίου ἀσκοῦντος [2] καὶ μετὰ πολλῆς τῆς [3] προθυμίας τὸ μοναστήριον πρὸς ὑποδοχὴν πλείστης ἀδελφότητος οἰκοδομοῦντος [4], ἤρξαντο οἱ δαίμονες ἀντιπίπτειν αὐτῷ [3]·
καὶ τρίζων [5] ὁ [6] μονιὸς ἄγριος [7] κατ' αὐτοῦ τοὺς ὀδόντας [8], πολλοὺς Marc. 9, 18;
αὐτῷ ἐκίνει [9] τοὺς [10] πειρασμούς, βλάπτειν [11] ἐπιχειρῶν [12] τὸν ἠ- Ps. 79, 13.
σφαλισμένον τῷ τῆς πίστεως θυρεῷ· ἀλλ' αὐτὸς γενναίως φέρων Eph. 6, 16.
τὰς τοῦ ἐχθροῦ προσβολὰς τὰ ἐκ [13] τῶν γραφῶν κεφάλαια διὰ παντὸς ἀπεστήθιζεν. Εὐχομένου γοῦν αὐτοῦ [14] πολλάκις καὶ μέλ-
λοντος κλίνειν τῷ Θεῷ τὰ γόνατα, λάκκον ὁρᾶσθαι ἔμπροσθεν αὐτοῦ τῇ ἰδίᾳ [15] αὐτῶν [16] φαντασίᾳ ἐμηχανῶντο — ἕτοιμοι γάρ εἰσι πρὸς τὰς [17] οὕτω [18] ματαίας καὶ ἀνυποστάτους ἑαυτοὺς [19] μεθορμίζειν εἰκόνας [20] — ὅπως τῷ φόβῳ καὶ τῇ δειλίᾳ συσχεθεὶς μὴ τελέσῃ τὴν εὐχὴν καθαρὰν τῷ Θεῷ [21]· αὐτὸς δὲ τῶν πειραζόντων Cf.Iob 16,18.
αὐτὸν [22] τὰς τέχνας [23] χάριτι Θεοῦ συνιεὶς [24] μετὰ πίστεως ἐγο-
νυπέτει, καταισχύνων μὲν τούτους, τὸν δὲ Θεὸν εὐλογῶν. Συνήθειαν [25] δὲ ἔχοντι αὐτῷ [26] πάλιν [27] ἐπέκεινα τῆς μονῆς [28] περὶ τὰ ἐρημότερα [29] μέρη [30] ἀπιέναι εἰς προσευχὴν καὶ οὕτως πάλιν [31] ἐπανέρχεσθαι εἰς τὴν μονήν, πολλάκις [32] ἀναλύοντι ὡσανεὶ ἐμπαί-
ζοντες [33] οἱ σκολιοὶ προέφθανον [34] παρακελευόμενοι ἀλλήλοις [35] ὡς ἐπὶ [36] ἄρχοντος [37] καὶ λέγοντες· « Δότε τόπον [38] τῷ ἀνθρώπῳ

[23] *ἐπιμόνου* S. — [24] *αὐτὸν* C. — [25] *om.* BM. — [26] *τρόπω add.* B, *τόπω add.* C. — [27] *διατηρεῖν* B. — [28] *γοῦν* WOMHR. — [29] *om.* S.

17. — [1] *lemma: η', π ε ρ ὶ φ α ν τ α σ ι ῶ ν δ α ι μ ό ν ω ν* WO, *ια'* M. — [2] *τῷ παχωμίῳ ἀσκουμένῳ* B. — [3] *om.* B. — [4] *οἰκοδομοῦντι* B, *om.* H. — [5] *ἔτριζον* BC. — [6] *ὡς* BCH. — [7] *ὁ ἄ. μον.* S. — [8] *τρίζων τοὺς ὀδ. ὁ μον.* (*ὁ add.* O) *ἄ. κατ' αὐ.* WO; *καὶ add.* BC. — [9] *ἐκίνουν* B. — [10] *om.* BC. — [11] *corr., prius βλάπτει* M. — [12] *ἐπιχειροῦντες* B. — [13] *om.* BC. — [14] (*γ. αὐ.*) *οὖν* B. — [15] *ἀειδῆ* H. — [16] *om.* S. — [17] *om.* BC, *τοὺς* V. — [18] *ὄντως* H. — [19] *om.* B. — [20] *μεθαρμόζειν εἰκ.* MO, *εἰκ. μεθαρμόζεσθαι* B. — [21] *κυρίῳ* WOM. — [22] *cm.* BH. — [23] *μηχανὰς* B. — [24] (*χάρ. θ. σ.*) *σ. χάρ. χριστοῦ* S. — [25] *ἔθος* B. — [26] *corr.* M. — [27] *om.* B. — [28] *φονῆς* W. — [29] *ἐρημικώτερα* BCOS. — [30] *om.* WOMH. — [31] *om.* S. — [32] *γοῦν add.* S. — [33] BCSR; *illudentes* Λ; *ἐμποδίζοντες* VWOMH. — [34] *προέφαινον* S. — [35] *ἀλλήλους* C, *ante corr.* O. — [36] *ἐπ'* HMSR. — [37] *τινος add.* S. — [38] *τόπῳ* C.

τοῦ Θεοῦ. » Ὁ δὲ Παχώμιος τῇ πίστει καὶ τῇ ἐλπίδι τῇ εἰς τὸν σωτῆρα Χριστὸν πεποιθὼς κατεγέλα αὐτῶν, ὡς ἀχρεῖον [39] κυνῶν ὑλακὴν [40] τὰ τούτων [41] ἡγούμενος παίγνια, καὶ πρὸς Θεὸν ἔχων ἀδιάλειπτον αὐτοῦ τὸν [42] ἔρωτα [43].

Φ 19. **18.** Ὁρῶντες δὲ τὸ γενναῖον τοῦ ἀνδρὸς καὶ ἀκατάπληκτον συναθροίζονται πάλιν ἐπ' αὐτὸν [1] σὺν ταράχῳ [2] πολλῷ· καὶ τοῦ οἰκήματος ἐπιλαβόμενοι σείειν τοῦτο ἐφαντάζοντο [3], ὡς νομίζειν τὸν ἅγιον ἐκ θεμελίων τὸν τόπον σαλεύεσθαι· αὐτὸς δὲ ἀτρεμὴς [4] ὑπάρχων τὴν πνευματικὴν πάλιν [5] ἀνεκρούετο νευρὰν καὶ μετὰ
Ps. 45, 1, 2. φωνῆς ἔψαλλε λέγων· « Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς [6] σφόδρα· διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. » Ταῦτα δὲ αὐτοῦ εἰπόντος, ἐξαίφνης γέγονεν ἡσυχία πολλή· αὐτοὶ δὲ ὡσεὶ καπνὸς ἐξέλιπον. Καὶ μετ' ὀλίγον [7], καθάπερ οἱ [8] κύνες ἐλαυνόμενοι ὑποχωροῦσιν καὶ πάλιν ἀναιδῶς ἐπέρχονται, οὕτω καὶ ὁ πονηρὸς μετὰ τὴν εὐχὴν καθεσθέντι [9] εἰς ἔργον τῷ μακαρίῳ [10], εἰς τύπον ἀλεκτρυόνος παμμεγέθους σχηματισθεὶς ἐφώνει σφοδρῶς [11] ἔμπροσθεν αὐτοῦ, συνεχεῖς καὶ ἀγρίας [12] ποιούμενος τὰς φωνάς, ἅμα δὲ καὶ ἐφιπτάμενος αὐτῷ καὶ πικρῶς αὐτὸν πλήσσων [13] τοῖς ὄνυξιν. Ὁ δὲ πάλιν [14] ἐμφυσήσας αὐτῷ καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ μετώπου ποιήσας, παραχρῆμα ἀφανῆ [15] κατέστησεν αὐτόν [16].
Cf. Eph. 6, 11. Ἦν οὖν συνιὼν [17] ἐν ἅπασι [18] τὰς τῶν ἐχθρῶν [19] μεθοδείας καὶ τῷ [20] φόβῳ τοῦ Θεοῦ πλέον [21] νευρούμενος κατὰ τῆς πλάνης αὐτῶν. Ἀλλ' οὐδὲ [22] οὕτως ἀπέσχοντο [23] τοῦ ἁγίου. Ἐπειδὴ [24] γὰρ [25] ἄθραυστος [26] ἦν καὶ [27] λίαν καρτερικὸς πρὸς τοὺς ἀγῶνας, ἑτέρως πάλιν αὐτὸν ἀπατᾶν [28] ἐπεχείρουν. Γενόμενοι [29] γὰρ ὁμοθυμαδὸν πολλοὶ [30] ἐδόκουν τινάσσειν [31] ἔμπροσθεν αὐτοῦ φύλλον δέν-

[39] ἀχρείων codd. — [40] ὑλακτεῖν VCH, ὑλακτούντων B. — [41] τὰ τ. om. H ; τὰς τούτων τῶν δαιμόνων (τῶν δ. del. V, om. B) φαντασίας VBC. — [42] αὐ. τ. om. B. — [43] (καὶ πρὸς - ἔρ.) VBC, om. ceteri.

18. — [1] ἐπ' αὐτῶ S, ἐπιτοαυτὸ H, πρὸς αὐτὸν M. — [2] πατάγω O. — [3] ἐφάνταζον CS, ταῖς φαντασίαις ἐδόκουν B. — [4] corr., prius ἀτεμὴς V ; ἀτρέμας BCS. — [5] om. H. — [6] τ. εὐ. ἡ. om. V. — [7] μετ' ὀ. om. S. — [8] om. HS. — [9] καθεσθέντος B. — [10] τ. μ. om. B. — [11] ἐπέρχονται οὕτως· μετὰ γὰρ τ. εὐ. καθ. τῶ ἁγίω εἰς ἕ. ὁ πονηρὸς μετασχηματισθεὶς εἰς τ. ἀλ. παμμ. ἐφώνει σφόδρα S. — [12] ἀγρίους S. — [13] πλήττων S. — [14] om. B. — [15] πάλιν add. B. — [16] om. S. — [17] συνιεὶς B. — [18] πᾶσι S. — [19] τοῦ ἐχθροῦ B. — [20] om. V. — [21] πλεῖον S. — [22] οὐδ' S. — [23] ἀπέχονται H. — [24] ἐπεὶ V. — [25] om. VR. — [26] ἄθραυτος R. — [27] ἄθ. ἦν καὶ om. V. — [28] αὐ. ἀπατεῖν S, ἀπατᾶν αὐ. O. — [29] γενάμενοι V. — [30] πολὺ VR. — [31] (ἐ. τ.) ἐτίνασσον S,

δρου· καὶ σχοινία παχέα [32] βαστάσαντες [33] ἐδέσμουν, φησί [34], μετὰ ἀσφαλείας [35] αὐτό· στήκοντες [36] δὲ ἑκατέρωθεν, ἀλλήλους [37] προέτρεπον [38] σύρειν τὸ φύλλον ὡσανεὶ λίθον παμμεγέθη. Τοῦτο δὲ [39] ἐποίουν ἐκλύειν πρὸς γέλωτα τὴν καρδίαν οἰόμενοι [40] τοῦ ἁγίου [41], ὅπως κἂν ἐν τούτῳ κατακαυχήσωνται [42] αὐτοῦ. Ὁ δὲ Παχώμιος βλέπων τὴν ἀναίδειαν αὐτῶν ἐστέναξε κατ' αὐτῶν πρὸς Κύριον. Καὶ παραχρῆμα [43] τῇ δυνάμει τοῦ σωτῆρος ἡμῶν [44] Ἰησοῦ [45] Χριστοῦ, ἅφαντος αὐτῶν ἡ φάλαγξ [46] γεγένηται [47].

19. Καὶ καθημένῳ δὲ [1] αὐτῷ [2] πολλάκις [3] φαγεῖν ἢ καὶ [4] εὐχαριστοῦντι [5] τῷ Θεῷ [6], ἤρχοντο πρὸς αὐτὸν ἐν σχήμασι [7] γυναικῶν κάλλει διαφερουσῶν καὶ [8] γεγυμνωμένων καὶ βουλομένων ἀναιδῶς συγκαθεσθῆναι αὐτῷ [9] καὶ τῶν παρακειμένων ἐφάπτεσθαι· καὶ παρηνώχλουν ἐν [10] τούτῳ τὸν γενναῖον ἀθλητήν. Αὐτὸς δὲ τοὺς ἔξωθεν καμμύων [11] ὀφθαλμοὺς [12] τοῖς νοητοῖς ἐνετύγχανε [13] τῷ Is. 33, 15.
ἀγωνοθέτῃ καὶ βραβευτῇ [14] Χριστῷ [15] καὶ οὕτως ἀφανεῖς καθίστα τοὺς ἀκαθάρτους δαίμονας, μηδὲν κατ' αὐτοῦ τὸ παράπαν [16] ἀνύοντας. Ὁ γὰρ φιλάνθρωπος Κύριος, ὁ λέγων πᾶσι τοῖς εὐθέσι· Matth. 28, 10, 20.
« Μὴ φοβεῖσθε· μεθ' ὑμῶν γάρ εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος, » διὰ παντὸς ἐφορούρει αὐτόν.

Φ 20. Καὶ [17] ἄλλοτε δὲ πλεῖστα πειραζομένου αὐτοῦ ὑπ' αὐτῶν [18] καὶ [19] τὸ σῶμα σφοδρῶς αἰκιζομένου καὶ ἀλγοῦντος [20] ἀφ' ἑσπέρας μέχρι [21] πρωΐ καὶ [19] οὐδεμιᾶς παραμυθίας οὔσης [22] αὐτῷ, εἰ μὴ τῆς τοῦ Θεοῦ μνήμης μόνης, ἦλθέ [23] τις αὐτὸν ἐπισκέψασθαι [24] μοναχὸς [25] Ἱερακαπόλλων [26] ὀνόματι· ὃν ἀσπασάμενος καὶ λαλήσας

[32] παχεῖα VCHMR. — [33] σχ. βαστ. παχ. S. — [34] om. B. — [35] ἐδ. μ. ἀσφ. φησὶν C. — [36] ἱστάμενοι BMOS. — [37] ἀλλήλοις BHS. — [38] προετρέποντο BO, προὔτρεπον S. — [39] om. S. — [40] πειρώμενοι B. — [41] ἀνδρὸς H. — [42] κατακαυχώμενοι φανήσονται O. — [43] παραυτίκα S. — [44] om. H. — [45] om. HR. — [46] φάλαξ CSW ; ἡ φ. αὐτ. H. — [47] γεγένητο O.

19. — [1] om. WOM. — [2] καθημένου δὲ αὐτοῦ VC ; καθημένου αὐτοῦ O. — [3] (καὶ - πολλ.) πολλάκις δὲ αὐτὸς μὲν ἐκάθητο B. — [4] ἢ om. VC ; καὶ om. M ; ἢ καὶ om. WOB. — [5] εὐχαριστοῦντος O, εὐχαριστῶν BS. — [6] οἱ δὲ δαίμονες add. B. — [7] σχήματι WOMHS. — [8] om. B. — [9] σ. αὐ. om. S. — [10] κἀν S. — [11] καμύων VC, μύων B. — [12] ὀφθαλμοῖς V. — [13] τῶ θεῶ add. O. — [14] δεσπότη add. WMHSR. — [15] om. O. — [16] μηδὲν τὸ π. κατ' αὐ. M. — [17] ιβ' praemittit M. — [18] ὑπ' αὐτοῦ WO ; πειραζόμενος ὑπ' αὐτῶν C ; πλεῖστα μὲν ὑπ' αὐτῶν ἐπειράζετο B. — [19] om. B. — [20] αἰκιζόμενος κ. ἀλγῶν B. — [21] ἕως B. — [22] ἐν add. M. — [23] δέ add. B. — [24] ἐπισκεψόμενος B, ἐπικέψασθαι S. — [25] τις μον. ἐπ. αὐ. O. — [26] ἱερακαπόλων H, ἱερακαπόλλων O, ἱερεκαπῶλλον S.

αὐτῷ τὰ πρὸς σωτηρίαν καὶ [27] ὅτι πολλαὶ αἱ μεθοδεῖαι τοῦ διαβόλου, ἤρξατο αὐτῷ καὶ τὰ [28] καθ' ἑαυτὸν ἀνατίθεσθαι καὶ τὰς [29] παρ' αὐτῶν ἐπαχθείσας [30] αὐτῷ [31] δριμυτάτας αἰκίας ἐπὶ λέξεως λέγειν.

Deut. 31, 6. Πρὸς ὃν ἔφη ὁ μοναχός· « Ἀνδρίζου καὶ ἴσχυε· εἰδὼς [32] γὰρ ὁ διάβολος ὅτι ἐάν σε ὀλιγωρήσαντα καταβάλῃ, ἴσως καὶ ἡμᾶς τοὺς κατὰ δύναμιν μιμητὰς τῶν σῶν ἀγώνων ὄντας καὶ μεγίστην ὠφέλειαν παρὰ σοῦ καρπουμένους ὑποχειρίους ἕξει, τούτου χάριν σφοδρῶς ἐπιτίθεταί σοι· ὅθεν τὴν συμμαχίαν τοῦ Κυρίου ἔχων ὑπόμεινον, ὦ πάτερ, ὅπως μὴ [33] καὶ περὶ ἡμῶν λόγον δώσῃς [34], ὡσανεὶ ἐκ ῥᾳθυμίας ἡττηθεὶς καὶ ὑπόδειγμα γενόμενος [35] ὀλιγωρίας ἡμῖν. » Ἀκούσας δὲ ταῦτα ὁ Παχώμιος πλέον ἐνεδυναμώθη κατὰ τοῦ ἐχθροῦ· καὶ δοξάζων τὸν Θεὸν ἐπὶ τῇ παρουσίᾳ τοῦ ἀδελφοῦ, ἐδέετο αὐτοῦ [36] μὴ χωρισθῆναι αὐτοὺς [37] ἀπ' ἀλλήλων ποτέ· καὶ δὴ συνεχῶς ἤρχετο πρὸς αὐτόν. Μετὰ δὲ χρόνον τινὰ συνήθως παραγενόμενος [38] πρὸς αὐτὸν [39] ὁ Ἱερακαπόλλων [40] καὶ ὀλίγας ἡμέρας αὐτῷ συνδιαγαγὼν [41] τελευτᾷ κατὰ τὴν [42] τοῦ [43] Παχωμίου εὐχὴν ἐν γήρει [44] καλῷ καὶ ἀσκήσει τελείᾳ· καὶ θάπτεται ὑπὸ

I Par. 29, 28.

Eph. 5, 19. τῶν ἁγίων τοῦ πατρὸς χειρῶν, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τὸν [45] Θεὸν ἀνυμνοῦντος.

Φ 21. **20** [1]. Τοσαύτην δὲ πρὸς Θεὸν ἐκέκτητο [2] παρρησίαν καὶ οὕτως

Luc. 10, 19. μέγας ἦν ἐν τῇ πίστει, ὡς πολλάκις πατεῖν [3] ἐπάνω ὄφεων καὶ [4] σκορπίων, καὶ [5] ἀβλαβῆ [6] διαμένειν. Καὶ κροκοδείλοις [7] δὲ ἐν ποταμοῖς συνεχῶς πρὸς τὸ περᾶν [8] ἐχρῆτο [9], μετὰ πάσης αὐτὸν [10] διαπορθμεύουσι τῆς ὀξύτητος. Εὐχαριστῶν τοίνυν ἐφ' οἷς αὐτὸν ὁ δεσπότης Χριστὸς [11] ἀπὸ τῶν ἀντικειμένων διετήρει [12] δυνάμεων

Cf. Ps. 30, 7. ηὔχετο λέγων· « Εὐλογητὸς εἶ, Κύριε, ὅτι οὐ παρεῖδες τὴν ταπείνωσίν μου, οὔτε συνεχώρησας τὴν ἀσθένειάν μου πλανηθῆναι ὑπὸ τοῦ ἐχθροῦ, συγκαταβαίνων μου [13] τῇ ἀγνοίᾳ καὶ διδάσκων με τὸ θέλημά σου. Ἐγὼ μὲν γάρ εἰμι ταπεινὸς καὶ ἄφρων· αὐτὸς

Cf. Ps. 15, 7. δὲ συνέτισάς [14] με πρὸς τὸν φόβον σου, δέσποτα. »

[27] *prius om.* V. — [28] *om.* W. — [29] *τοὺς* W. — [30] *ἀπενεχθείσας* R. — [31] *om.* S. — [32] *εἰδὼν* S. — [33] (*ὅπ. μὴ*) *μήπως* S. — [34] VC ; *δῶς ceteri.* — [35] *γενάμενος* VR. — [36] *om.* S. — [37] *om.* B. — [38] *παραγενάμενος* H. — [39] (*μετὰ - αὐ.*) *om.* S. — [40] *ἱερακαπόλων* H, *ἱερακαπώλλων* S. — [41] *συνδιάγων* CH, *συνδιατρίψας* S ; (*καὶ ὀλ. - συν.*) *om.* R. — [42] (*κ. τ.*) *κατ' αὐτὴν* S. — [43] *om.* H. — [44] *γήρα* WOM. — [45] *ἕνα add.* V.

20. — [1] *ιγ'* M. — [2] *τὴν add.* S. — [3] *πατῶν* B. — [4] *om.* V. — [5] *om.* B. — [6] *ἀβλαβὴς* BS. — [7] *κορκοδήλοις* H, *κορκονίλοις* V, *κροκοδήλους* S. — [8] *πέραν* VH, *διαπερᾶν* B. — [9] *ἐκέχρητο* S. — [10] *αὐτῶ* C. — [11] *κύριος* O. — [12] *διατηρεῖ* R. — [13] *συνκαταβαίνων μοι* R. — [14] WR, *ἐσυνέτισάς* YHM, *συνετίζης* S, *συνέστησάς* BC, *συνέσεισάς* O,

Πάλιν [15] δὲ ὁρῶν [16] τὴν τῶν δαιμόνων ἀνένδοτον προσβολὴν ἐπὶ πλεῖστον [17] αὐτῷ [18] γινομένην [19], ὡς γενναῖος καὶ τέλειος ἀγωνιστὴς τῆς ἀληθείας [20] ᾐτεῖτο [21] παρὰ [22] Κυρίου ἀπωσθῆναι [23] τὸν ὕπνον [24] ἀπ' αὐτοῦ, πρὸς τὸ αὐτὸν [25] νύκτα [26] τε καὶ μεθ' [27] ἡμέραν [28] ὅσον [29] τὸ ἐπ' αὐτῷ [30] ἄϋπνον διαμένοντα [31] δυνηθῆναι τροπώσασθαι τοὺς ὑπεναντίους κατὰ τὸ γεγραμμένον ὅτι· « Οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν· ἐκθλίψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου, καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον.» Ἐχαρίσθη οὖν αὐτῷ τὸ αἴτημα [32] τοῦτο [33]· καὶ

Φ 22.

Ps. 17, 37-39.

10 τὸν ἀόρατον ὡς ὁρῶν διὰ παντὸς ἐκαρτέρει· τά τε [34] λόγια αὐτοῦ [35] ἀδιαλείπτως μελετῶν, πρὸς μὲν τοὺς ἀγῶνας ἵστατο γενναίως [36]· εὐχὴ δὲ ἦν αὐτῷ συνεχὴς τὸ γενέσθαι ἐπ' αὐτῷ τὸ θέλημα τοῦ Χριστοῦ [37] καὶ μὴ ἔχειν πρὸς αὐτὸν ἔννοιάν τινα [38] τῶν κοσμικῶν [39] φροντίδων [40].

Hebr. 11, 27.

Ps. 118, 148.

15 **21** [1]. Καὶ δὴ μετὰ χρόνον τινὰ ἀγρυπνοῦντι αὐτῷ καὶ τὸ αὐτὸ προσευχομένῳ [2] ὤφθη [3] ἄγγελος παρὰ [4] Κυρίου λέγων πρὸς αὐτόν [5]· « Παχώμιε. » Ὁ δὲ εἶπεν· « Τί, κύριέ μου [6]; » Καί φησιν ὁ ἄγγελος [7]· « Τὸ [8] θέλημα τοῦ Θεοῦ ἐστι [9] διακονεῖν αὐτῷ καὶ ἀποκαταλλάσσειν τῷ Θεῷ [10] τὸ τῶν ἀνθρώπων γένος. » Τρὶς δὲ

Φ 23.

Iudic. 13, 3.

Cf. Act. 9, 10.

Φ 24.

20 τοῦτο εἰπὼν ἀπῆλθεν [11] ἀπ' αὐτοῦ. Εὐχαριστήσας οὖν τῷ Θεῷ ὁ Παχώμιος [12] καὶ πληροφορηθεὶς ἐπὶ τῇ πρὸς [13] αὐτὸν γενομένῃ πάλιν [14] ὀπτασίᾳ ἤρξατο ὑποδέχεσθαι τοὺς ἐκ μετανοίας προσερχομένους δι' αὐτοῦ [15] τῷ Θεῷ. Καὶ μετὰ δοκιμασίας πολλῆς ἐδίδου αὐτοῖς τὸ τῶν μοναχῶν [16] σχῆμα, ἀπαγορεύων μὲν αὐτοῖς [17] τὰ

Hebr. 7, 25.

[15] *θ', περὶ νουθεσίας καὶ παραδόσεων praemitt.* WO, *ιδ'* M. — [16] *ἐρῶν* R. — [17] *πλείστω* V, *πλέον* S. — [18] *om.* S. — [19] *γενομένην* WM, *ἐγγινομένην* S. — [20] *τῆς ἀλ. om.* O ; *τέλ. τῆς ἀλ. ἀγ.* WMHRS. — [21] *ἠγείτο* V, *αἰτεῖται* S. — [22] *τοῦ add.* R. — [23] S ; *ἀποστῆναι ceteri.* — [24] *τ. ὕ. ἀπωσθ.* S. — [25] *πρὸς τὸ αὐτὸ* S, *ὥστε* B. — [26] *νύκτωρ* WOM. — [27] *om.* CHS. — [28] *ἡμέρα* H, *ante corr.* V ; *νυκτὸς καὶ ἡμέρας* B. — [29] *corr., prius νοσὸν* V. — [30] *αὐτὸν* S. — [31] *ὕπνος διαμένων* B. — [32] *αὐτοῦ add.* WMHRS. — [33] *τοῦτο τὸ αἴτ.* BC, *τοῦτο τὸ αἴτ. αὐτοῦ* O. — [34] *δὲ* H. — [35] *τοῦ θεοῦ* H. — [36] *γενναῖος* VW. — [37] *θεοῦ* S. — [38] *ἔννοια τί corr., prius ἔννοιαν τί* V ; *τινα πρὸς ἑαυτὸν ἔνν.* B. — [39] *κοσμικῶς* C. — [40] (*καὶ μὴ - φρ.*) VBC, *om. ceteri.*

21. — [1] *ιε'* M. — [2] (*καὶ τὸ αὐ. πρ.*) *καὶ πρ.* B, *καὶ τούτω αὐτῶ πρ.* R ; *αἴτημα add.* S. — [3] *αὐτῶ add.* HS. — [4] *om.* BS. — [5] (*πρ. αὐ.*) *om.* BS, *αὐτῶ* C. — [6] (*παχ. - μου*) VBC, *om. ceteri.* — [7] *καί φ. ὁ ἄ.* B, *om. ceteri.* — [8] *om.* S. — [9] *τὸ add.* S. — [10] (*τ. θ.*) *αὐτῶ* B. — [11] *ἀπέστη* B. — [12] *ὁ παχ. τῶ θ.* WO. — [13] *εἰς* S. — [14] *πάλ. γεν.* BC. — [15] *δι' αὐ. om.* S. — [16] (*τ. μ.*) *μοναχικὸν* S. — [17] *αὐτοὺς* S.

τοῦ βίου, προβιβάζων δὲ κατὰ [18] μέρος αὐτοὺς ἐν [19] τῇ ἀσκήσει.
Cf. Luc. 14, 26, 27. Καὶ πρῶτον [20] μὲν παρῄνει αὐτοὺς [21] παντὶ τῷ κόσμῳ ἀποτάξασθαι, εἶτα καὶ τοῖς ἰδίοις, κατὰ δὲ [22] τὸ εὐαγγέλιον καὶ ἑαυτοῖς [23], ἵν' οὕτως δυνηθῶσι [24] καὶ [25] τὸν σταυρὸν τὸν [26] ἑαυτῶν βαστάσαντες τῷ σωτῆρι ἀκολουθῆσαι. Αὐτοὶ δὲ συνεχῶς διδασκόμενοι [27] ὑπ'
Eph. 4, 1. αὐτοῦ ἐκαρποφόρουν κατὰ τὰς γραφὰς ἀξίως τῆς κλήσεως, ὁρῶντες αὐτὸν [28] ἐν γήρει [29] μάλιστα μακρῷ μὴ μόνον ἐν [30] τῇ ἐπιπόνῳ ἀσκήσει ἑαυτὸν κακουχοῦντα [31], ἀλλὰ γὰρ [32] καὶ πᾶσαν τὴν [33] φροντίδα τῆς μονῆς δι' ἑαυτοῦ ποιεῖσθαι σπουδάζοντα. Ἦν γὰρ ἰδ◦εῖν τὸν γέροντα προθύμως ἑτοιμάζοντα [34] αὐτοῖς [35] κατὰ [36] τὴν ὥραν συνερχομένοις [37] πρὸς ἑστίασιν [38] τὴν τράπεζαν, ὁμοίως δὲ καὶ ἐν τῷ κήπῳ λάχανα σπείροντα καὶ ταῦτα δι' ἑαυτοῦ ποτίζοντα [39], καὶ τῷ κρούοντι τὴν θύραν ἑτοίμως [40] προσαπολογούμενον [41], καὶ τοὺς ἀσθενεῖς [42] νύκτωρ τε καὶ μεθ' ἡμέραν [43] ὑπηρετοῦντα [44] καὶ διαναπαύοντα [45], καὶ ἐν πᾶσι τούτοις ὑπόδειγμα κάλλιστον τοῖς μαθηταῖς γινόμενον. Προθυμούμενος [46] γὰρ τοὺς νεωστὶ [47] τῇ ἀσκήσει προσελθόντας [48] καὶ μήπω τοιαύτην διάκρισιν ἔχοντας ὥστε δύνασθαι θεοπρεπῶς δουλεύειν ἑαυτοῖς [49], ἀμερίμνους [50] αὐτοὺς [51] πάντων τῶν τοιούτων [52] περισπασμῶν πρῶτον καθιστῶν [53] ἔλεγεν αὐτοῖς· « Ἐν ᾧ ἐκλήθητε τέως [54], ἀδελφοί, πρῶτον [55] ἀγωνίσασθε· ψαλμοὺς μελετᾶν [56], εἶτα τὰ [57] ἀπὸ τῶν ἄλλων βιβλίων μαθήματα, ἐξαιρέτως δὲ τὸ ἅγιον εὐαγγέλιον. Οὕτως γὰρ δουλεύων [58] τῷ Θεῷ καὶ ὑμῖν [59] κατὰ τὴν αὐτοῦ ἐντολήν, κἀγὼ ἀναπαύσομαι [60], καὶ ὑμεῖς τέλειοι γενήσεσθε [61] τὰς θείας μανθάνοντες ἐντολάς. »

[18] τὸ *add.* V. — [19] *om.* B. — [20] πρώτα S. — [21] αὐτοῖς BMOR. — [22] *om.* S. — [23] καὶ ἑ. *om.* S. — [24] δυνηθῶ S. — [25] VBC ; *om. ceteri.* — [26] *om.* WHS. — [27] (σ. δ.) συνεχόμενοι S. — [28] τε αὐτὸν S, ἑαυτὸν W. — [29] γήρα WOMS. — [30] *om.* B. — [31] κακοχοῦντα VH. — [32] *om.* B. — [33] *om.* B. — [34] (ἦν - ἑτ.) *om.* S. — [35] τε *add.* S. — [36] τὰ τὰ W. — [37] προσερχομένους H. — [38] εἰς *add.* S. — [39] (καὶ τ. - ποτ.) *om.* S. — [40] προθύμως WOMH. — [41] ἀπολογούμενον WO. — [42] τοῖς ἀσθενέσι BWOM. — [43] νύκτα τε κ. ἡμ. S. — [44] ὑπηρετούμενον B. — [45] κ. δ. *om.* WOMH. — [46] παιδαγωγῶν B ; *an* προθυμοποιούμενος? (*cf. Λ : alacriores reddebantur*). — [47] *om.* BC. — [48] προθυμοποιεῖν *add.* O. — [49] καὶ *add.* S. — [50] ἀμερίμνως C. — [51] *om.* O, εἶναι S. — [52] (τῶν τοι.) τοι. S, τούτων τῶν BC. — [53] καθ. πρῶτον M. — [54] ὡς H. — [55] (τέως ἀ. πρ.) πρ. ἀ. τ. C, ἀ. τ. B. — [56] μελετῶν V. — [57] *om.* S. — [58] δουλεύοντες HS. — [59] κ. ὑ. *om.* S. — [60] ἀναπαύομαι WOMH. — [61] γίνεσθε H.

22. Ἦν δὲ τὰ ὀνόματα τῶν πρώτως [1] προσελθόντων αὐτῷ Ψεν- Φ 25.
θαῆσις [2] καὶ Σουροῦς [3] καὶ Ὄψις [4]. Λαλῶν οὖν αὐτοῖς συνεχῶς [5] Cf. Act. 16, 32.
τὸν λόγον τοῦ Θεοῦ πολλὰ ὠφέλει αὐτοὺς [6] εἰς ζῆλον ἔργων ἀγαθῶν [7] ἐνάγων αὐτούς [8]. Ὁρῶντες γὰρ ἐκεῖνοι καὶ αὐτὴν [9] τὴν σιωπὴν τοῦ ἁγίου πρᾶξιν ἀρετῆς καὶ λόγον οὖσαν [10], ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· « Ἐπλανώμεθα ἡμεῖς [11] νομίζοντες πάντας τοὺς ἁγίους ἀτρέπτους καὶ ἁγίους [12] γεγενῆσθαι καὶ μὴ αὐτεξουσίους πεποιῆσθαι ὑπὸ [13] τοῦ [14] Θεοῦ, καὶ πάλιν τοὺς ἁμαρτωλοὺς μὴ ἰσχύειν ἐκ μεταβολῆς ἐναρέτους ζῆν, διὰ τὸ [15] οὕτως καὶ τούτους ἐκτίσθαι [16] ὑπ' αὐτοῦ [17]. Ὁρῶμεν δὲ σαφῶς τὴν ἀγαθότητα τοῦ Θεοῦ νῦν μάλιστα ἐπὶ τοῦ [18] πατρὸς ἡμῶν τούτου, ὅτι ἐξ Ἑλλήνων γονέων ὑπάρχων εἰς τοσαύτην θεοσέβειαν ἦλασεν, ὡς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ ἐξανύειν αὐτόν [19]. Ὅθεν σαφῶς ἀποδέδεικται ὅτι καὶ ἡμεῖς καὶ [20] πάντες οἱ βουλόμενοι [21] δυνάμεθα [22] ἀκολουθῆσαι [23] αὐτῷ, καθὼς καὶ αὐτὸς ἐπακολουθεῖ τοῖς ἁγίοις τοῖς πρὸ αὐτοῦ [24]. Τοῦτο γάρ ἐστι τὸ γεγραμμένον· « Δεῦτε πρός με [25] πάντες οἱ Mt. 11, 28.
κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, » τὸ αὐτεξουσίως καταλιπόντας τὰ πονηρὰ προσδραμεῖν τῷ ἀγαθῷ. Συναποθάνωμεν τοίνυν, ἵνα καὶ συνζήσωμεν [26] τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ὁρθῶς ἡμᾶς εἰς τὴν ζωὴν ὁδηγεῖ. » Καὶ προσελθόντες τῷ Παχωμίῳ λέγουσιν αὐτῷ [27]· « Διὰ τί κοπιᾷς μόνος εἰς τὰ ἔργα τῆς μονῆς, πάτερ; » Ὁ δὲ λέγει αὐτοῖς [28]· « Τίς ζεύγνυσι [29] ζεῦγος αὐτοῦ [30] πρὸς ἐργασίαν, καὶ ἀθρόον ἐπιτίθεται αὐτῷ ἢ παραβλάπτει [31] αὐτό, ὥστε ἀτονῆσαν [32] καταπεσεῖν [33]; Καὶ οὐχὶ πρότερον διαβαστάζει αὐτό, εἶθ' οὕτως ἐπὰν συνηθίσῃ [34] ἐπιτηδείως κέχρηται αὐτῷ πρὸς ἐργασίαν τελείαν; Τὸν αὐτὸν δὴ [35] τρόπον δεῖ [36] καὶ Cf. II Tim. 2, 11.

22. — [1] πρώτων W, πρῶτον O. — [2] WR ; ψενθαήσης VC, ψενθαῖσις M, ψενθαίσης B, ψενθαήσιος H, ψενθαίσιος *corr. prius* ψενθαίσης O, ψανθαήσιος S. — [3] σοῦρος S, *corr. prius* σουρους O. — [4] VCR ; ὅψις H, ὄψης B, ὀψῆς M, ὁψῆς WS, ψόης *corr. prius* οψης O. — [5] καὶ λαλῶν συνεχῶς σὺν αὐτ. S. — [6] αὐτοῖς VC. — [7] ἀγ. ἔρ. BOS. — [8] *om.* B ; (εἰς - αὐ.) *om.* R. — [9] αὐτοὶ V, *ante corr.* W. — [10] πρᾶξιν οὖσαν καὶ λόγ. ἀρ. S. — [11] ἄρα *add.* B. — [12] ἀκινήτους S. — [13] ἀπὸ S. — [14] *in marg. al. manu* H. — [15] τοῦτο W. — [16] *correxi ex* FP ; κεκτῆσθαι *codd. omnes.* — [17] (διὰ - αὐ.) *om.* O. — [18] ἁγίου *add.* S. — [19] εὐχερῶς B. — [20] *om.* BCHS. — [21] (οἱ β.) εἰ βουλοίμεθα B. — [22] δυνόμεθα V. — [23] ἐπακολουθῆσαι H. — [24] ἐπακ. τοῖς πρὸ αὐτοῦ ἁγ. O. — [25] πρός με *om.* WOM. — [26] VR ; συζήσωμεν *ceteri.* — [27] *om.* B. — [28] αὐτοὺς V. — [29] ζεύγνυ S. — [30] *om.* B. — [31] παραβλέπει *corr.* O — [32] ἀτονήσαντα VCR, ἀτενίσαι S. — [33] καὶ κατ. S. — [34] συνεθίσῃ M, συνεθισθῇ B. — [35] δεῖ B, *om.* C. — [36] *om.* BHRS W.

Cf. II Cor. 3, 5-6. ἡμᾶς τῇ ἱκανότητι ᾗ ἱκάνωσεν ἡμᾶς ὁ [37] Χριστὸς [38] ἀγωνίζεσθαι σὺν [39] ὑμῖν [40] πρὸς στηριγμὸν ὑμέτερον [41], ἀγαπητοί. Ὁ δὲ [42] οἰ-
Cf. Luc. 1, 48 ; I Thess. 3, 13 ; κτίρμων Κύριος, ὁ ἀεὶ [43] ἐπιβλέπων [44] ἐπὶ [45] τὴν ἐμὴν ταπείνωσιν, στηρίξει [46] τὰς καρδίας ὑμῶν, καὶ ἐν ὑπομονῇ ἐπιτελοῦντας ὑμᾶς τὸ ἀγαθὸν [47] τελειώσει [48]· ὥστε [49] καὶ [50] ἄλλους, ὁρῶντας [51] ὑμῶν τὴν κατὰ Θεὸν ἐνάρετον πολιτείαν [52], ἐπισυναχθῆναι [53], τοὺς δυναμένους ἀντιλαβέσθαι μου περὶ [54] τὰς μερίμνας [55] τῆς μονῆς. » Κανονίζει [56] τοίνυν αὐτοῖς [57] τύπους [58] τινὰς καὶ παραδόσεις ψυχωφελεῖς, τὸ ἔνδυμα εὐτελές, τὴν τροφὴν σύμμετρον καὶ τὴν πρὸς τὸν ὕπνον ἀνάπαυσιν εὐσχήμονα.

Φ 26. **23.** Βουλήσει δὲ τοῦ πάντας εἰς [1] σωτηρίαν καλοῦντος καὶ αὐ-
Cf. I Tim. 2, 4. ξάνοντος Θεοῦ, συνῆλθον καὶ ἄλλοι πρὸς αὐτὸν βουλόμενοι ἀσκεῖσθαι [2] σὺν αὐτῷ. Ἐν οἷς καὶ Πέκουσος [3] καὶ Κορνήλιος καὶ Παῦλος καὶ Παχώμιος ἕτερος καὶ Ἰωάννης καὶ ἄλλοι πλείους,
Cf. Tit. 2, 2. τῆς ὑγιαινούσης καὶ ὀρθῆς πίστεως [4] αὐτοῦ [5] τὴν διδαχὴν ἀκηκοότες. Ταύτῃ [6] τοίνυν τοὺς δυναμένους ἀντέχεσθαι [7] αὐτῶν [8] εἰς φανερὰς μερίμνας τοῦ μοναστηρίου [9] κατέστησε [10]. Καὶ ἐν ὀλίγῳ [11] ἐπληθύνθησαν οἱ ἀδελφοί, ὡς εἶναι αὐτῶν τὸν ἀριθμὸν ὑπὲρ τοὺς ἑκατόν.

Φ 27. Ὅτε [12] δὲ ἔδει [13] αὐτοὺς ἅμα αὐτῷ [14] τῶν ἀθανάτων μυστηρίων μεταλαβεῖν, μετεκαλεῖτο πρεσβύτερον ἕνα τῶν πλησιοχώρων [15]· καὶ οὕτως ἐπετέλει τὴν πνευματικὴν ἑορτήν. Οὔτε [16] γὰρ ἠνείχετο ἐν αὐτοῖς εἶναί τινα χειροτονίας ἠξιωμένον. Ἔλεγε δὲ ἀγαθὸν εἶναι μᾶλλον καὶ σφόδρα λυσιτελοῦν τοῖς μοναχοῖς [17] τὸ μὴ [18] ζητεῖν τιμὴν ἢ ἀρχὴν ἢ δόξαν [19], μάλιστα ἐν κοινοβίῳ, μήπως ταύτης

[37] ἡμ. ὁ om. S. — [38] ὁ χ. in marg. H. — [39] om. BC. — [40] om. B. — [41] ἀδελφοὶ add. M. — [42] (ὁ δὲ) ὅπερ ὁ corr. O. — [43] (ὁ ἀεὶ) //// O. — [44] βλέπων BS. — [45] om. BC. — [46] στηρίζει V, στηρίξαι HM, στηρίξοι S. — [47] (ἐν ὑπ. - ἀγ.) om. S. — [48] τελειώσοι S, τελειώσαι HM. — [49] ἢ O. — [50] om. OS. — [51] ἐρῶντας R. — [52] (ὁρ. - πολ.) om. O ; ὁρ. τὴν κ. θ. ἐν. ὑμῶν πολ. B. — [53] ἐπισυνάξει O. — [54] om. C, ἐν B. — [55] ταῖς μερίμναις B, τὰς φροντίδας O. — [56] ις′ praemittit in marg. M. — [57] αὐτοὺς S. — [58] τῆς μονῆς add. BC.

23. — [1] πρὸς S. — [2] ἀσκῆσαι R. — [3] πεκύσιος Ο ΦΠΓ, pecusius Δ. — [4] αὐτὴν add. S. — [5] (π. αὐ.) αὐ. π. BC. — [6] τοιαύτη WOM, τοιαύτην H, τάττει S. — [7] κατέχεσθαι VC, om. B. — [8] αὐτῷ S, αὐτὸν M. — [9] διακονεῖσθαι add. B. — [10] om. S. — [11] χρόνῳ add. WOMHS. — [12] ιζ′, περὶ χειροτονίας praemittit in marg. sup. M. — [13] corr., prius δεῖ R ; ὅτε ἔδει S. — [14] om. WO. — [15] πλησίον χωρῶν R. — [16] οὐδὲ B, οὐ S. — [17] (εἶναί τινα - μον.) om. S. — [18] om. S. — [19] καὶ add. B.

ἕνεκα [20] τῆς ἀφορμῆς ἔρεις καὶ ζῆλοι καὶ διχοστασίαι γένωνται [21]. « Ὃν τρόπον γάρ, φησί [22], σπινθὴρ πυρὸς ὁ [23] σμικρότατος ἐμπεσὼν [24] εἰς ἄλωνα, εἰ μὴ θᾶττον σβεσθείη, παντὸς τοῦ ἐνιαυτοῦ πολλάκις τοὺς καρποὺς [25] ἀπόλλυσιν· οὕτως καὶ λογισμὸς φιλαρχίας [26] ἤτοι [27] κλήρου τοῖς μοναχοῖς ἐμπεσών, ἐὰν μὴ τάχιον ἀποσβεσθῇ, τὸν πολὺν τῆς ἀσκήσεως εὐκόλως προσλυμανεῖται [28] πόνον. Δεῖ δὲ μᾶλλον, ἔφη, ἐπιεικῶς ταῖς ἐκκλησίαις τοῦ Θεοῦ κοινωνεῖν· τοῦτο γὰρ καὶ [29] συμφέρει τοῖς μοναχοῖς. Ἐὰν δέ τινα εὕρωμεν τῶν μοναχῶν πάλαι ὑπὸ τῶν ἁγίων ἐπισκόπων χειροτονίαν δεξάμενον, τοῦτον [30] προσλαμβάνειν [31] λειτουργὸν [32] τῆς ἱερατείας [33] δεῖ [34] ταύτης. Οὐδὲ [35] γὰρ ἐν τῇ παλαιᾷ [36] πᾶς ὁ λαὸς Λευῖται ἐτύγχανον. Ἄλλως δὲ καὶ τὸν τυπούμενον ἐκ τῶν [37] ἔξωθεν ἐνταῦθα ἱερουργεῖν, οὐκ ἐξουθενήσομεν ὡς φίλαρχον ἢ ὡς ἑαυτῷ [38] τὴν ἱερωσύνην περιποιήσαντα [39]· πῶς γὰρ ὃν ἑκουσίως προειλάμεθα [40] ἢ καὶ προσεκαλεσάμεθα [41]; Λογιζώμεθα [42] δὲ μᾶλλον [43] αὐτὸν [44] ὡς πατέρα, ἅτε καὶ ἐν τούτῳ [45] ὑπήκοον καὶ μιμητὴν τῶν ἁγίων γεγονότα, ἐὰν ἀμέμπτως μάλιστα τύχοι [46] ἐκτελῶν τῷ Θεῷ τὴν λειτουργίαν. Εἰ δὲ καὶ ἔν τινι παραπτώματι ὡς ἄνθρωπος παρ' ἡμῶν ὑποπτευθῇ, οὐχ ἡμέτερον [47] κρίνειν αὐτόν· ὁ γὰρ Θεὸς δίκαιος ὢν ἔθετο τῶν τοιούτων κριτὰς τοὺς τῶν ἁγίων ἀποστόλων μιμητάς, τοὺς δυναμένους τὰ πνευματικὰ διακρίνειν δικαίᾳ κρίσει [48]. Ἡμᾶς δὲ συμπαθεῖς καὶ οἰκτίρμονας πρὸς ἀλλήλους βούλεται [49] γίνεσθαι ὁ ἡμέτερος δεσπότης, εὐχομένους ἀεὶ τῷ Θεῷ καὶ ζητοῦντας [50] παρ' αὐτοῦ τὸ [51] μὴ ἐμπεσεῖν [52] εἰς πειρασμόν [53]. » Matth. 6, 13

Τούτων οὕτως καλῶς παρ' αὐτοῦ [54] λεγομένων τε [55] καὶ πραττομένων, εἴ ποτε συνέβη κληρικὸν πρὸς αὐτὸν παραγενέσθαι [56] **εἶναι σὺν αὐτῷ θέλοντα [57], τῇ μὲν ἀξίᾳ κατὰ τὸν ἐκκλησιαστικὸν**

[20] ἕνεκεν O. — [21] γίνωνται BMO. — [22] ὃν γάρ φ. τρ. B. — [23] om. HS. — [24] ἐμπίπτων S. — [25] τὸν καρπὸν H. — [26] φιλαργυρίας O. — [27] εἴτε H. — [28] λυμανεῖται B, προσλυμαίνεται S. — [29] om. S. — [30] δεῖ add. B. — [31] προσλαμβανώμεθα S. — [32] καὶ λειτουργεῖν δεῖ H. — [33] ἐρατείας W. — [34] om. BHS. — [35] οὐ WOR. — [36] ἐν τῇ π. om. BC. — [37] ἐκ τ. om. VBC. — [38] corr., prius αὐτῷ S. — [39] περιποιησάμενον B, ἐπιτρέψαντα H. — [40] προειλόμεθα BWOS. — [41] προεκαλεσάμεθα H, προσεκαλεσόμεθα W. — [42] λογισόμεθα B. — [43] μᾶλλα R, πάλιν WO. — [44] αὐτῷ VC. — [45] τὸ add. H. — [46] τυγχάνει H. — [47] τὸ add. S. — [48] κρ. δικ. O. — [49] β. πρ. ἀλλ. M. — [50] τὰ add. VCR. — [51] om. B, τοῦ R. — [52] ἐκπεσεῖν V. — [53] πειρασμούς W. — [54] παρ' αὐ. καλ. MO. — [55] om. S. — [56] καὶ add. S. — [57] βουλόμενον S.

κανόνα ὑπετάττετο αὐτῷ [58] ὁ Παχώμιος, κἀκεῖνος [59] δὲ πάλιν κατὰ τοὺς τῆς ἀσκήσεως κανόνας μιμητὴς τῶν ἀδελφῶν γενόμενος [60] ἑκουσίως ἑαυτὸν ὑπερεκπερισσοῦ ταπεινοῦν ἐσπούδαζε.

Φ 28. **24** [1]. Συμπαθὴς δὲ ἦν ὁ ἅγιος καὶ φιλάδελφος, εἰ καί τις ἄλλος · τοῖς μὲν γὰρ [2] γέρουσι καὶ ἀσθενέσι περὶ τὸ σῶμα λίαν συνέπασχε, τοῖς δὲ νέαν ἄγουσι τὴν ἡλικίαν συγκαταβαίνων ᾤκτειρεν [3] αὐτούς, ἐν ἅπασι [4] κηδόμενος τῶν ψυχῶν αὐτῶν σφόδρα. Προκοπτόντων [5] δὲ τῇ πίστει καὶ αὐξανομένων τῶν [6] ἀδελφῶν [6] εἰς
I Petr. 3,13. πλῆθος μέγιστον, πολλοὶ ζηλωταὶ τοῦ ἀγαθοῦ ἀνεδείκνυντο [7]. Ἔταξεν οὖν τινας πάλιν ἐξ αὐτῶν [8] τοὺς ὀφείλοντας ἀντιλαμβάνεσθαι αὐτοῦ [9] εἰς περιποίησιν τῶν ἐπισυναγομένων ψυχῶν [10]. Πολλῶν γάρ, ὡς εἴρηται, συνερχομένων πρὸς αὐτὸν καὶ διαφόρως ἐν τοῖς πνευματικοῖς προκόπτειν ἀγωνιζομένων, πολλή τις ἦν ἡ [11] διαφορὰ τῆς καταστάσεως καὶ τῆς [12] πολιτείας αὐτῶν. Καὶ αὐτὸς δὲ ὁ [13] πατὴρ ἐν ἅπασιν ὑπὸ τῆς χάριτος ὁδηγούμενος ἑκάστῃ πολιτείᾳ [14] τύπους καὶ μέτρα καὶ κανόνας ἐδίδου · τοῖς μὲν γὰρ ἦν ἡ [15] διὰ χειρῶν ἐργασία πρὸς διατροφήν, τοῖς δὲ ἡ [16] πρὸς διακονίαν τῆς κοινῆς [2] ἀδελφότητος λειτουργία. Καὶ ἕκαστος πρὸς [17] τὸν κανόνα τὸν δεδομένον [18] αὐτῷ, οὐ κατὰ τὰς αὐτὰς [6] μέντοι [19] ὥρας διαιτώμενοι [20], ἀλλ' ἕκαστος κατὰ [21] τὸ ἔργον καὶ τὴν ἐγκράτειαν ἤσκει [22]. Οἰκονόμον μὲν οὖν περὶ τῆς χρείας τῆς σωματικῆς [23] τῆς εἰς τοὺς ἀδελφοὺς καὶ τοὺς ξένους, καὶ δευτερεύοντα τούτῳ [24] κατέστησε. Πάντας δὲ αὐτοὺς ἑτοίμους πρὸς πᾶσαν [25] ὑπακοὴν εἶναι παρεκάλει [26]. Μὴ ἔχειν δὲ [27] θέλημα καρδίας ἴδιον ἐν μηδενὶ
Rom. 7, 4. διεκελεύετο, ἵν' οὕτως καρποφορῶσι [28] τῷ Θεῷ μᾶλλον καὶ μὴ ἑαυτοῖς. Ἀσχολουμένου δὲ αὐτοῦ ἢ καὶ ἀπόντος [29] πολλάκις, ὁ [30] δευτερεύων ἦν αὐτῷ [31] πρὸς πᾶσαν διαταγὴν [32] τῆς μονῆς, ἐκτός τινος ὑψηλοφροσύνης καὶ καυχήματος, ἐν ταπεινοφροσύνῃ πολλῇ

[58] αὐτοῦ S. — [59] ἐκεῖνος B. — [60] γινόμενος OS, γεγονὼς R.

24. — [1] ιη' M. — [2] om. S. — [3] συνκαταβαίνων οἰκτειρεν V ; οἰκτειρεν ante corr. C. — [4] πᾶσι H. — [5] προκόπτων V. — [6] om. WO. — [7] ἐδείκνυντο S. — [8] ἐξ αὐ. πάλ. B. — [9] ἀντ. αὐ. om. V. — [10] ἀδελφῶν S. — [11] om. S ; sup. lin. R. — [12] om. B. — [13] (δὲ ὁ) ὡς B. — [14] ἑκάστης πολιτείας S. — [15] om. H. — [16] om. R. — [17] κατὰ B. — [18] διδόμενον S. — [19] δὲ S ; οὐ μέντοι κατὰ τὰς O. — [20] ὑπῆρχον add. S. — [21] (ἀ. ἕ. κ.) ἀλλὰ πρὸς B. — [22] ἤσκουν B. — [23] περὶ τῆς σ. χρ. BS. — [24] τούτου BRS. — [25] ἅπασαν S. — [26] παρ. εἶναι S ; ἑτοίμ. εἶναι πρὸς πᾶσαν ὑπ. παρ. B. — [27] τὲ S. — [28] (ἵν' οὕτ. καρπ.) τί οὕτος καρποφορήσῃ H. — [29] ἀσχολουμένω δὲ ἢ καὶ ἀπόντι B. — [30] om. H. — [31] αὐτῶν WO. — [32] διαγωγὴν BC.

εἰς οἰκοδομὴν καὶ ὠφέλειαν τῶν ἀδελφῶν πάντα διατυπῶν καὶ πράττων [33], ἕως ἂν πάλιν πρὸς αὐτοὺς ὁ πατὴρ [34] παρεγένετο [35]. Οὕτως δὲ τῆς [36] ἀδελφότητος κηδόμενος λίαν ἔχαιρεν ἐπὶ τῇ τούτων προκοπῇ.

5 **25** [1]. Μετὰ δέ τινα χρόνον ἐν νῷ [2] λαβὼν τοὺς πτωχοὺς τοὺς Φ 29.
πλησίον ποιμαίνοντας καὶ λογισάμενος ὑστερεῖσθαι τούτους [3] τῆς τε κοινωνίας καὶ τῆς διδαχῆς τῆς [4] κατὰ [5] σάββατον καὶ κυριακὴν [6] γινομένης, ἐβουλεύσατο γνώμῃ Ἀπρίωνος [7] τοῦ τῆς Τεντύρων [8] ἐπισκόπου ἐκκλησίαν αὐτοῖς οἰκοδομῆσαι ἐν αὐτῇ τῇ πτωχῇ
10 καὶ ἐρήμῳ κώμῃ αὐτῶν, ὅπως κατ' αὐτὴν συνερχόμενοι τῆς θείας διδασκαλίας ἀπολαύσωσι [9]. Μὴ ὄντος δὲ ἔτι τοῦ συνάγειν [10] ὀφείλοντος, αὐτὸς κατὰ τὴν ὥραν τῆς συνάξεως [11] μετὰ καὶ ἄλλων [12] ἀδελφῶν ἀπιὼν [13] ἀνεγίνωσκεν αὐτοῖς τὰς θείας γραφάς, διὰ τὸ μηδέπω τετυπῶσθαι αὐτοῖς ἀναγνώστην. Καὶ τὰ [14] πρὸς τὰς χρείας
15 δὲ [15] τοῖς παραβάλλουσι ξένοις [16] αὐτὸς [17] ἐδίδου [18], ἄχρις οὗ κατέστη πρεσβύτερος [19] ἐν τῇ αὐτῇ [20] ἐκκλησίᾳ. Τοσαύτην δὲ εἶχεν εὐλάβειαν καὶ αἰδῶ [21] ἀναγινώσκων, οὕτως τε [22] τοὺς ὀφθαλμοὺς καὶ τὴν καρδίαν κατεσταλμένην [23], ὡς βλέποντας τοὺς κοσμικοὺς ἄγγελον αὐτὸν Θεοῦ καὶ οὐκ ἄνθρωπον [24] ἡγεῖσθαι ἐν μέσῳ αὐτῶν
20 ἀναστρεφόμενον. Ὅθεν [25] πολλοὶ [26] προθυμίαν ἐλάμβανον [27] τοῦ [28] γίνεσθαι [29] χριστιανοὶ καὶ πιστοί. Καὶ γὰρ καὶ [30] φιλάδελφος ἦν καὶ φιλάνθρωπος [31] ἐπὶ τοσοῦτον [32] ὡς πολλάκις ὁρᾶν τοὺς ἀνθρώπους [33] τῇ πλάνῃ τοῦ Σατανᾶ ἐξακολουθοῦντας [34] καὶ μὴ σεβομέ-

[33] πρ. καὶ διατ. S. — [34] ὁ πατ. πρὸς αὐτ. BOS. — [35] παραγένοιτο BO, παρεγίνετο H. — [36] οὗτος δὲ καὶ τῆς S.

25. — [1] ι' WO, ιθ' M. — [2] ᾧ S. — [3] στερεῖσθαι αὐτοὺς S. — [4] om. VR WMH. — [5] τὸ add. VCHR. — [6] corr., prius κυριακῆς C. — [7] ἀππίωνος B, ἀπύωνος C, ἀπροῖνος H, aprione Δ ; cf. FP : σαραπίωνος. — [8] τύρων VBCR, τύρου S. — [9] ἀπολαύσωσι WOMBS, ἀπολάβωσι H ; (τῆς θ. δ. ἀπ.) τῆς δ. τῆς θ. αὐτοῦ ἀπ. R. — [10] αὐτοὺς add. B. — [11] συντάξεως R. — [12] ἑτέρων B. — [13] (τῆς συν. - ἀπ.) om. S. — [14] τὰς VCHMO. — [15] χορηγίας add. O. — [16] τῶν παραβαλλόντων ξένων S. — [17] αὐτοῖς S. — [18] (καὶ τὰ πρὸς - ἐδ.) om. B ; eadem autem verba addit paulo infra, post ἐν τῇ αὐτῇ ἐκκλησίᾳ. — [19] S (cf. F : κατεστάθη τις πρεσβύτερος el Δ : quamdiu presbyter ordinaretur) ; κατέστησε πρεσβύτερον ceteri. — [20] αὐτοῦ H. — [21] ὁ S. — [22] (οὗ. τε) καὶ C, om. B. — [23] ἔχων add. S ; τὴν καρδ. καὶ τοὺς ὀφθ. κατεσταλμένους B. — [24] αὐτὸν add. M. — [25] καὶ add. S. — [26] πολὺ W. — [27] (ὅθεν - ἐλάμβ.) om. H. — [28] om. B. — [29] γενέσθαι WOMHRS. — [30] om. S. — [31] φιλάνθρ. ἦν καὶ φιλάδ. B. — [32] (ἦν - τοσ.) ἦν ἐπὶ τοσ. καὶ φιλ. S. — [33] om. S ; (ὁρᾶν τ. ἀ.) ὁρῶντά τινας B. — [34] ἐξακολουθοῦντος W.

νους [35] τὸν μόνον ἀληθινὸν Θεόν, καὶ [36] στενάζειν καὶ δακρύειν ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν, [37] ἐπιποθεῖν [38] τε [39] τὴν αὐτῶν [40] σωτηρίαν.

Φ 30. **26** [1]. Κατὰ δὲ τὸν καιρὸν τοῦτον ἦρχε [2] τῆς κατὰ Ἀλεξάνδρειαν [3] ἐπισκοπῆς ὁ ἁγιώτατος Ἀθανάσιος. Ὃς [4] σπουδὴν ἔχων τὰς τῆς ἄνω Θηβαΐδος καὶ Συήνης [5] ἐκκλησίας τοῦ Θεοῦ ἐποπτεῦσαι [6] καὶ διὰ τῆς πνευματικῆς αὐτοῦ διδασκαλίας ταύτας [7] στηρίξαι, παρέπλεε [8] τὴν Ταβέννησιν [9]. Γνοὺς δὲ ὁ Παχώμιος ἐξῆλθε
Cf. Eph. 5,19. σὺν τοῖς ἀδελφοῖς ἐν χαρᾷ καὶ ἀγαλλιάσει ψυχῆς μετὰ ψαλμῶν καὶ ὕμνων τὸν [10] τοῦ Θεοῦ [11] ὑποδέξασθαι ἀρχιερέα. Ἦν δὲ ὄχλος περὶ αὐτὸν [12] πολὺς [13] ἀδελφῶν δοξαζόντων τὸν Θεὸν ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. Ὁ δὲ Παχώμιος οὐκ ἐφανέρου ἑαυτόν, ἀλλ' ἦν ὑποστελλόμενος καὶ κρυπτόμενος ἐν τῷ πλήθει [14] τῶν ἀδελφῶν. Ὁ γὰρ [15] τῆς Τεντύρων [16] ἐκκλησίας [17] ἐπίσκοπος παρεκάλει τὸν ἅγιον Ἀθανάσιον περὶ αὐτοῦ λέγων · « Ἔχω πατέρα μοναχῶν [18] ἐν [19] τοῖς ὑπ' ἐμὲ τόποις, ἄνδρα θαυμαστὸν καὶ μέγαν [20] καὶ ἀληθινὸν τοῦ Θεοῦ ἄνθρωπον. Διὸ ἱκετεύω τὴν σὴν ἁγιωσύνην καταστῆσαι αὐτὸν πατέρα πάντων τῶν μοναχῶν, λαβόντα τὸ τῆς ἱερωσύνης [21] δῶρον.» Τούτου οὖν χάριν ἦν ὑποστελλόμενος ὁ γέρων καὶ κρυπτόμενος ἐν τοῖς ἀδελφοῖς [22], ἕως ὅτου παρῆλθεν ὁ [23] Ἀθανάσιος [24]. Ἀκούων δὲ [25] τὸν κατὰ Θεὸν αὐτοῦ ζῆλον καὶ τὴν ἐνάρετον πολιτείαν, καὶ τοὺς διωγμοὺς οὓς ἕνεκα [26] τοῦ σωτῆρος ἐν τῇ πίστει τῆς ἀληθοῦς ὁμολογίας ὑπέμεινε [27], καὶ τὴν ἀγάπην αὐτοῦ τὴν πρὸς πάντας μέν, ἐξαιρέτως δὲ πρὸς τοὺς ἀδελφούς, σφόδρα ἔχαιρε. Καὶ τοῦτον μὲν ἠσπάζετο δοξάζων τὸν Θεόν.

[35] *βουλομένους* VR. — [36] *om.* BCS. — [37] *καὶ add.* VC. — [38] *ἐπιποθοῦντα* B, *ἐπόθει* S. — [39] *om.* BC, *δὲ* R, *γὰρ* S. — [40] *(τ. αὐ.) αὐ. τ.* H.

26. — [1] *ια'* WO, *κ'* M. — [2] VBC ; *εἶχετο ceteri ; lege ἦρχετο (cf. Φ)*. — [3] *κατὰ τὴν ἀλ.* S, *ἀπὸ ἀλεξανδρείας* H. — [4] *ὁ* W. — [5] *συῆνης* HO, *συνήης* V ; *καὶ σ. om.* BCS. — [6] *ἐπισκέψασθαι* S. — [7] *om.* B. — [8] *παρέβλεπε* H. — [9] *ταβεννίσην* O, *ταβεννήσην* W, *ταβεννῆσιν* R, *ταβέννησον* S, *ταβενίσην* B, *ταβέννησιν* H. — [10] *del.* V. — [11] *om.* V. — [12] *αὐτῶν* HRW. — [13] *πολ. περὶ αὐ.* R. — [14] *(ἀδελφῶν δοξ. - πλήθει) om.* S. — [15] *δὲ* S. — [16] *τύρων* BC, *ἐν τύρῳ* S. — [17] *om.* S. — [18] *μοναχὸν* BCWORS. — [19] *om.* H. — [20] *μέγα* C. — [21] B ; *ἀρχιερωσύνης ceteri ; cf.* FP *Γ πρεσβύτερον, Δ ad honorem sacerdotii.* — [22] *inde ab hoc verbo usque ad τοῖς γοῦν ἀδελφοῖς (p. 195, l. 10) om.* S. — [23] *μακάριος add. rec. in marg.* M. — [24] *(ἦν ὑπ. - ἀθ.) ὑπεστέλλετο ἐν τοῖς ἀδ. ὁ γέρ. ἕως ὅτου ὁ θεῖος παρ. ἀθαν.* B. — [25] *ὁ παχώμιος add.* B. — [26] *ἕνεκεν* O. — [27] *ὑπέμενε* BCWOH.

Φ 31. **27**. Τὸν Ὠριγένην [1] δὲ ὡς βλάσφημον καὶ ἀποστάτην σφόδρα ἐμίσει καὶ ἐβδελύσσετο [2]. Ὅς πρὸ [3] Ἀρείου καὶ Μελετίου [4] ὑπὸ [5] Ἡρακλᾶ τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου [6] τῆς ἐκκλησίας ἐρρίφη [7]. Οὗτος γὰρ [8] ἐν τοῖς ἰδίοις συντάγμασι τὰ δοκοῦντα πιθανὰ τοῖς τῆς θείας γραφῆς ὀρθοῖς [9] λόγοις ὥσπερ τινὰ δηλητήρια φάρμακα συνάψας, εἰς ἀπώλειαν τῶν ἁπλουστέρων πολλὰς βίβλους συνεφόρησε [10] · καὶ καθάπερ οἱ [11] ἰατροὶ τὰ πικρότατα φάρμακα [11] μέλιτι ἀνακιρνῶντες οὕτως τοῖς κακοσίτοις προσφέρουσι, τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτὸς συσκιάσας τὴν ἑαυτοῦ [12] πλάνην τοῖς ἀσθενεστέροις μετέδωκε [13]. Τοῖς γοῦν ἀδελφοῖς [14] σφόδρα ἐνετείλατο [15] μὴ μόνον μὴ [16] ἀναγνῶναι τὰ Ὠριγένους ληρήματα, ἀλλὰ γὰρ [17] μήτε [18] ἑτέρων ἀναγινωσκόντων τολμᾶν ἀκούειν. Ὅθεν λέγεται βιβλίον αὐτοῦ ποτε εὑρηκέναι [19] καὶ [20] παραχρῆμα [21] εἰς ὕδωρ ἐμβαλεῖν [22] οὕτως [23] φήσαντα [24] · « Εἰ μὴ ἤδειν [25] τὸ ὄνομα τοῦ Θεοῦ γεγραμμένον ἐν αὐτῷ [26], ἆρα ἂν ἔκαυσα [27] τὰς βλασφημίας καὶ [28] φλυαρίας αὐτοῦ. » Οὕτως ἦν [29] τῶν μὲν καλῶν [30] ἐραστὴς καὶ ζηλωτής [31], ἀποστρεφόμενος δὲ τοὺς τῆς [32] ἀληθείας ἐχθροὺς καὶ χαίρων ἀεὶ καὶ εὐφραινόμενος ἐπὶ τῇ τῶν ὀρθοδόξων πίστει καὶ προκοπῇ. Καὶ γὰρ αὐτὸν [33] τὸν σωτῆρα ἐν τῷ θρόνῳ τῆς ἐκκλησίας δι' αὐτῶν [34] ὁρᾶν ἐδόκει.

Detractores aversatur

Εἴ ποτε δέ [35] τινας [36] ἐν οἱῳδήποτε λόγῳ ἢ πράγματι καταλαλοῦντας [37] αὐτῶν [38] ἐπήκουεν [39], οὐ μόνον οὐκ ἠνείχετο [40], ἀλλὰ γὰρ [38] καὶ ἀπηλλοτριοῦτο ἀπ' αὐτῶν ὡς ἀπὸ ὄφεως [41] συνεχῶς ἐπάδων αὐτοῖς τὰ τοῦ ψαλμῳδοῦ [42] καὶ λέγων · « Τὸν καταλαλοῦντα λάθρα τῶν [43] πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. — Οὐδεὶς γάρ, φησίν, ἀγαθὸς [44] προφέρει [45] τι πονηρὸν ἐκ τοῦ στόματος αὐτοῦ, μάλιστα κατὰ

Cf. Eccli. 21,2. Ps. 100, 5. *Pachomius.* Cf. Luc. 6,45.

27. — [1] *ὡριγένην passim* BHS. — [2] *ἐβδελύττετο* C. — [3] *(ὃς π.) ὡς πρὸς* V. — [4] *μελιτίου* WO. — [5] *καὶ* BC. — [6] H ; *ἀρχιεπισκόπου ceteri.* — [7] *ἐρίφη* V. — [8] *(οὗτ. γ.) ὃς* B. — [9] *om.* O, *in marg.* H. — [10] *(β. σ.) συνεγράψατο β.* B. — [11] *om.* H. — [12] *αὐτοῦ* MR. — [13] *(καὶ καθάπερ - μετ.) om.* B. — [14] *hinc rursus* S ; *cf. supra, c. 26, annot. 22.* — [15] *οὖν add.* S. — [16] *om.* CS. — [17] *om.* BH. — [18] *μηδὲ* S. — [19] *εὑρ. ποτὲ* H. — [20] *(εὐ. κ.) εὑρόντα* B. — [21] *παραυτίκα* S. — [22] *αὐτὸ add.* S. — [23] *οὕτωσὶ* WOMRS. — [24] *εἰπόντα* B. — [25] *εἶδον* S. — [26] *ἐν αὐ. γεγρ.* S. — [27] *(ἃ ἂν ἔ.) ἔ. ἂν* B. — [28] *τὰς add.* M. — [29] *ἄρα* B. — [30] *καλῶς* V. — [31] *ζηλ. κ. ἐρ.* M ; *ἦν add.* B. — [32] *ἀποστρ. δὲ τ. τ. om.* W. — [33] *αὐτὸ* V. — [34] *αὐτὸν* W. — [35] *(π. δέ) δέ π.* B. — [36] *τινος* VCHRS. — [37] *καταλαλοῦντος* S. — [38] *om.* S. — [39] *ἐπήκουσεν* WOMHS, *ἤκουεν* B, *ἤκουσεν* R. — [40] *εἰνέχετο* W. — [41] *ὄφεως* CS. — [42] *ψαλμοῦ* M. — [43] BM ; *τὸν* VCHS ; *τοῦ* W, *corr. prius τὸν* OR. — [44] *ἀγαθὰ* W. — [45] *προσφέρει* CWO.

πατέρων ἁγίων [46], » ἀναμιμνήσκων [47] τούτους [48] ἀεὶ ἐκ πολλῶν μὲν καὶ ἄλλων γραφῶν τὴν τοῦ Θεοῦ ἐπὶ τῷ τοιούτῳ [49] ἀγανάκτησιν [50], ἐξαιρέτως δὲ ἐκ τῆς καταλαλιᾶς τῆς κατὰ Μωσέως [51] παρὰ τῆς [52] Μαριὰμ γενομένης. Καὶ ἦν εὐθὺς [53] καὶ ὠφέλιμος πᾶσι τοῖς ἐντυγχάνουσιν.

Num. 12.

[Φ 32.] *Pachomii soror*

28 [1]. Ἀκούσασα δὲ καὶ ἡ [2] κατὰ σάρκα αὐτοῦ ἀδελφὴ τὴν οὕτως εἰσάγαν ἐνάρετον πολιτείαν αὐτοῦ [3] καὶ ἐπιθυμοῦσα τὸν ἴδιον ἀδελφὸν θεάσασθαι, ἦλθεν ἐν τῷ μοναστηρίῳ [4]. Γνοὺς [5] δὲ αὐτῆς τὴν παρουσίαν ἀπέστειλε τὸν τὴν θύραν τοῦ μοναστηρίου [6] ἐγκεχειρισμένον [7] ἀδελφὸν [8] εἰπεῖν αὐτῇ [9]· « Ἰδοὺ ἤκουσας περὶ ἐμοῦ ὅτι ζῶ· ἄπελθε οὖν [10] καὶ μὴ λυπηθῇς ὅτι οὐχ ὁρῶ σε. Εἰ δὲ

II Tim. 1,18.

βούλει καὶ σὺ [11] τοῦτόν μου [12] ζηλῶσαι τὸν βίον [13] πρὸς τὸ εὑρεῖν ἡμᾶς ἔλεος παρὰ Κυρίου, σκέψαι· καὶ ἐὰν [14] ἔσται [15] σοι αἱρετόν [16], ποιοῦσί σοι [17] κελλίον οἱ ἀδελφοὶ πρὸς τὸ δύνασθαί σε καθ' ἑαυτὴν ἡσυχάζειν. Ἴσως δὲ καλέσει [18] Κύριος καὶ ἄλλας σὺν σοὶ καὶ σωθήσονται κἀκεῖναι διὰ σοῦ. Οὐδεμίαν γάρ, φησίν, ἄλλην ἄνεσιν ἔχει [19] ἄνθρωπος ἐπὶ τῆς [20] γῆς πλὴν τοῦτο [21]· ποιεῖν τὸ ἀγαθὸν καὶ εὐαρεστεῖν [22] τῷ Θεῷ. » Ταύτην τὴν ἀπόκρισιν δεξαμένη ἐδάκρυσεν·

Cf. Eccli. 39,5.

καὶ κατανυγεῖσα ἐπέδωκε [23] τὴν καρδίαν αὐτῆς [24] πρὸς τὸ σωθῆναι. Μαθὼν δὲ ὁ Παχώμιος τὴν προθυμίαν [25] αὐτῆς [26], δοξάσας τὸν Θεὸν διετάξατο τοῖς εὐλαβεστέροις τῶν ἀδελφῶν [27] ποιῆσαι αὐτῇ [28] ἀπὸ διαστήματος τῆς μονῆς μικρὸν ἀσκητήριον. Ταύτης δὲ [29] κατὰ Θεὸν ἀγωνιζομένης [30] συνῆλθον καὶ ἄλλαι· καὶ πληθυνομένων αὐτῶν μήτηρ ὑπῆρχεν αὐτῶν [31], διδάσκουσα ταύτας [32] καὶ δεικνῦσα [33] αὐταῖς [34] πάσας [35] τὰς πρὸς σωτηρίαν ὁδούς. Πέτρον δέ τινα εὐλαβῆ καὶ σφόδρα πρεσβύτην τῇ ἡλικίᾳ ἐπέταξεν [36] εἰς τὸ [37]

virginum asceterium condit.

[46] ἁγ. πατ. B ; καὶ *add.* BC. — [47] ἀνεμίμνησκε δὲ S. — [48] τούτοις H. — [49] (τῷ τ.) τούτω BS. — [50] τῆς... ἀγανακτήσεως B. — [51] μωϋσέως RS. — [52] *om.* S. — [53] εὐθὺς S, *ante corr.* C.

28. — [1] ιβ′ WO, κα′ M. — [2] μακαρία *add.* B ; μακ. καὶ *add.* C. — [3] αὐ. πολ. M. — [4] ἐπιθυμ. αὐτὸν θεάσ. ἦλθε πρὸς τὸ μοναστήριον B. — [5] γνοῦσα W *ante corr.* — [6] (θ. τ. μ.) πύλην B. — [7] κεχειρισμένον VC. — [8] (τὴν θ. - ἀδ.) θυρωρὸν S. — [9] αὐτὴν V, *ante corr.* C. — [10] *om.* WOMH. — [11] καὶ σὺ βούλ. O. — [12] μοι B. — [13] τ. β. ζηλ. BC. — [14] εἰ B. — [15] ἔστι BCHRS. — [16] WOMH ; ἀρεστὸν BCRS. — [17] σε S ; (σκέψαι - σοι) *om.* V. — [18] ὁ *add.* B. — [19] ὁ *add.* WO. — [20] *om.* R. — [21] τοῦ BS. — [22] εὐάρεστον S. — [23] ἔδωκε VBCR. — [24] ἑαυτῆς WOM. — [25] ἐπιθυμίαν S. — [26] καὶ *add.* BS. — [27] μοναχῶν *sed corr. in marg.* H. — [28] αὐτῆς V. — [29] (τ. δὲ) ἓν ὧ B. — [30] αὐτὴ (*lege* αὐτῇ) ἀγωνιζομένη B. — [31] αὕτη B. — [32] αὐταῖς S. — [33] δεικνύουσα HOS. — [34] *om.* S. — [35] (αὐ. π.) π. αὐ. B. — [36] ἀπέταξεν O, ἔταξεν RS. — [37] εἰς τὸ *om.* B.

ἐπισκέπτεσθαι αὐτάς. Ἦν γὰρ [38] σὺν τῇ ἀπαθείᾳ [39] καὶ ὁ λόγος τοῦ ἀνδρὸς κατὰ τὸ γεγραμμένον [40] ἅλατι ἠρτυμένος· λίαν δὲ [41] σεμνοὶ σὺν τῇ διανοίᾳ καὶ οἱ ὀφθαλμοὶ ὑπῆρχον αὐτῷ [42]. Πολλάκις γοῦν ἱστάμενος ὡμίλει [43] ταῖς ἀδελφαῖς [44] τὰ πρὸς σωτηρίαν [45] ἀπὸ τῶν θείων [46] γραφῶν. Καὶ κανόνας δὲ γράψας ὁ Παχώμιος ἀπέστειλεν αὐταῖς [47], ὅπως κατὰ τοὺς αὐτοὺς [48] στοιχειωθεῖσαι [49] τῆς [50] κατὰ Θεὸν ἔχωνται [51] πολιτείας.

Col. 4, 6.

29. Εἰ δέ τις τῶν ἀδελφῶν ἔχων ἰδίαν [1] αὐτοῦ [2] ἐν τῷ ἀσκητηρίῳ [3] ἤθελεν [4] ἐπισκέψασθαι αὐτήν, συναπέστελλε [5] τούτῳ [6] ἕνα τῶν γηραλέων [7] καὶ πνευματικῶν ἀδελφῶν [8]· καὶ οὕτως πρότερον τῇ ἡγουμένῃ [9], ἔπειτα [10] παρούσης αὐτῆς καὶ τῶν προεχουσῶν [11] τῆς ἀδελφότητος, συνετύγχανε τῇ γνωρίμῃ [12] ὁ ἀδελφὸς μετὰ πολλῆς τῆς [13] εὐλαβείας, οὔτε κομίζων τι [14] αὐτῇ, οὔτε λαμβάνων τι [15] παρ' αὐτῆς· οὔτε [16] γὰρ εἶχον ἴδιόν τι· ἀλλ' ἤρκει ἀμφοτέροις [17] ἡ μνήμη μόνη [18] καὶ ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν. Εἰ δέ ποτε καὶ οἰκοδομῆς [19] ἕνεκα [20] ἢ ἄλλης [21] χρείας ἔχρῃζον [22] τῶν ἀδελφῶν, ἐπιστήμονά τινα [23] καὶ εὐλαβῆ μεταξὺ καὶ [24] ἄλλων [25] ὁμοίως [26] ἔπεμπεν ἐπὶ τούτῳ· καὶ τῇ ὥρᾳ τοῦ [27] ἐσθίειν [28] ἀνέκαμπτον ἐν τῇ μονῇ, μηδεμιᾶς τὸ σύνολον τροφῆς [29] ἢ ποτοῦ ἐκεῖσε μεταλαμβάνοντες. Καὶ [30] τελειουμένης δὲ [31] ἀδελφῆς, συνάγονται μέχρι [32] νῦν [33] οἱ ἀδελφοὶ κατά τινα ὡρισμένον τόπον [34]· καὶ οὕτως ψαλλόντων αὐτῶν [35], αἱ [36] λοιπαὶ κατὰ τὸ ἕτερον μέρος, ἐνταφιάσασαι ταύτην [37] καλῶς, τιθέασιν ἐν τῷ μέσῳ· εἶθ' οὕτως λαμβάνοντες οἱ ἀδελφοὶ μετὰ σεμνῆς ψαλμῳδίας θάπτουσιν αὐ-

Cf. Heb. 10,1.

Quo pacto fratres propinquas invisant.

Virginum sepultura.

[38] δὲ S. — [39] σ. τῇ ἀ. *om.* B. — [40] κ. τὸ γ. *om.* VBC ; μετὰ τῆς ἀπαθείας *add.* B. — [41] *om.* WO. — [42] *om.* S. — [43] (πολλ. - ὡμ.) ὡμ. γοῦν B. — [44] τοῖς ἀδελφοῖς H. — [45] μετὰ τῆς προσηκούσης εὐλαβείας τε καὶ σεμνότητος *add.* B. — [46] *om.* S. — [47] αὐτὰς HS. — [48] (κ. τ. αὐ.) κατ' αὐ. BS. — [49] τοιχιωθεῖσαι R. — [50] τὰς H. — [51] ἔχοντες H.

29. — [1] συγγενίδα O. — [2] ἑαυτοῦ B. — [3] μοναστηρίῳ H. — [4] ἦλθεν VR. — [5] συναπέστειλεν V. — [6] καὶ *add.* S ; ὁ γέρων καὶ *add.* B. — [7] γηραιῶν HS. — [8] *om.* S. — [9] ἐγνωρίζετο *add.* O. — [10] εἶτα O. — [11] παρεχουσῶν W. — [12] γνωρίμῳ S. — [13] *om.* B. — [14] *om.* H. — [15] VBC ; *om. ceteri.* — [16] οὐδὲ BS. — [17] ἀμφοτέρους V. — [18] *om.* R. — [19] οἰκοδομίας B. — [20] *om.* B. — [21] τινὸς *add.* BS. — [22] ἐχρήζοντο H, ἐδέοντο B ; ἔχρ. χρ. S ; ἕνα *add.* S. — [23] τι W, *om.* S — [24] *om.* S. — [25] τινῶν *add.* BC. — [26] ἀδελφῶν *add.* S. — [27] *om.* V. — [28] ἀρίστου S. — [29] τρ. τὸ σύν. BC. — [30] *om.* B. — [31] *om.* C ; τῆς *add.* H. — [32] τοῦ *add.* MO. — [33] (συν. μ. νῦν) ἀθροιζόμενοι B. — [34] κατά τινα ὡρ. τόπ. οἱ ἀδ. B. — [35] (καὶ οὕ. ψ. αὐ.) ψάλλουσι τὰ τοῦ συνήθους τῇ κηδεία κανόνος B. — [36] δὲ *add.* B. — [37] αὐτὴν H.

τὴν [38] ἐν τῷ ὄρει μετ' εὐλαβείας πολλῆς καὶ φόβου Θεοῦ, ὡς προσήκει [39] δούλοις Χριστοῦ [40].

Φ 33. **30** [1]. Ταύτης τῆς διαγωγῆς πάντη [2] τε καὶ πανταχοῦ διαβοωμένης καὶ τοῦ ὀνόματος τοῦ ἁγίου Παχωμίου πρὸς ἅπαντας φθάνοντος, πολλοὶ μὲν ἐδόξαζον τὸ ὄνομα τοῦ Χριστοῦ· οὐκ ὀλίγοι δὲ πάλιν κατεφρόνουν [3] τῶν τοῦ κόσμου πραγμάτων καὶ [4] τῷ μονήρει προσήεσαν βίῳ. Ἐν [5] οἷς καὶ Θεόδωρός τις ὡς ἐτῶν δεκατεσσάρων, χριστιανῶν γονέων ὑπάρχων καὶ λίαν περιφανῶν. Οὗτος γάρ [6], ἑορτῆς οὔσης ἑνδεκάτῃ [7] τοῦ τυβὶ [8] μηνός, θεασάμενος τὴν ἑαυτοῦ οἰκίαν θαυμαστὴν καὶ μεγάλην οὖσαν καὶ ἐν [9] τοῖς
Act. 2, 37. τοῦ κόσμου πράγμασιν [10] εὐθηνουμένην, κατενύγη [11] τὴν καρδίαν [12]
Cf. Luc. 9, 25. θείᾳ χάριτι. Καί [13] φησι πρὸς ἑαυτόν [14]· « Τί ὠφελοῦμαι ἢ κερδαίνω ὁ ἄθλιος ἐγώ, εἰ ἀπολαύσας τῶν προσκαίρων καὶ ἡδέων τοῦ παρόντος βίου, τῶν αἰωνίων ἀγαθῶν [15] ἀποτύχω; Οὐδεὶς γὰρ ἐν ἀπολαύσει τούτων γενόμενος [16] τῆς αἰωνίου δόξης [17] μετασχεῖν ἠδυνήθη [18]. » Καὶ στενάξας ἐπὶ τούτοις εἰσῆλθεν εἴς τι τῆς οἰκίας μέρος ἀπόκρυφον· καὶ πεσὼν ἐπὶ πρόσωπον μετὰ δακρύων ἔλεγε·
Dan. 13, 42. « Κύριε ὁ τῶν κρυπτῶν γνώστης, σὺ γινώσκεις ὅτι οὐδὲν τῶν ἐν
Cf. Ps. 24, 5; 12, 3. τῷ [19] κόσμῳ τούτῳ [20] τῆς σῆς ἀγάπης προετίμησα· διὸ ἱκετεύω σε, δέσποτα, ὁδήγησόν με πρὸς τὸ σὸν θέλημα, καὶ φώτισόν μου τὴν ψυχήν, ἵνα διὰ παντὸς αἰνῶ καὶ δοξάζω σε. »

31. Ταῦτα δὲ [1] αὐτοῦ εἰπόντος [2], ἐπέστη αὐτῷ ἡ μήτηρ αὐτοῦ· καὶ ἀτενίσασα ὁρᾷ τοὺς ὀφθαλμοὺς αὐτοῦ δακρύοντας, καί φησι πρὸς αὐτόν [3]· « Τίς σε [4] ἐλύπησε, τέκνον, καὶ ἐχωρίσθης ἀφ' ἡμῶν,
Luc. 2, 48. καὶ ὀδυνώμενοι ἐζητοῦμέν σε; » Ὁ δὲ ἔφη πρὸς αὐτήν· « Ἄπελθε, μῆτερ [5], καὶ μεταλάβετε [6] τροφῆς· ἐγὼ γὰρ νῦν ἐσθίειν οὐ βούλομαι. » Καὶ οὐκ ἠνέσχετο [7] αὐτῆς. Καὶ ἐν τῇ διατριβῇ δὲ ἀπερχόμε-

[38] *om.* B. — [39] S ; *προσῆκον* BC, *προσῆκε ceteri.* — [40] *θεοῦ* H.

30. — [1] *Lemmata: in marg. sup.* π ε ρ ὶ θ ε ο δ ώ ρ ο υ, *in marg. sin. man. rec.* β ί ο ς τ ο ῦ ὁ σ ί ο υ π α τ ρ ὸ ς ἡ μ ῶ ν Θ ε ο δ ώ ρ ο υ μ α θ η τ ο ῦ τ ο ῦ ἁ γ ί ο υ Π α χ ω μ ί ο υ ε ὐ λ ό γ η σ ο ν π ά τ ε ρ, *sup. lin. alia man.* ἀ ρ χ ή M ; ιγ' WO. — [2] *corr.* O ; *παντί ceteri.* — [3] *om.* B. — [4] *ὑπερορῶντες* B. — [5] *κβ' praem.* M. — [6] *γοῦν* S. — [7] *τῇ ἑνδεκ.* S, *ἐν τῇ δεκάτῃ* H. — [8] *τύβι* BC, *τύμβη* S, *ἰαννουαρίου* O, *om.* H ; *ἰαννουαρείου κατὰ ἀλεξανδρεῖς add. in marg.* W, *ἰαννουαρίου ς' add. in marg.* M. — [9] *om.* B. — [10] *ἀγαθοῖς* B. — [11] *κατανυγεὶς* B, *κατηνύγη* VR. — [12] *τῇ καρδίᾳ* VC. — [13] *om.* B. — [14] *corr., prius αὐτὸν* S. — [15] *om.* VBC. — [16] *γεν. τούτ.* BC. — [17] *ζωῆς* R. — [18] *ἐδυνήθη* W, *ἠδυνήθην* V. — [19] *om.* R. — [20] *om.* S.

31. — [1] *om.* BS. — [2] *(αὐ. εἰ.) λέγοντι* B. — [3] *πρ. αὐτ. om.* O. — [4] *τί σε* V, *τίσεσε* S. — [5] *μήτηρ* VH. — [6] VR, *μετάλαβε ceteri.* — [7] *ἠσχύνετο* S.

νος ἐνήστευεν ἕως ἑσπέρας· πολλάκις δὲ καὶ τὰς δύο συνάπτων, τῶν πολυτελῶν [8] βρωμάτων ἐπὶ ἔτη δύο [9] ἑκουσίως ἀπείχετο [10], ἑαυτὸν ἐθίζων πρὸς τελείαν ἄσκησιν. Λαβὼν δὲ κατὰ νοῦν εἰσελθεῖν ἐν μοναστηρίῳ, ἀνεχώρησε τῶν ἰδίων, πάντων αὐτῶν [11] λήθην [12] ποιησάμενος. Καὶ εὑρὼν ἀδελφοὺς εὐλαβεῖς διαγωγὴν ἔχοντας καλὴν [13] ᾤκησε σὺν αὐτοῖς. Καθεσθέντων δὲ [14] τῶν μονα- Φ 34.
χῶν [15] μετὰ τὴν ἑσπερινὴν εὐχὴν καὶ μελετώντων πρὸς ἑαυτοὺς [16] τὰς θείας γραφάς, ἤκουσεν ἑνὸς αὐτῶν διαλεγομένου περὶ τῆς σκηνῆς τῆς ἐν τῇ παλαιᾷ [17] καὶ περὶ τοῦ ἁγίου τῶν ἁγίων, καὶ τὴν
Cf. Hebr. 9. *λύσιν ἄγοντος ἐπὶ τῶν δύο λαῶν καὶ λέγοντος [18] ὅτι· « Ἡ μὲν ἔξω σκηνὴ ὁ πρῶτός ἐστι τῶν Ἰουδαίων λαός, τὰ δὲ ἅγια τῶν ἁγίων κλῆσίς ἐστιν ἡ τῶν ἐθνῶν [19], μυστικωτέραν ἔχουσα [20] καὶ ἐνδοξοτέραν τὴν εἴσοδον· ἀντὶ [21] γὰρ θυσίας ζῴων καὶ θυμιατηρίου [22] καὶ τραπέζης καὶ κιβωτοῦ ἐχούσης [23] τοὺς [24] τοῦ μάννα [25] ἄρτους [26] καὶ τὸ βιβλίον [27] τοῦ νόμου καὶ ὅσα [28] ὑπῆρχεν ἐκεῖ καὶ ἀντὶ [29] τοῦ φωτὸς τῆς λυχνίας καὶ τοῦ ἱλαστηρίου ὤφθη ἡμῖν ὁ Θεὸς Λόγος ἐν τῇ*
Cf. I Ioh. 2, 2. *αὐτοῦ ἐνανθρωπήσει φωτίσας ἡμᾶς φῶς γνώσεως καὶ ἱλασμὸς γενόμενος τῶν ἡμετέρων ἁμαρτημάτων. » Ἐπιλύσαντος δὲ τοῦ ἀδελφοῦ ταῦτα [30] τοῖς συγκαθεζομένοις [31] αὐτῷ ἀδελφοῖς [23], ὁ αὐτὸς πάλιν ἔφη [32]· « Τὴν ἐπίλυσιν ταύτην παρὰ τοῦ ἁγίου [33] πατρὸς ἡμῶν Παχωμίου μεμάθηκα [34], τοῦ καὶ [23] συνάξαντος [35] τοὺς [33] ἐν Ταβεννήσει [36] ἀδελφοὺς προκόπτοντας ἐν Κυρίῳ. Πιστεύω δὲ [37] ὅτι συγχώρησίς μοι ἁμαρτιῶν [38] παρὰ Κυρίου γενήσεται [39], ὅτι ἐμνήσθην ἀνδρὸς δικαίου κατὰ τὴν ὥραν ταύτην. » Ἀκούσας δὲ ταῦτα ὁ Θεόδωρος ἐπυρώθη τὴν καρδίαν καὶ εἶπε· « Κύριε ὁ Θεός, εἰ ἔστι τοιοῦτος ἀνὴρ ἅγιος [40] ἐπὶ [41] γῆς, καταξίωσόν με τοῦτον ἰδεῖν καὶ ἀκολουθῆσαι αὐτῷ εἰς πᾶσαν ἐντολήν [42], ὅπως*

[8] *δὲ add* S. — [9] *δύο ἔτη* R. — [10] *ἀπεχόμενος* B. — [11] *om.* S ; *(π. αὐ.) αὐ. π.* C ; *παντελῆ add.* R. — [12] *παντελῆ add.* WOMHS ; *(π. αὐ. λ.) λ. αὐ. π.* B. — [13] *(διαγ. ἔχ. κ.) ἀγαθὴν μετιόντας διαγ.* B. — [14] *ποτε add.* B. — [15] *ἀδελφῶν* S. — [16] *πρὸς ἑ. om.* S. — [17] *παλαιᾷ////* V ; *περὶ τῆς ἐν τῇ παλ. σκ.* S. — [18] *(ἐπὶ - λέγ.) om.* WOM. — [19] *(κλ. - ἐθν.) ἡ τῶν ἐθν. ἐστι κλ.* S. — [20] *ἔχουσαν* R. — [21] *αὕτη* H. — [22] *θυσιαστηρίου* R. — [23] *om.* B. — [24] *τῆς* H. — [25] *μάνα* V, *ante corr.* C. — [26] *ἔχει add.* B. — [27] BS ; *τοῦ βιβλίου ceteri.* — [28] *ἕτερα add.* B. — [29] *(καὶ ἀ.) ἀ. δὲ* B. — [30] *(ἐπιλ. - τ.) ταῦτα ἐπιλύων ὁ ἀδελφὸς* B. — [31] *συνκαθεζομένοις* VRH. — [32] *(ὁ αὐ. π. ἔ.) προσέθηκεν ὅτι* B. — [33] *om.* S. — [34] *μεμαθηκὸς* S. — [35] *συναγαγόντος* BS, *συντάξαντος* H. — [36] *ταβεννίση* O, *ταβενίση* B, *ταβενήσει* HR, *τῇ ταβεννήσῳ* S. — [37] *om.* S. — [38] *ἁμαρτημάτων* S. — [39] *(π. κ. γ.) γ. π. κ.* O. — [40] *om.* R. — [41] *τῆς add.* BS. — [42] *σου add.* WOMHRS.

Cf. Iac. 2, 5. *κἀγὼ σωθῶ καὶ ἄξιος γένωμαι ὧν ἐπηγγείλω τοῖς ἀγαπῶσί σε ἀγαθῶν.* » *Ταῦτα λέγων* [43] *συνείχετο* [44] *τοῖς δάκρυσι, λίαν* [45] *ἔρωτι* [46] *θείῳ τρωθεὶς τὴν ψυχήν.*

Φ 35. **32.** *Καὶ μεθ' ἡμέρας τινὰς παρεγένετο πρὸς αὐτοὺς Πεκύσιός* [1] *τις, ἀνὴρ εὐλαβὴς καὶ χριστιανικώτατος* [2], *γηραιὸς* [3] *πάνυ, ἐπισκεψόμενός* [4] *τε αὐτοὺς καὶ* [5] *μαθεῖν βουλόμενος ὅπως διάγουσιν* [6]. *Ἡξίου οὖν* [7] *τὸν ἄνδρα* [8] *Θεόδωρος* [9] *λαβεῖν αὐτὸν μεθ' ἑαυτοῦ* [10] · *ὁ δὲ μηδὲν ὑπερθέμενος, παραλαβὼν ἦγεν αὐτόν. Καὶ* [11] *φθάσας κατὰ τὸν τόπον τῷ Κυρίῳ προσεκύνησε λέγων* · « *Εὐλογητὸς εἶ* [12], *ὁ Θεός, ὅτι* [13] *ταχύνας* [14] *ἐπήκουσάς* [15] *μου τοῦ ἁμαρτωλοῦ καὶ ἐ-*

Cf. I Io.5,15. *πλήρωσας τὸ αἴτημά μου ὃ ᾐτησάμην παρὰ σοῦ.* » *Συντυχὼν* [16] *δὲ καὶ τῷ Παχωμίῳ ὁ Θεόδωρος* [17] *ἤρξατο κλαίειν σφοδρῶς πρὸς ταῖς θύραις καὶ τοῖς δάκρυσι καταβρέχειν τὸ πρόσωπον* · *καὶ*

Luc. 7, 13. *ἰδὼν αὐτὸν* [18] *ὁ πατὴρ λέγει αὐτῷ* · « *Μὴ κλαῖε, τέκνον* · *κἀγὼ γάρ,*

Ioh. 6, 21. *εἰ καὶ ἁμαρτωλός εἰμι* [19], *τὸ ἔργον τοῦ Θεοῦ ἀναδέδεγμαι.* » *Καὶ*

Φ 36. *ταῦτα εἰπὼν εἰσήγαγεν αὐτὸν ἐν τῷ μοναστηρίῳ* [20]. *Θεασάμενος δὲ* [21] *τοὺς ἀδελφοὺς ἐφωτίσθη τὴν διάνοιαν* · *καὶ ζῆλον* [22] *θεοσεβείας ἐδέξατο αὐτοῦ* [23] *ἡ ψυχή* [24], *καὶ προϊὼν ἐπλεόναζε ταῖς κατὰ Θεὸν ἀρεταῖς* · *συνετὸς γὰρ ὑπάρχων καὶ λόγιος, ὑπακοὴν ἐκέκτητο μεγάλην τε* [25] *καὶ θαυμαστὴν Θεοῦ* [26] *τοῦ μεγαλοδώρου* [27] *τῇ χάριτι* [28] · *νηστείαις* [29] *καὶ ἀγρυπνίαις καὶ ἐπιμόνῳ προσευχῇ προσεδρεύων*

I Cor. 12,31. *οὐκ ἐπαύετο, ἐφιέμενος ἀεὶ* [30] *τῶν μειζόνων* [31] *χαρισμάτων* · *πολλῶν γὰρ λυπουμένων παράκλησις ἦν καὶ διορθωτὴς* [32] *τῶν ὁπωσοῦν πταιόντων. Ὁρῶν δὲ αὐτοῦ διαλάμπουσαν τὴν ἄσκησιν, σφόδρα αὐτὸν ἠγάπησεν ὁ Παχώμιος καὶ ἔθετο* [33] *αὐτὸν ἐν τῇ καρδίᾳ αὐτοῦ.*

Φ 37. **33** [1]. *Ἀκούσασα δὲ* [2] *ἡ μήτηρ αὐτοῦ ὅτι ἐκεῖσε διάγει, καταλαμ-*

[43] *εἰπὼν* O. — [44] *συνείγετο* V. — [45] *om.* VBC. — [46] *ἔρρωτι* V.

32. — [1] *πεκούσιός* VS. — [2] (*εὐλ. κ. χ.*) *εὐσεβὴς κ. εὐλ.* B. — [3] *γεραιὸς* W. — [4] *ἐπισκεψάμενός* HR, *ἐπισκεπτόμενος* S. — [5] *om.* H. — [6] *διάγωσιν* MS ; *ἐκ τῆς τοῦ παχωμίου ἦκων μονῆς add.* B. — [7] *γοῦν* B ; *ἠξί οὖν* R. — [8] *ὁ add.* BCS. — [9] *Θεόδωρον* V. — [10] *ἑαυτόν* H. — [11] *ὁ δὲ* B. — [12] *om.* S. — [13] *ὁ* RS. — [14] *ταχὺ* //// S. — [15] *ἐπακούσας* S. — [16] *συντείνων* S. — [17] *ὁ θ. om.* B. — [18] *om.* B. — [19] (*εἰ καὶ ἁμ. εἰμι*) *ἁμ. εἰμι εἰ καὶ* B. — [20] *εἰς τὸ μοναστήριον* B. — [21] (*θ. δὲ*) *ὃς καὶ θ.* B. — [22] *ζήλω* V. — [23] *om.* B. — [24] *τῇ ψυχῇ* BS. — [25] *om.* M. — [26] *θεῷ* V, *τῷ θεῷ* O, *τοῦ θεοῦ* S. — [27] *τοῦ μ. om.* B ; *τῷ μεγαλωδώρῳ* VCRWO. — [28] *πεποιθὼς add.* B. — [29] *τε add.* B. — [30] *om.* S. — [31] *μεγάλων* S. — [32] *διόρθωσις* H. — [33] *διέθετο* S.

33. — [1] *κγ'* M. — [2] *ταῦτα add.* H.

βάνει τὸ μοναστήριον, ἐπιφερομένη ἐπιστολὰς ἐπισκόπων κελευούσας [3] *αὐτὸν* [4] *ἀποδοθῆναι αὐτῇ* [5] *τὸν ἑαυτῆς* [6] *παῖδα. Ἥτις* [7] *ξενισθεῖσα* [8] *παρὰ τῷ προσπελάζοντι τῇ μονῇ ἀσκητηρίῳ τῶν γυναικῶν, ἀπέστειλε τὰς ἐπιστολὰς τῷ Παχωμίῳ, δεομένη ἐπιτρέψαι*

5 *αὐτῇ* [9] *θεάσασθαι αὐτῆς* [10] *τὸν υἱόν* [11]. *Τότε* [12] *προσκαλεσάμενος αὐτὸς* [13] *τὸν Θεόδωρον, λέγει αὐτῷ* · « *Ἀκήκοα, τέκνον, ὅτι ἡ μήτηρ σου παρεγένετο ἐνταῦθα ἰδεῖν σε θέλουσα* · *καὶ ἰδοὺ ἐπιστολὰς ἡμῖν ἐνήνοχεν ἐπισκόπων. Ἄπελθε οὖν* [14], *πληροφόρησον αὐτὴν καὶ μάλιστα διὰ τοὺς ἐπιστείλαντας ἡμῖν ἁγίους ἄνδρας* [15]. »

10 *Ἔφη αὐτῷ ὁ Θεόδωρος* · « *Πληροφόρησόν με* [16], *πάτερ, ὅτι ἐὰν αὐτὴν ἴδω μετὰ τὴν τοσαύτην* [17] *γνῶσιν, οὐκ ἀπαιτηθήσομαι παρὰ τοῦ* [18] *Κυρίου λόγον ἐν τῇ* [19] *ἡμέρᾳ ἐκείνῃ* [20], *διὰ τό με καταλιπεῖν* [21] *αὐτὴν καὶ* [22] *πάλιν εἰς πρόσκομμα τῶν ἀδελφῶν συντυγχάνειν* [23] *αὐτῇ* [24]. *Εἰ γὰρ οἱ πρὸ τῆς χάριτος υἱοὶ Λευὶ τοὺς ἑαυτῶν* [25] Cf.Ex.32,27 ;

15 *γονεῖς καὶ ἀδελφοὺς ἠγνόησαν* [26], *ἵνα τὰ δικαιώματα τοῦ Θεοῦ* Deut. 33, 9. *φυλάξωσι, πολλῷ μᾶλλον ἐγὼ ὁ χάριτος ἀξιωθεὶς τοσαύτης, γονεῖς ἢ γένος τῆς ἀγάπης τοῦ Θεοῦ προτιμῆσαι οὐκ ὀφείλω. Λέγει γὰρ ὁ Κύριος* · *Ὁ ἀγαπῶν* [27] *πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ* Matth.10,37. *ἔστι μου ἄξιος.* » *Ἔφη αὐτῷ ὁ Παχώμιος* · « *Εἰ ἐδοκίμασας,*

20 *τέκνον, μὴ συμφέρειν σοι, οὐκ ἀναγκάζω ἐγώ* [28] · *τοῦτο δὲ τῶν τελείως ἀποταξαμένων* [29] *τῷ κόσμῳ ἐστὶ* [30] *καὶ ἀπαρνησαμένων* Matth.16,24. *ἑαυτοὺς παντελῶς. Δεῖ γὰρ τοὺς μοναχοὺς τὰς μὲν ἀνωφελεῖς κοσμικὰς συντυχίας φεύγειν, τοὺς δὲ μέλη ὑπάρχοντας τοῦ Χρι-* Cf.Eph.5,30. *στοῦ καὶ πιστεύοντας* [31] *πάντας ἐξ ἴσης* [32] *καὶ ἀγαπᾶν καὶ προσίε-*

25 *σθαι* [33]. *Εἰ δέ τις προσπαθείᾳ τινὶ κοσμικῇ* [34] *κατεχόμενος λέγει ὅτι* · *σάρξ μού εἰσι* [35] *καὶ ἀγαπῶ αὐτούς, ἀκουέτω τῆς γραφῆς λε-* Cf.Gen.37,27. *γούσης* · *ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται.* » *Μὴ βουληθέντος* II Petr.2,19. *οὖν αὐτοῦ* [36] *ὀφθῆναι* [37] *τῇ μητρί, ἔκρινε κἀκείνη μεῖναι* [38] *ἐν τῷ*

[3] *κελευόντων* S. — [4] *αὐτῷ* O, *om.* BS. — [5] *ἀπολυθῆναι αὐτὴν* V. — [6] *ἴδιον* R. — [7] *ἡ δὲ* H. — [8] *ξενωθεῖσα* WOS. — [9] *om.* S. — [10] *om.* B. — [11] (*αὐ. τ. υ.*) *τ. υ. αὐ.* S. — [12] *καὶ* S. — [13] *om.* S. — [14] *καὶ add.* S. — [15] *διὰ τὰς ἐπιστολὰς τῶν ἁγίων ἀνδρῶν* S. — [16] *μοι* CH ; *σὺ add.* S. — [17] *τοιαύτην* BC. — [18] *om.* H. — [19] *om.* W. — [20] *ἐν ἐκ. τῇ ἡμ.* O. — [21] (*με κ.*) *κ. με* OS ; (*διὰ τό με κ.*) *ὅτι καταλιπὼν* B. — [22] OS ; *om. ceteri.* — [23] *συντυγχάνω* B. — [24] WOB ; *αὐτὴν* VHMB, *ante corr.* C ; *ταύτην* S. — [25] *ἑαυτοὺς* H. — [26] *ignorarunt Δ ; ἤγνισαν* WO, *ἤγνησαν* V. — [27] *φιλῶν* B. — [28] (*οὐκ ἀ. ἐ.*) *ἀναγκάζειν σε οὐ πειράσομαι* O. — [29] *ἀποτασσομένων* WOMH. — [30] (*τῷ κ. ἐ.*) *ἐ. τῷ κ.* S. — [31] *νηστεύοντας* WO. — [32] *corr., prius ἐξίση* C ; *ἐπίσης* O. — [33] *προίεσθαι* H. — [34] *om.* S. — [35] *ἐστι* S. — [36] *om.* B. — [37] *ὁ. αὐ.* S. — [38] *κἀκείνην εἶναι* R.

ἀσκητηρίῳ [39] παρὰ ταῖς ἐν Χριστῷ παρθενευομέναις [40] ἀδελφαῖς [41], λογισαμένη ὅτι πάντως, εἰ βουληθείη [42] Θεός, « Ὄψομαι αὐτὸν μετὰ τῶν ἀδελφῶν, καὶ τὴν ἑαυτῆς [43] ψυχὴν κερδανῶ ἕνεκεν αὐτοῦ ». Οὕτως δύναται καὶ τὸ [44] κατὰ Θεὸν αὐστηρόν, εἰς δόξαν Θεοῦ γινόμενον [45], ὠφελείας πρόξενον τοῖς προστυγχάνουσι γίνεσθαι, εἰ καὶ πρὸς βραχὺ δοκεῖ λυπηρὸν εἶναι [46].

Φ 38. **34** [1]. Ὥσπερ δὲ τὸν σπουδαῖον [2] τοῦτον [3] εἰς ζῆλον τῶν βουλο-
Cf. III Io. 11. μένων τὰ καλὰ μιμεῖσθαι εἰς μέσον ἠγάγομεν [4], οὕτως καὶ τῶν [5] ῥαθύμων δίκαιον μνημονεῦσαι πρὸς ἀσφάλειαν τῶν ἀκουόντων.
Cf. Rom. 8,6; Col. 3, 9. Τινὲς [6] γὰρ τῶν ἀδελφῶν σαρκικὸν ἔχοντες φρόνημα καὶ τὸν παλαιὸν ἄνθρωπον μὴ ἀποδυσάμενοι λίαν ἐλύπουν τὸν ἅγιον. Πολλάκις γοῦν αὐτοῖς [7] τὴν ψυχωφελῆ προσάγων [8] παραίνεσιν ἤνυε μὲν πλέον οὐδέν· ἀθυμῶν δὲ καὶ σφόδρα ἀδημονῶν, ἀπιὼν κατ' ἰδίαν προσηύχετο [9] τῷ Θεῷ ὑπὲρ αὐτῶν λέγων· « Ὁ Θεός,
Lev. 19,18. σὺ ἐνετείλω ἡμῖν τοὺς πλησίον ἀγαπᾶν ὡς ἑαυτούς· ἐπεὶ οὖν ἔγνως μου τὴν προθυμίαν καὶ [10] τὴν πρόθεσιν, ἱκετεύω σε μὴ παριδεῖν τὴν σωτηρίαν τῶν ψυχῶν αὐτῶν, ἀλλ' ἐλεῆσαι [11] αὐτοὺς [12] καὶ δοῦ-
Cf. Bar. 3, 7. ναι [13] τὸν φόβον σου εἰς τὰς καρδίας αὐτῶν, τοῦ εἰδέναι σε [14]
Tob. 14, 7. καὶ δουλεύειν σοι [15] ἐν ἀληθείᾳ καὶ καθαρότητι βίου, ὅπως ἂν καὶ αὐτοὶ τὴν εἰς σὲ ἐλπίδα γνησίαν ἔχωσιν [16]· ὅτι λίαν ὀδυνᾶταί μου [17] ἡ ψυχὴ καὶ πάντα μου τὰ αἰσθητήρια ἀλγοῦσι περὶ αὐτῶν. » Καὶ ταῦτα εἰπὼν ἡσύχασε. Μετὰ δὲ ὀλίγας ἡμέρας συνιδὼν ὅτι οὐδὲ μετὰ τὴν εὐχὴν βελτίους ἐγένοντο, πάλιν [18] στὰς προσηύξατο· καὶ κανόνα τινὰ τῆς τε [19] εὐχῆς καὶ τῆς ἄλλης αὐτῶν διαγωγῆς δέδωκεν αὐτοῖς, ἵνα κἂν ὡς οἰκέται [20] εὐγνώμονες τὴν σύνταξιν [21] πληροῦντες, κατὰ μικρὸν ἐναγόμενοι [22], οὕτως διατεθῶσιν ἐν παρ-
II Tim. 1,7. ρησίᾳ. Οἱ δὲ πάλιν [23] ὡς εἶδον ὅτι οὐ συγχωροῦνται τῷ ἰδίῳ ἐξακο-
Ioh. 6, 66. λουθεῖν θελήματι, πνεύματι δειλίας ἐπλανήθησαν· καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω, τὴν ἄκραν αὐτοῦ πολιτείαν [24] τεθηπότες [25]. Ἀνα-

[39] μοναστηρίω S. — [40] παρθενευούσαις B. — [41] παρὰ τὰς ἐν χ. παρθενευομένας ἀδελφὰς R. — [42] βουληθῆ R; ὁ add. WOR. — [43] ἐμαυτῆς BCO. — [44] τὰ V. — [45] corr., prius γενόμενος V. — [46] λυπ. εἶναι δοκεῖ H.

34. — [1] ιδ' WO. — [2] τ. σπ. om. H. — [3] τὸν σπ. τ. corr. rec. O. — [4] ἤγαγον HM, corr. prius ἤγαγεν O; ἤγαγεν W. — [5] τινων B. — [6] κδ' praem. M. — [7] αὐτὸς H. — [8] ἐπάδων B. — [9] ηὔχετο H. — [10] τ. πρ. κ. om. WOMHR. — [11] ἐλέησον BC. — [12] (ἐπεὶ οὖν - αὐτ.) om. S. — [13] δὸς BC; (κ. δ.) δὸς οὖν S. — [14] om. WOH. — [15] σου V. — [16] σχῶσιν S. — [17] om. VR. — [18] corr., prius πάλαι H. — [19] om. WO. — [20] ἱκέται H. — [21] statuta Δ, σύναξιν BORS. — [22] κ. μ. ἐ. om. H. — [23] om. B. — [24] ἀρετὴν WOM; om. H. — [25] θαυμάσαντες B.

χωρησάντων δὲ αὐτῶν, καθαρὰ λοιπὸν ἡ ποίμνη ἐγένετο· καὶ μειζόνως προέκοπτον ἐν τῇ ἀσκήσει αὐτῶν [26], ὡς σῖτος καλὸς [27] ἐν ταῖς χώραις θάλλων, τῶν ζιζανίων ἐκριζωθέντων [28]. Ταῦτα δὲ διεξῆλθον [29] δι' ἀμφοτέρων δεῖξαι βουλόμενος ὅτι ὥσπερ [30] οὐδὲν βλάπτει τοὺς κοσμικούς, εἰ [31] προσέχοιεν [32], τὸ αὐστηρὸν τῶν μοναχῶν [33], ἀλλὰ καὶ μᾶλλον ὠφελεῖ, οὕτως οὐδὲν ὀνίνησι τοὺς μοναχοὺς οὔτε εὐχὴ οὔτε συγκατάβασις πατέρων, εἰ ῥάθυμοι ἐν αὐτοῖς εἶεν [34].

35 [1]. Καί τις ὁμολογητὴς Διονύσιος τοὔνομα, οἰκονόμος τῆς Φ 40.
ἐκκλησίας Τεντύρων [2], φίλος ὑπάρχων τοῦ Παχωμίου [3], ἀκούσας παρά τινων ὅτι τοὺς ἀπὸ τῶν ἄλλων μοναστηρίων πρὸς αὐτὸν παραγινομένους [4] οὐ συγχωρεῖ συνδιατρίβειν [5] τοῖς μετ' αὐτοῦ οὖσιν [6] ἀδελφοῖς, ἀλλ' ἐν ἑτέρῳ τόπῳ πρὸς ταῖς θύραις τοῦ μοναστηρίου καταμένειν, σφόδρα λυπηθεὶς παρεγένετο πρὸς αὐτόν. Καὶ ἐπιπληκτικώτερον [7] διαλεγόμενος ἔλεγεν· « Οὐ καλῶς ποιεῖς, ἀββᾶ, μὴ τὴν αὐτὴν [8] διάθεσιν πρὸς πάντας ἔχων τοὺς ἀδελφούς. » Ὁ δὲ μετὰ πολλῆς τῆς μακροθυμίας ἐνεγκὼν τὴν βαρεῖαν ἐπιτίμησιν, ἀποκριθεὶς εἶπεν αὐτῷ [9]· « Οἶδεν ὁ Θεὸς τὴν πρόθεσίν μου, καὶ ἡ [10] πατρική σου διάθεσις ἐπίσταται [11] ὅτι οὐδέποτε ἠθέλησα ψυχὴν λυπῆσαι ἢ παριδεῖν. Πῶς οὖν [12] τολμῆσαι εἶχον νῦν [13] τοῦτο πρᾶξαι [14] καὶ παροξύναι τὸν Κύριόν μου [15] κατ' ἐμοῦ [16] διαρρήδην βοῶντα· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου [17] τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε; Δέξαι οὖν με πληροφοροῦντά σε πάτερ [18]· οὐ [19] γὰρ ὡς ἐξουθενῶν τοὺς ἐνταῦθα παραγινομένους [20] τοῦτο ἐποίησα· ἀλλ' ἐπειδὴ τὸ κοινόβιον πολλοὺς τοὺς νεήλυδας ἔχει διάφορα τὰ ἤθη ἔχοντας καὶ μήπω ἐπισταμένους μήτε αὐτὸ τὸ σχῆμα τοῦ μοναχοῦ, ἐν οἷς εἰσι καὶ παιδία ἐν ἁπλότητι τοσαύτῃ [21] ὄντα ὡς μὴ [22] εἰδέναι δεξιὰν αὐτῶν [23] ἢ ἀριστεράν [24], ἡγησά- Mt. 25, 40. Cf. Ion. 4,11.

[26] om. B. — [27] καλῶς V. — [28] ἐκρ. τ. ζ. B. — [29] διεξῆλθεν //////V. — [30] ὡς V. — [31] om. R. — [32] (ὥσπερ - προσ.) om. H. — [33] (εἰ πρ. τὸ αὐ. τῶν μ.) τὸ αὐστ. τῶν μ. εἰ πρ. B. — [34] εἰ ῥάθ. εἶεν αὐτοί S, εἰ ῥάθ. καὶ ἀμελοῦντες ὀφθεῖεν B.

35. — [1] ιε' WO, κε' M. — [2] /// τύρων V; τῆς ἐν τύρῳ ἐκκλησίας S. — [3] φ. τυγχάνων τοῦ π. S, φ. ὢν τῷ παχωμίῳ B. — [4] παραγενομένους S. — [5] διατρίβειν VC, συνδιάγειν B. — [6] om. B. — [7] αὐτῷ add. B. — [8] (τ. αὐ.) ἴσην τὴν S. — [9] om. V. — [10] om. R. — [11] (τὴν πρόθ. - ἐπ.) om. S. — [12] γὰρ B. — [13] om. BC. — [14] εἶχον ν. τ. πρ. om. H. — [15] (κ. μ.) θεὸν S. — [16] κατ' ἐ. om. BC. — [17] τῶν ἀδ. μ. om. S. — [18] (πλ. σε π.) π. πλ. σε S. — [19] οὐδὲ B. — [20] παραγενομένους RS. — [21] τοσαύτα R. — [22] μηδέπω S. — [23] om. H. — [24] αὐτῶν add. HM.

μην λυσιτελέστερον εἶνσι τοὺς ἀδελφοὺς [25] ἰδιάζοντας [26] διάγειν [27] καὶ τοὺς παραγινομένους [28] ὡσαύτως καθ' ἑαυτούς. Τοῦτο δὲ τιμὴν μᾶλλον ἡγοῦμαι εἶναι τοῖς [29] παραβάλλουσιν ἡμῖν πατράσι καὶ ἀδελφοῖς, τὸ τῇ μὲν ὥρᾳ [30] τῆς προσευχῆς συνάγεσθαι μεθ' ἡμῶν, μετὰ δὲ ταῦτα [31] ἕκαστον [32] τὸν ὡρισμένον αὐτῷ [33] καταλαμβάνειν τόπον [34] καὶ τὴν ἡσυχίαν ἄγειν, ἐμοῦ δηλαδὴ διὰ τὸν Θεὸν [35] ἐξυπηρετουμένου [36] ταῖς χρείαις αὐτῶν. » Ταῦτα ἀκούσας παρ' αὐτοῦ [37] ὁ πρεσβύτερος [38] Διονύσιος ἀπεδίδου [39] μᾶλλον αὐτῷ [40], γινώσκων αὐτὸν κατὰ Θεὸν πάντα [41] διαπράττεσθαι [42] · καὶ λίαν ἡσθεὶς ἐπὶ τῇ τοιαύτῃ ἀπολογίᾳ, χαίρων τὰ οἰκεῖα κατέλαβε.

Φ 41. **36** [1]. Γυνὴ δέ τις τῶν ἐκεῖσε [2] πολιτευομένων, αἱμορροοῦσα [3] καὶ πολὺν χρόνον τούτῳ τῆς ἀσθενείας τῷ πάθει κατεχομένη [4], μαθοῦσα περὶ τοῦ Παχωμίου ὅτι τε [5] θεοσεβής ἐστι καὶ πολιτείαν ἄγει [6] θαυμαστὴν καὶ ὅτι φίλον γνήσιον [7] ἔχει τὸν Διονύσιον, ἠξίου τὸν ἄνδρα κατελεῆσαι αὐτὴν καὶ ὡσανεὶ προφάσεως ἀναγκαίας ἕνεκα μεταστείλασθαι εἰς τὴν ἐκκλησίαν τὸν ἅγιον · ὃς τὴν ἱκεσίαν [8] τῆς γυναικὸς παραχρῆμα δεξάμενος [9] μετεκαλέσατο [10] αὐτόν. Παραγενόμενος δὲ [11] καὶ ἀσπασάμενος μετὰ τὴν εὐχὴν [12] τὸν Διονύσιον [13], ἐν τῇ ἐκκλησίᾳ ἐκαθέσθη ἅμα αὐτῷ [14]. Ὀλίγα δὲ τοῦ Διονυσίου πρὸς τὸν ἅγιον Παχώμιον [15] διαλεγομένου [16], ἡ γυνὴ [17] προθυμίᾳ [18] νευρωθεῖσα [19] καὶ πιστεύσασα τῷ εἰπόντι ·
Matth.9,22 ; cf. ibid. 20. « Θάρσει, θύγατερ [20], ἡ πίστις σου σέσωκέ σε, » ἠρέμα ἐκ τῶν [21] ὄπισθεν αὐτῷ πλησιάσασα [22] καὶ ἁψαμένη τοῦ κουκουλίου [23] τοῦ ἐπὶ [24] τῆς κεφαλῆς αὐτοῦ, παραχρῆμα ἰάθη. Καὶ πεσοῦσα ἐπὶ

[25] τ. ἀδ. λυσ. εἶναι BC. — [26] ἰδιαζόντως HS. — [27] *corr., prius* ἄγειν O. — [28] παραγενομένους S. — [29] τοὺς W. — [30] ὥραν V. — [31] ταύτην S. — [32] ἕκαστος H. — [33] αὐτῶν VCR. — [34] τόπ. καταλ. B. — [35] (διὰ τ. θ.) σὺν θεῷ S. — [36] ἐξυπηρετουμένους R. — [37] παρ' αὐ. om. R. — [38] V, *itidem* AP ; *presbyter Δ ; πρεσβύτης ceteri.* — [39] ἀπελογεῖτο S. — [40] (ἀπ. μ. αὐ.) συγγνώμην μ. ἠτεῖτο B ; τὴν εὐχαριστίαν *add.* O ; μετανοῶν *add.* S. — [41] ἅπαντα S. — [42] διαπραττόμενον B.

36. — [1] ις′ WO, κς′ M. — [2] ἐκεῖ B. — [3] ὡμορροοῦσα *lacero folio corr.* O. — [4] πολὺν χρ. τούτω κατ. τῷ πάθ. S, πολλῷ χρόνῳ τῷ πάθει τούτω κατ. B. — [5] om. BCHO. — [6] VBC ; ἔχει *ceteri.* — [7] om. S. — [8] αἴτησιν WOMH. — [9] om. V. — [10] δετεκαλέσατο R. — [11] (παρ. δὲ) καὶ ὃς παρ. B. — [12] μετὰ τ. εὐ. ἀσπ. S. — [13] τὸν δ. μετὰ τ. εὐ. O. — [14] σὺν αὐτῷ ἑκαθ. B. — [15] om. B. — [16] διὰ //// λεγ. V ; διαλεχθέντος B. — [17] om. R. — [18] καὶ τῇ πίστει *add.* S. — [19] νευρώσασα ἑαυτὴν WOMHS. — [20] θύγατηρ (*sic*) V. — [21] (ἐκ τ.) αὐτὸν R. — [22] πλησιάζουσα H. — [23] κουκουλλίου WOMR. — [24] τοῦ ἐπὶ om. H.

πρόσωπον ἐγονυπέτει αὐτόν [25], δοξάζουσα τὸν Θεὸν ἐπὶ ταῖς παρ' αὐτοῦ διὰ τῶν δούλων αὐτοῦ γινομέναις [26] εἰς τοὺς πιστεύοντας [27] εἰς [28] αὐτὸν [29] εὐεργεσίαις [30]. Αὐτὸς δὲ συνεὶς [31] τὴν τέχνην [32] τοῦ [33] Διονυσίου, ηὐλόγησε [34] τὴν γυναῖκα καὶ ὑπέστρεψε πάλιν [35] εἰς τὸ μοναστήριον αὐτοῦ.

Φ 42. **37** [1]. Χρείας δὲ καλούσης τοῦ [2] γενέσθαι τριγχίον [3] εἰς ἀσφάλειαν τῆς μονῆς [4], καὶ αὐτὸς ἦν συμβοηθῶν [5] τοῖς ἐργαζομένοις ἀδελφοῖς μετ' εὐχαριστίας πολλῆς. [6] Μεθ' ἡμέρας δέ τινας [7] ἀσκητής τις, πατὴρ πολλῶν ἀδελφῶν [8], ὃς καὶ εἰώθει συχνότερον παραβάλλειν αὐτῷ [9], παρεγένετο πρὸς αὐτὸν μετὰ ἑνὸς [10] ἀδελφοῦ, ὡς ἀντιλογίας ἐν τῷ ὑπ' αὐτὸν μοναστηρίῳ ἀναφυείσης τοιᾶσδε. Οὗτος [11] ὁ συμπαρὼν αὐτῷ ἀδελφὸς ἦν ἐπικείμενος καὶ ὀχλῶν [12] τῷ αὐτῷ ἡγουμένῳ [13] τῆς [2] μονῆς [2] ἐπὶ τὸ τυχεῖν [14] τῆς τοῦ κλήρου [15] ἀξίας. Ὁ δὲ προεστώς, ἀνάξιον αὐτὸν εἰδὼς τοῦ τοιούτου χαρίσματος, διαφόρως ἀνεβάλλετο. Ὡς δὲ ἐπὶ πλεῖον [16] οὐκ ἠδύνατο [17] φέρειν τὴν ὄχλησιν τοῦ ἀδελφοῦ [18], παραγίνεται πρὸς τὸν ἅγιον Παχώμιον καὶ διηγεῖται [19] αὐτῷ ὡς ἔνι [20] τὰ τοῦ πράγματος, πεπεισμένος αὐτὸν μόνον λύσειν τὴν φιλονεικίαν τοῦ ἀδελφοῦ [21]. Ὁ δὲ ὡς [22] ἔμαθε τὰ τῆς ὑποθέσεως, λέγει τῷ πρεσβυτέρῳ [23] · « Οὐκ ἦλθες ἐξετάσαι με [2] τὸ θέλημα τοῦ Θεοῦ ; Ἄκουσον οὖν [24] μου [25] καὶ δὸς αὐτῷ τὸ αἴτημα αὐτοῦ [26], καὶ μὴ [27] ἀπογνῷ [28]. Ἴσως διὰ τούτου ἐκσπάσομεν [29] τὴν ψυχὴν αὐτοῦ ἀπὸ τοῦ ἐχθροῦ · συμβαίνει γὰρ καὶ κακὸν [30] ἄνδρα εὐεργετούμενον εἰς αἴσθησιν τοῦ ἀγαθοῦ φθάσαι [31] · ἡ [32] γὰρ ἐπιθυμία [33] τῶν κρειττόνων ἀσφάλειαν εἴω-

[25] αὐτῷ HS. — [26] γινομένας H, om. O. — [27] (εἰς τ. π.) τοῖς πιστεύουσιν B. — [28] om. H. — [29] γινομέναις *add.* O. — [30] εὐεργεσίας H, ἐργασίαις S. — [31] συνιεὶς WOS, *ante corr.* M. — [32] (τ. τ.) τὸν σκοπὸν B. — [33] om. B. — [34] εὐλόγησε WOMBH. — [35] om. S.

37. — [1] ιζ′ WO. — [2] om. B. — [3] θριγκίον O, θριγχίον M, θριγγίον BCS, τειχεῖον H, τροχίον R. — [4] τῇ μονῇ B. — [5] συνβοηθῶν VRHS. — [6] κζ′ *in marg.* M. — [7] om. V. — [8] μοναχῶν B. — [9] αὐ. παραβ. B. — [10] μεθ' ἑνὸς B. — [11] γὰρ *add.* BS. — [12] ἐνοχλῶν R. — [13] τὸν αὐτὸν ἡγούμενον S ; (ἡγ - ἡγ.) ἐπέκειτο διοχλῶν αὐτὸν B. — [14] (ἐπὶ τὸ τυχ.) ἐπιτυχεῖν H. — [15] *prius* κλῆρον V. — [16] πολὺ S, πλέον WOMH. — [17] ἐδύνατο MW. — [18] τοῦ ἀδ. τὴν ὄ. WOMH. — [19] διηγήσατο H. — [20] ὡς ἔνι om. BS. — [21] λῦσαι τὰς φιλονεικίας τοῦ ἀδ. S, ἱκανὸν εἶναι τὴν τοῦ ἀδ. λῦσαι φιλ. B. — [22] (ὃ δὲ ὡς) ὡς δὲ H. — [23] καθηγεμόνι B. — [24] om. BC. — [25] αὐτοῦ O. — [26] (αὐτῷ τὸ αἴ. αὐτοῦ) τὸ αἴ. αὐτῷ B, τὸ αἴ. αὐτοῦ αὐτῷ O. — [27] (κ. μὴ) μὴ καὶ B. — [28] ἀπογνῶς S. — [29] σκεπάσωμεν S. — [30] πονηρὸν B. — [31] φθάνειν B. — [32] εἰ O. — [33] ἐπὶ WO.

θεν ἐμποιεῖν ταῖς μὴ πάνυ ἀναπεπτωκόσι [34] καὶ ῥᾳθύμοις ψυχαῖς πρὸς τὸ κατεργάζεσθαι τὴν ἀρετήν. Καὶ ἡμῖν [35], ἀδελφέ, πρέπει [36] τοῦτο ποιεῖν· ἡ γὰρ κατὰ Θεὸν ἀγάπη ἐν τῷ [37] συμπάσχειν ἀλλήλοις ἐστί. » Ταύτην τὴν [38] ἀπόκρισιν λαβὼν ὁ προεστὼς ἐποίει [39] τὸ κελευσθέν. Καὶ ὁ ἀδελφὸς δὲ [40] τυχὼν [41] τοῦ αἰτήματος [42] ὑπέστρεψεν αὖθις μετὰ νήψεως καὶ κατανύξεως [43] πολλῆς [44] πρὸς τὸν
I Tim. 6,11. ἅγιον. Καὶ πεσὼν ἐπὶ πρόσωπον ἐξωμολογεῖτο λέγων· « Ἄνθρωπε
Rom. 12,21. τοῦ Θεοῦ, λίαν ὑψώθης παρὰ Κυρίου, νικῶν ἐν τῷ ἀγαθῷ τὸ κακόν [45]· εἰ μὴ γὰρ ἦς ἐπ' ἐμοὶ μακροθυμήσας [46], ἀλλ' [47] εἰρηκώς τι κατ' ἐμοῦ, ἄρα ἂν ἀπέστην τοῦ σχήματος καὶ ἀλλότριος ἐγενόμην [48] τοῦ
I Reg. 15,13. Θεοῦ [49]. Νυνὶ [50] δὲ εὐλογητὸς [51] εἶ σὺ τῷ Κυρίῳ, ὅτι διὰ σοῦ ἐσώθη μου ἡ ψυχή. » Καὶ ἀναστήσας [52] αὐτὸν [53] ἐκ τῆς γῆς, παραινέσας τε [54] αὐτὸν [55] βίον τοῦ ἐπαγγέλματος ἄξιον ἐπιδείκνυσθαι « μή πως χείρονας [56] ἐν τῷ μέλλοντι τὰς εὐθύνας [57] ὑφέξῃς [58], » καὶ [59] ἀσπασάμενος [60] αὐτὸν ἀπέλυσε προπέμπων ἄχρι τῆς θύρας τοῦ
Φ 43. μοναστηρίου.

38 [1]. Ἔτι δὲ αὐτοῦ ἑστῶτος [2], ἰδοὺ ἀνὴρ ἐρχόμενος πόρρωθεν [3] δρομαῖος [4] ἔπεσε πρὸς τοῖς ποσὶν αὐτοῦ, δεόμενος καὶ [5] ἀντιβολῶν [5] ὅπως τὸ θυγάτριον αὐτοῦ δαιμονιζόμενον [6] τῇ δοθείσῃ αὐτῷ [7] παρὰ Χριστοῦ [8] ἰάσηται [7] χάριτι. Ὁ δὲ καταλιπὼν αὐτὸν ἔξω ἑστῶτα αὐτὸς [5] εἰσῆλθεν ἐν [9] τῇ μονῇ [10]. Καὶ πέμπει φάσιν [11] αὐτῷ διὰ τοῦ θυρωροῦ λέγων· « Ἔθος μὲν [12] ἡμῖν [13] οὐκ ἔστιν ὁμιλεῖν γυναιξίν· ἓν δέ μοι [14] τῶν ἱματίων τῆς κόρης ἀπόστειλον· καὶ ἐν τῷ ὀνόματι τοῦ [15] Κυρίου [16] Ἰησοῦ [17] Χριστοῦ [18] εὐλογήσαντες [19] αὐτὸ [20] πάλιν ἀποπέμπομεν [21]· καὶ ἐλπίζομεν ὅτι σωθήσεται [22] ἡ παῖς. » Ἐνε-

[34] VCWMHR ; ἀναπεπτωκυίαις BOS. — [35] ἡμᾶς τοίνυν B. — [36] προσήκει B. — [37] ἐν τῷ om. S. — [38] om. R. — [39] ἐποιεῖτο C. — [40] om. WOBS. — [41] om. W. — [42] τοῦ αἰ. τυ. O. — [43] καὶ κατ. om. R. — [44] om. WOMBH. — [45] (νικῶν - κ.) om. B. — [46] εἰ μὴ γὰρ ἐμακροθύμησας ἐπ' ἐμοί B. — [47] ἔφθασας add. B. — [48] ἐγινόμην H ; (ἀλλ. ἐγ.) ἐγ. ἀλλ. S. — [49] (ἐγ. τ. θ.) τ. θ. ἐγ. B. — [50] νῦν B. — [51] εὐλογημένος B. — [52] (καὶ ἀν.) ἀν. δὲ B. — [53] ὁ παχώμιος add. B. — [54] (π. τε) καὶ π. S. — [55] om. BS. — [56] corr., prius χείρονα M. — [57] φησὶν add. O. — [58] ὑφέξει corr. C, ὑφέξοι S, ὑπόσχῃ B. — [59] om. S. — [60] (χειρ. - ἀσπ.) χειρωσάμενος H.

38. — [1] ιη′ WO, κη′ M. — [2] (αὐ. ἑ.) ἑ. τοῦ ἁγίου B. — [3] πόρρω M ante corr. — [4] δρομαίως BCH. — [5] om. B. — [6] δαιμονῶν B ; ἰάσηται add. S. — [7] om. S. — [8] τοῦ θεοῦ S. — [9] om. R. — [10] εἰς τὴν μονὴν S. — [11] φασὶν V ; (π. φ.) μηνύει B. — [12] om. B. — [13] (μ. ἡ.) ἡ. μ. S. — [14] om. S. — [15] om. WOMB. — [16] ἡμῶν add. S. — [17] om. BC. — [18] om. BCMR. — [19] corr., prius εὐγήσαντες B. — [20] αὐτῷ V. — [21] ἀναπέμπομέν B, ἀποπέμψωμεν S ; σοι add. BC. — [22] σώθηται R.

χθέντι [23] δὲ τῷ χιτωνίσκῳ [24] δριμὺ [25] προσσχὼν [26] ὁ ἅγιος ἔφη· « Οὐκ ἔστιν αὐτῆς τὸ ἱμάτιον. » Διαβεβαιουμένου δὲ τοῦ ταύτης [27] πατρὸς [28] καὶ λέγοντος [29] αὐτῆς εἶναι τοῦτο, ἔφη πρὸς αὐτόν [30]· « Αὐτῆς μέν ἐστιν, οἶδα κἀγώ· οὐ τηρεῖ δὲ [31] τὴν ἁγνείαν ἑαυτῆς [32], παρθενεύειν ἐπαγγελλομένη [33]· διὸ [34] ἐπιβλέψας [35] αὐτὸ [36] ᾐσθόμην μὴ εἶναι ταύτην [37] ἁγνήν, καὶ διὰ τοῦτο ἔφην ὅτι [38] οὐκ ἔστιν αὐτῆς. Συντιθῆταί [39] σοι τοίνυν [40] φυλάττειν ἑαυτὴν καθαρὰν [41] εἰς τὰ [42] μετὰ ταῦτα [43] ἐνώπιον τοῦ Θεοῦ [44], καὶ οἰκτειρήσας αὐτὴν ὁ φιλάνθρωπος δεσπότης Χριστὸς [45] ἰάσεται [46] ταύτην [47]. » Ἀνακρίναντος δὲ τοῦ πατρὸς [48] τὸ θυγάτριον [49] μετὰ θυμοῦ καὶ λύπης, ὡμολόγησεν ἡ παῖς [50] καὶ μεθ' ὅρκου εἶπε [51] μηκέτι πράσσειν [52] ταῦτα [53]. Εἶθ' [54] οὕτως εὐξάμενος [55] ὁ ἅγιος ἀπέστειλεν αὐτῇ [56] ἔλαιον· ὅπερ [57] χρισαμένη ἐν πίστει παραχρῆμα ἰάθη. Καὶ ἐδόξαζε [58] τὸν Θεόν, ὅτιπερ σὺν τῷ δαίμονι τῷ δεινῷ [59] καὶ τὸν βίον ἀμείψασα ἁγνείας [60] τοῦ λοιποῦ πολλῆς ἐπεμελήθη [61].

39 [1]. Ταύτης τῆς φήμης [2] κατὰ παντὸς διατρεχούσης [3], ἕτερος Φ 44. πάλιν τὸν υἱὸν αὐτοῦ, σκληρὸν δαίμονα [4] ἔχοντα [5], ἐφ' ἑκάστης πενθῶν καὶ μὴ ἰσχύων αὐτὸν [6] ἀγαγεῖν [7] πρὸς τὸν ἅγιον, ἦλθεν αὐτὸς [6] γονυπετῶν καὶ δεόμενος εὔξασθαι περὶ αὐτοῦ. Ὁ δὲ ἐπευξάμενος καὶ δοὺς αὐτῷ ἄρτον παρηγγύησεν ὥστε τῇ ὥρᾳ τῆς τροφῆς δοῦναι τοῦτον [8] εἰς βρῶσιν τῷ πάσχοντι. Πεινάσαντι [9] οὖν αὐτῷ [10] προσήνεγκεν ὁ πατὴρ τὸν ἄρτον. Αἰσθόμενος δὲ ὁ δαίμων [11] οὐ

[23] ἐνεχθέντος S. — [24] τοῦ χιτωνίσκου S. — [25] τι add. S. — [26] VB ; προσσχὼν celeri. — [27] αὐτῆς WOM. — [28] τοῦ πατρὸς αὐτῆς H. — [29] διαβεβαιουμένω δὲ τῷ ταύτ. πατρὶ καὶ λέγοντι B. — [30] πρ. αὐ. om. B ; ὁ ἅγιος add. S. — [31] (οὐ τ. δὲ) ἀλλ' οὐ τ. B. — [32] αὐτῆς HR. — [33] ἐπαγγειλαμένη S. — [34] καὶ add. WOB. — [35] ἰδὼν B. — [36] αὐτῷ WOM, αὐτὸν R. — [37] αὐτὴν BC. — [38] om. WOM. — [39] V ; συνθῆται CWMHR, συντιθέσθω O, σωθήσεται S, εἰ τοίνυν συνθοῖτο B. — [40] νῦν S, om. B. — [41] ἐπαγγειλαμένη add. S. — [42] τὸ B. — [43] εἰς τὸ μετέπειτα S. — [44] ἐν. τ. θ. om. S. — [45] (οἰκτ. - χρ.) ὁ φιλ. δ. οἰκτ. B, om. S. — [46] ἰαθήσεται S. — [47] om. OS, αὐτήν BCR. — [48] ἀνακρίναντι δὲ τῷ πατρὶ B. — [49] τὸ θ. τοῦ πατρ. S. — [50] ἡ π. om. B. — [51] ὑπέσχετο B. — [52] πράττειν B. — [53] τοιαῦτα B, τὰ αὐτά S. — [54] καὶ B. — [55] ἐπευξάμενος S. — [56] αὐτὴν S. — [57] corr. M, ὥπερ W, ὥ B. — [58] (κ. ἐ.) δοξάζουσα B. — [59] σὺν τῷ δεινῷ δαίμ. S. — [60] ἀγωνίας R. — [61] ἐπιμελήθη S.

39. — [1] ιθ′ WO, κθ′ M. — [2] τ. φ. om. V. — [3] (κ. π. δ.) πανταχοῦ διαθεούσης S. — [4] δαί. σκλ. O. — [5] ἔχ. δαί. M. — [6] om. B. — [7] ἀγ. αὐ. O. — [8] αὐτὸν H. — [9] πεινήσαντι WS. — [10] αὐτοῦ S. — [11] sequitur dimidia linea erasa in H.

συνεχώρησεν αὐτῷ [12] *γεύσασθαι αὐτοῦ* [13], *ἀλλ' οὔτε* [14] *ἅψασθαι* [15]. *Ἑτέρων δὲ* [16] *παρακειμένων ἄρτων* [17] *ἐπιλαβόμενος* [18] *ἐπλήρωσε τὴν χρείαν* [19]. *Αὖθις οὖν λαβὼν ὁ πατὴρ αὐτοῦ* [20] *τὸν ἄρτον τοῦτον* [21] *καὶ κλάσας κατὰ λεπτόν* [22], *σὺν βραχυτάτοις* [23] *τυροῦ μέρεσι μέσον φοινίκων τὰ κλάσματα ἐνέβαλε* [24] *καὶ ταῦτα μόνα* [25] *παρέθηκεν αὐτῷ, ὅπως ἀγνοήσας τὸ δρᾶμα λάβῃ* [26] *τῆς εὐλογίας* [27]. *Αὐτὸς δὲ πάλιν* [28] *ταῦτα ἀνοίγων* [29], *τά τε κλάσματα* [30] *ἔρριπτεν εἰς γῆν* [31] *καὶ τοὺς φοίνικας ἀηδισθεὶς* [32] *κατέλιπε, μηδενὸς τὸ σύνολον βουληθεὶς* [33] *ἀπογεύσασθαι* [34]. *Καταλιπὼν οὖν ἄσιτον αὐτὸν* [35] *ἐπὶ πλείστας ἡμέρας* [36] *ὁ πατὴρ αὐτοῦ* [37] *οὐδενὸς ἑτέρου* [38] *ἢ τούτων* [39] *μόνον* [40] *αὐτῷ* [41] *τὴν ἄδειαν* [42] *ἔδωκεν* [43]. *Ὁ δὲ συσχεθεὶς* [44] *τῇ πείνῃ μετέλαβεν ἀπ'* [45] *αὐτῶν* [46] · *καὶ εὐθέως* [47] *ἀναπαυσάμενος ὕπνωσε · καὶ τὸ πνεῦμα τὸ πονηρὸν* [48] *ἀπέστη ἀπ'* [49] *αὐτοῦ.*

Τότε παραλαβὼν ὁ πατὴρ τὸν θεραπευθέντα παῖδα [50], *αὖθις* [51] *παρ-*
Ps. 13, 4; *εγένετο σὺν αὐτῷ πρὸς τὸν ἅγιον* [52] *αἰνῶν τὸν Θεὸν τὸν ποιοῦντα*
Iob 9, 10. *θαυμάσια μεγάλα διὰ τῶν ἁγίων αὐτοῦ, ἔνδοξά τε καὶ ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός.*

Φ 45. *Καὶ ἄλλα δὲ πάμπολλα* [53] *ἰάματα* [54] *δι' αὐτοῦ γινόμενα τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος ὁρῶν ὁ μακάριος* [55] *οὐκ ἐπήρετο* [56] *τῇ καρδίᾳ · εἶχε γὰρ παρὰ Κυρίου καὶ* [57] *ταύτην τὴν χάριν · ἀλλ' ἔμενεν ὁ αὐτὸς σύννους* [58] *ὑπάρχων καὶ σκυθρωπὸς* [59] *ἀεί. Εἰ δέ ποτε καὶ προσευξάμενος μὴ ἔτυχε τοῦ αἰτήματος, οὐκ ἐξενίζετο · ἀλλὰ*

[12] *αὐτὸν* HOS.— [13] *ἀπ' αὐτοῦ* CMORS, *om.* W. — [14] (*ἀ. ο.*) *ο. μὴν* B. — [15] *ἀλλ' οὔτε ἅ. om.* W.— [16] *πολλῶν add.* VBC.— [17] *π. ἄ. om.* V.— [18] *in ras.* O, *λαβὼν ἐξ αὐτῶν* S. — [19] *γαστέρα αὐτοῦ* O. — [20] *om.* B. — [21] *om.* B. — [22] *εἰς λεπτὰ* B, *κατὰ μικρὸν* R. — [23] *βραχυτάτου* OS, *βραχεντάτοις* R. — [24] *ἐνέβαλλεν* V. — [25] *om.* S. — [26] *μετάσχῃ* B, *τι add.* O. — [27] *τὴν εὐλογίαν* S. — [28] *om.* BS. — [29] *διαμερίζων* B. — [30] *κλάσμα* H. — [31] *εἰς τὴν γῆν* H, *ἐν τῇ γῇ* R.— [32] *ἀηδιζόμενος* O ; *ἀπογεύσασθαι add.*BC. — [33] *βουλόμενος* O.— [34] *ἅψασθαι* B, *ἀποδεύσασθαι* R.— [35] *om.*WOMHR. — [36] (*αὐ. ἐπὶ π. ἡ.*) *ἐπὶ π. ἡ. αὐ.* BC. — [37] VC ; *τὸν υἱὸν* O ; *om. ceteri.*— [38] *μετέδωκεν αὐτῷ add.* O. — [39] *τοῦτον* VR, *τοῦτο* WOM, *τούτου* HS.— [40] *om.* BC, *μόνου* S.— [41] *om.* BCS.— [42] (*αὐ. τ. ἄδ.*) *τ. ἄδ. αὐ.* O. — [43] *παρέσχεν* O. — [44] (*ὁ δὲ σ.*) *σ. οὖν* S. — [45] *om.* B. — [46] *αὐτοῦ* H. — [47] *εὐθὺς* BCHMRS. — [48] *καὶ τὸ πον. πν.* S. — [49] *ἐξ* S. — [50] (*ὁ π. τὸν θ. π.*) *αὐτὸν ὁ πατ. ἰαθέντα* B. — [51] *om.* S.— [52] *πρ. τ. ἅ. om.* VC ; (*σὺν αὐ. πρ. τ. ἅ.*) *πρ. τ. ἅ. σ. αὐ.* O. — [53] *πολλὰ* R. — [54] (*καὶ - ἰάμ.*) *ὁ δὲ μακάριος καὶ ἄλλα πλεῖστα ἰάμ. ὁρῶν* B. — [55] *ὁρ. ὁ μ. om.* B. — [56] *ἐπαίρετο* VCHR, *ante corr.* M ; *οὐχ ὑψοῦτο* S. — [57] *om.* B. — [58] *σύνους* BSW. — [59] (*ὑπ. κ. σκ.*) *κ. σκ. ὑπ.* H.

τὴν θείαν ἐκείνην καὶ μεγάλην ἣν ἐδιδάχθη διὰ παντὸς ἐπὶ στόματος ἔφερεν εὐχήν · « Γενηθήτω [60], *λέγων, πάτερ, τὸ σὸν θέλημα. »* Matth.6,10.

40 [1]. *Θεόδωρος* [2] *δέ, περὶ οὗ ἔμπροσθεν εἴρηται, νεώτερος ὑπάρχων, ἐνεδυναμοῦτο τῷ πνεύματι, μιμούμενος ἐν ἅπασι τὸν ὁδηγοῦντα αὐτὸν* [3] *πατέρα ἄμεμπτον* [4] *ὄντα · καὶ προέκοπτε ταῖς ἀρεταῖς, ὑποτασσόμενος τῷ μεγάλῳ καὶ εἴκων ἐν ἅπασιν αὐτῷ διὰ τὸν Θεὸν ὡς αὐτῷ τῷ Κυρίῳ. Ἐπειδὴ δὲ εἴωθεν* [5] *ὡς τὰ* [6] *πολλὰ ἡ ψυχὴ* [7] *τοῖς ἐναντίοις πρὸς μακροθυμίαν ἀλείφεσθαι, ἐδοκίμαζε πολλάκις αὐτὸν ἐν τοῖς ἐπιταττομένοις αὐτῷ παρ' αὐτοῦ* [8], *κελεύων* [9] *μὲν αὐτῷ* [10] *τινα τῶν ἔργων ποιεῖν · εἶθ' οὕτως πάλιν ἐφιστάμενος καὶ ψέγων* [11] *ἐφ' οἷς αὐτὸς μετὰ πολλῆς* [12] *προθυμίας εἰργάζετο* [13], *εἰς ἕτερον πάλιν* [14] *μεθίστα* [15], *οὐ καλῶς φάσκων τὸ πρότερον παρ' αὐτοῦ γεγενῆσθαι · καὶ τὸν τῆς* [16] *αὐταρεσκείας αὐτῷ λογισμὸν* [17] *πολεμεῖν συνεχῶς ἐπεφώνει* [18]. *Αὐτὸς δὲ τὴν πατρικὴν* [19] *ἐπίπληξιν συνετῶς δεχόμενος, ἀτάραχος ἔμενεν, μηδὲν ὅλως ἀντιλέγειν τολμῶν ἢ δικαιολογεῖσθαι πρὸς αὐτόν. Ἑτέροις* [20] *δὲ πληροφορῶν ἑαυτὸν* [21] *ῥήμασιν* [22] *ἔλεγεν · « Ἄριστός ἐστι τεχνίτης καὶ δοῦλος δόκιμος τοῦ Χριστοῦ. Πολλὰ* [23] *δὲ παρὰ* [24] *τοῖς ἀπείροις* [25] *ἑτέρως φερόμενα* [26] *ἑτέραν* [27] *παρὰ τῶν ἐπιστημόνων δέχεται τὴν διόρθωσιν. Ἐγὼ τοίνυν ὁ ἁμαρτωλὸς πενθεῖν ἑαυτὸν* [28] *ὀφείλω, ἕως ἂν ὁ Κύριος κατευθύνῃ μου τὴν καρδίαν* [29] *πρὸς* Cf. II Thess. *τὸ ἀγαθὸν καὶ ἄξιος γένωμαι τῆς τῶν ἁγίων πατέρων ὑπακοῆς.* 3, 5. *Ἄνευ γὰρ τῆς τοῦ Κυρίου* [30] *βοηθείας τὰ ἔργα τοῦ ἀνθρώπου* [31] *καὶ ἡ ἐφ' ἑαυτῷ* [32] *μάλιστα πεποίθησις* [33] *σποδός ἐστι καὶ τέφρα. »*

41 [1]. *Ποτὲ γοῦν τῶν ἀδελφῶν ἔν τινι* [2] *νήσῳ θρύα θερίσαι πορευθέντων καὶ τοῦ Θεοδώρου τὰ πρὸς τὴν* [3] *ἑστίασιν αὐτοῖς ἑτοιμά-* *Φ 50.* *Φ 51.*

[60] *δὴ add.* S.

40. — [1] *κ'* WO. — [2] *ὁ θεόδ.* O. — [3] *om.* B. — [4] *τε add.* S. — [5] *οἶδεν ὁ μακάριος* B. — [6] *in marg. al. man.* C. — [7] S, *omisso ἡ* ; *τὴν ψυχὴν* B, *τῇ ψυχῇ ceteri.*— [8] *αὐ. π. αὐ. om.* B.— [9] *corr., prius κελεύω* V.— [10] *παρ' αὐτοῦ add. dein del.* V. — [11] *λέγων* S. — [12] *τῆς add.* B. — [13] *καὶ add.* B. — [14] *om.* BH. — [15] *μεθιστάς* B. — [16] *om.* WO. — [17] (*αὐ. λογ.*) *αὐτὸν* S. — [18] *ἐπιφωνῶν* B, *ἐπεφάνη* V. — [19] *πνευματικὴν* S. — [20] *ἑτέρως* S. — [21] *αὐτὸν* B ; (*πλ. ἑ.*) *ἑ. πλ.* S. — [22] *ῥήματα* H. — [23] *πολλῶ* V. — [24] *om.* WO. — [25] *ἀπίστοις* S.— [26] *φαινόμενα* S.— [27] B ; *ἑτέρως* HS, *ἑτέρα* WM, *ἕτερα* VCOR. — [28] *om.* O ; *ἐμαυτὸν* BC. — [29] *διάνοιαν* R. — [30] *θεοῦ* H. — [31] *τὰ ἔ. τοῦ ἀ. om.* S. — [32] *ἑαυτοῦ* HR ; (*ἡ ἐφ' ἑ.*) *τῆς ἐπ' αὐτῷ* S. — [33] *πεποιθήσεως* S.

41. — [1] *κα'* WO, *λα'* M. — [2] *τῇ* CR ; *τῇ παρακειμένῃ* B. — [3] *om.* M.

ζοντος, μιᾶς [4] τῶν ἡμερῶν παρεγένετο ἐκ τοῦ ἔργου ὁ πατήρ (ἦν γὰρ σὺν αὐτοῖς) νόσῳ σωματικῇ [5] συσχεθείς [6]. Ῥιγῶντι [6*] δὲ αὐτῷ ἐπέβαλεν ὁ Θεόδωρος στρῶμα τρίχινον. Ὁ δὲ σφόδρα ἐπὶ τῷ γεγονότι ἀνιαθείς· « Ἆρον τοῦτο, ἔφη [7], ἀπ' ἐμοῦ καὶ βῖψον ἐπάνω μου ψίαθον [8] κατὰ τὸ εἰωθὸς τοῖς ἀδελφοῖς. » Τούτου δὲ γενομένου, πάλιν ὥσπερ ἐπιλαθόμενος τῆς ἀκριβείας τοῦ γέροντος, δράκα φοινίκων λαβὼν ἐπεδίδου αὐτῷ καὶ παρεκάλει μεταλαβεῖν. Ὁ δὲ θεασάμενος μετὰ δακρύων λέγει αὐτῷ· « Ἆρα, ἀδελφέ, ἐπειδὴ ἡμεῖς ἐπ' ἐξουσίας [9] ἔχομεν τοὺς τῶν ἀδελφῶν καμάτους καὶ τὰς χρείας αὐτῶν οἰκονομοῦμεν [10], διὰ τοῦτο ὀφείλομεν ἁπλῶς καὶ ὡς ἔτυχεν ἑαυτοὺς ἀδιαφορίαις [11] ἐκδιδόναι, ἢ παρὰ τὴν χρείαν ἢ παρὰ τὸν καιρὸν [12] ἢ παρὰ τὸ εἰωθός [13] τι [14] διαπράττεσθαι; Ποῦ οὖν ὁ φόβος τοῦ Θεοῦ; Εἰπὲ γάρ μοι, ἀδελφέ, διῆλθες πάσας τὰς καλύβας καὶ ἐπείσθης μὴ εἶναι ἐν αὐταῖς [15] τινας αὐτῶν [16] ἀσθενεῖς; Μὴ πλανῶ, Θεόδωρε· καὶ γὰρ [17] ἐπὶ μεγάλῳ καὶ ἐν [18] μικρῷ παρανομεῖν τὸ [19] ἴσον ἐστίν. Ἐκείνων τοίνυν τὰς θλίψεις ἀσμένως σὺν Θεῷ [20] ὑπομενόντων, πῶς ἡμεῖς οὐχ ὑποίσομεν; »

Cf. IV Macc. 5, 20.

Φ 52. **42** [1]. Κατὰ δὲ [2] τὴν δοθεῖσαν αὐτῷ χάριν ἐδοκίμαζε τὰς νόσους εἴ τινες [3] εἶεν· ἤδει γὰρ σαφῶς τοὺς δαίμονας διὰ πάσης ἐπινοίας ἐμποδίζειν τοῖς πιστοῖς πειρωμένους. Ἀμέλει γοῦν ποτε κατέλαβεν αὐτὸν ἐν τῇ μονῇ [4] σφοδρότατος πυρετός· καὶ ἦν ἄσιτος ἐπὶ πέντε ἡμέρας. Συνεὶς δὲ [5] τέχνην εἶναι ταύτην [6] τοῦ πονηροῦ τοῦ ἀεὶ βουλομένου τοῖς ἁγίοις [7] ἐμποδίζειν [8], οὐ διέλειπεν εἰς τὰς [9] εὐχὰς ἐγειρόμενος, ἀλλὰ θερμῶς πρὸς ὃν ἐπόθει Θεὸν τὰς ἱκεσίας ἐποιεῖτο [10]· καὶ παραχρῆμα κουφισθεὶς τῆς νόσου [11] εἰς τὴν τῶν ὑγιαινόντων ἀδελφῶν ἐκαθέσθη τράπεζαν, εὐχαριστῶν τῷ Κυρίῳ τῷ [12] τὴν διάκρισιν αὐτῷ τῶν κρειττόνων χαρισαμένῳ. Τοιοῦτος

[4] μιᾶ MS. — [5] τινι B ; (ν. σ.) σ. ν. S. — [6] περισχεθείς O. — [6*] ῥιγοῦντι B, ῥηγιῶντι S. — [7] (τ. ἔ.) ἔ. τ. S. — [8] ψιάθιον BCS. — [9] ἐξουσίαν R. — [10] corr. V ; καὶ τὰ τῆς χρ. αὐτοῖς οἰκ. B. — [11] ἀδιαφόροις H ; (ἑ. ἀδ.) ἀδ. ἑ. BC. — [12] (ἢ παρὰ τὴν χρ. ἢ π. τ. κ.) in marg. M, ἢ π. τ. καιρ. ἢ π. τ. χρ. O. — [13] ἤθος R. — [14] corr., prius τὸ H. — [15] αὐτοῖς R. — [16] om. BS. — [17] καὶ add. WOMH. — [18] ἐπὶ BCRS ; om. WOMH. — [19] om. B. — [20] (ἀ. σ. θ.) σ. θ. ἀ. S.

42. — [1] κβ' WO, λβ' M. — [2] γὰρ B. — [3] αἴτινες B, οἵτινες S. — [4] διάγοντα add. B. — [5] τὴν add. CH. — [6] om. S ; (τέχ. εἶ. ταύ.) ταύ. τέχ. εἶ. BO, τέχ. ταύ. εἶ. CHWM. Omissis sequentibus cod. H statim transit ad extremum cap. 58. — [7] τοὺς ἁγίους S. — [8] προσίστασθαι B. — [9] om. B. — [10] ποιούμενος S. — [11] τῆς ν. κουφ. BC. — [12] om. B.

δὲ ὑπάρχων, οὐδ' ὅλως ἠμέλει τῶν ἀσθενῶν· ἀλλ' ἦν ἀγαθὸς καὶ συμπαθὴς εἰς τοὺς ἀδελφοὺς εἰ καί τις ἄλλος [13].

Φ 54. **43** [1]. Θεασάμενος οὖν [2] πάλιν τῇ τοῦ Θεοῦ προνοίᾳ πλείους γινομένους [3] τοὺς ἀδελφοὺς καὶ τὴν μονὴν στενοχωρουμένην, μετήγαγέ τινας αὐτῶν εἰς ἑτέραν κώμην λεγομένην Πίβου [4]. Καὶ δειμάμενος κἀκεῖσε [5] μοναστήριον ἔταξεν οἰκονόμον καὶ [6] ἐν αὐτῷ ἐπὶ τῷ οἰκονομεῖν τοῖς ἀδελφοῖς [7] τὰ δέοντα. Γράψας δὲ [8] αὐτοῖς [9] κανόνας [10] καὶ δοὺς ἀρραβῶνα τὴν εὐχὴν καὶ τὰς ἐπὶ πλεῖστον πνευματικὰς νουθεσίας, παρεγγυήσας τε [11] αὐτοῖς ἀκριβῶς [12] πρὸς τὸ μή τινα αὐτῶν τὸ σύνολον ἢ λόγῳ ἢ ἔργῳ [13] βλάψαι τὸν [14] πλησίον, ἀλλ' ἕκαστον τῷ τῆς ἀσκήσεως ὅρῳ στοιχῆσαι, διότι καὶ παρὰ [15] Θεῷ καὶ [16] ἀνθρώποις τιμία ἡ εὐταξία, ἐφρόντιζεν [17] ὁ γέρων ἐπισκεπτόμενος διηνεκῶς ἡμέρας τε καὶ νυκτὸς τὰς δύο ταύτας μονάς [18], ὡς δοῦλος τοῦ ἀρχιποίμενος Χριστοῦ τοῦ δεσπότου καὶ σωτῆρος τῶν ἡμετέρων ψυχῶν.

Πληθυνθέντων [19] δὲ πάλιν [20] ἐν τῷ δευτέρῳ μοναστηρίῳ ἀδελφῶν [21], μετὰ χρόνον τινὰ ἦκέ τις πρὸς αὐτὸν [22] πρεσβύτης ἀσκητικώτατος ὀνόματι Ἐπώνυχος [23], ἡγούμενος καὶ αὐτὸς [24] ἑτέρου μοναστηρίου ἀρχαιοτάτων καὶ τελείων [25] ἀδελφῶν. Οὗτος ἠξίου τὸν μέγαν ὅπως αὐτὸν προσλαβόμενος οἰκειώσηται καὶ αὐτὸν καὶ τὴν αὐτοῦ μονὴν λεγομένην [26] Χηνοβοσκεῖα [27], δέξηται δὲ καὶ τοὺς αὐτοῦ [28] ἀδελφοὺς καὶ συνάψῃ τῇ ἰδίᾳ [29] μονῇ. Ὁ δὲ εἴξας αὐτῷ ἤγαγε κἀκεῖ ἀδελφοὺς ἐκ τῆς ἰδίας μονῆς· καὶ εὐξάμενος αὐτοῖς παρέδωκεν αὐτοὺς [30] τῷ Θεῷ, παρεγγυήσας τοῖς ἐκεῖσε [31] προϋπάρχουσιν ἀδελφοῖς ὥστε [32] τοῖς αὐτοῦ κανόσι κατὰ πάντα στοιχῆσαι [33]. Παρασχόμενος δὲ [34] αὐτοῖς κατὰ τὸ

[13] εἰ καί τ. ἄ. om. R.

43. — [1] κγ' WO, λγ' M. — [2] δὲ S. — [3] γενομένους S. — [4] πιβοῦ WOMS ; cf. Φ 54 : πρόου (i. e. πβόου) F, παβαῦ A, παβῶ P. — [5] κἀκεῖ B. — [6] om. B. — [7] τοὺς ἀδελφοὺς S. — [8] om. B. — [9] καὶ add. B. — [10] τῆς πολιτείας add. B. — [11] om. S. — [12] om. B. — [13] ἢ ἔ. ἢ λόγ. B. — [14] τὸ W. — [15] τῷ add. C. — [16] παρὰ add. OS. — [17] οὖν add. BCS. — [18] (διην. - μον.) τὰς δύο τ. μον. ἡμ. τε καὶ ν. διην. S. — [19] κδ' praem. WO, λδ' M. — [20] τῶν add. CS ; (πληθ. δὲ π.) οὕτω τούτων ἐχόντων καὶ τῶν B. — [21] εἰς πλῆθός τε καὶ ἀσκήσεως ἐπίδοσιν προϊόντων add. B. — [22] τὸν ἅγιον B ; (τις πρ. αὐ.) πρ. αὐ. τις WOM. — [23] ἐπόνυχος VR, ὀπόνυχος S. — [24] ὑπάρχων add. BC. — [25] τελειοτάτων BC. — [26] καλουμένην BC. — [27] χηνοβόσκια M ; χινοβοσκίαν S, corr. C. — [28] om. C. ἐν αὐτῇ B. — [29] οἰκεία B. — [30] corr., prius αὐτοῖς C ; παρ. αὐ. om. V. — [31] ἐκεῖ B. — [32] om. B. — [33] στοιχεῖν B, χοιχῆσαι S. — [34] καὶ B.

εἰωθὸς αὐτῷ τύπους καὶ διαταξάμενος αὐτοῖς κατὰ τοὺς κανόνας τοῦ πρώτου μοναστηρίου διάγειν, αὐτὸς [35] ἦν [35] εὐχαριστῶν τῷ Κυρίῳ ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀδελφῶν.

Κατὰ [36] τοῦτον τὸν τρόπον πάλιν [35] ἀξιωθεὶς [37] ὑπὸ τῶν [38] ἐν Μουχωνσῇ [39] τῇ μονῇ διαγόντων ἀδελφῶν, ὥστε καὶ [40] τὴν τούτων μετὰ Θεὸν [41] ἀναδέξασθαι φροντίδα, εἶξεν ὁ πατήρ· καὶ κατὰ τοὺς προτέρους θεσμοὺς διαταξάμενος καὶ τούτοις [42] καὶ συγκατάξας [43] αὐτοὺς [44] τοῖς ἰδίοις ἀδελφοῖς, παρέθετο καὶ [35] τούτους [35] τῷ Κυρίῳ, τῷ θαυμάσια ποιοῦντι [45] καὶ τοὺς θέλοντας [46] σῴζεσθαι ἐγχειρίζοντι [47] τοῖς ἁγίοις αὐτοῦ [48].

Act. 14, 23.
Ps. 76, 14.

Λ 28.

44 [1]. Ἐν ταύτῃ τῇ μονῇ ἦν τις [2] ἀρχαῖος καὶ ἅγιος, λίαν ἀγαπῶν τὸν Κύριον, ὀνόματι Ἰωνᾶς, τελειότατος ἀσκητής· οὗ καὶ τὴν πολιτείαν πρὸς ὠφέλειαν πολλῶν σὺν Θεῷ [3] διηγήσομαι [4]. Τοῦ γὰρ μεγάλου [5] μετὰ πολλῆς τῆς [6] σπουδῆς καθ' ἑκάστην μονὴν τυπώσαντος [7] ἀδελφοὺς δυνατοὺς [8] τῷ πνεύματι εἰς κυβέρνησιν τῶν λοιπῶν, καὶ [9] αὐτοῦ [9] ἐκ διαλειμμάτων [10] τὰς μονὰς ἐπισκεπτομένου, παραβάλλοντός τε κακεῖσε, ἐν τῷ εἰσέρχεσθαι αὐτὸν ἐν τῇ μονῇ ἵστατο συκῆ λίαν ὑψηλή [11], ἐν ᾗ τινα τῶν παιδίων εἰώθει λάθρα ἀνιόντα λαμβάνειν ἐξ αὐτῆς καὶ ἐσθίειν. Θεασάμενος δὲ ὁ μέγας καὶ ἐγγίσας αὐτῇ [12] ὁρᾷ τι [9] πνεῦμα ἀκάθαρτον καθήμενον ἐπ' αὐτῆς [13]. Γνοὺς δὲ τοῦτον εἶναι τὸν τῆς γαστριμαργίας δαίμονα καὶ πληροφορηθεὶς αὐτὸν εἶναι [14] τὸν τοὺς νέους μάλιστα ἀπατῶντα, καλεῖ τὸν προλεχθέντα [15] ἀδελφὸν κηπουρὸν [16] ὄντα τῆς μονῆς [17] καὶ λέγει αὐτῷ· « Ἔκκοψον, ἀδελφέ, ταύτην τὴν συκῆν·

[35] *om.* B. — [36] *λε' praem.* M. — [37] *δυσωπηθεὶς* B. — [38] *corr., prius τοῦ* C. — [39] *μουχονσὶ* S, *μουχωσῇ* BC, *μουχώση* O, *μουχῶν* M. — [40] *corr.* (*prius κατὰ ?*) B. — [41] *μετὰ τὸν θ.* VS, *κατὰ θ.* WO ; *τὴν τούτ. μ. θ. om.* S. — [42] *αὐτοῖς* B. — [43] *συνκατατάξας* V, *συνκατάξας* S, *συντάξας* BC. — [44] *om.* S. — [45] (*θ. π.*) *πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντι* B. — [46] *θέλοντα* V, *ante corr.* C. — [47] *ἐγχειρίζοντα* S. — [48] (*καὶ τοὺς θέλ.-αὐ.*) *om.* B. *Hic des. cod.* R.

44. — [1] *Lemma : κε', περὶ Ἰωνᾶ κηπουροῦ* (*κηπωροῦ* O) WO ; *περὶ τοῦ ἁγίου γέροντος Ἰωνᾶ* M. — [2] *ἀνὴρ add.* B. — [3] (*σὺν θ.*) *τῷ θεῷ* V, *om.* B. — [4] *ἐν τῷ παρόντι συντάξασθαι ἐπείγομαι* B, *καὶ ὠφέλιμον ἐντάξαι ἐπείγομαι* C. — [5] *ὁ γὰρ μέγας* B. — [6] *ὅτι* B. — [7] *τυπῶν καὶ ἀνατιθεὶς* B. — [8] *δυναμένους* O. — [9] *om.* B. — [10] *διαλείμματος* S. — [11] *ἐκ διαλειμμ. δὲ καὶ αὐτὸς ταύτας ἐπισκεπτόμενος παραβάλλων αὐταῖς μιᾶς τῶν ἡμερῶν ἐν τῇ μονῇ ταύτῃ εἰσιὼν ὁρᾷ παρὰ τῇ εἰσόδῳ συκῆν λίαν ὑψηλήν* B. — [12] (*θεασάμ. - αὐ.*) *ἐγγίσας δὲ ταύτῃ* B. — [13] *αὐτῇ* S. — [14] (*καὶ πληρ. - εἶναι*) *om.* B. — [15] *εἰρημένον* B. — [16] *κηπωρὸν* BO. — [17] *τοῦ μοναστηρίου* S.

ἀπρεπὲς γάρ ἐστιν ἑστάναι αὐτὴν ἐν μέσῳ [18] τῆς μονῆς, διὰ τὸ σκάνδαλον αὐτὴν [19] ὑπάρχειν [20] τοῖς μὴ τὴν γνῶσιν ἐρηρεισμένοις. » Ὁ δὲ ἀκούσας ἐλυπήθη σφόδρα καί φησι [21] πρὸς τὸν μέγαν· « Μηδαμῶς, ὦ πάτερ· ὅτι πλῆθος καρποῦ εἰώθαμεν ἐκ ταύτης δέχεσθαι.» Ἰδὼν δὲ αὐτὸν λυπηθέντα καὶ ἐπιστάμενος αὐτοῦ τὸν βίον [22] θαυμαστὸν καὶ ὠφέλιμον, ἀναγκάσαι μὲν [23] ἐπὶ πλεῖον [24] οὐκ ἠβουλήθη [25] πρὸς τὸ μὴ περισσοτέρως λυπηθῆναι [26] αὐτόν [27]. Τῇ δὲ ἑξῆς οὕτως ὤφθη ξηρὸν τὸ δένδρον [28], ὡς μήτε φύλλον εὐθαλὲς μήτε καρπὸν τὸ σύνολον εὑρεθῆναι ἐν αὐτῷ [29]. Θεασάμενος οὖν [30] ὁ μακάριος Ἰωνᾶς [31] τὸ γεγονός, μειζόνως ἠνιάθη ἐπὶ τῇ παρακοῇ, ὅτι, εἰπόντος τοῦ ἁγίου [32], παραχρῆμα ταύτην καὶ μετὰ πάσης προθυμίας οὐκ ἔκοψεν [33].

Λ 31.

Cf. Mc. 11, 20.

45. Οὗτος ὀγδοηκοστὸν [1] πέμπτον ἔτος ποιήσας [2] ἐν τῇ μονῇ καὶ πάνυ σεμνὸν βίον ἀσκήσας, μόνος τε ἔχων πᾶσαν τὴν φροντίδα τοῦ κήπου [3] καὶ αὐτὸς τὰ κάρπιμα δένδρα φυτεύσας [4], οὐδέποτε ἕως τῆς αὐτοῦ [5] τελευτῆς [6] ἐγεύσατο ὀπώρας τὸ καθόλου, πάντων τῶν ἀδελφῶν καὶ τῶν ξένων καὶ τῶν πέριξ οἰκούντων εἰς πλησμονὴν ἐσθιόντων τὰς ὀπώρας [7]. Τὸ δὲ ἔνδυμα [8] αὐτοῦ τοιοῦτον ἦν· τρεῖς [9] μηλωτὰς συνάψας [10] ταύταις μόναις εἰς πᾶσαν περιβολὴν τοῦ σώματος ἠρκεῖτο [11], μηδέποτε περιβαλλόμενος [12] ἕτερόν τι χειμῶνος ἢ θέρους. Ἕνα δὲ λεβίτωνα [13] εἶχεν, ὃν ἐνεδιδύσκετο [14] κατὰ τὸν καιρὸν τῶν θείων καὶ ἀχράντων τοῦ σώματος τοῦ Κυρίου [15] ἡμῶν Ἰησοῦ [16] Χριστοῦ [17] μυστηρίων [18]· καὶ εὐθέως μετὰ τὴν μετάληψιν ἀπεδύετο αὐτὸν καὶ ἀπετίθετο, καθαρὸν αὐτὸν [19] διατηρήσας ἐπὶ ὀγδοηκονταπέντε ἔτη. Τί ποτε [20] δέ ἐστιν ἀνάπαυσις σώματος [21] οὐδὲ [22] ἠπίστατο τῷ [23] ἑκουσίως αὐτὸν [24] καὶ μετὰ προθυμίας πολλῆς [25] ἐργάζεσθαι πάντοτε. Ἀλλ' οὔτε ἐψητοῦ τινος μετελάμβανεν,

Λ 29.

[18] *ἐν τῷ μέσῳ* BC, *ἐμμέσῳ* V. — [19] *om.* B. — [20] *εἶναι* B. — [21] *λέγει* S. — [22] (*αὐ. τ. β.*) *τ. β. αὐ.* O. — [23] *αὐτὸν add.* M. — [24] *πλέον* O. — [25] *ἐβουλήθη* W. — [26] *λυπῆσαι* O. — [27] (*ἰδὼν - αὐ.*) *om.* B. — [28] (*ξ. τὸ δ.*) *τὸ δ. ξ.* S. — [29] *αὐτῇ* S. — [30] *δὲ* B. — [31] *corr.* (*prius ἰωάννης ?*) S. — [32] *οὐ add.* B. — [33] (*οὐκ ἔ.*) *ἐξέκοψεν* B.

45. — [1] *καὶ add.* B. — [2] *διανύσας* B. — [3] *ἔχων τὴν τοῦ κήπ. πᾶσαν φρ. καὶ ἐπιμέλειαν* B. — [4] *ἐν αὐτῷ add.* B. — [5] *om.* V. — [6] (*αὐ. τελ.*) *τελ. αὐ.* CMOS. — [7] *τ. ὀ. om.* S ; (*ἐσθ. τ. ὀ.*) *τ. ὀ. ἐ.* B. — [8] *τὰ δὲ ἐνδύματα* W. — [9] *γὰρ add.* B. — [10] *συν. μηλ.* B. — [11] *ἠρκ. τοῦ σώμ.* WOMS. — [12] *περιβαλόμενος* VS. — [13] *λεβητῶνα* VW, *λευίτωνα* S. — [14] *om.* B. — [15] (*σ. τ. κ.*) VC, *σωτῆρος* WOMS. — [16] *om.* WOM. — [17] (*τοῦ σ. - χρ.*) *om.* B. — [18] *ἐνεδιδύσκετο add.* B. — [19] *om.* WO. — [20] *om.* S. — [21] *om.* BC. — [22] *οὐκ* S. — [23] *διὰ τὸ* M. — [24] *om.* B. — [25] *πολλ. προθ.* B.

ἀλλὰ πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ [26] ὠμὰ λεπτολάχανα [27] ἤσθιε μετὰ ὄξους. Διεβεβαιοῦντο δέ τινες τῶν ἀδελφῶν ὅτι οὐδὲ τὸν οἶκον τοῦ νοσοκομείου [28] οἷος [29] ἦν ἔγνω ποτέ [30]. Πρὸς τούτοις δὲ [31] ἅπασιν ἐπὶ νῶτον ἄχρι τῆς τελευτῆς αὐτοῦ [32] οὐδέποτε ἀνεκλίθη· ἀλλ' ἡμέρας μὲν [33] τὸν κ[illegible]πον εἰργάζετο, περὶ δὲ τὴν [34] δύσιν τοῦ ἡλίου [34*] μεταλαβὼν τῆς [35] τροφῆς εἰσῄει εἰς τὸ κελλίον αὐτοῦ [36], καὶ καθήμενος ἐπὶ δίφρου ἐν τῷ μέσῳ τῆς κέλλης αὐτοῦ [37] ἔπλεκε σχοινία ἕως τῆς συνάξεως τῆς νυκτερινῆς· καὶ οὕτωσὶ [38] συνέβη αὐτὸν [39] ὀλίγον μετασχεῖν τοῦ [40] ὕπνου [41] διὰ τὴν φυσικὴν τοῦ σώματος ἀνάγκην, καθήμενον καὶ μετὰ χεῖρας ἔχοντα τὰ παρ' αὐτοῦ πλεκόμενα [42] σχοινία· καὶ τοῦτο δὲ ἔπραττεν οὐχ ὑπὸ λύχνον ἢ ἄλλην τινὰ πυρκαιάν, ἀλλ' ἐν αὐτῇ τῇ ἀφεγγεῖ σκοτίᾳ καθήμενος καὶ ἀποστηθίζων τὰς [43] γραφάς. Καὶ ἄλλα δὲ πλεῖστα ἐπαίνων ἄξια ἐποίει ὁ μακάριος γέρων [44] Ἰωνᾶς [45]· ἅπερ γράφειν οὐ τοῦ παρόντος [46] καιροῦ, ἵνα μὴ εἰς μῆκος ἄπειρον τὸν λόγον ἐκτείναντες τοῖς ῥᾳθυμοτέροις τῶν ἀναγινωσκόντων ὄκνον παράσχωμεν [47].

Λ 30. Τοῦτον καινοτέρῳ τρόπῳ κεκοιμῆσθαι ὁ πολὺς ἔχει λόγος· καθήμενος γὰρ [48] ἐπὶ τοῦ δίφρου αὐτοῦ [49] καὶ [50] πλέκων κατὰ τὸ εἰωθὸς τὰ σχοινία [51] οὕτως ἀνεπαύσατο, ὡς καὶ τελευτήσαντος αὐτοῦ [49] τὰ σχοινία ἐν ταῖς χερσὶν αὐτοῦ εὑρεθῆναι. Θαυμαστὸν δὲ ἀληθῶς, ἀδελφοί, καὶ γραφῆς ἄξιον [52] καὶ τὸ περὶ τῆς ταφῆς αὐτοῦ διήγημα· τῶν γὰρ ποδῶν αὐτοῦ μὴ δυνηθέντων ἐκταθῆναι [53] διὰ τὸ ἀποξυλωθῆναι [54] αὐτοὺς ἐν ᾧ ἦν τελευτήσας σχήματι, μηδὲ τῶν χειρῶν αὐτοῦ συσταλῆναι ἢ προσεγγίσαι τῷ λοιπῷ σώματι δυναμένων, οὐδ' αὖ πάλιν τοῦ δερματίνου χιτῶνος ἀπεκδυθῆναι εἰκοντος, ἐντυλίξαντες [55] αὐτὸν ὥσπερ φορτίον ξύλων οὕτως παραδοῦναι τῇ γῇ ἠναγκάσθησαν. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν [56].

[26] τὸν τῆς ζ. αὐ. χρ. B. — [27] λεπτὰ λάχανα WOMB. — [28] τὸν τοῦ νοσ. οἶκ. B. — [29] οἷον W. — [30] ἔγνω ποτὲ οἷος ἦν S. — [31] (τ. δὲ) δὲ τ. M. — [32] αὐ. τελ. B. — [33] παρὰ *add.* B. — [34] *om.* B. — [34*] τὴν ἡλ. δύσ. O. — [35] *om.* BS. — [36] ἑαυτοῦ WO. — [37] *om.* WOMBS. — [38] οὕτως δὴ B, οὕτως εἰ *ceteri.* — [39] αὐτῷ VR. — [40] *om.* O. — [41] συνέβαινεν ὀλ. αὐτὸν τοῦ ὕπ. μετ. B. — [42] παρ' αὐ. πλ. *om.* B. — [43] ἁγίας *add.* WOMBC. — [44] *om.* S. — [45] ὁ μακ. οὗτος ἐποίει B. — [46] ἐστι *add.* S. — [47] (ὅ. π.) φορτικοὶ δόξαιμεν B. — [48] φησιν *add.* B. — [49] *om.* B. — [50] BCS ; *om. ceteri.* — [51] τὰ σχ. πλέκ. κατὰ τὸ εἰ. B. — [52] καὶ γρ. ἄξ. ἀδ. BC. — [53] ἐκτανθῆναι S. — [54] ἀπεσκληκέναι B. — [55] ἐνειλήσαντες B. — [56] ἐπαρξέλθωμεν BCS.

46 [1]. Ἐν ταύτῃ τῇ μονῇ οἰκοδομήσας εὐκτήριον ὁ ἅγιος Παχώμιος, ποιήσας τε [2] στοὰς καὶ στύλους διὰ πλίνθων εὐρύθμως [3], ἐτέρφθη τοῦ ἔργου [4] ἐφ' οὗ [5] καλῶς ᾠκοδόμησε· καὶ λογισάμενος μὴ χρῆναι θαυμάζειν ἔργα χειρῶν καὶ ἐπὶ τῇ ὡραιότητι τῶν οἰκείων οἰκοδομημάτων τέρπεσθαι, νεαροῦ ἔτι τοῦ ἔργου ὑπάρχοντος [6], λαβὼν σχοινία καὶ δήσας τοὺς στύλους ἐκέλευσε τοῖς ἀδελφοῖς σύρειν μετὰ πάσης [7] ἰσχύος, ἕως οὗ κλιθέντες [8] γεγόνασιν ἀπρεπεῖς [9]. Καὶ ὑπολαβὼν ἤρξατο λέγειν· « Μὴ φιλονεικήσητε [10] καὶ ὑμεῖς ἐπὶ τῷ καλλωπίζειν ἐπὶ πολὺ τὸ ἔργον τῶν ὑμετέρων χειρῶν [11], ἀδελφοί· ἀλλ' εὔξασθε μᾶλλον ὅπως χάριτι Χριστοῦ καὶ τῇ δωρεᾷ τοῦ ἁγίου πνεύματος ἄσυλα ὑμῖν μένῃ [12] τὰ [13] ἔργα καὶ ὅπως [14] μὴ διὰ τοῦ πρὸς τὴν τέχνην ἐπαίνου ὀλισθήσας ὁ νοῦς θήραμα γένηται τοῦ διαβόλου· πολλαὶ γὰρ αὐτοῦ αἱ μεθοδεῖαι. »

Cf. Act. 7,41. *Ibid. 10,45.*

Φ 56a. Οὕτως [15] καθ' ἑκάστην μονὴν παραγινόμενος [16] ὠφέλει αὐτοὺς [17] καὶ καθήμενος τὰς ἁγίας αὐτοῖς ἐξηγεῖτο γραφὰς καὶ παρεκάλει πρῶτον μὲν ἀμέμπτους εἶναι, εἰδέναι δὲ καὶ μὴ ἀγνοεῖν τὴν πανουργίαν τῶν ἐχθρῶν, ἀντικεῖσθαι δὲ αὐτοῖς [18] τῇ δυνάμει τοῦ ἁγίου πνεύματος καὶ συνεχῶς λέγειν· « Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν. »

Ps. 59, 14.

Λ 12. **47** [1]. Τῶν οὖν ἀδελφῶν τις ἠρώτα αὐτόν· « Τί δήποτε πρὸ μὲν τῆς ἐπιστασίας τοῦ ἐνοχλοῦντος δαίμονος, σῶον ἔχοντες τὸ τῆς διανοίας φρόνημα, περὶ ἐγκρατείας καὶ ταπεινοφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν φιλοσοφοῦμεν· καιροῦ δὲ καλοῦντος ὥστε ἔργῳ [2] τὰ φιλοσοφούμενα ἐπιδείξασθαι [3], οἷον μακροθυμίαν ἐν καιρῷ τοῦ θυμοῦ, ἀμνησικακίαν ἐν καιρῷ τῆς ὀργῆς, ἀκενόδοξον φρόνημα ἐπαίνου προκειμένου, καὶ ἄλλα τοιαῦτα πολλά [4], οὐκ ἰσχύομεν ; » Πρὸς ὃν ἀνταπεκρίθη φήσας οὕτως ὁ ἅγιος [5]· « Ἐπειδήπερ [6] τελείως τὴν ἀρετὴν [7] οὐ μετερχόμεθα, διὰ τοῦτο πᾶσαν [8] τὴν τῶν

46. — [1] κς′ WO, λς′ M. — [2] *om.* C ; ἐν αὐτῷ *add.* B. — [3] εὐρύθμων S. — [4] τῷ ἔργῳ BO. — [5] ἐφ' ᾧ BOS. — [6] (τοῦ ἔ. ὑ.) ὄντος τ. ἔ. B. — [7] τῆς *add.* WOM. — [8] βληθέντες V. — [9] εὐπρεπεῖς S. — [10] *corr. rec., prius* φονεικήσηται V. — [11] τῶν χειρῶν ὑμῶν S. — [12] μενεῖται S ; (ὑ. μ.) μ. ὑ. O. — [13] τῇ W. — [14] ὅπου C. — [15] λζ′ *praemittit* M. — [16] παραγενόμενος S. — [17] αὐτοῖς VC ; τοὺς ἐν αὐταῖς B. — [18] αὐτοὺς V.

47. — [1] κζ′ WO. — [2] ἔργα VC. — [3] (καιροῦ - ἐπιδ.) ἐπιδ. δὲ ἐν τῷ καιρῷ τῆς τοῦ δαίμονος ἐπιστάσεως ταῦτα (?) S. — [4] πολ. τοι. OW. — [5] φ. ὁ ἅγ. οὕτ. B. — [6] ἐπειδὴ B. — [7] τὴν ἀρ. τελ. WOM. — [8] *om.* S.

δαιμόνων ἕξιν τε καὶ μετεμπλοκὴν [9] οὐκ ἐπιστάμεθα, πρὸς τὸ δύνασθαι ἡμᾶς [10] τὴν τοῦ ἐνοχλοῦντος παρουσίαν ὀξυτέρᾳ τῇ θεωρητικῇ [11] δυνάμει [12] τῆς ψυχῆς ἀποστῆσαι [13] καὶ τὴν περικειμένην [14] σύγχυσιν [15] τῶν τοιούτων λογισμῶν ἀποκρούσασθαι · διὸ [16] ἀνάγκη [17] καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν τῷ θεωρητικῷ μέρει τῆς ψυχῆς καθάπερ ἔλαιον ἐπιχέειν [18] τὸν πρὸς Θεὸν [19] φόβον, ὅστις [20] πρακτικῆς [21] ὢν ποιητικὸς [22] καὶ λύχνος πρὸς τὴν θεωρίαν τῶν ὑποβαλλομένων ἡμῖν τυγχάνων, ἄσειστον μὲν τὸν νοῦν ἡμῶν ἀπεργάζεται, πρὸς δὲ ὀργὴν καὶ θυμὸν καὶ μνησικακίαν καὶ ἕτερόν τι τῶν εἰς κακίαν ἐκμοχλευόντων [23] ἡμᾶς [24] παθῶν οὐχ ἁρπάσει [25] · θεωρητικὸν δὲ [26] καὶ μετάρσιον πρὸς τὴν τῶν ἀσωμάτων χώραν ποιήσας, τῶν [27] ὑπὸ τῶν τοιούτων δαιμόνων ἐνεργουμένων [28] καταφρονεῖν παραθαρρύνει [29], καὶ πατεῖν κατὰ τὸ γεγραμμένον παρασκευάζει [30] ἐπάνω [31] ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν [32] δύναμιν τοῦ ἐχθροῦ. »

Luc. 10, 19

Λ 33. **48** [1]. Ταῦτα αὐτοῦ [2] τοῖς ἀδελφοῖς ἐπιλύοντος καὶ σαφῶς τοὺς πολέμους τοῦ ἐχθροῦ ὑπογράφοντος, αἱρετικοί τινες ἀσκηταὶ τριχίνοις ἐνδύμασι τὸ [3] ἔνδοθεν [4] κατακρύπτοντες αὐτῶν [5], παραγενόμενοι τοῖς πρὸς ταῖς θύραις ἀδελφοῖς ἔλεγον [6] ὑπὸ τοῦ ἰδίου πατρὸς πρὸς τὸν μέγαν ἀπεσταλμένοι [7] · « Εἰσελθόντες οὖν, φησίν [8], εἶπατε πρὸς αὐτόν [9] · Εἰ ἀληθῶς τοῦ Θεοῦ ἄνθρωπος εἶ [10] καὶ πέποιθας εἰσακούειν σου τὸν Θεόν [11], δεῦρο δὴ κοινῶς [12] ἡμετέροις ποσὶ τὸν ποταμὸν διαβῶμεν τοῦτον, ὅπως γνῶσι πάντες τίς ἡμῶν μᾶλλον παρρησίαν κέκτηται πρὸς τὸν Θεόν, ἡμεῖς ἢ σύ [13]. » Ἀναγγειλάντων δὲ τῶν ἀδελφῶν ταῦτα τῷ Παχωμίῳ [14], ἀγανακτήσας

Cf. IV Reg 1, 10 ; I Ioh. 5, 15 ; 3, 21.

[9] ἐπιβουλὴν B. — [10] (πρὸς τὸ δ. ἡ.) οὕτε BC. — [11] ὀξυτέραν τῆς θεωρητικῆς γινομένην S. — [12] (θ. δ.) θεωρία BC. — [13] δυνάμεθα add. BC. — [14] (δυνάμει - περικ.) om. S. — [15] συγχύσει S. — [16] δεῖ οὖν O. — [17] om. WOM. — [18] ἐπιχέει W, ante corr. MO ; χρὴ add. rec. M. — [19] (πρ. θ.) τοῦ θεοῦ B. — [20] ὃς S. — [21] πρακτικοῖς S, πρακτικὸς WOM. — [22] ὢν ποι. om. WO. — [23] ἐκμοχλευσάντων C. — [24] om. B. — [25] (οὐχ ἁ.) ἀκίνητον B. — [26] WOM ; τε ceteri. — [27] BCO, ante corr. W ; τὸν ceteri. — [28] BCO ; ἐνεργούμενον ceteri. — [29] θαρρύνει S. — [30] om. S. — [31] ἐπὶ WO. — [32] om. O.

48. — [1] κη' WO. — [2] om. S. — [3] τὸν BS. — [4] ἔνδον B. — [5] VC ; ἑαυτῶν WOM, λύκον S, ἰόν B. — [6] παραγ. ταῖς θ. τοῖς ἀδ. ἔλ. S. — [7] ἀποστελλόμενοι S, ἀπεστάλθαι BO. — [8] φασίν B. — [9] (πρ. αὐ.) αὐτῷ BS, corr. prius αὐτὸν C ; αὐτὸν V. — [10] ἄνθρ. εἶ τοῦ θ. B, ἄνθρ. τοῦ θ. εἶ S. — [11] (τ. θ.) αὐτὸν B. — [12] τοῖς add. BS. — [13] ἡμ. ἢ σύ om. WOMS. — [14] ὡς οὖν ἀνήγγειλαν ταῦτα τῷ παχ. οἱ ἀδελφοὶ B.

ἔφη πρὸς αὐτούς · « Ὅλως γάρ, εἴπατέ μοι, κατεδέξασθε κλῖναι τὰ ὦτα ὑμῶν [15] αὐτοῖς [16] ; οὐκ ἔγνωτε ὅτι [15] τὰ τοιαῦτα προβλήματα ἀλλότρια τυγχάνει [17] Θεοῦ καὶ ξένα παντελῶς, οὐ λέγω τῆς ἡμετέρας πολιτείας, ἀλλ' οὐδὲ [18] κοσμικοῖς τοῖς εὖ φρονοῦσιν καὶ ἀληθῶς οὖσι χριστιανοῖς [19] ; Ποῖος γὰρ νόμος ἐπιτρέπει ἡμῖν ταῦτα ποιεῖν ἢ προβάλλεσθαι ; Τί δὲ ἀθλιώτερον τῷ ὄντι τῆς ἀνοίας [20] ταύτης καθέστηκε, τὸ [21] καταλείψαντά [22] με [23] τὸ [24] πενθεῖν τὰς ἐμὰς [25] ἁμαρτίας [26] καὶ [27] ὅπως ὀφείλω φυγεῖν τὴν αἰώνιον κόλασιν [28], νηπιάζειν ταῖς φρεσὶ καὶ τοιούτοις προβλήμασι χρᾶσθαι [29] ; » Πάλιν οὖν [30] οἱ ἀδελφοὶ [31] πρὸς αὐτὸν εἶπαν [32] · « Ἆρα οὖν αἱρετικοὶ ὄντες οὗτοι καὶ ἀλλότριοι τοῦ Θεοῦ προσκαλέσασθαί σε εἰς τοῦτο [33] τεθαρρήκασιν ; » Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς · « Ναί, αἱρετικῶν τοῦτο τὸ [34] πρόβλημα · οὐκ ἀνέγνωτε δὲ [35] τὴν ῥῆσιν τὴν ἀποστολικὴν τὴν [36] λέγουσαν · Κατὰ δὲ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν [37], εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους ; Καὶ νῦν [38] οὗτοι [39] κατὰ συγχώρησιν Θεοῦ ἠδύναντο [40] ἴσως περᾶσαι τὸν ποταμὸν ὡς διὰ ξηρᾶς, συνεργοῦντος αὐτοῖς τοῦ διαβόλου πρὸς τὸ [41] τὴν αἵρεσιν τῆς ἀσεβείας αὐτοῦ τοῖς [42] ἐπερειδομένοις ἐπ' αὐτὸν [43] βεβαιωθῆναι [44] καὶ τῷ δράματι τῆς ἐπιχειρήσεως ταύτης πίστιν τισὶ τῶν ἤδη ἠπατημένων ὑπ' [45] αὐτοῦ παρασχεῖν. Ἐμοὶ δὲ νῦν [46] οὐκ ἀναγκαῖον τοῦτο. Ἐξελθόντες τοιγαροῦν [47] εἴπατε τοῖς τὴν [48] τοιαύτην ὑμῖν [49] προβαλλομένοις [50] φωνήν · Τάδε λέγει ὁ ἄνθρωπος τοῦ Θεοῦ [51] Παχώμιος · Ὁ ἐμὸς ἀγὼν καὶ ἡ πᾶσά μου [52] σπουδὴ οὐ τὸ πεζοπορῆσαί [53] ἐστι ποταμὸν ἢ διαπτῆναι τὰ [54] ὄρη ἢ ἐπιτάξαι [55] θηρίοις ἃ ἐξ ἀρχῆς ὑπέταξεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, ἀλλὰ

Cf. I Cor. 14, 20.

Rom. 2, 5 ; 1, 28, 20.

Cf. Ps. 8, 6-7.

[15] om. VBC. — [16] κλῖναι αὐτ. τὰ ὦ. B. — [17] τυγχάνειν C, τυγχάνοντα τοῦ B. — [18] οὔτε VC. — [19] ἀλλὰ καὶ κοσμικῶν τῶν εὖ φρονούντων καὶ ἀλ. ὄντων χριστιανῶν BS ; < ἴδια ταῦτα καθέστηκεν > supplendum ex FP. — [20] ἀννοίας V, ante corr. C. — [21] τοῦ BO. — [22] καταλιπόντα B. — [23] μὲν S. — [24] τοῦ S, om. B. — [25] οἰκείας B. — [26] π. τὰς οἰκ. ἁ. corr., prius τὰς οἰκ. π. ἁ. B. — [27] al. man. V. — [28] καὶ τοῖς add. dein del. V. — [29] χρῆσθαι BM. — [30] om. WOM. — [31] οἱ ἀδ. om. VBC. — [32] V ; εἶπον ceteri. — [33] τοσοῦτον ὕψος S. — [34] om. WO. — [35] om. S. — [36] om. WOM. — [37] ποιεῖν τὰ μὴ καθήκοντα add. B. — [38] (εἰς τὸ - νῦν) om. S. — [39] μὲν add. B. — [40] ἐδύναντο WM. — [41] om. WO. — [42] (τοῦ διαβ. - τοῖς) om. S. — [43] αὐτῷ S. — [44] ὁ σατανᾶς add. S. — [45] παρ' S. — [46] om. S. — [47] om. B. — [48] περὶ S. — [49] ἡμῖν BC. — [50] προβαλομένοις B. — [51] corr., prius ὁ τοῦ θ. ἄ. B. — [52] om. BC. — [53] πεζοπορεῖν S. — [54] om. S. — [55] ἐπιτάττειν S.

Rom. 1, 28.

διαλαβεῖν ἐν ἑαυτῷ [56] τὴν κρίσιν τοῦ Θεοῦ καὶ ὑπερπηδᾶν τὰς
Luc. 10,19. διαβολικὰς μεθοδείας [57] τῇ τοῦ Κυρίου δυνάμει, τοῦ πατεῖν [58] κελεύσαντος ἐπάνω ὄφεων καὶ σκορπίων καὶ [59] ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Τούτων [60] γάρ μοι παρὰ Κυρίου δωρηθέντων, καὶ τὰ λοιπὰ πάντως [61] ἐπακολουθήσει. » Καὶ [62] ταῦτα εἰπὼν πάλιν παρηγγύα [63] τοῖς ἀδελφοῖς μὴ ἐπὶ οἰκείοις κατορθώμασι μεγαλοφρονεῖν [64] μηδὲ ἐπτοῆσθαι [65] ὀπτασίαις τισὶ [66] μηδὲ [67] πειράζειν διὰ [68] τοιούτων αἰτήσεων τὸ θεῖον · ὅτι πολλαὶ αἱ μηχαναὶ τοῦ ἀντιπάλου καὶ ὅτι τὰ τοιαῦτα [69] παντὶ ἀνθρώπῳ περιττὰ καὶ ἐπικίνδυνα ὑπάρ-
Matth. 4, 7. χει, φήσαντος πρὸς τὸν ἐχθρὸν τοῦ σωτηρίου Λόγου · « Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. »

Φ 58. **49.** Μετὰ γοῦν πάντας [1] τοὺς λόγους τούτους ἀναστὰς ὁ γέρων ηὔξατο, καὶ παρεκάλει τὸν Κύριον ἀεὶ [2] μνημονεύειν [3] τοῦ λόγου αὐτοῦ εἰς σωτηρίαν. Καὶ οὕτως ἀνεχώρησεν ἕκαστος τῶν ἀδελφῶν εἰς τὸ διατεταγμένον αὐτοῖς ἔργον [4], τὰς θείας μελετῶντες γραφάς.
Mat. 12,36. Ἀδύνατον γὰρ ἦν τινα αὐτῶν φθέγξασθαι [5] ῥῆμα ἀργὸν ἢ κοσμι-
Cf. Ps. 36,30 ; κόν, ἀλλὰ κατὰ τὸ γεγραμμένον · « Τὸ στόμα μου μελετήσει [6]
48, 3. σοφίαν, καὶ ἡ [7] μελέτη τῆς καρδίας μου σύνεσιν, » ἕκαστος τοίνυν [8] ἢ γραφικὴν ἐπίλυσιν ἢ περὶ κατορθώματος [9] καὶ βίου [10] πατέρων [11]
Φ 59b. τῷ πλησίον ἐκοινολογεῖτο. Οὕτως δὲ αὐτοῖς ἡ τοῦ κόσμου ματαιότης καταπεπάτητο [12], ὡς τινας αὐτῶν κοιμηθῆναι μήτε [13] ἐπισταμένους ἀργυρίου [14] ἢ χρυσίου [15] τὸ σύνολον ἰδέαν [16].

Φ 60. **50** [1]. Ἀποπλέων γοῦν ἅμα ἀδελφοῖς τισιν [2] ἐπὶ τὸ μοναστήριον,
Cf. Lc. 24,29. μήπω δὲ [3] φθάσας διὰ τὸ κεκλικέναι ἤδη πρὸς ἑσπέραν τὴν ἡμέραν, ἔφη αὐτοῖς · « Θέλετε ἀγρυπνήσωμεν [4] τὴν νύκτα ταύτην ; » Λέγουσιν αὐτῷ · « Ὡς δοκεῖ σοι, πάτερ. » Λέγει πάλιν αὐτοῖς · « Δύο τύπους προσευχῆς ὑπὸ [5] τοῦ ἁγίου πατρὸς ἡμῶν ἐδιδάχθην [6]

[56] ἐμαυτῷ B. — [57] ἐπιθυμίας BC. — [58] με *add.* C. — [59] /// καὶ V. — [60] *corr., prius* τούτω C. — [61] πάντα S. — [62] *om.* B. — [63] παρηγγυᾶτο BCS, παρηγγυᾶ<το> V. — [64] μέγα φρονεῖν BS. — [65] μηδ' ἐπτ. O, μηδὲ πτοῆσθαι MS. — [66] μηδὲ ἐ. ὀ. τ. *om.* VBC. — [67] τινι *add.* WOM. — [68] τῶν *add.* S. — [69] πάντα *add.* S.

49. — [1] *om.* B. — [2] (τὸν κ. ἀ.) πάντας B. — [3] μνημονεύων S. — [4] *om.* WOM. — [5] φθέγγεσθαι S. — [6] λαλήσει BS. — [7] μελ. σοφ. καὶ ἡ *om.* W. — [8] γὰρ S, *om.* BO. — [9] κατορθωμάτων S. — [10] βίων S. — [11] πατρὸς VBC. — [12] κατεπατεῖτο BCSW. — [13] μὴ BCS. — [14] ποιότητα *add.* S. — [15] *corr. in marg., prius* χρυ V. — [16] *om.* S.

50. — [1] κθ' WO, λη' M. — [2] ἀπ. δὲ ἅμα τισὶν ἀδ. B. — [3] *om.* WO ; (μ. δὲ) καὶ μ. B. — [4] ἀγρυπνῆσαι WOM. — [5] ἐδιδάχθημεν παρὰ S. — [6] *om.* S, ἐδιδάχθημεν O.

Παλάμωνος · ἢ [7] εὐξώμεθα ἕως μεσονυκτίου καὶ ἕως πρωΐ ἀναπαυσώμεθα, ἢ ὑπνώσωμεν ἕως μέσης νυκτὸς καὶ οὕτως ἀρξάμενοι εὐξώμεθα [8] ἕως πρωΐ [9]. » Αὐτῶν δὲ τὸ τελευταῖον ἐκλεξαμένων, ἔμεινεν ὁ γέρων εἰκάζων νηφόντως τὰς ὥρας [10] τοῦ τε [11] ὕπνου καὶ
5 τῆς εὐχῆς · ἔμπειρος γὰρ ἦν [12] τῆς ἀγρυπνίας καὶ ἕτοιμος πρὸς τοὺς ἁρμοδίους αὐτῷ κανόνας [13]. Αὐτοὶ δὲ πολὺ τοῦ ἀνδρὸς ἀπολειφθέντες ὤκλασαν πρὸς τὴν σύναξιν. Ὁ μὲν γὰρ πάντη [14] ἐκρύβη ἀπ' αὐτοῦ — ἦν γὰρ κεκοπιακώς — καὶ δι' ὅλης τῆς νυκτὸς ὕπνωσεν [15]. Ὁ δὲ ἕτερος [16] ῥίψας ἑαυτὸν εἰς τὸν σηκὸν ἔμεινεν [17]
10 ἐπὶ πολὺ θεραπεύων τὸν ὕπνον · ὅνπερ πρὸς ὄρθρον καλέσας εἰς τὴν [18] προσευχὴν στῆναι μετ' αὐτοῦ [19] παρεσκεύασεν. Αὐτὸς δὲ τὰς χεῖρας κατὰ τὸ εἰωθὸς αὐτῷ δι' ὅλης σταυρώσας [20] τῆς νυκτὸς ἔμεινεν [21] ἀκλινὴς ἕως οὗ ἐπλήρωσε τὴν εὐχήν. Ἐλάσαντες δὲ αὖθις πολλοὺς σταδίους ἦκασιν [22] ἐν τῇ μονῇ.
15 Κορνήλιος οὖν ὁ οἰκονόμος, ἀκούσας [23] παραγεγονέναι τὸν *Φ 61.* μέγαν [24], ἠρώτα τὸν ἕνα [25] τῶν μετ' αὐτοῦ ἀδελφῶν [26] · « Τί, λέγων, ἐποίει ὁ πατὴρ ἡμῶν ἢ ποῦ διέτριβε τὰς μεταξὺ ταύτας ἡμέρας ; » Λέγει [27] αὐτῷ ὁ ἀδελφός · « Γινώσκεις μὲν [28] τὸν ἄνδρα καὶ τὴν σπουδὴν αὐτοῦ · πλὴν ἱκανῶς ἡμᾶς ἐπαίδευσεν ἐν ταύτῃ [29] τῇ
20 νυκτί. » Διηγησαμένου [30] δὲ [31] αὐτοῦ [32] ἅπαντα, φησὶν ὁ Κορνήλιος πρὸς αὐτόν [33] · « Ὦ ἀσθένεια · καὶ συνεχώρησας ἄτονον γέροντα νικῆσαί σε τὸν νεανίσκον ; » Αὐτῶν δὲ λαλούντων ἐπηκροᾶτο ὁ μέγας τῷ πνεύματι. Ὀψίας γοῦν γενομένης, λέγει τῷ Κορνηλίῳ · « Ἐπειδή με χθὲς ῥαθυμία τις κατέλαβε, βούλει σήμερον πληρώ-
25 σωμεν τὸ χρέος στάντες [34] εἰς εὐχήν [35] ; Γέγραπται γάρ · εὔ- Ps. 75,11. ξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ἀλλὰ συναγρύπνησον ἡμῖν [36]. » Τοῦ δὲ εἰπόντος · « Ὡς βούλει αὐτός, ὦ [37] πάτερ [38] », παραυτίκα ἐν τῇ κέλλῃ τὸ ποθούμενον ἤνυεν, ἕλκων μὲν ἐπὶ πολὺ τὴν εὐχήν, τὸν δὲ Κορνήλιον ἱκανῶς πρὸς τὰ [39] ῥηθέντα παιδεύων,

[7] ἦν O. — [8] ἀρξ. εὐξ. WMS, ἀρξώμεθα VBC. — [9] (ἀναπ. - πρωΐ) *om.* O. — [10] τ. ὥ. νηφ. B. — [11] (τοῦ τε) τε τοῦ S. — [12] ὡς μάλιστα εἰκὸς *add.* B ; ὁ γέρων *add.* VC. — [13] αὐ. καν. *om.* V. — [14] παντὶ πάντη W. — [15] ὕπν. τῆς ν. S. — [16] *om.* S. — [17] VS ; ἔμενεν *ceteri.* — [18] *om.* BC. — [19] μεθ' ἑαυτοῦ M, μετὰ ἑαυτοῦ O. — [20] συνάψας B. — [21] VM ; ἔμενε *ceteri* ; (ἐπὶ πολὺ θερ. - ἔμ.) *om.* S. — [22] ἦλθον B. — [23] *om.* B. — [24] παρεγένετο πρὸς τὸν μ. καὶ S ; παραγεγονότος τοῦ μεγάλου B. — [25] (τ. ἕ.) θάτερον B. — [26] ἠρώτα τοὺς μετ' αὐ. ὄντας ἀδελφοὺς S. — [27] καὶ λέγ. BC. — [28] μετὸ W. — [29] ἐν ταύτ. ἐπαίδ. S. — [30] διηγησαμένω B. — [31] οὖν S. — [32] *om.* BCWO. — [33] πρ. αὐ. *om.* B. — [34] σταθέντες S. — [35] προσευχὴν O. — [36] ἀλλὰ σ. ἡ. *om.* BC. — [37] *om.* M. — [38] ὁ πατὴρ S. — [39] τὸ C.

διδάσκων τε [40] συμπάσχειν [41] καὶ τὸν παλαιὸν [42] χρηστότερον ἡγεῖσθαι. Μετὰ δὲ τὴν καθολικὴν [43] τῶν ἀδελφῶν λειτουργίαν τῆς ἐπὶ τὸ αὐτὸ συνάξεως [44], παυσαμένου [45] αὐτοῦ [46] τῆς εὐχῆς, λέγει αὐτῷ [46] ὁ ἀδελφός· « Τί ἐποίησας, ὦ πάτερ; Οὐδὲ ἐγευσάμην ὕδατος ἑσπέρας μεταλαβὼν τῆς [47] τροφῆς. » Λέγει [48] αὐτῷ· « Καὶ ἀφῆκας [49] γέροντα ἄτονον νικῆσαί σε εἰς εὐχήν, Κορνήλιε; » Τότε γνοὺς ὅτι οὐκ ἔλαθεν, ἀλλ' ἐπέστη [50] ὁ μέγας τοῖς ῥήμασιν αὐτοῦ οἷς εἶπε τῷ ἀδελφῷ· « Ἥμαρτον, ἔφη· συγχώρησόν μοι, ὅτι οὐκ ὀρθῶς ἐλογισάμην ἢ ἐλάλησα. Τὸ γὰρ ἐν σοὶ πνεῦμα [51] ἅγιον ἐνοικοῦν ἐστι [52], καὶ δύναμις Θεοῦ ἐστι μετὰ σοῦ [53]. » Οὕτως οὖν καὶ τοῦτον καλῶς [54] παιδεύσας [55] ἀπέλυσε.

Cf. Dan. 4,15

Φ 63.

51 [1]. Καὶ ἀρξάμενος πάλιν παρῄνει τοῖς ἀδελφοῖς μὴ προσέχειν ὡραιότητι καὶ κάλλει τοῦ αἰῶνος τούτου, μὴ [2] βρώματι καλῷ ἢ ἐνδύματι· τὸ γὰρ κάλλος αὐτῶν [3] ἐν ταῖς ἐντολαῖς ἐδείκνυεν εἶναι [4] τοῦ Θεοῦ, κατὰ [5] τὸν ψαλμῳδὸν λέγοντα· « Κύριε, ἐν τῷ θελήματί σου παρέσχου [6] τῷ κάλλει μου δύναμιν. » Τὸ κάλλος οὖν μόνον τῶν ἀρετῶν ἐπιζητῶμεν [7], ὅπερ καὶ συμφέρει. « Εἴπατε γάρ μοι, φησίν [8], ὁ Ἰωσὴφ οὐκ ἦν ὡραῖος τῇ ὄψει σφόδρα; Ἀλλ' οὐκ ἐκ τοῦ ὁρωμένου κάλλους [9] γέγονε βασιλεύς· ἀλλ' ἐκ τῆς ἐνοικούσης αὐτῷ [10] τῶν ἀρετῶν λαμπρότητος ἔφυγε τὰ δεινὰ καὶ τὴν δυσειδῆ καὶ εὐπερίστατον ἐνίκησε [11] καὶ ἔφυγεν [12] ἁμαρτίαν, ἧς τὸ ζοφῶδες οὐ τοῦ παρόντος ἀναζωγραφεῖν καιροῦ. Ἀλλ' οὐχ ὁ [13] Ἀμνὼν ἢ ὁ [14] Ἀβεσαλὼμ [15] τοιοῦτοι· πεποιθότες δὲ [16] ἐπὶ τῇ τοῦ σώματος μόνου [17] ὡραιότητι ὅλοντο τέλεον [18] διαφόροις κακοῖς ἑαυτοὺς [19] περιπείραντες καὶ οὐ λαθόντες τὴν δίκην [20]. Ἀλλ' ἡμεῖς προσέχωμεν ἑαυτοῖς, ἀγαπητοί, ἀπὸ πάσης ἐπιθυμίας σαρκικῆς ἑαυτοὺς μακρύνοντες [21], ἵν' οὕτως τῶν αἰωνίων ἀγαθῶν ἐν

Ps. 29, 7.

Gen. 39, 6; 41, 41.

Hebr. 12, 1.

II Reg. 13, 29; 19,15.

Cf. I Petr. 2, 11.

[40] (δ. τε) καὶ δ. B. — [41] πάσχειν S. — [42] (τ. π.) παλαίων S. — [43] ἀθόρυβον S. — [44] συντάξεως VWOM. — [45] παυσαμένω B. — [46] om. B. — [47] om. BC. — [48] καὶ λέγ. S. — [49] ἂν add. S. — [50] ἐπαίσθη S, ἐπησθήθη B. — [51] in ras. V. — [52] τὸ γὰρ ἐν σοὶ ἐνοικοῦν πν. ἅγ. ἐστι BCS; τὸ γὰρ ἅγ. πν. ἐν σοὶ ἐνοικ. ἐστι O. — [53] (μ. σ.) ἐν σοί BC. — [54] (καὶ τ. καλ.) κἀκεῖνον B, καλ. καὶ τοῦτ. C. — [55] παιδ. καὶ τοῦτ. καλ. WOM.

51. — [1] λ' WO, λθ' M. — [2] μηδὲ S. — [3] (κ. αὐτ.) ἀληθὲς κ. B. — [4] om. VBC. — [5] καὶ τοῦ S. — [6] παράσχου CSW. — [7] ἐπιζητοῦμεν VCWM. — [8] om. S. — [9] οὐ add. S. — [10] om. S. — [11] ἐνέκρωσεν S. — [12] κ. ἔφ. om. BOS. — [13] om. S. — [14] om. OS. — [15] ἀβεσσαλὼμ COS. — [16] γὰρ S. — [17] μόνη B; om. WOM. — [18] (ὅλ. τέλ.) ὅλον τὸ τέλ. VW, μᾶλλον τὸ τέλειον S. — [19] ἑαυτοῖς W. — [20] (καὶ - δίκ.) τὴν δίκ. οὐκ ἔλαθον S. — [21] (ἑ. μ.) μακρυνόμενοι B.

μετουσίᾳ γενώμεθα, τὸ ἀληθινὸν κάλλος πάλιν ἀπολαμβάνοντες [22]. » Ταῦτα [23] αὐτοῦ λέγοντος [24], ἦλθεν ἐκεῖσε [25] Παφνούτιος, ἀδελφὸς τοῦ [26] Θεοδώρου, ἐξαιτῶν καὶ αὐτὸς γενέσθαι μοναχός. Μὴ βουλομένου [27] δὲ [28] αὐτοῦ [29] αὐτῷ [30] τὸ σύνολον [31] ὡς ἀδελφῷ χρήσασθαι — ἀπεκδέδυτο γὰρ τὸν παλαιὸν ἄνθρωπον — ἀνιώμενος [32] σφόδρα καὶ δακρύων ὁ Παφνούτιος διετέλει. Μαθὼν δὲ ὁ μέγας λέγει αὐτῷ [33]· « Καλὴ ἡ συγκατάβασις πρὸς τοὺς τοιούτους ἐν ταῖς ἀρχαῖς, ἀδελφέ· ὡς γὰρ νεοφύτῳ δένδρῳ [34] ἡ [35] πολλὴ ἁρμόζει φιλοκαλία, οὕτως καὶ τῷ τῆς ἀσκήσεως ἀρχομένῳ [36], ἕως ἂν καὶ αὐτὸς τῇ τοῦ Κυρίου χάριτι ῥιζωθεὶς τῇ πίστει στηριχθῇ. » Ταῦτα ἀκούσας ὁ Θεόδωρος [37] εἶξε τῷ πατρὶ κατὰ τὸ διατεταγμένον αὐτῷ [38] ἐν ἅπασι στηρίζων τὸν ἀδελφόν· ἦν γὰρ συνιὼν τὰ λεγόμενα.

Col. 3, 9.

Φ 65.

52 [1]. Ἀδελφοῦ δέ τινος περιλύπου γενομένου [2] διὰ τὸ συχνότερον ἐλέγχεσθαι αὐτὸν [3] ὑπὸ τοῦ πατρὸς διδασκόμενον τὸ ἀγαθὸν καὶ ἑτοίμου [4] ὄντος πρὸς [5] φυγήν, σχηματισάμενος ὁ Θεόδωρός φησι πρὸς [3] αὐτόν [3]· « Γινώσκεις ἄρα, ἀδελφέ, ὅτι ὁ λόγος τοῦ γέροντος τούτου ἀπότομός ἐστιν ὑπὲρ τὸ μέτρον. Οὐκ οἶδα [6] εἰ δύναμαι [7] ἐγὼ [8] ὑπομεῖναι ἐνταῦθα. » Ὁ δὲ ὥσπερ ἀποθέμενος τὸ ἴδιον βάρος καὶ καλῶς ἐν [9] τῷ ἑτέρῳ [10] διαβλέψας [11] φησὶ πρὸς αὐτόν· « Καὶ σὺ τοῦτο πάσχεις; » Ὁ δὲ Θεόδωρος λέγει πρὸς αὐτόν [12]· « Καὶ [13] σφόδρα πάσχω [14]· ἀλλ' εἰ βούλει, γενώμεθα ἅμα [15] πρὸς τὸ παραμυθεῖσθαι ἑαυτούς, ἕως ἂν πειράσωμεν αὐτὸν ἔτι [16] ἅπαξ· ἐὰν [17] μὲν [18] χρηστὸς πρὸς ἡμᾶς γένηται, καὶ δὴ [19] μένομεν [20] ἐνταῦθα· εἰ δὲ μή γε, ἀπερχόμεθα [21] καθ' ἑαυτούς. » Ταῦτα ἀκούσας [22] ὁ

Φ 66.

[22] ἀπολαβόντες S. — [23] μ' praemittit M. — [24] λαλοῦντος BC. — [25] ἐκεῖ B. — [26] (ἀ. τοῦ) ὁ ἀ. S. — [27] corr., prius βουλομένω C. — [28] οὖν S. — [29] τοῦ θεοδώρου B, om. VCMS. — [30] om. WO. — [31] (αὐτῶ τὸ σ.) τὸ σ. αὐ. B. — [32] δὲ add. V. — [33] τῶ θεοδώρω S. — [34] corr., prius νεόφυτον δένδρον V. — [35] om. S, om. ante corr. V. — [36] ἡ μετρία παράκλησις καὶ συμπάθεια add. B. — [37] ὁ θ. ἀκ. B. — [38] om. BC.

52. — [1] λα' WO, μα' M. — [2] Πρὸς ἀδελφὸν δέ τινα περίλυπον γενόμενον B. — [3] om. B. — [4] ἕτοιμον VB. — [5] (ὄ. πρ.) ὄντα εἰς B. — [6] ἐγὼ add. BC. — [7] δυνήσομαι B, δύνομαι W; εἰ δύν. om. S. — [8] om. BC. — [9] om. C. — [10] ἑταίρω CO. — [11] καὶ καλῶς τὸ τοῦ ἀδελφοῦ σκοπήσας B. — [12] (ὁ δὲ θ. λέγ. πρ. αὐ.) καὶ λέγει αὐτῶ WOMS; (καὶ σὺ - αὐ.) om. BC. — [13] ἐγὼ add. in marg. al. man. B. — [14] om. WOMS. — [15] αὐτῶ C, ἀλλήλοις συνεργοὶ B. — [16] (αὐ. ἔ.) ἔ. αὐ. S. — [17] κἂν B, καὶ ἐὰν C. — [18] γὰρ add. S. — [19] καὶ δὴ om. BC. — [20] μενοῦμεν B. — [21] ἀπελευσόμεθα B. — [22] (τ. ἀ.) καὶ οὕτως εἰπὼν B.

ἀδελφὸς ἐνισχύθη [23] ἐκ τῆς τῶν λογισμῶν ἀσθενείας. Ὁ δὲ Θεόδωρος, πορευθεὶς πρὸς τὸν Παχώμιον, τὴν ὑπόθεσιν ὡς ἐνῆν αὐτῷ [24] διηγήσατο. Ὁ δὲ λέγει αὐτῷ· « Καλῶς ἐποίησας, τέκνον· ἀλλ' ἄγαγε [25] αὐτὸν μετὰ σεαυτοῦ [26], καὶ ἐπ' αὐτοῦ πάλιν, ὡς ἔνι [27], διαμεμψαμένου [28] σου τὴν βουλὴν αὐτοῦ, ἥνπερ δίδωσιν [29] Θεὸς πληροφορίαν ἐντελέστερον ὁ ἀδελφὸς λαμβάνει. » Ἐλθόντων δὲ [30] αὐτῶν [31] ἅμα καὶ τοῦ Θεοδώρου [32] κατὰ τὴν τοῦ πατρὸς διδασκαλίαν ἐλέγχοντος [33] αὐτόν [34], κύψας ὁ πατὴρ [35]· « Συγχωρήσατέ μοι, φησίν [36], ἀδελφοί, ὅτι ἐγὼ ἥμαρτον· ὀφείλετε δὲ καὶ αὐτοὶ ὡς γνήσιοι υἱοὶ φέρειν τὸν πατέρα [37] ὑμῶν. » Καὶ οὕτως σοφῇ πανουργίᾳ χρησάμενος ὠφέλησεν αὐτούς [38].

Λ 1. 53 [1]. Τούτου τοῦ Θεοδώρου τὸ συνετὸν θεασάμενος ὁ Παχώμιος [2] καὶ ὅτι δύναται συγκροτεῖν [3] τοὺς ἀσθενεστέρους, λίαν ἔχαιρεν ἐπ' αὐτῷ. Ἦθος οὖν ἦν [4] ἅπασι καθ' ἑκάστην ἑσπέραν ἐν ἑνὶ τόπῳ τῆς μονῆς συνερχομένους [5] ἐπακούειν [6] τῆς [7] τοῦ μεγάλου διδασκαλίας [8]. Συναχθέντων δὲ πάντων [9] ἐπὶ τὸ αὐτό [10], κελεύει τῷ Θεοδώρῳ εἰκοσαετεῖ τυγχάνοντι [11] λαλῆσαι τοῖς ἀδελφοῖς τὸν λόγον τοῦ Θεοῦ. Ὁ δὲ παραχρῆμα ἄνευ τινὸς ἀντιλογίας ἢ παρακοῆς ἀνοίξας τὸ στόμα αὐτοῦ [12] ἐλάλησεν αὐτοῖς πολλὰ πρὸς ὠφέλειαν συντείνοντα. Τινὲς τοίνυν τῶν ἀρχαιοτέρων γερόντων θεασάμενοι τὸ γεγονὸς οὐκ ἠβουλήθησαν [13] ἀκοῦσαι αὐτοῦ, εἰπόντες πρὸς ἀλλήλους· « Ἐπειδὴ ὁ ἀρχάριος οὗτος ἡμᾶς διδάσκει, οὐκ ἀκουσόμεθα αὐτοῦ. » Καὶ καταλείψαντες [14] τὴν ἐπισυναγωγὴν [15] ἀνεχώρησαν [16] ἕκαστος εἰς τὸ κελλίον αὐτοῦ [17]. Πληρωθείσης δὲ τῆς διδασκαλίας, ἀποστείλας ὁ μέγας ἐκάλεσεν [18] αὐτούς. Ἐλθόντων δὲ αὐτῶν πρὸς αὐτόν, ἠρώτα αὐτοὺς λέγων [19]· « Τίνος ἕνεκεν

[23] ἐνίσχυσεν B, ἐνησχύνθη VCS. — [24] *om.* B. — [25] ἄγε WOMS. — [26] (*μ.σ.*) πρός με B. — [27] ὡς ἔνι *om.* B. — [28] διαπεμψαμένου W, διαγγέλλοντός B. — [29] ὁ *add.* BC. — [30] τε V, *ante corr.* C ; οὖν B. — [31] *om.* B ; ἐλθόντος δὲ αὐτοῦ S. — [32] ἅμα τῷ θεοδώρῳ S. — [33] ἐλέγχοντες S, τὰ τῆς βουλῆς διαγορεύοντος B. — [34] *om.* B. — [35] ἔφη *add.* BC. — [36] *om.* B. — [37] (τὸν π.) τὰ τοῦ πατρὸς B. — [38] τὸν ἀδελφόν B.

53. — [1] λβ' WO, μβ' M. — [2] (τούτ. - παχ.) τοῦ δὲ Θεοδ. τὸ σ. ἰδὼν B. — [3] συγκρατεῖν BC ; καὶ *add.* S. — [4] (οὖν ἦν) δὲ ὃν B. — [5] συνερχομένοις S. — [6] *om.* B. — [7] /// τῆς V. — [8] ἀκροᾶσθαι *add.* B. — [9] ἁπάντων WOMS ; (δὲ π.) ποτὲ B. — [10] ἐπὶ τούτω S. — [11] (τῷ θ. εἰκ. τ.) θεόδωρον εἰκοσαετῆ τυγχάνοντα WOM. — [12] ἀν. τὸ στ. αὐ. *om.* B. — [13] ἐβουλήθησαν W, *ante corr.* C. — [14] καταλιπόντες B. — [15] τὴν συναγωγὴν B. — [16] ἀνεχώρησεν BCMS. — [17] ἑαυτοῦ M. — [18] μετεκαλέσατο B. — [19] (ἐλθ. - λέγ.) **οὓς ἐλθόντας ἠρ. λέγ.** B.

καταλείψαντες [20] τὴν ἀκρόασιν ἀνεχωρήσατε εἰς τὰ κελλία ὑμῶν ; » Οἱ δέ φασιν· « Ὅτι [21] παιδίον τοσούτων γερόντων καὶ προβεβηκότων ἐν τῇ μονῇ [22] διδάσκαλον κατέστησας. » Ταῦτα ἀκούσας [23] ἐστέναξε μέγα, καὶ κατηφὴς γενόμενος φησι πρὸς αὐτούς· « Οἴδατε πόθεν ἡ ἀρχὴ τῶν κακῶν εἰς τὸν κόσμον εἰσῆλθεν ; » Εἰπόντων δὲ αὐτῶν [24]· « Πόθεν ; » ἀποκριθεὶς [25] λέγει αὐτοῖς [26]· « Ἐκ τῆς ὑπερηφανίας, δι' ἣν [27] καὶ ὁ ἑωσφόρος ὁ πρωΐ [28] ἀνατέλλων ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ συνετρίβη ἐπὶ τὴν γῆν· δι' ἣν [29] μετὰ τῶν θηρίων συνῴκησε [30] Ναβουχοδονόσορ [31] ὁ βασιλεὺς Βαβυλῶνος. Ἢ οὐκ ἠκούσατε τὸ γεγραμμένον, ὅτι βδέλυγμα παρὰ Κυρίῳ [32] πᾶς ἀνὴρ [33] ὑψηλοκάρδιος, καὶ ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται [34] ; Τοιγαροῦν ἀγνοήσαντες ἐσκυλεύθητε ὑπὸ τοῦ διαβόλου, πᾶσαν ὑμῶν τὴν ἀρετὴν ἀπολέσαντες· μήτηρ γὰρ καὶ ἀρχὴ πάντων τῶν κακῶν ἐστιν ἡ ὑπερηφανία. Οὐ γὰρ Θεόδωρον καταλείψαντες [35] ἀπήλθατε [36], ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ ἀποφυγόντες [37], τοῦ ἁγίου πνεύματος ἐχωρίσθητε. Ἀληθῶς παντὸς [38] οἴκτου ἄξιοι ὑμεῖς. Πῶς οὐ συνήκατε ὅτι ὁ Σατανᾶς ἦν ὁ ἐνεργήσας [39] ὑμῖν [40] εἰς τοῦτο ἐλθεῖν ; Ὦ μεγάλου θαύματος· Θεὸς [41] ἐταπείνωσεν [42] ἑαυτὸν γενόμενος ὑπήκοος ἄχρι [43] θανάτου δι' ἡμᾶς, καὶ ἡμεῖς ταπεινοὶ ὄντες κατὰ φύσιν ἐπαιρόμεθα· ὁ φύσει ὑψηλὸς καὶ λίαν [44] ὑπερμεγέθης διὰ τῆς ταπεινώσεως τὸν κόσμον περιεποιήσατο, δυνάμενος καὶ βλέμματι μόνῳ [45] τὰ σύμπαντα καταφλέξαι· οἱ [46] δὲ γῆ ὄντες [47] καὶ σποδὸς καὶ εἴ τι τούτων εὐτελέστερον, φυσιούμεθα, ἀγνοοῦντες ὅτι ἐντεῦθεν εἰς τὰ κατώτατα τῆς γῆς ἑαυτοὺς παραπεμπόμεθα [48]. Οὐκ ἐθεάσασθε κἀμὲ [49] μετὰ πολλῆς ἀκροώμενον τῆς ἀκριβείας ; Λέγω δὲ [50] ὑμῖν ὅτι ἐγὼ ὠφελήθην μεγάλως [51] ἀκούσας αὐτοῦ· οὐ [52] γὰρ ὡς δοκιμάζων ὑμᾶς ἐπέτρεψα αὐτῷ λαλῆσαι ὑμῖν [53]· **ἀλλ' ὡς προσδοκῶν καὶ αὐτὸς ὠφεληθήσεσθαι. Πόσῳ οὖν μᾶλλον** [54]

Cf. Eccli. 10, 12-13. Is. 14, 12. Dan. 5, 21. Prov. 15,9 ; 16, 5. Luc. 14, 11. Phil. 2, 8. Eccli.17 ,32.

[20] καταλιπόντες B. — [21] ἀλλὰ WOMS. — [22] ἐν τῇ μ. *om.* WO. — [23] ὁ ἅγιος *add.* S. — [24] εἰποῦσι δὲ αὐτοῖς B. — [25] *om.* BS. — [26] (λέγ. αὐτ.) φησίν B. — [27] ἧς S. — [28] πρώην *corr.*, *prius* πρωΐ C. — [29] ἧς S. — [30] ὤκησε B ; καὶ *add. sup. lin.* V. — [31] ναβουχοδονόσωρ VS. — [32] κυρίου VWM. — [33] *om.* BCS. — [34] ὁ δὲ τ. ἑ. ὑ. *om.* S. — [35] καταλιπόντες B. — [36] ἀπήλθετε WOMB. — [37] ἀποφεύγοντες WOM, φυγόντες B ; καὶ *add.* C. — [38] πάντες WOM. — [39] συνεργήσας OS. — [40] ὑμᾶς B. — [41] ὁ θ. S. — [42] ἐταπείνω W. — [43] μέχρι BS. — [44] *om.* B. — [45] *om.* S. — [46] ἢ VC. — [47] ὄντως VC. — [48] ἑ. παραπέμπομεν S, παραπέμπομεν ἑ. B. — [49] καὶ S. — [50] γὰρ B. — [51] μεγ. ὠφ. B. — [52] οὐδὲ B. — [53] ἡμῖν S. — [54] *om.* BC.

ἔδει ὑμᾶς μετὰ ταπεινοφροσύνης πολλῆς [55] ἀκοῦσαι αὐτοῦ ; Ἐπ' ἀληθείας [56] λέγω, ὅτι ἐγὼ ὁ [57] ἐν Κυρίῳ πατὴρ ὑμῶν [58], ὡς μὴ εἰ-
Cf. Ion. 4, 11. δὼς δεξιὰν ἢ ἀριστερὰν οὕτως ἐπηκροώμην [59]. Ὑμῖν οὖν ἐνώπιον τοῦ Θεοῦ λέγω, ὅτι ἐὰν μὴ μεγίστην ὑπὲρ τοῦ πταίσματος [60] τούτου ἐπιδείξησθε [61] τὴν μετάνοιαν, ὥστε συγχωρηθῆναι ὑμῖν τὸ [55]
Dan. 2, 5. παράπτωμα [55], εἰς ἀπώλειαν ἔσεσθε · καὶ τῆς [62] κακίστης [63] ταύτης [64] ἀρχῆς ἐν ὑμῖν [65] γενομένης, οὐ μὴ παύσησθε ἕως ἂν εἰς τὴν ἐσχάτην τῆς κατακρίσεως ἀπόφασιν φθάσητε. » Καὶ τούτοις τοῖς λόγοις ἱκανῶς ἐπιστύψας [66] τὸ τῆς ὑπερηφανίας ἕλκος, παρεμυθεῖτο [67] τὴν νόσον, μετρίως αὐτοὺς διορθωσάμενος. Ἦν γὰρ καὶ ἀπότομος ἡνίκα ἔδει, καὶ χρηστὸς πάλιν καιροῦ καλοῦντος, ἐλέγχων τε καὶ [68] παρορμῶν πρὸς τὸ ἀγαθὸν τοὺς ἁμαρτάνοντας.

Φ 69. **54** [1]. Ἀδελφὸν γοῦν τινα οὐκ ὀρθῶς πορευόμενον, ἀλλὰ τῷ ἰδίῳ ἐξακολουθοῦντα θελήματι [2], κατ' ἰδίαν λαβὼν [3] παρῄνει
Ioh. 6, 38. αὐτὸν [4] λέγων [5] · « Ἀδελφέ, εἰ [6] λέγει ὁ Κύριος · « Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα [7] οὐχ [8] ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα [9] τοῦ πέμψαντός με [10] », καὶ αὐτὸς ὀφείλεις ἀκούειν [11] ἡμῶν. Ὁρῶ γάρ σε φθονούμενον ὑπὸ τοῦ ἐχθροῦ καὶ τὸν κάματόν σου διὰ πολλῶν
Cf. Gal. 6, 16. συλούμενον [12]. Στοίχει οὖν τῷ κανόνι · καὶ ὅτε [13] καλῇ πρὸς ἑστίασιν, μὴ διαμείνῃς ἄσιτος, ἀλλὰ συνερχόμενος μετὰ τῶν ἀδελφῶν ἔσθιε [14] μεμετρημένως τὸν ἄρτον [15] καὶ τὸ παρατιθέμενόν σοι ἔψημα [16] μεταλάμβανε [17] · καὶ μήτε πάνυ κορεσθῇς, εὔτονος μάλιστα τῷ σώματι [18] ὑπάρχων · μήτε πάλιν ἄτονος ὢν τὸ σῶμα σφόδρα [19] κατατήξῃς · ἀλλ' ἑαυτὸν [20] κυβέρνα [21] πρὸς τὰς δυνάμεις τοῦ σώματος, ἄχρις ἂν [22] τὸν [23] τῆς καυχήσεως νικήσῃς

[55] *om.* B. — [56] *γὰρ add.* B. — [57] *om.* VCM. — [58] *καὶ add.* C. — [59] *αὐτοῦ add.* S. — [60] *τ. πτ. om.* WO. — [61] *ἐπιδείξασθαι* V, *ἐνδείξησθε* B. — [62] *τῆς τῆς* B. — [63] *κακίας τῆς* WO. — [64] *αὐτῆς* C. — [65] *ταύτης ὑμ. ἀρχ.* O. — [66] *ἀναστείλας* B. — [67] *παρεμυθήσατο* BC. — [68] *om.* V.

54. — [1] *λγ'* WO, *μγ'* M. — [2] *ἀδελφῷ οὖν* (*γοῦν* S) *τινι οὐκ ὀρθ. πορευομένῳ ἀλλὰ τῷ ἰδ. ἐξακολουθοῦντι θελ.* BS. — [3] *παραλαβὼν* O, *om.* BC. — [4] *αὐτῷ* W, *om.* BS. — [5] *αὐτῷ add.* S ; (*παρ. αὐ. λέγ.*) *ἔφη αὐτῷ παραινῶν καὶ λέγ.* O. — [6] *om.* VBCS. — [7] *κατ. ἐκ τ. οὐ.* BC. — [8] *del.* V. — [9] *τὸ ἐμ. ἀ. τὸ θ. om.* V. — [10] *πατρός add.* S. — [11] *αὐτὸς οὖν ἀκ. ὀφ.* B. — [12] *συλώμενον* WOB, *συλλούμενον* S. — [13] *ὅταν* S. — [14] *μεταλάμβανε καὶ αὐτὸς* S. — [15] *τοῦ ἄρτου* S. — [16] *ἔψεμα* VWM ; *τοῦ παρατιθεμένου ἐψήματος* BS. — [17] *om.* S ; *μετελάμβανε* V. — [18] *τῷ σ. μάλ.* WOM. — [19] *om.* WO. — [20] *ἀλλὰ σεαυτὸν* B. — [21] *δουλαγωγῆς* (?) S ; (*ἐ. κυβ.*) *ἔσο κυβερνῶν ἑαυ.* O. — [22] (*ἄ. ἀν*) *ἄχρι* C, *ἄχρις οὗ* S. — [23] *τῷ* S.

δαίμονα [24] · *πολὺς* [25] *γάρ σοι ἐπίκειται* [26]. » Ὁ δὲ ἀκούσας πρὸς μὲν τὸ παρὸν ἐπείσθη τῇ συμβουλίᾳ, αὖθις δὲ ἐπηκολούθει τῇ πλάνῃ, λέγων · « Τί τοῦτο [27] ; ποῦ γέγραπται · μὴ νηστεύσῃς, μὴ ἀσκήσῃς ; » Οὕτως οὖν αὐτοῦ [28] ταῖς οἰκείαις ἐξακολουθοῦντος ὁρ-
5 μαῖς κατεκυρίευσεν [29] ὁ ἐχθρός [30]. Καὶ καλέσας [31] ὁ μέγας τὸν Θεόδωρον λέγει αὐτῷ · « Οἶδας ὅτι σφόδρα με λυπεῖ τὰ κατὰ τὸν ἀδελφὸν τόνδε [32]. Ἀπελθὼν τοίνυν ἐπίσκεψαι αὐτὸν καὶ γνῶθι τί διαπράττεται. » Ὁ δὲ πορευθεὶς εὗρε [33] μὲν [34] αὐτὸν ὠσανεὶ εὐχόμενον, παρηλλαγμένα δὲ ῥήματα προϊέμενον καὶ ἄσημα παντε-
10 λῶς. Καὶ ἐπανελθὼν ἐδήλωσε τῷ μεγάλῳ τὴν ἀδολεσχίαν αὐτοῦ. Διαλογιζόμενος δὲ ὁ Θεόδωρος [35] τὴν ἐνέργειαν τοῦ διαβόλου καὶ τὸν ποικίλον αὐτοῦ πρὸς ἡμᾶς πόλεμον, ἐθαύμασε καὶ ἐφοβήθη σφόδρα, ἐννοῶν μεθ' ὅσης ἄρα νήψεως ἀγωνίζεσθαι τὸν μονάζοντα [36] χρὴ πρὸς τὰς ἀντιτέχνους [37] ὁρμὰς τοῦ ἀντιπάλου [38]. Ἐλθόν-
15 τος οὖν τοῦ ἁγίου καὶ [39] εὐχὴν ποιήσαντος ὑπὲρ αὐτοῦ [40], ὁ πανοικτίρμων κύριος ἡμῶν [41] Ἰησοῦς Χριστὸς ἰάσατο αὐτόν. Καὶ αὐτὸς [42] σωφρονισθεὶς ἐφύλαξεν ἑαυτὸν τοῦ λοιποῦ, τοῖς ἔμπροσθεν Phil. 3, 13. ἐπεκτεινόμενος.

55 [1]. Ἔλεγεν οὖν τοῖς συνελθοῦσιν ἀδελφοῖς ὁ Παχώμιος · « Με- Φ 73.
20 γάλης δεῖ νήψεως, ἀδελφοί, πρὸς τὸ σωθῆναι. Καὶ γὰρ ἀκούω [2] τῶν πονηρῶν πολλάκις καυχωμένων δαιμόνων [3] ἐφ' οἷς ἀπατῶσι τοὺς ἀσκητὰς καὶ ἄλλων ὀλολυζόντων καὶ λεγόντων [4] · « Ὁ δεῖνα ἔστη [5] εἰς προσευχὴν ἐκτενῶς · καὶ μὴ φέροντες τὴν καῦσιν ἀνεχωρήσαμεν. » Τοιγαροῦν τηρήσατε ἑαυτοὺς πάντοτε καὶ τειχίζεσθε
25 τῷ ὀνόματι τοῦ Χριστοῦ · τῷ γὰρ θελήματι αὐτοῦ ἐξακολουθούντων ἡμῶν [6], οἱ ἐχθροὶ πρὸς ἡμᾶς [7] οὐκ ἰσχύσουσι [8] · τέφρα γάρ εἰσι καὶ καπνός, καὶ οὐκ ἔστιν ἐν [9] αὐτοῖς ὑπόστασις ἀπὸ προσώπου τῶν φοβουμένων τὸν Κύριον. »

Ταῦτα εἰπὼν ὥσπερ ἔνθους ἐγένετο · καὶ [10] *ἔστη ἐπὶ ὥραν ἱκα-* Φ 74.

[24] *δαίμονι* S. — [25] *πολὺ* C. — [26] *π. γ. σ. ἐ. om.* W. — [27] *τί τ. om.* B. — [28] (*οὕτ. οὖν αὐ.*) *καὶ οὕτω* B. — [29] *αὐτοῦ add.* S. — [30] *αὐτοῦ add.* B. — [31] (*καὶ καλ.*) *καλ. δὲ* B. — [32] *τὸν δεῖνα* S. — [33] *ηὗρεν* VS. — [34] WOM ; *om. ceteri.* — [35] *ὁ θ. om.* B. — [36] *μοναχὸν* S. — [37] *κακοτέχνους* S. — [38] *διαβόλου* O, *τῶν ἀντιπάλων* S. — [39] *τὴν add.* S. — [40] *ἐπακούσας add.* B. — [41] *om.* B. — [42] (*καὶ αὐ.*) *ὃς καὶ* B.

55. — [1] *λδ'* WO, *μδ'* M. — [2] *ἀκούων* V. — [3] *om.* B. — [4] *καὶ λεγ. om.* V. — [5] *ἔστιν* V, *ante corr.* C. — [6] *corr., prius ὑμῶν* O ; *ὑμῶν* VCWMS ; *εἰ γὰρ τῷ θελ. αὐτοῦ ἐξακολουθείημεν* B. — [7] *ὑμᾶς* MS. — [8] *ἰσχύουσι* WOM. — [9] *om.* BO ; *sup. lin.* S. — [10] *sup. lin.* W ; (*ἐγέν. καὶ*) *γενόμενος* O.

νήν. Εἶτα καλεῖ τὸν οἰκονόμον τῆς μονῆς καὶ λέγει αὐτῷ [11] ἠρέμα· « Ἀπελθὼν [12] εἰς τόδε τὸ κελλίον, γνῶθι τίς ἐστιν ὁ [13] ἐκεῖ [14] καταφρονῶν τῆς οἰκείας ψυχῆς· καὶ μάρτυς γενοῦ τῆς βλάβης αὐτοῦ, ἐπιστάμενος σαφῶς τὸ ἐνταῦθα γεγονός. Ἔστω γὰρ οὐ παρεγένετο τὸν τοῦ Θεοῦ λόγον [15] ἐπακοῦσαι [16] ἐνταῦθα, ὅπως δυναμωθῇ κατὰ τοῦ θλίβοντος καὶ ἕλκοντος αὐτὸν εἰς τὸν κόσμον· τίνος ἕνεκεν οὐκ εὔχεται ἐκεῖσε [17], ἀλλὰ καθεύδει; Οὐκ οἶδα εἰ οὗτος [18] γίνεται [19] μοναχός. » Καὶ οὕτως μετ' ὀλίγον χωρισθεὶς τῶν ἀδελφῶν ἀνέλυσεν εἰς τὸν κόσμον, μὴ δυνηθεὶς ἐνεγκεῖν τὸν ἐλαφρὸν [20] τοῦ Κυρίου ζυγόν [21].

Cf. Mt. 11,30.

Φ 75. **56.** Καὶ προσθεὶς ὁ πατὴρ πρὸς τοῦτο [1] πάλιν λέγει· « Εἴπατέ μοι, ἀδελφοί· ἐὰν ᾖ οἰκία ἔχουσα μονὰς ἑκατὸν διαφέρουσα τῷ οἰκοδεσπότῃ, ἀγοράσῃ δὲ ἄλλος παρ' αὐτοῦ [2] μίαν μονὴν τὴν ἐνδοτέραν, μὴ κωλύεται εἰσελθεῖν εἰς τὸ ἴδιον [3] καταγώγιον;

Gal. 5,22. Οὕτως καὶ ὁ πιστός, ἐὰν ᾖ ἔχων πάντας τοὺς καρποὺς [4] τοῦ πνεύματος, τῇ δὲ οἰκείᾳ ἀμελείᾳ καὶ ἐπιβουλῇ τοῦ ἐχθροῦ ἀλλοτριωθῇ ἑνὸς ἐξ αὐτῶν, δόλῳ τὴν ἀρετὴν [4*] ἀποδόμενος, οὐκ ἔσται ἀσθενὴς ἐν τούτῳ τῷ μέρει, ᾧ [5] ἑκὼν ἐχώρησεν [6]; Ἐὰν γὰρ μὴ νήψας διαναστῇ τῇ ψυχῇ καὶ ἑαυτὸν ἀσφαλίσηται, διὰ τῆς μικρᾶς ταύτης τοῦ ἐχθροῦ παρεισδύσεως πᾶσαν αὐτοῦ τὴν ἀρετὴν [7] προσαπόλλυσιν [8], ὥσπερ οἱ ἐν πολέμῳ πρὸς τοὺς ἀντιπάλους [9] φραξάμενοι καὶ διὰ βραχυτάτου μέρους, οὗπερ κατημέλησαν, πολλάκις τὴν πληγὴν [10] καιρίαν δεξάμενοι καὶ εἰς [11] αὐτὸ τὸ ζῆν κινδυνεύσαντες. Δεῖ οὖν ἕκαστον ἡμῶν ἀσφαλίζεσθαι καὶ πάσαις ταῖς ἀρεταῖς ἑαυτὸν καλλωπίζειν· οὐ μικρὰ γὰρ ζημία τῷ τὴν μικρὰν ἀρετὴν παραβλέψαντι [12]. »

Φ 71. **57** [1]. Καὶ [2] ἄλλοτε δὲ μετὰ τῶν ἀδελφῶν θρύα κοπτόντων διάγοντος αὐτοῦ [3] καὶ [2] αὐτῶν ἤδη μίαν φορὰν [4] εἰς τὸ πλοῖον ποιησαμένων [5],

[11] εἶτα λέγει τῷ οἰκονόμῳ τῆς μον. S. — [12] « Ἤρεμα ἀπ. WOM. — [13] VWOM ; om. ceteri. — [14] ὁ add. BC. — [15] τῶν τοῦ θ. λόγων OS. — [16] ἀκοῦσαι B. — [17] ἐκεῖ B. — [18] οὕτως VM. — [19] γένηται S. — [20] ἐλαφρότατον S. — [21] καὶ τὰ μὲν κατ' ἐκεῖνον τοιαῦτα add. B.

56. — [1] τούτῳ WO ; (καὶ - τοῦτο) ὁ δὲ πατ. προσθ. B. — [2] ἀγοράσει παρ' αὐτοῦ τις S. — [3] εἰς τὸ ἴδ. εἰσ. B. — [4] π. τ. κ. ἔχων B. — [4*] *bis scriptum in* V. — [5] ὡς V. — [6] ἐξεχώρησεν S, ἐχωρίσθη τοῦ ἀγαθοῦ B. — [7] (αὐ. τ. ἀρ.) τ. ἀρ. αὐτοῦ O. — [8] προσαπολλύει WOM. — [9] μὴ add. S. — [10] τ. πλ. om. B. — [11] (καὶ δία - καὶ εἰς) καὶ περὶ S. — [12] παριδόντι B ; (οὐ μικρὰ - παρ.) om. S.

57. — [1] λε′ WO, με′ M. — [2] om. B. — [3] (διάγ. αὐ.) διάγοντα B. — [4] μίαν ἤδη φ. WOMS ; μίαν αὐτῶν ἤδη εἰσφορὰν B. — [5] ποησαμένων W.

συνέβη τὸν ἅγιον ἐκεῖνον [6] ἐξαίφνης ἐν ἐκστάσει [7] γενόμενον ὁρᾶν τοὺς ἑαυτοῦ [6] ἀδελφοὺς ἅπαντας, καί τινας μὲν αὐτῶν πυρὶ φλογίζοντι περιεχομένους [8] καὶ ἐκφυγεῖν πάντη μὴ δυναμένους, ἄλλους [9] δὲ ἐπ' ἀκανθῶν ἱσταμένους ἀνυποδέτους [10] καὶ ἐν [6] τοῖς σκόλοψιν ἐμπλεκομένους καὶ μὴ ἰσχύοντας εἰς τὸ παντελὲς ἀπ' αὐτῶν [11] διαδρᾶναι, ἑτέρους ἐπὶ μέρους [12] κρημνοῦ ὑψηλοτάτου ἑστηκότας, ὑφ' ὃν πλατύτατος ἐτύγχανε κυκλόθεν [13] ποταμὸς κροκοδείλων [14] ἀνάπλεως, ὡς μήτε τοῦ κρημνοῦ αὐτοὺς ἀναχωρεῖν δύνασθαι, μητ' αὖ [15] βάλλειν [16] ἑαυτοὺς [17] ἐν τῷ ποταμῷ [18] διὰ τὴν τῶν θηρίων πληθύν [19]. Ἔτι δὲ αὐτοῦ οὕτως ἑστηκότος, οἱ τὰ φορτία [20] ἀποθέμενοι ἀδελφοὶ παρέστησαν αὐτῷ εἰς εὐχήν [21]· καὶ αὐτοῦ εἰπόντος τὸ [22] ἀμήν, ἀνεχώρησαν τῆς ὁδοῦ. Τῆς οὖν ἑσπέρας καταλαβούσης καὶ αὐτοῦ τὸ ὅραμα τοῦτο, ὡς ἐνῆν, διηγουμένου, ἐδάκρυον ἅπαντες. Καὶ ἐρωτηθεὶς παρὰ τῶν ἀδελφῶν [23] τί ἂν εἴη τοῦτο, φησὶ πρὸς αὐτούς· « Γινώσκω ὅτι μετὰ τὴν ἄφιξίν [24] μου ἔσται τοῦτο ἐν τοῖς ἀδελφοῖς, ὥστε [25] μὴ δύνασθαι εὑρεῖν αὐτοὺς τὸν ἰσχύοντα, καθὼς δεῖ, ἀπὸ τῶν πολλῶν θλίψεων τούτους παραμυθήσασθαι καὶ πρὸς τὸ βέλτιον [26] τῶν ἀγαθῶν ἐντολῶν χειραγωγῆσαι. »

Φ 78. Τότε [27] καταλαβόμενος Θεόδωρον [28] ἱκανὸν τῷ πνεύματι καὶ δυνάμενον [29] ὠφελῆσαι πολλούς [30], κατέστησεν [31] οἰκονόμον τῆς μονῆς [32] τῆς ἐν τῇ [22] Ταβεννήσει [33]. Αὐτὸς δὲ κατῴκει [34] ἐν ἑτέρᾳ μονῇ, ἔνθα καὶ [35] οἰκονομία ἦν [36] τῶν ἄλλων [37] μοναστηρίων [38]. Ὁ δὲ Θεόδωρος ἐν οὐδενὶ θέλημα τὸ ἴδιον [39] ἔπραττε [40], καθότι ἐπύρωσεν [41] αὐτὸν ὁ λόγος τοῦ Θεοῦ καὶ ἐστήριξε τὰ ἄνω φρονεῖν. Καὶ [42] προκόπτων συνήθως ὠφέλει τοὺς ἀδελφούς.

Ps. 104,19. Col. 3, 2.

[6] om. B. — [7] ἐν ἐκστ. ἐξ. O. — [8] περιερχομένους WO. — [9] ἐνίους B. — [10] ἀνυποδήτους VC, γυμνοῖς τοῖς ποσὶ B. — [11] ἀπ' αὐ. om. O. — [12] μέρος BS. — [13] κύκλῳ B. — [14] κορκοδήλων V. — [15] μηταῖ V, μήτε S. — [16] βαλεῖν WOM, πάλιν (?) S. — [17] om. S, αὐτοὺς C. — [18] εἰς τὸν ποταμὸν B ; διέρχεσθαι add. S. — [19] διὰ τὸ πλῆθος τῶν θ. B. — [20] φορτικὰ MS. — [21] (ἔτι - εὐχ.) ἔτι δὲ αὐτῷ οὕτως εἰς εὐχὴν ἑστηκότι παρέστησαν οἱ τὰ φ. ἀποθ. ἀδ. B. — [22] om. S. — [23] (τ. ἀ.) τινων B. — [24] ἀναχώρησίν B. — [25] ὡς M. — [26] διὰ add. B. — [27] ιζ′ praemittit W. — [28] θεόδωρος V ; (τότε κ. θ.) κατανοήσας δὲ τὸν θ. B. — [29] δυνάμενοι V. — [30] in marg. B. — [31] αὐτὸν add. B. — [32] τῆς μ. om. BOS. — [33] ταβεννίση O, ταβεννήσω S, ταβενίση B ; μονῆς add. BOS. — [34] κατώκησεν BC. — [35] ἦ add. BC. — [36] οἰκονομίαν ἦν ποιῶν S. — [37] (ἦν τ. ἄλλ.) τ. ἄ. ἦν WOM. — [38] (ἦν τ. ἄ. μον.) τ. ἄ. μ. ἦν B. — [39] (θέλ. τὸ ἴ.) θέλημά τι ἴδιον B, θελήματι ἴδιον C, θελήματι ἰδίω S. — [40] (θέλ. τὸ ἴ. ἔ.) τὸ ἴ. ἔ. θ. O. — [41] ἐνίσχυσεν B. — [42] διὸ καὶ B.

Φ 70. **58** [1]. *Ἐγένετο δὲ μιᾶς* [2] *τῶν ἡμερῶν μετὰ τὴν ἑωθινὴν λειτουργίαν καθεσθέντα* [3] *τὸν Παχώμιον καλέσαι τὸν πρὸς ταῖς θύραις ἀδελφὸν καὶ εἰπεῖν· « Εἰσίν τινες θέλοντες ἀποτάξασθαι; » Λέγει αὐτῷ· « Εἰσίν· εἷς γέρων, καὶ ἀπὸ μίμων ἄλλος, Σιλβανὸς ὀνόματι. » Καί φησιν ὁ μέγας* [4]*· « Κάλεσον αὐτοὺς ἐνταῦθα. » Εἰσαχθεὶς* [5] *δὲ ὁ πρεσβύτης* [6] *προσέπεσε τοῖς ποσὶ* [7] *καὶ φωνῇ μεγάλῃ ἐξωμολογεῖτο λέγων· « Δέομαι ὑμῶν· ἐσπέρας ἑνὸς τῶν ἀδελφῶν ἐν τῷ φρέατι καταβάντος, ἐξενίσθην θεασάμενος* [8] *καὶ κακῶς ἐλογισάμην περὶ σοῦ, λέγων πρὸς ἐμαυτόν· οὗτος ὁ ἄνθρωπος φονεύς ἐστιν, ὅτι τοὺς ἀδελφοὺς ταύτῃ τῇ ὥρᾳ* [9] *εἰς τὸ φρέαρ κατελθεῖν ἐπείγει. » — Καὶ γὰρ ἦν κελεύσας* [10] *ἑσπέρας* [11] *καθαρισθῆναι* [12] *αὐτό* [13]*. — « Εἶδον οὖν κατ' ὄναρ* [14] *ἑαυτὸν* [15] *μὲν ἐν μέσῳ τῶν ἀδελφῶν, ἄνδρα δέ τινα* [16] *ἐν ἐσθῆτι λαμπρᾷ λέγοντα πρὸς αὐτούς· Λάβετε ὑμεῖς πνεῦμα ὑπακοῆς. Ἐμοὶ δέ φησι· Λάβε πνεῦμα ἀπιστίας. Δέομαι οὖν, εὔξασθε ὑπὲρ ἐμοῦ. » Εὐξάμενος οὖν* [17] *καὶ ἀξίως κατηχήσας, αὐτόν τε* [18] *συνηρίθμησε τῇ* [19] *πνευματικῇ*

Λ 2. *συνοδίᾳ* [20]*· καὶ τὸν* [21] *Σιλβανὸν καλέσας λέγει πρὸς αὐτόν* [22]*· « Βλέπε, ἀδελφέ* [23]*· κόπος ἐστὶ καὶ χρεία νηφούσης ψυχῆς καὶ σώφρονος λογισμοῦ πρὸς τὸ δυνηθῆναι* [24] *μετὰ τὴν χάριν τοῦ Θεοῦ ἀντισχεῖν πρὸς τὸν θλίβοντα, τῆς προτέρας μάλιστα συνηθείας ὠθούσης ἐπὶ τὸ χεῖρον. » Καὶ συνταξαμένου αὐτοῦ* [25] *πάντα ποιεῖν κατὰ τὴν διδαχὴν τοῦ μεγάλου* [26]*, εἰσεδέξατο αὐτὸν* [27] *ὁ πατήρ.*

59. *Οὗτος* [1] *ἐπὶ πολὺν* [2] *χρόνον ἀγωνισάμενος* [3] *αὖθις* [4] *ἤρξατο καταμελεῖν τῆς ἑαυτοῦ σωτηρίας καὶ ἕλκεσθαι πρὸς σπατάλην* [5] *καὶ ταῖς εὐτραπελίαις θέλγεσθαι, ἔτι* [6] *μὴν καὶ τὰ τῆς θυμέλης ἄσεμνα ῥήματα ἀδεῶς μεταξὺ τῶν ἀδελφῶν τραγῳδεῖν. Τοῦτον*

58. — [1] *Lemma: λς' (μς'* M) *περὶ Σιλβανοῦ τοῦ ἀπὸ μίμων* WOM. — [2] *μιᾶ* CS. — [3] *καθίσαντα* B. — [4] *γέρων* WO. — [5] *εἰσελθὼν* B. — [6] *πρεσβύτερος* S. — [7] *αὐτοῦ add.* B, *τοῦ ἁγίου add.* S. — [8] *ἑσπέρας τῶν ἀδ. ἕνα εἰς τὸ φρέαρ καταβάντα θεασ. ἐξεπλάγην* B. — [9] *τῇ ὥρα ταύτῃ* WO. — [10] *(ἦν κελ.) ἐκέλευσεν* B. — [11] *(κελ. ἑσπ.) ἑσπ.* — [12] *ἐκκαθαρθῆναι* B. — [13] *τοῦτο* WOMS. — [14] *καθόναρ* V. — *κελ.* O. — [15] *ἐμαυτὸν* B. — [16] *ἕνα* S. — [17] *(εὐξ. οὖν) καὶ εὐξ.* WO. — [18] *om.* S. — [19] *sup. lin.* V. — [20] *συνόδῳ* B. — [21] *(κ. τ.) τ. δὲ* S. — [22] *(πρ. αὐ.) αὐτῷ* B. — [23] *ὅτι add.* S. — [24] *δύνασθαι* S. — [25] *(καὶ συντ. αὐ.) τὸν δὲ συνταξάμενον* B. *Hinc rursus cod.* H. — [26] *(τ. μεγ.) αὐτοῦ* B. — [27] *om.* B.

59. — [1] *οὕτως* V, *τοίνυν add.* BO. — [2] *πολὺν* V. — [3] *ἀγωνι* ////// V. — [4] *εἶτα* B, *om.* VC. — [5] *τὰ τοῦ κόσμου μάταια* S. — [6] *γε add.* B.

καλέσας ὁ ἅγιος πατὴρ μετὰ εἰκοσαετῆ [7] *τῆς ἀσκήσεως χρόνον ἐκέλευσεν ἐπὶ τῶν ἀδελφῶν ἀποδυθῆναι τὸ σχῆμα τοῦ μοναχοῦ* [8] *καὶ λαβόντα* [9] *τὰ κοσμικὰ ἱμάτια* [10] *ἐκβληθῆναι τῆς μονῆς. Ὁ δὲ πεσὼν πρὸς τοῖς ποσὶ τοῦ ἁγίου γέροντος παρεκάλει λέγων· « Ἔτι τοῦτο συγχώρησόν μοι, πάτερ, καὶ πιστεύω εἰς τὸν σῴζοντα τοὺς ἀσθενεῖς δεσπότην Χριστόν, ὅτιπερ ἔξεις με* [11] *μετανοοῦντα ἐφ' οἷς ἐν ἀμελείᾳ διῆγον* [12]*, ὥστε σε* [13] *ἡσθέντα ἐπὶ τῇ μεταβολῇ τῆς ψυχῆς μου εὐχαριστῆσαι* [14] *τῷ Θεῷ. » Ὁ δὲ μέγας ἀποκριθεὶς* [15] *λέγει πρὸς αὐτόν· « Οἶδας πόσα σε ἐβάστασα, ὡς ἀναγκασθῆναί* [16] *με* [15] *καὶ πληγαῖς πολλάκις* [17] *σοι χρήσασθαι, ἄνθρωπον μηδέποτε ἐπ' ἄλλον* [18] *τοιοῦτόν τι ἐνδειξάμενον* [19] *ἢ κἂν ἐκτεῖναι χεῖρα* [20] *πρός τινα βουληθέντα* [21]*. Ἐφ' οἷς γοῦν καὶ* [22] *ἠναγκαζόμην* [23] *ἐπὶ σοῦ* [24] *μόνου* [25] *τοῦτο* [26] *ποιεῖν* [27]*, μᾶλλόν σου* [28] *τυπτομένου ἤλγουν* [29] *μου* [30] *τὴν ψυχὴν τῷ τῆς συμπαθείας θεσμῷ. Οὐδενὸς γὰρ* [31] *ἑτέρου ἕνεκεν ἀλλ' ἢ διὰ τὴν σωτηρίαν τὴν σὴν* [32] *τοῦτο ποιεῖν ἐδόκουν, ὅπως κἂν* [33] *οὕτως δυνηθῶ διορθώσασθαί σε* [34] *τῶν πταισμάτων* [35]*. Εἰ τοίνυν τοσαύτας* [36] *παραινέσεις δεξάμενος ἐπὶ τὸ κρεῖττον ἐλθεῖν οὐκ ἠβουλήθης* [37] *οὔτε μὴν πληγαῖς αἰκιζόμενος αἱρήσασθαι* [38] *τὸ συμφέρον* [39]*, πῶς δύναμαι ἐγὼ ἐπὶ πολὺ μέλος νενοσηκὸς τῇ ποίμνῃ τοῦ* [40] *Χριστοῦ συγχωρεῖν συναγελάζεσθαι· μή πως ἡ τοῦ ἑνὸς πᾶσι* [41] *συναναχρωσθεῖσα* [42] *ψώρα οὐκ ὀλίγον αὐτῆς* [43] *προσλυμανεῖται* [44] *τὸ* [45] *μέρος. » Τούτου τοίνυν οὕτως ἀνθισταμένου* [46]*, κἀκείνου* [47] *ἐπὶ πλεῖον τὴν παράκλησιν ἐπεκτείνοντος* [48] *διαβεβαιουμένου τε* [49] *διορθοῦσθαι* [50] *ἑαυτὸν* [40] *τοῦ*

[7] *εἰκοσιετῆ* O. — [8] *τὸ μοναχικὸν σχῆμα* S. — [9] *λαβεῖν* S, *βαλόντα* H. — [10] *καὶ add.* S. — [11] *om.* S. — [12] *διήγαγον* H. — [13] *om.* C. — [14] *(ὥστε - εὐχ.) καὶ ἡσθεὶς ἐπὶ τῇ τῆς ψ. μου μεταβ. εὐχαριστήσεις* B. — [15] *om.* B. — [16] *ἀναγκαθῆναι* B. — [17] *(καὶ πλ. πολλ.) πολλ. καὶ πλ.* H ; *ἐπὶ add.* B. — [18] *ἄνθρ. ἐπ' ἄλλ. μηδέπ.* H, *μηδέπ. ἐπ' ἄλλ. ἄνθρ.* S. — [19] *(ἄνθρ. - ἐνδειξ.) ὃς οὐδέποτε ἐπ' ἄλλῳ τινὶ τοιοῦτόν τι ἐνδειξάμην* B. — [20] *μου add.* S. — [21] *βουληθεὶς* B. — [22] *om.* B. — [23] *ἐφ' οἷς γ. κ. ἠν. om.* S. — [24] *δὲ add.* S. — [25] *om.* H ; *ἐπὶ σοὶ μόνῳ* B. — [26] *ἠναγκαζόμην add.* S. — [27] *καὶ add.* H. — [28] *τοῦ add.* S. — [29] *ἀλγῶν* S. — [30] *ἐγὼ* B. — [31] *om.* S. — [32] *διὰ τὴν σὴν σωτηρίαν* S. — [33] *ἂν* S. — [34] *om.* H. — [35] *τ. πτ. om.* B. — [36] *τοσαύταις* W. — [37] *ἐβουλήθης* W. — [38] *σε add.* S. — [39] *(οὔτε - συμφ.) om.* B ; *(αἱρ. τὸ σ.) τὸ σ. προκρῖναι* O. — [40] *om.* B. — [41] *πάσῃ* M. — [42] *συναναχρωθεῖσα* H. — [43] *αὐτοῖς* WO, *αὐτῇ* S. — [44] *λυμήνηται* B, *προσλάβηται* S. — [45] *om.* BS. — [46] *(τούτου - ἀνθ.) οὕτω τοίνυν ἀνανεύων ὁ θεῖος παχώμιος* B. — [47] *ἐκείνου* B. — [48] *ἐπιτείνοντος* BH. — [49] *τὸ* S, *τοῦ* H. — [50] *διορθώσασθαι* H.

λοιποῦ, ἐγγύας [51] παρ' αὐτοῦ [52] ἤτει ὁ Παχώμιος [53], ὥστε μὴ τοῖς αὐτοῖς [54] ἐπιμένειν πάλιν. Πετρωνίου τοίνυν, ἀνδρὸς ἁγίου καὶ θαυμαστοῦ, ἀναδεξαμένου αὐτὸν ἐφ' οἷς ὑπισχνεῖτο [55], συνεχώρησεν αὐτῷ [56] ὁ μακάριος · καὶ ἐπευξάμενος παρέδωκε τῷ Πετρωνίῳ.

60. Ὁ δὲ τυχὼν τῆς ἀφέσεως ταύτης [1] οὕτως ἑαυτὸν ἐταπείνωσεν, ὥστε αὐτὸν ὑπογραμμὸν γενέσθαι πολλοῖς [2] κατὰ πᾶσαν μὲν
Λ 3. ἀρετὴν θεοσεβείας, ἐξαιρέτως δὲ ἐν τοῖς κατὰ Θεὸν δάκρυσι πάσῃ τῇ ἀδελφότητι · ὡς καὶ ἐσθίοντος αὐτοῦ [3] πολλάκις μὴ δύνασθαι ἐπισχεῖν τὴν τῶν δακρύων φορὰν ποταμηδὸν γινομένην, ἀλλὰ συμμίγνυσθαι καὶ αὐτῇ [4] τῇ ἀναγκαίᾳ [5] τροφῇ [6] καὶ πληροῦσθαι ἐπ'
Ps. 101,9. αὐτῷ τὸ δανιτικὸν ἐκεῖνο [7] τό [8] · « Σποδὸν ὡσεὶ ἄρτον ἔφαγον καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. » Λεγόντων δὲ αὐτῷ τῶν ἀδελφῶν, μὴ ἐπὶ ξένων ἢ ὅλως τινῶν ἑτέρων τοῦτο ποιεῖν, διϊσχυρίζετο λέγων ὅτι · « Πολλάκις βουληθεὶς ἐγκρατεύσασθαι ταύτης μάλιστα τῆς αἰτίας [9], ὅλως οὐκ ἠδυνήθην [10]. » Αὐτῶν δὲ πάλιν δυνατὸν εἶναι λεγόντων καθ' ἑαυτὸν μὲν [11] ἐν κατανύξει τοῦτο ποιεῖν καὶ ἐν τῇ προσευχῇ, ἐπὶ δὲ τῆς τραπέζης ἐσθίοντα ἐγκρατεύεσθαι [12] · « Δύναται γάρ, ἔφασκον, ψυχὴ καὶ χωρὶς τῶν ἔξωθεν [13] δακρύων πάντοτε ἐν κατανύξει εἶναι, » καὶ ἀναγκαζόντων μαθεῖν τίνος ἕνεκεν βρέχεται τοῖς δάκρυσι, μᾶλλον δὲ κωλυόντων — ἐρυθριᾶν γὰρ ἔλεγον [14] « ὡς [15] πολλοὺς ἐξ ἡμῶν εἰς σὲ βλέποντας μήτε [16] ἐσθίειν [17] » — φησὶ πρὸς αὐτούς [18] · « Οὐ βούλεσθε, ἀδελφοί, ἵνα κλαύσω, ὁρῶν ἁγίους ὑπηρετοῦντάς μοι, ὧν καὶ ὁ κονιορτὸς τῶν ποδῶν μέγας ἐμοὶ καὶ [19] οὐδ' ὅλως ἐγὼ ἀντάξιός [20] εἰμι [21]; Οὐκ ὀφείλω οὖν πενθεῖν, εἴπατέ μοι [22], ὅτι ἀπὸ θυμέλης ἄνθρωπος ὑπηρετοῦμαι παρὰ [23] τοιούτων ἁγίων ἀνδρῶν [24]; Πενθῶ οὖν, ἀδελ-
Num. 16,32 φοί μου, φοβούμενος ἐφ' ἑκάστης [25], μή πως κατὰ Δαθὰν καὶ

[51] ἐγγυᾶς VWH. — [52] αὐτὸν W. — [53] ὁ π. om. B. — [54] αὐτὸν add. S. — [55] ἐπισχνεῖτο S. — [56] αὐτὸν S.

60. — [1] om. BS. — [2] (γέν. πολλ.) τοῖς π. γ. S. — [3] ἐσθίοντα αὐτὸν B. — [4] αὐτὴν O ; καὶ αὐ. om. H. — [5] om. S. — [6] αὐτοῦ add. S. — [7] λόγιον add. BCS. — [8] ὅτι S, τὸ ὅτι H. — [9] ἕνεκεν add. O. — [10] ἐδυνήθην W, ἠδυνήθη H. — [11] om. BC. — [12] ἐγκρατεύσασθαι S. — [13] ἔξω B. — [14] ἔλεγεν W. — [15] om. S. — [16] βλέποντες μηδὲ S. — [17] ὡς πολλ. ἡμῶν μηδὲ ἐσθ. εἰς σὲ βλέπ. B ; ὁ δὲ add. BC. — [18] πρ. αὐ. om. B. — [19] οὗ H, ὧν add. S. — [20] ἄξιος S. — [21] ἐμοί H ; (καὶ οὐδ' - εἰμι) om. B. — [22] (πενθ. εἴπ. μ.) εἴπ. μ. δακρύειν B. — [23] τῶν add. O. — [24] (ὅτι ἀπὸ - ἀνδρ.) om. S. — [25] (ἀδ. μου φοβ. ἐφ' ἑκ.) ἐφ' ἑκ. φοβ. ἀδ. μου H,

Ἀβειρὼν [26] τοὺς βεβήλους καταποθῶ, ἐπιχειροῦντας [27] πονηραῖς προαιρέσεσι καὶ χερσὶν οὐ καθαραῖς θυμιᾶν εἰς τὰ ἅγια, ὅτι τοσαύτην γνῶσιν δεξάμενος τῆς κατὰ ψυχὴν ἀμελῶ [28] σωτηρίας. Διὰ τοῦτο οὐκ ἐπαισχύνομαι τοῦτο [29] · οἶδα γὰρ τὰς πολλάς μου ἁμαρτίας · διὸ εἰ καὶ [30] αὐτὴν τὴν ψυχὴν [31] ἐπέδωκα [32], ξένον οὐδὲν ἐποίουν. »

61 [1]. Τούτου οὕτως [2] ἐπὶ πολὺ ἀγωνιζομένου [3], διεμαρτύρατο *Λ 4.* πάλιν περὶ τούτου [4] ἐπὶ πάντων ὁ μέγας [5] · « Ἰδού, ἀδελφοί, διαI Tim. 5,21. μαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἀφ' οὗ τὸ κοινόβιον τοῦτο γέγονεν, οὐδένα ἐκ πάντων τῶν συνόντων μοι ἀδελφῶν οἶδα μιμησάμενον τὴν ἐμὴν ταπείνωσιν, εἰ μὴ ἕνα [6] μόνον [7]. » Ἀκούσαντες δὲ ταῦτα [8] οἱ ἀδελφοί, οἱ μὲν ᾤοντο τὸν ἕνα [9] τοῦτον εἶναι [10] Θεόδωρον, ἄλλοι Πετρώνιον [11], ἕτεροι δὲ [12] Ὁρσίσιον [13]. Πυθομένου οὖν τοῦ Θεοδώρου [14] περὶ τίνος ἔλεγεν [15], οὐκ ἐβούλετο [16] ὁ μέγας εἰπεῖν. Αὐτοῦ δὲ πάλιν οφοδρότερον ἐπιμένοντος καὶ τῶν ἄλλων μεγάλων ἀδελφῶν παρακαλούντων [17] τίς ἂν εἴη οὗτος, ἀπεκρίθη [18] ὁ μέγας [19] λέγων · « Εἰ ἠπιστάμην ὅτι κενοδοξεῖν εἶχεν [20] ἐπαινούμενος περὶ οὗ μέλλω λέγειν [21], οὐκ ἂν συνέστησα τὸν [22] τοιοῦτον. Ἀλλ' ἐπειδὴ χάριτι Χριστοῦ οἶδα ὅτι ἐπαινούμενος μᾶλλον ταπεινοῖ ἑαυτόν, διὰ τοῦτο πρὸς τὸ μιμεῖσθαι [23] ὑμᾶς τὸν τοῦ [24] τοιούτου [25] τρόπον [26], ἀφόβως ἐπὶ πάντων ὑμῶν μακαρίσω αὐτόν. Σὺ μὲν γάρ, ὦ [27] Θεόδωρε καὶ ὅσοι εἰσὶ κατὰ σὲ ἐν τῇ μονῇ ἀγωνιζόμενοι [28], δήσαντες τὸν διάβολον ὡς στρουθίον ὑπὸ τοὺς πόδας Cf. Iob 40,24. ὑμῶν ἔθεσθε [29] καὶ καθ' ἑκάστην διὰ τῆς χάριτος τοῦ Χριστοῦ καταπατεῖτε τοῦτον ὡς χῶμα · ἀλλ' [30] ἐὰν ἀμελήσητε [31] ἑαυτῶν [32],

[26] ἀβηρὼν CMW, ἀβηρὸν V. — [27] B ; ἐπιχειρούντων *ceteri*. — [28] ἀμελήσω M. — [29] τούτου H, δακρύων B ; (διὰ τ. - τοῦτο) om. O. — [30] om. H. — [31] μου add. B. — [32] ἀπέδωκα S.

61. — [1] λζ' O. — [2] οὖν S ; καλῶς add. WOMHS. — [3] ἀγ. ἐπὶ πολὺ S. — [4] τοῦτο W. — [5] ὁ μέγ. ἐπὶ πάντ. O ; ἐπὶ πάντ. ὁ μέγ. περὶ τούτου H ; ὁ μέγ. ἐπὶ πάντ. περὶ αὐτοῦ λέγων B. — [6] καὶ add. H. — [7] μιμησ. με ἐκτὸς ἑνός S. — [8] om. H. — [9] τὸν ἕ. om. S. — [10] τὸν add. S. — [11] πετρώνιος V. — [12] om. H. — [13] ὁρσίσιον, *prius* ὁρησίσιον V ; ἕτ. δὲ ὁρσ. ἄλλ. πετρ. B. — [14] πυθομένω οὖν τῷ θεοδώρω B. — [15] λέγει OS. — [16] ἠβούλετο O. — [17] εἰπεῖν αὐτοῖς add. O ; αὐτῷ δὲ πάλ. σφ. ἐπιμένοντι καὶ τοῖς ἄλλοις μεγάλοις ἀδελφοῖς παρακαλοῦσι μαθεῖν B. — [18] ἀπεκρίνατο S. — [19] ὁ μ. om. B. — [20] ἔχει H ; ὁ add. BH. — [21] εἰπεῖν BC. — [22] τὸ H. — [23] μιμήσασθαι BC. — [24] om. HS. — [25] τοιοῦτον H, τούτου S. — [26] τρόπου V ; (τὸν τ. τ. τρ.) αὐτὸν BC. — [27] om. B. — [28] ἀγων. ἐν τῇ μον. H, — [29] ἔσεσθε O, — [30] ἀλλὰ VC. — [31] ἀμελήσετε VC. — [32] ἑαυτοῖς S.

ἀναστὰς ὁ ὑπὸ τοὺς πόδας ὑμῶν κείμενος διάβολος φεύξεται [33] καὶ καθ' ὑμῶν μειζόνως στρατεύσεται [34]. Ὁ δὲ νεώτερος [35] Σιλβανός, ὁ πρὸ χρόνου [36] ὀλίγου [37] ἐκβάλλεσθαι [38] παρ' ἡμῶν τῆς μονῆς μέλλων [39] διὰ τὴν αὐτοῦ [40] ἀμέλειαν [41], νῦν ἐχειρώσατο παντελῶς τὸν διάβολον καὶ ἐξηφάνισεν αὐτόν, ὡς μὴ δύνασθαι ἔτι φανῆναι παρ' αὐτῷ [42], τῇ ὑπερβολῇ τῆς ἑαυτοῦ ταπεινοφροσύνης [43] εἰς τέλος νικήσας αὐτόν [44]. Καὶ ὑμεῖς μὲν ὡς ἔχοντες ἔργα δικαιοσύνης θαρρεῖτε ἐφ' οἷς ἤδη ἐπράξατε [45] · οὗτος δὲ ὅσον ἀγωνίζεται, τοσοῦτον ἑαυτὸν ἀδόκιμον ἅπασιν [46] ἐπιδείκνυσιν, ἐξ ὅλης [47] ψυχῆς αὐτοῦ καὶ διανοίας ἄχρειον [48] ἑαυτὸν καὶ εὐτελῆ [49] ἐνθυμούμενος εἶναι [50]. Διὰ τοῦτο γὰρ [51] καὶ τὸ δακρύειν [52] πρόχειρον ἔχει, ἐκ τοῦ πάνυ ἑαυτὸν ἐξευτελίζειν καὶ μὴ [51] λογίζεσθαι τῶν παρ' αὐτοῦ γινομένων [53] κατορθωμάτων μηδέν [54]. Οὐδὲν γὰρ οὕτως τὸν διάβολον ἐκνευροῖ [55], ὡς ἡ μετὰ πρακτικῆς δυνάμεως ἐξ ὅλης ψυχῆς γινομένη ταπεινοφροσύνη. » Οὕτως οὖν ἀγωνιζόμενος ὁ Σιλβανὸς [56] ἐν ἄλλοις [57] ὀκτὼ ἔτεσι πρὸς τοῖς εἴκοσι ἐτέλεσε τὸν δρόμον, μαρτυρηθεὶς ὑπὸ τοῦ θεράποντος τοῦ [58] Θεοῦ καὶ περὶ τῆς ἐξόδου, ὅτι πλῆθος ἀγγέλων μετὰ χαρᾶς μεγάλης τὴν ψυχὴν αὐτοῦ παραλαβόντες [59] ὡς θυσίαν ἐκλεκτὴν προσήγαγον [60] τῷ Χριστῷ [61].

Cf. Tit. 3, 5.

Φ 81a.

62 [1]. Ἀλλὰ ταύτης [2] τῆς καλῆς [3] διαγωγῆς τῆς τε ἐν Χριστῷ πολιτείας αἰσθόμενος [4] καὶ [5] ὁ ἐπίσκοπος τῆς πόλεως [6] Πάνου, Ἄρειος [7] τοὔνομα, τἄλλα [8] πάντα ἐνάρετος [9] καὶ τῆς ὀρθῆς πίστεως

[33] φεύξηται VC. — [34] στρατεύσηται VC ; (φεύξ. - στρ.) ἐπαναστήσεται ὑμῖν S. — [35] ἀδελφὸς S. — [36] om. M. — [37] ὀλ. χρ. S. — [38] ἐκβαλέσθαι M, ἐκβληθῆναι S. — [39] ἔμελλε S ; τῆς μον. παρ' ἡμ. μέλλ. BC. — [40] ἑαυτοῦ WO ; σφῶν M, del. V. — [41] διὰ τῆς σφῶν ἀμελείας H. — [42] αὐτὸν O, αὐτῶν W ; (ὡς μὴ - αὐ.) om. B. — [43] καὶ add. S. — [44] (αὐ.) ὡς μὴ δύνασθαι ἔτι φανῆναι παρ' αὐτῷ B. — [45] (ἤδη ἐπρ.) διεπράξασθε S. — [46] τοσ. ἀδόκ. ἑαυτ. ἐν ἅπ. S. — [47] γὰρ add. S, τῆς add. H. — [48] ἀχρεῖον WOMHS. — [49] ἑαυτὸν add. H. — [50] ἀχρεῖος καὶ εὐτελὴς λογιζόμενος εἶναι B. — [51] om. S. — [52] δάκρυον S. — [53] κατορθουμένων H. — [54] (λογ. - μηδέν) οἴεσθαι μηδὲν εἶναί τι τῶν παρ' αὐτ. γιν. κατ. B. — [55] καταβάλλειν δύναται B. — [56] ὁ σ. ἀγων. B. — [57] ἄλοις B. — [58] om. H. — [59] παραλαβόντων S. — [60] προσήγαγε S. — [61] θεῷ BC.

62. — [1] Lemma : μζ', περὶ τοῦ ἐκκομιζομένου μοναχοῦ M ; λη' WO. — [2] τὸ H. — [3] καλλίστης B. — [4] τὴν ἐν χρ. πολιτείαν μαθὼν S. — [5] om. H. — [6] (καὶ - πόλ.) om. S. — [7] MW ; ἄρριος corr. rec., prius ἄριος O ; πανούριος uno vocabulo VBCHS. — [8] τὰ ἄλλα WOH, τά τε ἄλλα B. — [9] (π. ἐ.) σπουδαῖος B.

θερμὸς ἐραστής, πέμψας διὰ γραμμάτων μετεστείλατο αὐτὸν [10] πρὸς ἑαυτόν, λόγοις τε πλείοσι καὶ θείᾳ πληροφορίᾳ παρακαλῶν καὶ περὶ τὴν [11] πόλιν ἐκείνην δείμασθαι μοναστήρια. Αὐτοῦ τοίνυν πολλῶν ἕνεκα πεισθέντος τῷ ἀνδρὶ μέλλοντός τε [12] παραγίνεσθαι ἐκεῖσε [13], δίκαιον ᾠήθη [14] πρῶτον τὰς φροντιζομένας ὑπ' αὐτοῦ [15] μονὰς ἐπισκέψασθαι.

Λ 5.

Πλησίον τοίνυν [16] μιᾶς τούτων γενόμενος ὑπηντᾶτο [17] προκομιδῇ [18] τετελευτηκότος τινὸς ἀδελφοῦ ἐν ῥαθυμίᾳ ζήσαντος καὶ τοῖς ἀδελφοῖς τῆς μονῆς ἐκείνης ἀκολουθοῦσι τῷ ἐξοδίῳ [19] μετὰ πολλῆς καὶ εὐαρμόστου [20] ψαλμῳδίας, ὄντων [21] ἐκεῖσε [22] καὶ τῶν γονέων, συγγενῶν τε [23] πάντων [24] καὶ φίλων τοῦ κατοιχομένου [25]. Οἱ καὶ θεασάμενοι τὸν ἅγιον [26] ἀπέθεντο τὴν κλίνην, ὅπως ὑπέρ τε αὐτῶν καὶ τοῦ τεθνεῶτος ἀδελφοῦ στὰς [27] ποιήσηται προσευχήν [28]. Προσενέγκας τοίνυν [29] πλεῖον [30] ἢ [31] ἠτήθη [32] τὴν ὀφειλομένην τῷ Θεῷ ἱκεσίαν τε καὶ προσκύνησιν καὶ ἀποστραφεὶς [33] πρὸς αὐτούς · « Παύσασθε μέν, ἔφη, τοῦ ψάλλειν. » Προστάξας δὲ ἐνεχθῆναι τὰ τοῦ τεθνεῶτος ἱμάτια, ἔμπροσθεν πάντων καῆναι [34] ἐκέλευσεν. Εἶθ' οὕτως πάλιν ἐπέτρεψεν [35] ἀρθῆναί τε [36] καὶ ἐκτὸς [37] τῆς νενομισμένης ψαλμῳδίας ταφῆναι τὸ λείψανον [38]. Τῶν οὖν ἀδελφῶν καὶ τῶν γονέων καὶ πάντων δὲ [39] τῶν συγγενῶν τοῦ ἀπελθόντος τὸ καινὸν τοῦτο θέαμα [40] ἐκπλαγέντων καὶ [41] ἱκετευόντων ἐπὶ [42] τὸ [43] τὴν ἐξ ἔθους συγχωρηθῆναι γενέσθαι καὶ ἐπ' αὐτῷ ψαλμῳδίαν, αὐτὸς οὐκ ἠνέσχετο. Πάλιν δὲ αὐτῶν [44] πρὸς αὐτὸν σχετλιαζόντων [45] καὶ λεγόντων [46] · « Τί τὸ καινὸν τοῦ θεάματος, ὦ πάτερ ; Τίς οὐκ ἂν ἠλέησε [47] νεκρὸν κείμενον, εἰ καὶ ἐχθρὸς εἴη [48], ἱκανῆς οὔσης τῆς συμφορᾶς εἰς τοῦτο ἐναγαγεῖν τὸν καὶ αὐτοθήριον [49]

[10] τὸν μέγαν S, τὸν μακάριον παχώμιον B. — [11] corr., prius om. V. — [12] (μέλλ. τε) καὶ μ. S. — [13] (αὐτοῦ - ἐκ.) πολλῶν τοίνυν ἕνεκα πεισθεὶς τῷ ἀνδρὶ καὶ μέλλων ἐκεῖσε παραγίν. B. — [14] ὠήθην VC. — [15] παρ' αὐ. BCH. — [16] δὲ B. — [17] ὑπήντησε B. — [18] πρὸς κομιδὴ S. — [19] (καὶ τοῖς - ἐξ.) ἀκολουθούντων ἐν αὐτῇ καὶ τῶν ἐν τῇ μονῇ ἀδελφῶν B. — [20] τῆς add. B. — [21] ὄντως W. — [22] (ὅ. ἐ.) ἔτι δὲ B. — [23] (συγγ. τε) καὶ σ. B. — [24] om. WOS. — [25] κατοικουμένου V. — [26] παχώμιον in ras. O. — [27] del. V. — [28] εὐχήν S. — [29] (πρ. τ.) ἀνενεγκὼν τ. καὶ B. — [30] πλέον HM. — [31] ἢ C. — [32] ἔδει BC, ἠττήθη V ; πλ. ἢ ἠτ. om. S. — [33] ἐπιστραφεὶς WOMS. — [34] κατακαῆναι H, καυθῆναι S. — [35] π. ἐπ. om. BS. — [36] om. B τὸ λείψανον S. — [37] χωρὶς B. — [38] τὸ λ. om. S. — [39] om. WOMBS. — [40] θαῦμα S. — [41] om. V. — [42] om. B. — [43] om. BS. — [44] om. O. — [45] πάλιν δὲ αὐτοῖς σχετλιάζουσι B. — [46] λέγουσι B. — [47] ἐλεήση S. — [48] ὑπῆρχεν S. — [49] αὐτὸ θηρίον VWMH, αὐτὸν θηρίον C, αὐτόχρημα θηρίον B ; αὐτῶ (om. S) θηρίων ὠμότερον OS.

ὑπάρχοντα ; Καὶ ὡς [50] οὔτε τῇ σῇ ἁγιωσύνῃ πρέπει, καὶ ἡμῖν ὄνειδος μέγιστον ἐκ τούτου προσγίνεται [51] ἄλλα τε πλείονα [52] · καὶ [53] ὡς εἴθε μὴ παρεγενόμεθα [54], εἴθε μὴ ἐγεγόνει [55] οὗτος [56] μοναχός · οὐ γὰρ ἂν κατέλιπε τὴν αἰώνιον ταύτην ὀδύνην ἡμῖν. Δεόμεθα οὖν ἀποδοθῆναι τῇ ὁσίᾳ τοῦ τεθνεῶτος [57] τὴν ψαλμῳδίαν. »

Λ 6. **63.** Ὁ δὲ [1] ἀποκριθεὶς λέγει αὐτοῖς [2] · « Ἀληθῶς, ἀδελφοί, πλέον ὑμῶν οἰκτείρω τὸν κείμενον · καὶ τοσοῦτον ὅσον ὑμεῖς μὲν τοῦ ὑρωμένου τούτου σκήνους ποιεῖσθε πρόνοιαν, ἐμοὶ δὲ περὶ [3] ψυχῆς ὁ λόγος, ἧς ἕνεκα ὡς πατὴρ τὸ τοιοῦτον [4] προστέταχα. Καὶ ὑμεῖς μὲν πλείονα αὐτῷ τὴν ἐκεῖσε [5] ὀδύνην διὰ τῆς νομιζομένης τιμῆς περιποιεῖσθε · ἐγὼ δὲ κἂν γοῦν μερικὴν [6] αὐτῷ ἀπολογίαν [7] ἢ [8] ἄνεσιν διὰ τῆς ἀτιμίας προευτρεπίζω, τούτου ἕνεκα οὐκ. ἐπιμελοῦμαι τοῦ σώματος νεκρωθέντος [9], ἀλλὰ [10] ψυχῆς τῆς ἀθανάτου, τῆς καὶ πάλιν ἄφθαρτον τοῦτο ἀπολαμβανούσης [11] ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἄλλως δέ, εἰ καὶ συγχωρήσω τοῦτο [12] γενέσθαι [13], ὡς ἀνθρωπάρεσκος κριθήσομαι καὶ [14] ἕνεκεν προσκαίρου πληροφορίας τὸ συμφέρον [15] τῆς [16] μελλούσης ἐν κρίσει βασανίζεσθαι ψυχῆς [17] καταφρονήσας. Πηγὴ γὰρ ὑπάρχων ἀγαθότητος ὁ Θεὸς ζητεῖ προφάσεις δι' ὧν δράξασθαι [18] δύναται [19] τοῦ πηγάζειν δαψιλῶς τὴν ἑαυτοῦ χρηστότητα ἐφ' ἡμᾶς καὶ ἀφιέναι ἁμαρτήματα, μὴ [20] μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Εἰπὼν γὰρ [21] περὶ τῶν βλασφημούντων εἰς τὸ Πνεῦμα τὸ ἅγιον, μήτε νῦν μήτε [22] ἐν τῷ μέλλοντι [23] συγχωρήσεως ἀπολαύειν, κατὰ τὸ σιωπώμενον ἔδωκε νοεῖν [24] ὡς εἴη τισὶν [25] ὀφείλουσα [26] ἐπέκεινα τοῦ παρόντος βίου συγγνώμη [27]. Εἰ δὲ ἡμεῖς, οἱ [28] καταξιωθέντες τῆς θείας αὐτοῦ ἰατρικῆς ἐπιστήμης τὴν

Cf. I Cor. 15, 52-53.

Ioh. 11,24.

Cf. Marc. 3, 29.

[50] (κ. ὡς) τοῦτο δὲ B. — [51] ὄν. αἰώνιον προσγ. ἐκ τούτ. O ; καὶ add. S, add. dein del. B. — [52] πλεῖστα S. — [53] om. S. — [54] ἐγεννώμεθα S. — [55] γεγόνει V. — [56] εἴθε μηδὲ οὗτ. ἐγ. S. — [57] τελευτῇ add. omnes praeter B.

63. — [1] ὁ δὲ om. WOM. — [2] om. B. — [3] om. S. — [4] τοιοῦτο WM ; γενέσθαι add. B. — [5] ἐκεῖθεν B. — [6] (κ. γ. μ.) μ. γ. B. — [7] (αὐ. ἀπ.) ἀπ. αὐ. BH. — [8] καὶ S. — [9] τοῦ τεθνεῶτος S. — [10] τῆς add. S. — [11] ὑπολαμβ. S. — [12] αὐτὸ S. — [13] om. WOMHS. — [14] om. S. — [15] τοῦ συμφέροντος B, corr. prius τὸ συμφέρον τῆς O. — [16] om. O. — [17] τῇ μελλούσῃ ἐν κρ. β. ψυχῇ B. — [18] BC ; δράξεται ἀφορμῆς S ; πράξασθαι ceteri. — [19] om. S. — [20] οὐ B. — [21] καὶ add. S. — [22] (μήτε ν. μ.) μὴ S, μὴ νῦν μὴ WOM. — [23] (εἰπὼν - μέλλ.) om. VBC, add. man. rec. in marg. V, ascripta hac nota : ex cod. num. 1589 ; αἰῶνι add. H. — [24] ἐννοεῖν BS. — [25] ὡς εἰ ἦν τις WO, corr. rec. in marg. V ; ὡς εἴ τις ἦν BM. — [26] ὀφείλουσιν H, ὀφειλομένη O. — [27] ἔδωκεν ἂν add. omnes praeter S. — [28] om. WO,

ἐμπειρίαν δέξασθαι, μὴ ἑκάστῳ τὸ ἐπιτήδειον βοήθημα προσφέροιμεν [29], εἰκότως ὡς καταφρονηταὶ ἀκουσόμεθα τὸ γεγραμμένον · Ἴδετε οἱ καταφρονηταὶ [30] καὶ θαυμάσατε θαυμάσια [31] καὶ ἀφανίσθητε. Διὰ τοῦτο παρακαλῶ, πρὸς τὸ τῶν ἐπηρθημένων ἐλευθερωθῆναι [32] τὸν ἀπελθόντα δεινῶν καὶ ἀνέσεώς τινος [33] τυχεῖν, χωρὶς ψαλμῶν θάψατε [34] αὐτόν. Δύναται γὰρ ἀγαθὸς [35] ὢν καὶ πολυέλεος [36] ὁ Θεὸς [37] καὶ ὑπὲρ τὴν ἡμετέραν παράκλησιν [38] τὸν [39] πρὸς αὐτὸν ἀπελθόντα προσδέξασθαι [40]. » Καὶ ταῦτα εἰπόντος αὐτοῦ ἀπήχθη [41] εἰς τὸ ὄρος καθὼς ἐπέτρεψεν ὁ ἅγιος [42] καὶ ἐτάφη.

Hab. 1, 5.

Cf. Ps. 85,5.

Λ 6a. **64** [1]. Διατρίψαντος δὲ αὐτοῦ [2] ἐκεῖσε [3] δύο ἡμέρας καὶ διδάσκοντος [4] ἕνα ἕκαστον τῶν ἀδελφῶν περί τε φόβου Θεοῦ καὶ ὅπως δεῖ ἀγωνίζεσθαι πρὸς τὸν διάβολον καὶ τὰς τούτου μεθοδείας τε καὶ μετεμπλοκάς [5], ὅπως τε δεῖ [6] ἀκυρῶσαι τὰ καθ' ἡμῶν αὐτῷ σπουδαζόμενα μηχανήματα τῇ δυνάμει τοῦ Χριστοῦ, ἀπηγγέλη αὐτῷ [7] ὅτιπερ ἀδελφός τις [8] ἐν τῇ Χηνοβοσκείων [9] μονῇ οὕτω καλουμένῃ [10], ἀρρωστίᾳ περιπεσὼν καὶ συνεχόμενος [11], τῆς παρατιθεμένης αὐτῷ [12] εὐλογίας ἀπολαῦσαι ποθεῖ [13]. Ταῦτα ἀκούσας [14] ὁ ἄνθρωπος τοῦ Θεοῦ [15] ἀναστὰς ἠκολούθησεν αὐτοῖς [16]. Γενόμενος δὲ ὡς ἀπὸ σημείων δύο ἢ [17] τριῶν τοῦ τόπου ἔνθα ἠπείγετο ὁ ἅγιος [18] ἤκουσε φωνῆς ἱερᾶς ἐν τῷ ἀέρι [19], καὶ ἀτενίσας εἶδε τὴν ψυχὴν τοῦ ἀδελφοῦ φαιδρῷ τῷ δρόμῳ ὑπὸ τῶν ἀγγέλων [20] ψαλλόντων εἰς τὴν μακαρίαν ζωὴν τοῦ Θεοῦ [21] ἀπαγομένην. Τῶν δὲ ἑπομένων αὐτῷ ἀδελφῶν μήτε τῆς [22] φωνῆς αἰσθομένων μήτε τι [23] ἕτερον [24] θεασαμένων [25], αὐτὸν δὲ [26] ἐπὶ πολὺ κατὰ ἀνατολὰς

Λ 13.

[29] εἰσφέρομεν H. — [30] (ὡς κατ. - οἱ κατ.) ὡς καταφρονητικαὶ H. — [31] om. BCS. — [32] ἀπαλλαγῆναι O. — [33] om. BCH. — [34] θάψαι WOM. — [35] (δύν. γὰρ ἀγ.) om. WM, ὃν O. — [36] (ὢν καὶ π.) καὶ π. ὢν MO. — [37] ὁ θ. om. S ; οἰκτειρήσει add. O. — [38] ἐπικαμφθεὶς add. O. — [39] om. H. — [40] δέξασθαι H, προσδέξεται O. — [41] ἀπηνέχθη S. — [42] ὁ ἅ. om. B.

64. — [1] μή' M. — [2] διατρίψαντι δὲ αὐτῷ (τῷ ἁγίῳ B) BO. — [3] ἐκεῖ B. — [4] διδάσκοντι BO. — [5] ἐπιβουλὰς B. — [6] om. S ; τε δεῖ et reliqua huius cap. verba, itidem integrum c. 65 atque initium c. 66 om. H. — [7] om. BO. — [8] om. O. — [9] χηνοβοσκιῶν S, χινοβοσκίων V. — [10] οὕτω κ. om. BS. — [11] πρὸς τὸν θάνατον add. B. — [12] (παρ. αὐ.) πατρικῆς αὐτοῦ B. — [13] (ἀ. π.) π. ἀ. O. — [14] τοῦ θεοῦ add. in marg. O. — [15] τ. θ. om. WO ; (ταῦτα - θ.) καὶ B. — [16] τοῖς ἀπαγγέλλουσι B. — [17] καὶ add. C. — [18] ὁ ἅ. om. B. — [19] ὄρει S. — [20] ὑπ' ἀγγέλων S. — [21] τ. θ. ζωήν S ; (τ. θ.) πρὸς θεὸν B. — [22] om. BC. — [23] om. VM. — [24] (τι ἕτ.) ἕτ. τι WO. — [25] οἱ δὲ ἑπόμενοι αὐτῷ ἀδελφοὶ μήτε φ. αἰσθόμενοι μήτε τι ἕτ. θεασάμενοι B. — [26] μόνον add. B.

ἀτενίζοντα, φασὶ πρὸς αὐτόν [27] · « Ἔστης, ὦ πάτερ ; Δράμωμεν, ἵνα καταλάβωμεν. » Ὁ δὲ πρὸς αὐτούς · « Εἰκῇ τρέχομεν · αὐτῷ γὰρ ἔκτοτε [28] προσατενίζω εἰς τὴν αἰώνιον ἀπαγομένῳ ζωήν. » Καὶ παρακαλούντων εἰπεῖν αὐτοῖς [29] πῶς ἐθεάσατο τὴν ψυχήν, διηγήσατο αὐτοῖς [30] ἅπαντα [31] ὡς ἐνῆν. Τινὲς μὲν οὖν ἐξ αὐτῶν οἱ καὶ παραγενόμενοι πρὸς αὐτόν, πορευθέντες εἰς τὴν μονὴν αὐτῶν [32] καὶ ἀκριβέστερον τὴν ὥραν πυθόμενοι ἐν ᾗ ἐκοιμήθη ὁ ἀδελφός [33], ἔγνωσαν [34] τὰ ὑπὸ [35] τοῦ ἁγίου λεχθέντα αὐτοῖς ἀληθῆ. Ἐγὼ δὲ ταῦτα διεξῆλθον [36] δύο κατὰ ταὐτὸν δεῖξαι βουλόμενος [37], ὅτι τε [38] διορατικὸς ἦν ὁ ἀνὴρ καὶ [39] χάρισμα προφητείας ἔχων καὶ τὰ πόρρωθεν ἅπαντα [40] τῷ τῆς διανοίας καθαρωτάτῳ προ-
Cf. III Ioh. 11. εώρα ὀφθαλμῷ, καὶ ὅτι δεῖ μιμεῖσθαι ἡμᾶς τὰ καλὰ ἀεὶ [41] καὶ τῶν βλαβερῶν [42] πόρρω που [43] γίνεσθαι. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

Φ 81 b. **65.** Ὁ δὲ μέγας τὴν ὁδὸν διανύσας [1] καὶ φθάσας πρὸς τὸν προρρηθέντα ἐπίσκοπον μετὰ τῶν σὺν αὐτῷ ἀδελφῶν, ἑορτὴν ἄγειν αὐτὸν ἐπὶ [2] τῇ ἀφίξει αὐτοῦ [3] παρεκέλευσεν [4] · ὃς ἀσπασάμενος αὐτὸν [5] ἀξίως τε δεξιωσάμενος [6] ἔδωκε τόπον αὐτῷ πρὸς οἰκοδομὴν τοῦ τρισποθήτου [7] φροντιστηρίου οὗπερ [8] καὶ [9] ἠξίου [10]. Τοῦ δὲ ἁγίου κἀκεῖσε τοῦτο προθύμως [11] ἐγείροντος [12], τριγχίον [13] τε ἀσφαλὲς περιτιθέντος [14] ἔξωθεν, ὡς ἂν μὴ τοῖς βουλομένοις ὁρᾶν [15] ῥᾳδίως προκέοιντο [16], τινὲς ἐκ διαβολικῆς ἐνεργείας φθόνῳ τετηκότι [17] συνοδεύοντες [18], νυκτὸς παραγενόμενοι κατέβαλλον τὸ οἰκοδομούμενον. Ἀλλ' οὐκ εἰς μακρὰν ἔδοσαν δίκας τοῦ τολμήματος ἀξίας [19] · ὡς γὰρ αὐτὸς πρὸς μακροθυμίαν τοὺς ἀδελφοὺς συνεβίβαζεν ἐφ' ἑκάστης [20] καὶ [21] μιᾶς τῶν ἡμερῶν
Sap. 6, 23

[27] πρ. αὐ. om. B. — [28] ἤδη B. — [29] (παρ. εἰπ. αὐτ.) παρ. αὐτῶν C, ζητοῦσιν αὐτοῖς μαθεῖν B. — [30] om. B. — [31] πάντα S. — [32] (τινὲς - αὐτῶν) παραγ. δὲ πρὸς τὴν μον. οἱ ἀδελφοὶ B. — [33] ὁ ἀδ. ἐκοιμ. B. — [34] ἔγνων S. — [35] ἀπὸ S. — [36] διεξελθὼν S. — [37] βούλομαι S. — [38] om. VC. — [39] om. WOMS. — [40] (π. ἅ.) πόρρω B. — [41] δεῖ ἡμ. ἀεὶ τὰ κ. μιμ. B. — [42] ἀπέχεσθαι καὶ add. S. — [43] om. B.

65. — [1] ἀνύσας S. — [2] ἐν S. — [3] ἑαυτοῦ B. — [4] παρεσκεύασεν BCS, ἐκέλευσεν O. — [5] om. WO. — [6] ἀξ. τε δ. om. WO. — [7] τριποθήτου MS, corr. C. — [8] περὶ οὗ O. — [9] om. S. — [10] πρὸς οἰκ. οὗ ἠτήσατο γενέσθαι μοναστηρίου B. — [11] (κἀκ. τ. πρ.) πρ. τ. B, πρ. τ. κ. O, πρ. κ. τ. WMS. — [12] ἐγείραντος S. — [13] θριγγίον BC, θριγχίον M, θριγκίον O, τριχίον V, τειχίον S. — [14] περιτεθέντος S. — [15] ἔνδον add. B. — [16] προκέοιτο B, πρόκειντο C, προγένοιτο S. — [17] τετηκότες S, τηκόμενοι B. — [18] om. B. — [19] τοῦ τολμ. ἀξ. ἔδ. δίκ. B. — [20] ἐφ' ἑκ. om. B. — [21] om. BO;

ἐπελθόντες ἐκεῖνοι κατὰ τὸ εἰωθὸς [22] ἐποίουν τὸ ῥᾳδιούργημα [23], παραχρῆμα [24] ἐπιστὰς ἄγγελος Κυρίου πάντας αὐτοὺς ἐφλόγισεν [25], εἴρξας [26] τοῦ λοιποῦ τοῦ τοιούτου ἀτοπήματος [27] · ὡς γὰρ κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἐλύθησαν [28]. Καὶ οἱ [29] ἀδελφοὶ σὺν εὐθυμίᾳ πολλῇ τὸ μοναστήριον ᾠκοδόμησαν [30]. Κατέστησεν οὖν κἀκεῖ ἄνδρας εὐλαβεῖς καὶ λίαν θαυμαστοὺς ὁ ἅγιος, ἐξάρχοντος αὐτῶν τινος Σαμουήλ [31], ἱλαροῦ καὶ ἐγκρατοῦς ἀνδρός [32], διότι ἐγγὺς [33] τοῦ ἄστεως ἦν τὸ φροντιστήριον [34].

Cf. Act. 12,7. Ps. 67,2.

66 [1]. Αὐτοῦ τοιγαροῦν παραμένοντος [2] αὐτοῖς, ἄχρις ἂν τῇ τοῦ Κυρίου χάριτι στερεωθῶσι [3], φιλόσοφός [4] τις [5] τῆς αὐτῆς πόλεως ἀκούσας περὶ αὐτῶν παρεγένετο [6] ἐκεῖσε [7] πειράζων αὐτοὺς τίνες ἂν εἶεν. Καὶ συντυχὼν ἑνὶ τῶν ἀδελφῶν λέγει αὐτῷ · « Καλέσατέ [8] μοι τὸν πατέρα ὑμῶν περὶ ἀναγκαίων μοι [9] διαλεξόμενον. » Μαθὼν οὖν ὁ ἅγιος ὅτι φιλόσοφός ἐστι, πέμπει Κορνήλιον πρὸς αὐτὸν καὶ Θεόδωρον, πρὸς τὰ ὑπ' αὐτοῦ λεγόμενα παρεγγυήσας αὐτοῖς [10] ἀπολογήσασθαι. Ἐξελθοῦσι δὲ [11] αὐτοῖς φησιν ὁ φιλόσοφος · « Λόγος [12] πολὺς κατέχει παρ' ἡμῖν, ὡς σοφοί τινες καὶ ἄγοντες ἡσυχίαν ἐστὲ κατὰ τὴν θρησκείαν ὑμῶν, ἔτι [13] δὲ καὶ πρὸς τοὺς ἐντυγχάνοντας συνετῶς [14] ἀπολογούμενοι. Δοκιμῶ [15] οὖν ὑμᾶς [16], ἐξ ὧν αὐτοὶ ἀναγινώσκετε γραφῶν τοὺς συλλογισμοὺς ποιησάμενος [17]. » Πρὸς ὃν ὁ Θεόδωρος ἔφη [18] · « Λέγε ὃ ἔχεις [19]. » Ὁ φιλόσοφος ἀπεκρίθη · « Ποιεῖς [20] αὐτὸς μεθ' ἡμῶν τοὺς λόγους, λύων τὸ ἐπιζητούμενον ; » — « Λέγε · » ἔφη πρὸς αὐτὸν ὁ Θεόδωρος. Ὁ δὲ φιλόσοφος [21] πρὸς αὐτόν · « Τίς μὴ γεννηθεὶς ἀπέθανεν ; ἢ τίς γεννηθεὶς οὐκ ἀπέθανε ; τίς δὲ ἀποθανὼν οὐκ ἐπώζεσεν ; » Ὁ δὲ [22]

[22] ἐπελθόντες ἐκεῖνοι κατὰ τὸ εἰ. μιᾶς τῶν ἡμ. B. — [23] καὶ add. BC. — [24] οὖν add. O. — [25] κατέφλεξεν B. — [26] αὐτοὺς add. S. — [27] corr. V, τολμήματος C ; (εἴρξας - ἀτοπ.) om. B. — [28] διελύθησαν S. — [29] (καὶ οἱ) οἱ δὲ S. — [30] (καὶ οἱ - ᾠκοδ.) om. VBC. — [31] σαμ. τιν. B ; σαμουήλου W, σαμουῆλος VC. — [32] τινος VC, om. B. — [33] (διότι ἐγγ.) ἐγγ. δὲ B. — [34] τὸ φροντ. ἦν WOM ; (κατέστησεν - φροντ.) om. S.

66. — [1] μθ' M. — [2] (αὐ. τ. π.) τοῦ δὲ ἁγίου π. B, αὐτὸς παραμένων S. — [3] στερρεωθῶσι O. — [4] λθ' praem. WO, δὲ add. S. — [5] ἐκ add. B. — [6] πρὸς τὰ add. O. — [7] ἐκεῖ B. — [8] κάλεσόν B. — [9] om. BC. — [10] om. B, αὐτοὺς C. — [11] οὖν O. — [12] hinc rursus cod. H. — [13] ἔστι H. — [14] συν. πρὸς τ. ἐντ. S. — [15] δοκιμάζω MO, δοκιμάσω S. — [16] (δ. οὖν ὑ.) ποθῶ οὖν πρὸς ὑ. διαλέξασθαι B. — [17] ποιησόμενος WOB. — [18] ἔφη ὁ θ. B. — [19] ὦ φιλόσοφε add. H. — [20] ποιῇ WOMH. — [21] (ἀπεκρίθη - φιλ.) om. S. — [22] ὁ δὲ om. W, καὶ ὁ MOH.

Θεόδωρος πρὸς αὐτόν· « Οὐ μέγα μέν [23] σου τὸ ἐρώτημα, ὦ σοφέ· πλὴν ἐρῶ· ὁ μὴ γεννηθεὶς ἀποθανὼν δέ, ὡς εἴρηκας, ἔστιν ὁ Ἀ-
Gen. 5,24; 19, 26. δάμ· ὁ δὲ γεννηθεὶς καὶ μὴ ἀποθανών, ἔστιν [24] Ἐνώχ· καὶ ὁ ἀποθανὼν καὶ μὴ ἐποζέσας, ἥ τοῦ Λὼτ ἐστι γυνή, ἥτις εἰς στήλην [25] μετεβλήθη ἁλός, εἰς ὑπόδειγμα τῶν ἀπειθούντων ἄχρι [26] τοῦ παρόντος ἑστῶσα [27]. Συμβουλεύω δέ σοι, φιλόσοφε, τὰς προτάσεις σου ταύτας καὶ τοὺς συλλογισμοὺς [28] καταλιπόντα τοὺς ἀκαίρους προσελθεῖν τῷ Χριστῷ ᾧ λατρεύομεν καὶ λαβεῖν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν. » Πρὸς ταῦτα μείνας ἐννεὸς [29] ὁ φιλόσοφος [30] ἀπῄει θαυμάζων [31], τὸ ὀξὺ [32] τῆς ἀποκρίσεως τοῦ ἀνδρὸς [33] ἐκπληττόμενος [34].

Λ 15. **67** [1]. Καὶ δὴ πάλιν τοῦ πατρὸς ἐκ τῆς μονῆς ἧς ᾠκοδόμησε [2] διὰ πλειόνων ἡμερῶν ἀναλύσαντος φθάσαντός τε εἰς μίαν τῶν ὑπ' αὐτοῦ [2*], καὶ τῶν ἐκεῖσε ἀδελφῶν εἰς συνάντησιν αὐτῷ [3] ἐξελθόντων καὶ ἀσπασαμένων [4] αὐτόν, παιδίον [5] τῆς αὐτῆς ἀγέλης ἐξελθὸν βοᾶν ἤρξατο [6] πρὸς αὐτόν [7]· « Ἀληθῶς, ὦ πάτερ, ἀφ' οὗ ἐντεῦθεν [8] ἐπορεύθης ἕως τοῦ νῦν, οὔτε λάχανον [9] οὔτε ἀθὴρ ἠψήθη [10] ἡμῖν. » Πρὸς ὃ χαριέντως ἀποκριθεὶς ὁ ἅγιος εἶπε [11]· « Μὴ λυποῦ, τέκνον· ἐγὼ ποιῶ. » Καὶ περιελθὼν τὴν μονὴν εἴσεισι καὶ [12] ἐν τῷ ἐφητηρίῳ [13]· καὶ τὸν ἐκεῖ τυπωθέντα εὑρὼν ἀδελφὸν ψίαθον [14] ἐργαζόμενον, λέγει αὐτῷ· « Εἰπέ μοι, ἀδελφέ· πόσον χρόνον ἔχεις μὴ ἐψῶν [15] τοῖς ἀδελφοῖς λάχανα; » Ὁ δέ φησι· « Μῆνας δύο. » Καὶ πρὸς αὐτὸν ὁ πατήρ· « Τίνος ἕνεκα [16] κατεφρόνησας τῆς ἐντολῆς; » Ὁ δὲ ἀπολογούμενος ἔφη· « Ἤθελον [17], πάτερ, ἐφ' ἑκάστης τοῦτο ποιεῖν· γνοὺς δὲ ὅτι τὸ ἐψόμενον, ἐν τῷ πάντας σχεδὸν τοὺς ἀδελφοὺς ἐγκρατεύεσθαι, οὐκ ἀναλίσκεται — τὰ γὰρ παιδία

[23] *del.* V. — [24] *ὁ add.* BH. — [25] *μὲν add.* S. — [26] *τοῖς ἀπειθοῦσι μέχρι* B. — [27] BS; *ἑστώσης* VCWMH; *ἑστῶσαν corr.* O. — [28] *λογισμοὺς* S. — [29] *ἐνεὸς* M. — [30] (*ὁ φιλ.*) *αὖθις* WOMHS. — [31] *καὶ ἐκπληττόμενος add.* O. — [32] *τὸ ὀ. corr., prius τοξὺ* V. — [33] (*τ. ἀν.*) *καὶ* S; *τοῦ ἀνδρ. τῆς ἀποκρ.* H. — [34] *om.* O.

67. — [1] *μ'* WO, *ν'* M. — [2] *οἰκοδόμησεν* V. — [2*] *αὐτὸν μονὴν* S. — [3] *αὐτοῦ* CS, *om.* H. — [4] *ἀσπασάμενοι* VC. — [5] (*καὶ δὴ πάλιν - παιδ.*) *ἀλλ' ὁ μὲν πατὴρ ἐκ τῆς μον. ἧς ὠκοδ. διὰ πλ. ἡμ. ἀναλύσας ἔφθασεν εἰς μίαν τῶν ὑφ' ἑαυτῷ· οἱ δὲ ἐν αὐτῇ ἀδελφοὶ ἐξελθόντες εἰς συνάντ. ἠσπάζοντο αὐτόν· παιδίον δὲ* B. — [6] *ἤρξ. βοᾶν* WOMB. — [7] *πρ. αὐτ.* *om.* B. — [8] *ἐνταῦθα* H. — [9] *λάχανα* WOM. — [10] VW; *ἐψήθη ceteri.* — [11] *ἔφη* BC. — [12] *om.* BHS. — [13] *εἰς τὸ ἐφητήριον* B. — [14] *ψιάθιον* BS. — [15] *ἔψων* O. — [16] *ἕνεκεν* BS. — [17] *ἔφη ὦ add.* S.

μόνα ἐστὶ [18] *τὰ ἐσθίοντα — ἵνα οὖν* [19] *μὴ τὸ* [20] *μετὰ κόπου τοσούτου* [21] *γινόμενον ἀνάλωμα μηδενὸς μετέχοντος βληθῇ ἔξω, ἄτοπον ἡγησάμενος* [22] *καὶ ἄκαιρον, διὰ τοῦτο οὐχ ἥψησα* [23]. *Καὶ πρὸς τὸ μὴ ἀργίας ἕνεκα* [24] *κριθῆναί* [25] *με* [26], *ψιάθια* [27] *ἐργάζομαι μετὰ τῶν ἀδελφῶν, εἰδὼς ἕνα μόνον τῶν μετ' ἐμοῦ τυπωθέντων δύνασθαι* [24] *ἐπαρκεῖν* [24] *πρὸς τὴν τοιαύτην χρείαν καὶ* [28] *πρὸς τὸ* [29] *καταρτῦσαι μικρὰ βρώματα, ἅπερ ἐστὶν* [30] *ἐλαῖαι* [31] *καὶ λεπτολάχανα* [32]. » Ἀκούσας δὲ ταῦτα [33] ὁ ἅγιος λέγει αὐτῷ· « Καὶ πόσα ἐστὶ [34] τὰ *Λ 16.* *ψιάθια ἃ εἰργάσασθε;* » Ὁ δέ φησι· « Πεντακόσια. » Λέγει αὐτῷ· « Ἐνέγκατε αὐτὰ [35] ὧδε. » Κομισθέντων [36] δὲ αὐτῶν [37], ἐκέλευσε παραχρῆμα [38] εἰς πῦρ βληθῆναι αὐτά [37]. Καί φησι πρὸς αὐτούς· « Ὥσπερ ὑμεῖς τοῦ δοθέντος ὑμῖν περὶ τῆς τῶν ἀδελφῶν οἰκονομίας κατεφρονήσατε κανόνος, οὕτως κἀγὼ ἀφειδῶς τὸ ἔργον ὑμῶν κατέκαυσα, ἵνα γνῶτε ὡς οὐκ ἔστι καλὸν καταφρονεῖν [39] θεσμοὺς [40] πατέρων πρὸς σωτηρίαν δεδομένους [41] ψυχῶν. Ἢ ἀγνοεῖτε [42] ὅτι οὗπερ τις τὴν ἐξουσίαν πρὸς ἀπόλαυσιν ἔχει, τούτου δὲ τὴν ἀποχὴν [43] διὰ Θεὸν ποιεῖται [44], μισθὸν πλείονα [45] παρὰ Θεῷ καρποῦται· οὗ δὲ τὴν δεσποτείαν οὐκ ἔλαβεν, ἀνάγκη δὲ καὶ βίᾳ διὰ τὸ Cf. Philem. *μὴ ἔχειν ἀπέχεται, μάτην ὑπὲρ τούτου μισθὸν ἐπιζητεῖ;* Ὅταν 14. *γάρ, πλειόνων καὶ διαφόρων πρὸς ἑστίασιν* [46] *παρατεθέντων ἐδεσμάτων, αὐτοὶ διὰ* [47] *Θεὸν ἐγκρατεύωνται, τηνικαῦτα πολὺν* [48] *ἔχουσι* [49] *μισθόν. Ὑπὲρ* [50] *οὗ δὲ οὐκ εἶδον ἢ* [51] *ἐπ' ἐξουσίας ἔσχον* [52] *πρὸς μετάληψιν, πῶς λογισθήσεται ἐγκράτεια; Διὰ βραχὺ τοίνυν ἀνάλωμα ἐλαίου τὴν τοσαύτην τῶν ἀδελφῶν ὠφέλειαν ἀπεβάλεσθε* [53]; »

68 [1]. *Ταῦτα πρὸς αὐτοὺς διεξιόντος* [2], *καὶ ἱκανῶς πρὸς τὴν* *Λ 7.*

[18] *εἰσὶ* H. — [19] *om.* BO. — [20] (*μὴ τὸ*) *τὸ μὴ* C. — [21] *om.* WO. — [22] *τοῦτο ἡγ.* O, *ἡγ. τοῦτο* S; *ἡγησάμην* H, M *ante corr.*; *ἡττησάμενος* V. — [23] *ἔψησα* BHOS. — [24] *om.* S. — [25] *ἐγκληθῆναί* O. — [26] *om.* B. — [27] *ψιαθία* V, H *ante corr.* — [28] *om.* BS. — [29] (*πρ. τὸ*) *ὥστε* B. — [30] *εἰσὶν* S. — [31] *ἐλαῖα* W. — [32] *λεπτὰ λάχανα* WOM. — [33] *τούτων* B. — [34] *εἰσὶ* BCHS. — [35] *om.* WOM. — [36] *κομισθέντα* B. — [37] *om.* B. — [38] *om.* BC. — [39] *περιφρονεῖν* B. — [40] *θεσμῶν* OS. — [41] *δεδομένων* O, *παραδεδομένων* S. — [42] (*ἢ ἀγν.*) *ἠγνοεῖτε* S. — [43] *ἀποδοχὴν* W. — [44] *διὰ θ. π. om.* V; *τούτου εἰ διὰ τὸν θ. τὴν ἀπ. ποιεῖται* B. — [45] *πλ. μισθ.* B. — [46] *πρ. ἑστ.* *om.* BC. — [47] *τὸν add.* B. — [48] *πολὺ* H. — [49] *τὸν add.* BCWOS. — [50] *οὗπερ* V. — [51] *οὐκ εἶδον ἢ* BC (*cf. Λ; de cibis autem quos non vident Δ*); *οὐχ ἡδονὴν ceteri.* — [52] *ἔχων* H. — [53] *ἀποβάλλεσθε* S.

68. — [1] *μα'* WO, *να'* M. — [2] *διεξιόντας* V, *διεξιόντι* B.

ἐπανόρθωσιν κινηθέντος [3], ὁ πρὸς [4] ταῖς θύραις [5] ἀδελφὸς εἰσελθὼν [6] ἔφη αὐτῷ· « Μέγιστοί τινες ἀναχωρηταὶ ἥκασιν ἐνταῦθα, συντυχεῖν ὑμῖν [7] ἐπιζητοῦντες. » Ὁ δὲ εἰσελθεῖν αὐτοὺς [8] τὸ τάχος παρεκελεύσατο. Καὶ παραγενομένους ἠσπάσατο αὐτοὺς [9] καὶ μετὰ τὴν [10] εὐχὴν παραλαβὼν ὡδήγει [11] πρός τε τοὺς ἐκεῖσε [12] ἀδελφοὺς [13] ἅπαντας καὶ [14] τοὺς τόπους ἐν ᾧ [15] ἡ μονὴ περιώριστο. Παρεκάλουν δὲ [16] τὸν μέγαν [17] κατ' ἰδίαν περὶ ὧν ἐβούλοντο [18] διαλεχθῆναι αὐτῷ. Καὶ λαβὼν αὐτοὺς ἐν κελλίῳ ἐπιτηδείῳ καὶ ἡσυχάζοντι ἐκαθέσθη [19] σὺν αὐτοῖς. Ἀρξαμένων [20] δὲ αὐτῶν [21] τῆς διαλέξεως, μεγάλης [22] ὁ ἅγιος ἠσθάνετο αὐτῶν [23] τῆς δυσωδίας· ὁρῶν δὲ αὐτῶν [24] τὸν προφορικὸν [25] λόγον καὶ τὴν ἕξιν ἐξησκημένην ἐν ταῖς γραφαῖς, ἠπόρει περὶ τῆς ἀνυποίστου ἐκείνης ἐννοῶν δυσοσμίας [26]. Μετὰ δὲ τὸ πλεῖστα [27] καὶ αὐτοὺς πρὸς αὐτὸν καὶ τὸν ἅγιον πρὸς ἐκείνους [28] διαλεχθῆναι ἐκ τῶν ἁγίων γραφῶν καὶ φθάσαι τὴν ὥραν [29] τῆς ἐννάτης [30], ἀνέστησαν καὶ αὐτοὶ τοῦ [31] μένοι [35] ἐξῆλθον ἀπ' αὐτοῦ. Ὁ δὲ μέγας, πυθέσθαι [36] τὴν αἰτίαν τῆς ἀηδίας αὐτῶν ἐκείνης [21] βουλόμενος, προσηύξατο τῷ Θεῷ· παρα-χρῆμά τε [37] ἔγνω [38] ὅτι [39] δόγματα ἀσεβείας ἦν τὰ ἐκ τῆς ψυχῆς αὐτῶν [40] τοσαύτην προϊέμενα λύμην. Καὶ μὴ μελλήσας [41] κατεδίωξε τοὺς ἄνδρας· καὶ καταλαβὼν λέγει αὐτοῖς· « Θέλω ὑμᾶς ἐρωτῆσαι λόγον ἕνα [42]. » Οἱ δὲ εἶπον· « Λέγε. » Ὁ δὲ εἶπεν [43]· « Τοῦ λεγομένου [44] Ὠριγένους [45] τὰ συντάγματα ὑμεῖς ἀναγινώσκετε; »

[3] κινηθέντι B. — [4] πρὸ V. — [5] ὑπηρετούμενος add. B. — [6] in marg. H. — [7] σοι B. — [8] εἰσελθὼν αὐτοῖς H. — [9] om. B, συνήθως H, τε συνήθως WOMS. — [10] om. V. — [11] αὐτοὺς add. S. — [12] ἐκεῖ B. — [13] τοῖς ἐ. ἀδελφοῖς S. — [14] (ἅπ. καὶ) κ. πρὸς S. — [15] οἷς BOS. — [16] τε VC. — [17] ἅγιον O. — [18] ἠβούλοντο B. — [19] (καὶ ἡσυχ. ἐκ.) ἐκάθισε B. — [20] ἀρξαμένω W, ἀρξαμένης C. — [21] om. B. — [22] μεγάλως H. — [23] B, om. ceteri. — [24] (τῆς διαλ. - ὁρ. δὲ αὐτῶν) om. V. — [25] BOS; προφητικὸν VH, M ante corr.; προφορητικὸν CW, corr. M. — [26] δυσοδμίας O, δυσωδίας BHMS. — [27] (τὸ πλ.) πλείστου H. — [28] (καὶ αὐτ. - ἐκ.) πρὸς ἀλλήλους B. — [29] καὶ φθ. τ. ὥ. om. B. — [30] ἐνάτης WOMBS, ante corr. H; ἐνστάσης add. B. — [31] (ἀν. κ. αὐ. τοῦ) ἐκεῖνοι μὲν ἀν. B. — [32] εἰς B. — [33] corr. H. — [34] ἑαυτῶν B. — [35] συνταξάμενοι BO. — [36] πύθεσθαι VCHS. — [37] (π. τε) καὶ π. O. — [38] om. W. — [39] om. S. — [40] ἐκ τ. ψ. αὐ. om. S. — [41] μελήσας VBC; ἀμελήσας H. — [42] ἕνα λόγον B. — [43] ὁ δὲ εἶπε om. VC; ὁ δὲ πρὸς αὐτοὺς B; καὶ ὁ ἅγιος πρὸς αὐτοὺς H; ὁ δὲ S. — [44] om. BH. — [45] ὁριγένους W.

Οἱ δὲ [46] ἀκούσαντες ἠρνήσαντο λέγοντες· « Οὐχί. » Ὁ δὲ ἅγιος εἶπεν· « Ἰδοὺ μαρτύρομαι ὑμῖν ἐνώπιον τοῦ Θεοῦ ὅτι πᾶς ἄνθρωπος [47] ὁ ἀναγινώσκων Ὠριγένην [48] καὶ δεχόμενος αὐτοῦ τὰ συντάγματα [49] εἰς πυθμένα ᾅδου καταντήσει [50] καὶ ἡ κληρονομία αὐτοῦ [51] σκότος [52] τὸ ἐξώτερον. Ἐγὼ δὲ ὅπερ ἐγνωρίσθη μοι παρὰ Κυρίου, διεμαρτυράμην ὑμῖν, καὶ ἀθῷός εἰμι ὑπὲρ τούτου [53]· ὑμεῖς ὄψεσθε· ἰδοὺ [54] ἠκούσατε τὴν ἀλήθειαν. Εἰ δὲ πεισθείητέ [55] μοι τὸν Θεὸν [56] ἀληθῶς ἀναπαῦσαι βουλόμενοι, ὅλας [57] τὰς βίβλους Ὠριγένους [58] λαβόντες [59] εἰς τὸν ποταμὸν ῥίψατε. » Καὶ ταῦτα εἰπὼν κατέλιπεν αὐτούς.

Cf. I Tim. 5, 21. Prov. 14, 12. Matth. 8, 12. Cf. Matth. 27, 24.

69 [1]. Καὶ ἐπανελθὼν [2] εἰς τὸ τῆς ἀληθείας γυμνάσιον εὗρε μὲν [3] τοὺς ἀδελφοὺς εἰς τὰς εὐχὰς συνηγμένους, καὶ στὰς μετ' αὐτῶν ἐπλήρωσε [4] τὴν ὑμνῳδίαν. Συνελθόντων δὲ ἐκείνων ἐπὶ τὸ φαγεῖν, ἔμεινεν αὐτὸς [5] ἐν τόπῳ τινὶ ἐν ᾧ τὰς εὐχὰς εἰώθει [6] τῷ δεσπότῃ προσφέρειν [7]. Καὶ κλείσας τὴν θύραν [8] προσηύχετο [9] τῷ Θεῷ [10], μεμνημένος τῆς ποτε γενομένης αὐτῷ ὀπτασίας καὶ ἀξιῶν [11] πάλιν γνωρισθῆναι αὐτῷ τὰ [12] περὶ τῆς μετὰ ταῦτα τῶν ἀδελφῶν καταστάσεως καὶ τί ἂν εἴη τὰ μετὰ τὴν αὐτοῦ τελευτὴν [13] τοῖς μετέπειτα ἀδελφοῖς συμβησόμενα. Καὶ παρέτεινε τὴν προσευχὴν ἀπὸ ὥρας ἐννάτης ἕως οὗ ὁ καλέσων [14] ἀδελφὸς ἐπὶ τὴν νυκτερινὴν ἀνέστησεν [15] ὑμνῳδίαν [16] τοὺς ἀδελφούς [17]. Εὐχομένου δὲ αὐτοῦ ἐκτενῶς, ἄφνω [18] περὶ τὸ μεσονύκτιον ὁρᾷ ὀπτασίαν γνωρίζουσαν αὐτῷ τὸ αἴτημα αὐτοῦ περὶ τῆς μετὰ ταῦτα καταστάσεως τῶν ἀδελφῶν [19], καὶ ὅτι μὲν ἀσκήσουσί τινες [20] αὐτῶν εὐσεβῶς καὶ πλατυνθήσεται [21] τὸ μοναστήριον μειζόνως, ὀκλάσουσι δὲ οὐκ ὀλίγοι [22] καὶ ἀμελήσουσι πολλοὶ [23] τῆς αὐτῶν [24] σωτηρίας. Ἐθεάσατο γοῦν [25], ὡς αὐτὸς ἔφη, πλῆθος ἀδελφῶν ἐν κοιλάδι βαθυτάτῃ

Λ 17.

Matth. 6, 6.

[46] ὁ δὲ V. — [47] om. B. — [48] om. B. — [49] (αὐ. τὰ σ.) τὰ ὠριγένους συντ. B. — [50] in ras. V. — [51] τὸ add. BCH. — [52] ἐστι add. B. — [53] τοῦτο W, τούτων H. — [54] γὰρ add. M. — [55] πεισθῆτέ S. — [56] τὸν add. S. — [57] πάσας B. — [58] αὐτοῦ C; τοὺς ὠριγ. βίβ. B. — [59] om. BC.

69. — [1] μβ' WO, νβ' M. — [2] καὶ ἀπελθὼν H, ἐπαν. δὲ B. — [3] om. S. — [4] πληρῶσαι H. — [5] κἀκεῖνοι μὲν συνῆλθον φαγ. αὐτὸς δὲ ἔμεινεν B. — [6] ἐν τῷ τόπῳ ἐν ᾧ τὰς συνήθεις εὐχὰς εἴωθε H. — [7] θεῷ add. B. — [8] θύρα H. — [9] προσηύξατο WOM. — [10] τῷ θ. om. B. — [11] δεόμενος B; τῷ θεῷ add. VC. — [12] BC, del. H, om. ceteri. — [13] ἀποβίωσιν S. — [14] τεταγμένος B. — [15] ἔστησε S. — [16] λειτουργίαν WOMHS. — [17] ὑμνωδούς WOMHS. — [18] (εὐχ. - ἄ.) ἄφνω δὲ B. — [19] (περὶ τῆς - ἀδ.) om. B. — [20] ἀσκ. τινες μὲν B, ἀσκ. μέν τινες S. — [21] πληθυνθήσεται M. — [22] ὀλίγω V. — [23] om. B; πολὺ VW. — [24] ἑαυτῶν BHOS. — [25] οὖν S.

καὶ αὐχμηρᾷ [26], καὶ πολλοὺς μὲν αὐτῶν βουλομένους [27] ἀνελθεῖν ἐκ ταύτης καὶ μὴ ἰσχύοντας τῷ [28] κατὰ πρόσωπον ἀλλήλων [29] συναντῶντας μήτε γνωρίζειν [30] δύνασθαι [31] μήτε μὴν διαδρᾶναι τὸ βαθύτατον σκότος, ἄλλους δὲ πεσόντας ἀπὸ [32] τῆς ἀτονίας [33] τῷ ᾄδῃ προσομιλεῖν [34], ἑτέρους [35] βοῶντας ἐλεεινῇ τῇ φωνῇ ὀλίγους δὲ ἐξ [36] αὐτῶν μόλις μετὰ πολλοῦ καμάτου ἰσχύσαντας ἀνελθεῖν · οἷς ἀναβᾶσι [37] φῶς ὑπήντησε [38], καὶ γενόμενοι [39] ἐν αὐτῷ ηὐχαρίστησαν [40] τῷ Κυρίῳ [41]. Τότε ἔγνω ὁ μακάριος ἀληθῶς τὰ συμβησόμενα τοῖς ἀδελφοῖς ἐπ' ἐσχάτων καὶ τὴν μέλλουσαν ἀμέλειαν γίνεσθαι [42] ἐν αὐτοῖς καὶ [43] τὴν πολλὴν πώρωσιν [44] αὐτῶν καὶ πλάνην [45] καὶ τὴν [36] τῶν καλῶν ἔκλειψιν [46] καὶ ὡς οἱ [47] ἀμελέστεροι κρατήσουσιν ἐπερειδόμενοι τῇ συμφωνίᾳ [48] τοῦ ἀρέσκοντος αὐτοῖς πλήθους. Καὶ τύπος [49] μόνον [50] ἐν αὐτοῖς ἔσται μετὰ ταῦτα [51], ὥστε τοὺς κακοὺς [52] ἄρξαι τῶν ἀδελφῶν καὶ τοὺς μὴ εἰδότας [53] γνῶσιν [54] τῶν μοναστηρίων [55] κρατῆσαι μάχεσθαί τε περὶ ἀρχῆς, καὶ τοὺς κρείττους παρὰ [56] τῶν φαύλων διώκεσθαι [57], καὶ μὴ ἔχειν [58] τοὺς ἀγαθοὺς παρρησίαν, καὶ τὸ δὴ λεγόμενον, τὰ θεῖα εἰς ἀνθρώπινα μεταβληθήσεσθαι [59]. — Καὶ [60] ἀναβοήσας πρὸς Κύριον μετὰ κλαυθμοῦ εἶπε [61] · « Κύριε παντοκράτωρ, εἰ οὕτως ἔσται, τίνος ἕνεκεν παρεχώρησας [62] τὰ κοινόβια ταῦτα [63] γίνεσθαι [64] ; Εἰ [65] ἐν τοῖς καιροῖς τοῖς ἑξῆς [66] οἱ μέλλοντες [67] ἄρχειν τῶν ἀδελφῶν φαῦλοι ἔσονται, ὁποῖοι [68] ἂν εἶεν οἱ ὑπ' αὐτῶν ποιμαινόμενοι ; Τυφλὸς γὰρ τυφλὸν ἐὰν [69] ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται [70]. Εἰκῇ καὶ μάτην κεκοπίακα ; Μνήσθητι, Κύριε, τῶν ἐμῶν [71] πόνων οὓς αὐτὸς ἐτελείωσας, καὶ τῶν σῶν δούλων τῶν ἐξ ὅλης [72] ψυχῆς πολιτευομένων νῦν [73]. Μνήσθητι τῆς

Cf. Ro. 1,25.

Λ 18.

Mt. 15, 14.

[26] ἀχμηρᾶ V. — [27] βουλ. αὐτ. H. — [28] om. S. — [29] ἀλλήλοις BCH, ἀλλήλους S. — [30] γινώσκειν B. — [31] μήτε γν. δ. om. V. — [32] ἐκ B. — [33] καὶ add. B^{2}. — [34] προσομιλοῦντας B. — [35] δὲ add. B. — [36] om. B. — [37] τῇ ἀναστάσει S. — [38] ὑπήντησαν V. — [39] γενόμενος V. — [40] ηὐχαρίστη corr. V ; εὐχαρίστησαν WOMH. — [41] θεῷ S. — [42] γεννήσεσθαι B ; γίν. ἀμέλ. S. — [43] om. S. — [44] πόρρωσιν VOS. — [45] (αὐτ. καὶ πλ.) καὶ πλ. αὐτ. S. — [46] ἔλλειψιν B. — [47] om. WO ; (ὡς οἱ) ὅσοι H. — [48] (ἐπ. τῇ σ.) αἱπενία V. — [49] τόπος VWO. — [50] μόνος BHM. — [51] τοῦ σχήματος add. B. — [52] πονηροὺς B. — [53] ἰδόντας H. — [54] τὸ ἀγαθὸν B. — [55] μυστηρίων H. — [56] om. V. — [57] ἐκδιώκεσθαι B. — [58] (καὶ μὴ ἔχ.) μὴ ἔχ. τε WOM. — [59] μεταβληθήσεται BCS. — [60] ταῦτα ὁ ἅγιος διαγνοὺς add. B. — [61] ἔφη S. — [62] συνεχώρησας S. — [63] πάντα V. — [64] γενέσθαι BCS. — [65] οἱ V. — [66] ἐν τοῖς ἑξῆς καιρ. S. — [67] (οἱ μ.) μέλλουσιν S. — [68] ὁποῖα V. — [69] ἐῶν V^{2}. — [70] πεσοῦνται BS. — [71] σεμνῶν V. — [72] τῆς add. VC. — [73] νυνί BC.

διαθήκης ἧς ἐπηγγείλω ἕως τῆς συντελείας φυλάττειν τοῖς σοῖς οἰκέταις [74]. Σὺ οἶδας, Κύριε, ὅπως ἀφ' οὗ εἰλάμην [75] τὸ σχῆμα τοῦ μοναχοῦ, ἐταπείνωσα ἐμαυτὸν ἐναντίον σου, καὶ οὐκ ἐκορέσθην ἄρτου ἢ ὕδατος ἤ τινος [76] τῶν ἐπὶ τῆς γῆς. »

Cf. Iac.4,10.

70. Ταῦτα [1] λέγοντος αὐτοῦ [2], φωνὴ πρὸς αὐτὸν γέγονε λέγουσα · « Μὴ καυχῶ, Παχώμιε, ἄνθρωπος ὤν · ἀλλ' ἔτι [3] αἴτησαι [4] σεαυτῷ ἔλεος · τὰ γὰρ σύμπαντα τῷ ἐλέει μου συνίσταται [5]. » Ὁ δὲ παραχρῆμα ἔρριψεν ἑαυτὸν ἐπὶ τὴν γῆν καὶ ᾔτει ἔλεος παρὰ Κυρίου λέγων · « Κύριε παντοκράτωρ, κατάπεμψον τοὺς οἰκτιρμούς σου ἐπ' ἐμὲ καὶ μήποτε [6] ἀφέλῃς τὸ ἔλεός σου ἀπ' ἐμοῦ · γινώσκω γὰρ κἀγώ [7], δέσποτα, ὅτι ἄνευ τῆς ἀντιλήψεως τῆς σῆς ἅπαντα [8] χωλανεῖ [9]. » Καὶ εἰπόντος αὐτοῦ ταῦτα [10], παρέστησαν αὐτῷ ἄγγελοι φωτοειδεῖς καὶ νεώτερος ἐν μέσῳ αὐτῶν ἀφάτῳ κάλλει λαμπρυνόμενος καὶ τὰς [11] μαρμαρυγὰς ἡλίου δίκην ἐκπέμπων [12] · ἦν δὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανος ἐξ ἀκανθῶν. Καὶ ἀναστήσαντες αὐτὸν ἐκ τῆς γῆς εἶπον πρὸς αὐτόν [13] · « Ἐπειδήπερ ᾔτησω παρὰ Κυρίου καταπεμφθῆναί σοι ἔλεος, ἰδοὺ αὐτός [14] ἐστι τὸ ἔλεος, ὁ Θεὸς τῆς δόξης Ἰησοῦς Χριστὸς ὁ μονογενὴς [15] τοῦ Πατρός [16], ὃν ἀπέστειλεν ἐν τῷ κόσμῳ [17], καὶ ἐσταυρώθη δι' ὑμᾶς, στέφανον ἐξ ἀκανθῶν φορέσας [18] ἐπὶ τῆς κεφαλῆς. » Ὁ δὲ Παχώμιος ἔφη · « Δέομαι τῆς ἀχράντου σου φύσεως [19], δέσποτα, οὐκ ἐσταύρωσά σε ἐγώ. » Αὐτὸς δὲ μᾶλλον [20] φαιδρῶς εἶπεν [21] · « Οἶδα ὅτι σύ με οὐκ ἐσταύρωσας, ἀλλ' οἱ πατέρες ὑμῶν ἐσταύρωσάν με. Θάρσει τοίνυν καὶ στερεοῦ [22] · ἕως γὰρ αἰῶνος τὸ σπέρμα σου οὐ μὴ ἐκλίπῃ [23], καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος φυλαχθήσεται [24]. Καὶ αὐτοὶ δὲ οἱ σῳζόμενοι μετὰ σὲ ἐκ τῆς βαθυτάτης ὁμίχλης ὑπὲρ τοὺς ἄκρως νῦν πολιτευομένους φανοῦνται. Νῦν μὲν γὰρ τῷ ὑποδείγματι τῶν σῶν

1 Ioh. 4, 9.

Mt. 27,29.

Mt. 28,20.

[74] τοὺς σοὺς οἰκέτας S ; τοῖς σοῖς οἰκ. ἕως τῆς συντ. φυλ. B. — [75] εἰλόμην WOMBS, *corr.* C. — [76] ἄλλου *add.* B.

70. — [1] δὲ *add.* S. — [2] (λέγ. αὐ.) λέγοντα B. — [3] om. V. — [4] (ἔτι αἴτ.) αἴτ. ἔτι O. — [5] συνίστανται VCS, *ante corr.* W. — [6] μὴ BC. — [7] om. S. — [8] ἄνευ τῆς σῆς ἀντιλ. τὰ πάντα S. — [9] χωλαίνει M, οὐδέν εἰσι H. — [10] (καὶ - ταῦτα) om. H, ταῦτα εἰπόντι B. — [11] om. H. — [12] ἐκπέμποντος S. — [13] (πρὸς αὐτ.) αὐτῷ B. — [14] οὗτος B. — [15] υἱὸς *add.* S. — [16] υἱὸς *add.* B. — [17] V ; ἐν κόσμῳ WOMH ; εἰς τὸν κ σμον BCS ; ὃς *add.* B. — [18] φορ. ἐξ ἀκ. BC. — [19] τῆς ἀφάτου σου φιλανθρωπίας B. — [20] μᾶλλα S, μάλα WOMH, om. B. — [21] πρὸς αὐτὸν *add.* S. — [22] στερρεοῦ C,O *ante corr.* ; (ἐσταύρωσαν - στερ.) om. H. — [23] ἐκλείπῃ WMS ; οὐ μὴ ἐκλ. τὸ σπ. σου B. — [24] *corr., prius* φυλαχθήσε V.

ἀρετῶν φωτιζόμενοι [25] λάμπουσιν· οἱ δὲ μετὰ σὲ ἐν αὐχμηρῷ [26] τυγχάνοντες τόπῳ, ἐν ἀγαθῷ φρονήματι καὶ ἑκουσίᾳ [27] προαιρέσει οὐδενὸς τῶν συγγενῶν ὁδηγοῦντος αὐτοῖς [28] πρὸς τὴν ἀλήθειαν, ἀποπηδήσαντες τῆς σκοτίας τὴν δικαιοσύνην μετελεύσονται [29]. Ἀμὴν λέγω σοι [30]· μετὰ τῶν ἄκρως νῦν καὶ ἀμέμπτως [31] πολιτευσαμένων [32] εὑρεθήσονται [33] καὶ τῆς αὐτῆς [34] ἀπολαύσουσι [35] σωτηρίας. » Ταῦτα εἰπὼν εὐθὺς εἰς τὸν οὐρανὸν [36] ἀνῆλθεν [37], τοῦ ἀέρος [38] φωτισθέντος, ὡς μὴ δύνασθαι τὴν δόξαν τοῦ φωτὸς ἐκείνου ἀνθρωπίνοις διηγηθῆναι [39] λόγοις [40].

Λ 19. **71** [1]. Ἐκπλαγέντος δὲ ἐπὶ τοῖς ὀφθεῖσιν αὐτῷ τοῦ μεγάλου [2], καλεῖ μὲν ἐπὶ τὴν νυκτερινὴν σύναξιν [3] τοὺς ἀδελφοὺς ὁ εἰς τοῦτο τετυπωμένος [4]. Τῆς δὲ λειτουργίας πληρωθείσης [5], ἔστησαν εἰς
Matth. 5, 2. ἀκρόασιν τοῦ λόγου κατὰ τὸ σύνηθες οἱ μαθηταί· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ λέγει [6] αὐτοῖς· « Τέκνα, ὅση ἐστὶν [7] ἰσχὺς ἐν ὑμῖν, ἀγωνίσασθε ὑπὲρ τῆς σωτηρίας ὑμῶν. Πρὸ τοῦ ἐλθεῖν τὸν καιρὸν ἐν ᾧ μέλλομεν, εἴ γε [8] ἀμελήσομεν [9], ἑαυτοὺς ταλανίζειν, ἐργασώμεθα προθύμως τὴν ἀρετήν. Λέγω γὰρ ὑμῖν [10], εἰ ᾔδειτε τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθὰ καὶ τὴν ἀποκειμένην τοῖς ἁγίοις ἐπαγγελίαν καὶ πῶς οἱ ἀποπεσόντες τοῦ [11] Θεοῦ κολάζονται καὶ τὰ βασανιστήρια
I Tim. 4, 3. ἃ τοῖς ἀμελοῦσιν [12] ἠτοίμασται [13], μάλιστα τοῖς ἐπεγνωκόσι τὴν ἀλήθειαν καὶ μὴ ἀξίως αὐτῆς [14] πολιτευσαμένοις [15] ὑπὲρ τοῦ κληρονομῆσαι τὴν ἀποκειμένην [16] τοῖς ἁγίοις [17] μακαριότητα, ἀλλὰ ἀποφυγοῦσιν [18], οὐδενὸς [19] ἂν ἑτέρου κατέσχεν ὑμᾶς ἐπιθυμία [20],

[25] (ἀρ. φωτ.) φ. ἀ. S. — [26] ἀχμηρῷ V. — [27] ἑκουσίῳ BM. — [28] αὐτοὺς WOMB. — [29] μεταδιώξουσι B. — [30] (ἀμὴν λ. σ.) καὶ B. — [31] καὶ ἀμ. om. S ; (νῦν κ. ἀμ.) κ. ἀμ. νῦν πολιτευομένων καὶ O. — [32] ἀμὴν λέγω σοι add. B. — [33] corr., prius εὑρεθήσεται V ; (ἀμὴν - εὑρ.) om. H. — [34] αὐτοῖς add. B. — [35] ἀπολαύσωσι VC. — [36] εἰς οὐρανὸν WOMH, εἰς οὐρανοὺς S. — [37] ἄνεισι S, ἀπῆει H. — [38] ἐπὶ τοσοῦτον add. O. — [39] διηγήσασθαι BH. — [40] ἀνθρώπινος διηγήσασθαι λόγος S.

71. — [1] νγ′ M. — [2] ἁγίου S. — [3] om. H. — [4] τετυπωμένους W, τεταγμένος S. — [5] (ἐκπλαγ. - πληρ.) καὶ τὰ μὲν τῆς ὀπτασίας τοιαῦτα· ἐφ' οἷς ὡς εἰκὸς καὶ ὁ θεῖος παχώμιος ἐν ἐκπλήξει καὶ ἡδονῇ ἀρρήτῳ ἐγένετο· εἶτα καὶ ἐπὶ τὴν νυκτ. σύν. μετὰ τῶν ἀδελφῶν ἀφίκετο· καὶ ταύτης τελεσθείσης B. — [6] (καὶ ἀνοίξας - λέγει) ὁ δὲ γέρων ἔφη B. — [7] ἡ add. M. — [8] νῦν add. B. — [9] ἀμελήσοιμεν M. — [10] ὅτι add. WOMH. — [11] ἐκ S. — [12] corr., prius μέλουσιν V. — [13] εὐτρέπισται WM ; καὶ add. B. — [14] αὐτοῖς VCW. — [15] πολιτευσαμένους H. — [16] om. BH. — [17] (τ. ἁ.) ἐκεῖθεν B. — [18] ἀλλὰ ἀπ. om. B. — [19] γὰρ add. C. — [20] ἐπεθυμία W ; οὐδενὸς ἂν ἑτέρου ἐπιθυμία ἔσχεν ὑμᾶς B.

ἤδη μεταρσίους γενηθέντας [21] καὶ ἐπὶ τῇ τῶν παρελθόντων κακῶν ἀνοίᾳ διηνεκῶς πενθοῦντας [22], ἕως ἂν ἡ τοῦ Θεοῦ χάρις ἐπισκιάσασα ἕκαστον μετὰ δόξης πρὸς τὸν νυμφίον ἐχειραγώγησεν ἐν ἡμέρᾳ ἐξοδίας [23], ὅτε τοῦ χοὸς ἐνταῦθα μένοντος, ἡ ψυχὴ πρὸς [24] τὸ συγγενὲς διασῴζουσα [25], πρὸς τὸν ἀθάνατον τῶν φώτων ἀνατρέχει Iac. 1, 17.
πατέρα. Τί κενοδοξεῖ ἄνθρωπος, χοῦς τυγχάνων [26]; τί δὲ ὑπερ- Eccli. 10, 9.
φανεύεται γῇ καὶ σποδός; Κλαύσωμεν ἑαυτούς, ὡς καιρὸν ἔχομεν, Gal. 6, 10.
μήποτε [27], ἐλθούσης τῆς ὡρισμένης ἡμῖν [28] προθεσμίας [29], εὑρεθῶμεν τότε αἰτοῦντες καιρὸν [30] παρὰ Κυρίου [31] πρὸς μετάνοιαν, ἐν ᾗ ταύτης ὁ καιρὸς σαφῶς ἀπελήλαται. Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς Ps. 6, 5.
ἐξομολογήσεταί σοι; Παρὰ τοῦ Δαυὶδ μεμαθήκαμεν [32]. Ἀθλία ὄντως ψυχὴ καὶ παντὸς οἴκτου μεστὴ [33] ἡ τὴν τοῦ κόσμου δουλείαν ἀρνησαμένη καὶ πάλιν τὴν αὐτοῦ [34] θεραπείαν ἐπιζητοῦσα. Μὴ συγχωρήσωμεν, ἀδελφοί, τῷ αἰῶνι [35] τούτῳ βραχυτάτῳ ὄντι καὶ εὐτελεῖ [36], ἁρπάσαι τὴν μακαρίαν ἐκείνην καὶ ἀθάνατον ζωὴν ἀφ' ἡμῶν. Φοβοῦμαι γὰρ καὶ φρίττω, μήπως [37] οἱ κατὰ σάρκα πατέρες ἡμῶν, ἐν τῷ κόσμῳ διατρίβοντες καὶ ταῖς τοῦ βίου πραγματείαις ἐμπλεκόμενοι, οἰόμενοί τε ἡμᾶς ἐντεῦθεν ἤδη τῆς μακαρίας ἀπολαύειν [38] ζωῆς, εὑρεθῶσι κατακρίνοντες ἡμᾶς [39] λέγοντες πρὸς ἡμᾶς [40]· « Πῶς ἐταλαιπωρήσατε ἐν ταῖς τρίβοις ὑμῶν; Μεγάλη ἡ θλῖψις ὑμῶν, πῦρ ἀνήφθη ἐφ' ὑμᾶς· ἠχρειώθησαν οἱ κλάδοι ὑμῶν. » Καὶ πάλιν ἐκ τοῦ προφήτου· « Διὰ τοῦτο εἰς προνομὴν ἐγένεσθε [41] οἱ [42] ἠγαπημένοι ὡς οἱ [43] ἐβδελυγμένοι [44]· καὶ ὁ στέφανος τῆς κεφαλῆς ὑμῶν ἀφῄρηται. Πόλεις αἱ πρὸς νότον, πῶς συνεκλείσθητε; οὐκ ἔστιν ὁ ἀνοίγων ὑμῖν [45]. Ἀρθήτω γάρ, φησίν, ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. » Διὰ τοῦτο, ἀδελφοί [46], ἐξ ὅλης ψυχῆς ἀγωνισώμεθα, τὸν θάνατον ἀεὶ πρὸ ὀφθαλμῶν [47] καὶ [48] κατὰ πᾶσαν ὥραν ἔχοντες καὶ τὴν φοβερὰν κόλασιν φανταζόμενοι,
Cf. Ier. 9, 19 ; 11, 16 ; 2, 14. Os. 9, 10. Cf. Ier. 13, 18-19. Is. 26, 10. *Λ 20.*

[21] γεννηθέντας V ; μεταρσίους ἤδη γεγενημένους B. — [22] BOS ; πενθούντων ceteri. — [23] ἐξόδου BCS, διεξόδου O. — [24] WOM ; om. ceteri. — [25] τὴν οἰκείαν εἰκόνα add. O. — [26] ὑπάρχων WOM. — [27] μήπως S. — [28] ἡμῖν τῆς ὡρισμ. M. — [29] corr., prius προθυμίας V. — [30] om. WM. — [31] παρὰ κυρ. καιρ. OS. — [32] παρὰ τ. δ. μ. om. BS. — [33] ἀξία B. — [34] τῆς αὐτῆς H. — [35] αἰωνίῳ W, M ante corr. — [36] τῷ βραχ. αἰῶνι τούτῳ καὶ εὐτ. S, τὸν αἰῶνα τοῦτον βραχύτατον ὄντα καὶ εὐτελῆ O. — [37] μήποτε S. — [38] ἀπολαῦσαι H, ἀπολαύει S. — [39] καὶ add. H. — [40] πρ. ἡμ. om. B ; λέγ. πρ. ἡμ. om. VC. — [41] καὶ add. O. — [42] in marg. al. man. O. — [43] om. B ; sup. lin. H ; (ὡς οἱ) καὶ οἱ W, del. O. — [44] βδελυγμένοι V. — [45] ὑμᾶς B. — [46] om. V. — [47] ἀεὶ add. dein del. H. — [48] om. B.

δι' ὧν εἰς αἴσθησιν ὁ νοῦς εἴωθεν ἄγεσθαι, καὶ βρίθει [49] *μὲν* [50] *ἐπὶ τὸ πρανὲς τὸ σῶμα* [51] *δακρύουσα* [52] *ἡ ψυχή, αὖθις δὲ τοῦτο θερμανθὲν* [53] *θεωρητικὴν αὐτὴν* [54] *ἀπεργάζεται* [55] *καὶ μετάρσιον ἀπὸ τῶν γηΐνων ποιῆσαν* [56] *τὸν Θεὸν* [57] *ἀεὶ φαντάζεσθαι* [58] *παρασκευάζει. Ἄλλως δὲ καὶ* [59] *τὸ ταπεινὸν καὶ ἀκενόδοξον καὶ παντὸς ἀπηλλοτριωμένον κοσμικοῦ φρονήματος ἐντεῦθεν ἀρραγὲς ὑπάρξει αὐτῇ. »*

72. *« Φιλοσοφείτω οὖν καθ' ἑκάστην, ἀδελφοί, πρὸς τὸ παχύτατον* [1] *σῶμα ἡ ψυχὴ* [2] *ἑκάστη* [3] *ἐπιμελείᾳ καὶ παραινέσει. Καὶ φθασάντων ἡμῶν πρὸς* [4] *ὕπνον ἑσπέρας, λεγέτω πρὸς ἕκαστον μέλος τοῦ σώματος· Ἕως εἰμὶ ἐν μέσῳ ὑμῶν, εἴκετε προθύμως τῷ Κυρίῳ* [5] *ὑμῶν. Πρὸς μὲν τὰς χεῖρας λέγουσα* [6] *· Ἔσται* [7] *ὥρα ἡνίκα παύσεται* [8] *ὑμῶν τὰ σκιρτήματα· οὐκέτι γὰρ πυγμὴ πρὸς θυμὸν ὑπουργήσει· οὐχ ἁπλωθήσεσθε* [9] *πρὸς ἁρπαγὴν ἑτοιμαζόμεναι. Πρὸς δὲ τοὺς πόδας· Ἔσται καιρὸς ὅτε* [10] *οὐ δραμεῖσθε ἄδικα* [10*]. *Πρὶν ἡμᾶς ὁ θάνατος χωρίσῃ καὶ διαζεύξῃ ἡ ἐκ τῆς ἁμαρτίας γενομένη* [11] *διάλυσις, ἀγωνισώμεθα, στῶμεν γενναίως, ἀόκνως προσκυνήσωμεν τῷ Κυρίῳ, ἕως ἂν αὐτὸς πάλιν παραγενόμενος καὶ τὸν* [12] *ἐπὶ τῷ προσκαίρῳ πόνῳ* [13] *ἀποδεξάμενος* [14] *ἱδρῶτα εἰς τὴν ἀθάνατον παραπέμψῃ ζωήν. Δέξαι μου* [15] *τὴν αἴσθησιν* [16] *ἐκ τῶν δακρύων· γνώρισον* [17] *τῷ δεσπότῃ τὴν εὐγενῆ σου δουλείαν· βάστασόν με* [18] *προθύμως τῷ Θεῷ ἐξομολογουμένην· καὶ μὴ βουλομένην ὑπνοῦν* [19] *καὶ ἀναπαύεσθαι εἰς αἰώνιον κόλασιν ἀγάγῃς με* [20]. *Ἔσται γάρ σοι νηφούσῃ* [21] *καιρός, ὅτε ἡ τῶν ἀγαθῶν ἥξει* [22] *δαψιλὴς ἀνταπόδοσις· καὶ πάλιν κρίσις, ἐπὰν ῥᾳθυμήσωμεν. Καὶ ἔσται τῆς ψυχῆς ἀκοῦσαι τότε πρὸς τὸ σῶμα λεγούσης· Οἱ-*

Mt. 25, 46.

[49] WOMHS ; *βοηθεῖ* VBC. — [50] (*καὶ βρ. μὲν*) *βρ. μὲν γὰρ* S. — [51] *τῷ σώματι ἐπὶ τὸ πρ. νεύοντι* B. — [52] *δὲ add.* S. — [53] *θερμαθὲν* B. — [54] *om.* H. — [55] *αὖθις ἀνωφερὲς ἀπεργ. τοῦτο* S. — [56] *ποιήσας* H, *ποιήσασα* S, *ποιήσαντα* V. — [57] *τοῦ θεοῦ* H. — [58] *reliqua huius cap. verba itemque integrum cap. 72 om.* H. — [59] *om.* S.

72. — [1] *βραχύτατον* B. — [2] *ἡ ψ. πρὸς τὸ παχύτ. σῶμα ἀδελφοί* S. — [3] *πάσῃ* B. — [4] *εἰς* S. — [5] (*εἴκετε - κ.*) *ἱκετεύσατε πρὸς τὸν κύριον* S. — — [6] OS ; *λέγων* VCWM ; *φάσκουσα* B. — [7] *ἔστιν* S. — [8] BO ; *παύσηται ceteri.* — [9] *οὐκ ἁπλοθήσεται* V. — [10] *ἡνίκα* O. — [10*] *deesse quaedam verba videntur; cf. Λ: πρὸς δὲ τὸ σῶμα ὅλον λεγέτω, et Λ: cuncta quoque membra... alloquatur.* — [11] *γινέσθω* S. — [12] *τὴν* WB, *om.* S. — [13] *om.* BC. — [14] *τὸν add.* S ; *σπουδὴν καὶ τὸν add.* B. — [15] *δεῖξον μοι* S. — [16] *αἴτησιν in ras.* O. — [17] *μοι add.* S. — [18] (*β. με*) *βαστάσωμεν* V. — [19] *ὑπνοῖν* O, *ὑπνεῖν* S. — [20] *om.* B. — [21] *ἡμῖν νήφουσι* B ; *exspectaveris σοι νήφοντι, nempe σώματι* — [22] *ἕξει* WO.

μοι [23] *ὅτι* [24] *συνεδέθην σοι* [25] *καὶ σοῦ ἕνεκεν ἐγὼ κατάδικος γίνομαι* [26]. — *Ἐὰν* [27] *οὕτως καθ' ἑκάστην ἑαυτοὺς ἐπιτείνωμεν, ἀληθῶς ναὸς* [28] *τοῦ Θεοῦ ὑπάρξομεν* [29] *καὶ ἐνοικήσει ἐν ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον καὶ κατασκηνώσει ἐφ' ἡμᾶς ὁ Χριστός· καὶ οὐδεμία* [30] *σατανικὴ μεθοδεία* [31] *δύναται* [32] *ἡμᾶς ἀπατῆσαι. Μυρίων γὰρ παιδαγωγῶν καὶ διδασκάλων ὁ τοῦ Θεοῦ* [33] *φόβος* [34] *καὶ τὰ βουλεύματα ταῦτα ὄντα παρ' ἡμῖν πλέον διδάξει καὶ σοφίσει ἡμᾶς· καὶ ὅσα ὁ ἀνθρώπινος νοῦς καταλαβεῖν οὐκ ἰσχύει, ταῦτα τὸ πανάγιον* [35] *θεῖον τῆς ἀχράντου φύσεως Πνεῦμα ὑποδείκνυσι· τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, κατὰ τὸν ἀπόστολον, οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις, καὶ τὰ ἑξῆς* [36]. *»*

Cf. II Cor. 6, 16 ; Ioh. 14,23 : I Cor. 4,, 15.

Rom. 8, 26.

73 [1]. *Λιμοῦ δὲ* [2] *γενομένου ποτὲ* [3] *καὶ τῶν* [4] *ἀδελφῶν μὴ ἐχόντων σῖτον, μᾶλλον δὲ σίτου μὴ εὑρισκομένου* [5] *καθ' ὅλην σχεδὸν* [6] *Αἴγυπτον, ἀπέστειλεν ὁ ἅγιος γέρων* [7] *τινὰ τῶν ἀδελφῶν περιελθεῖν τὰς πόλεις καὶ τὰς κώμας* [7] *ζητοῦντα ἀγοράσαι σῖτον* [8], *δεδωκὼς αὐτῷ ἐπὶ λόγου τῆς τοῦ σίτου ἀγορασίας* [9] *ὁλοκότινα ἑκατόν* [10]. *Περιελθὼν δὲ ὁ πιστευθεὶς* [11] *πολλοὺς τόπους* [12] *παρέβαλεν εἴς τινα πόλιν καλουμένην Ἑρμώθην* [13]. *Καὶ κατ' οἰκονομίαν Θεοῦ* [14] *εὗρεν ἐκεῖ ἄνθρωπόν τινα* [15] *πολιτευόμενον, πάνυ εὐλαβῆ* [16] *καὶ τὸν Θεὸν φοβούμενον* [17], *ἀκούσαντα περὶ* [18] *τοῦ βίου* [19] *τοῦ ἁγίου Παχωμίου καὶ τῶν ἀδελφῶν* [20]. *Οὗτος ὁ πολιτευόμενος* [21] *δημόσιον*

Λ 21.

[23] *οἴμμοι* V *ante corr.* — [24] *om.* BC. — [25] *σου* C. — [26] *γένομαι* C. — [27] *γὰρ add.* S. — [28] *ναοὶ* BC. — [29] *ἐσόμεθα* B. — [30] *οὐδὲ* WOM. — [31] *μεθ. σατ.* S. — [32] *δυνήσεται* B. — [33] *κυρίου* S. — [34] *μείζων add.* B, *πλείων add.* C, *ὑπάρχει κρεῖττον add.* S. — [35] *καὶ add.* BCOS. — [36] (*καὶ τὰ ἑ.*) *τοιαῦτα μὲν τὰ τῆς διδασκαλίας* B.

73. — [1] *μγ'* WO, *νδ'* M ; *hinc rursus* H, *sed alia manu.* — [2] *om.* H. — [3] *ποτε γεν.* BHS. — [4] *συν τῷ μεγάλῳ παχωμίῳ add.* H. — [5] *μὴ εὑρ. σίτ.* H. — [6] *τὴν add.* HS. — [7] *πάσας add.* H. — [8] *σῖτ. ἀγ.* HS ; *ὠνήσασθαι σῖτ.* B. — [9] (*ἐπὶ λόγου*) *λόγῳ* O ; (*ἐπὶ -ἀγ.*) *τούτου χάριν* B ; (*δεδωκὼς - ἀγ.*) *om.* HS. — [10] *ἑκ. ὁλ.* WM, *ἑκ. χρυσίνους* O, *νομίσματα ἑκ.* VBC, *ἑκ. νομισμάτων* H, *νομισμάτων ἑκ.* S. — [11] *ἀδελφὸς* H, *ἀποσταλεὶς* O, *πεμφθεὶς* S. — [12] *ὁ δὲ τόπ. πολλ. περιελθ.* B. — [13] *ἑρμόθην* H, *ἑρμωθιν* M, *ἑρμύθην* S, *ἑρμώθην* C. — [14] *κατ' οἰκ. θ. om.* H. — [15] *εὗρεν ἐκεῖ τινὰ τὸν ἄνθρ.* H. — [16] *εὐλαβῶς* H. — [17] *καὶ /// φοβουμένω corr. in textu, τὸν κύριον in marg. al. man.* V. — [18] (*καὶ κατ' οἰκ. θ.-περὶ*) *ἔνθα ἐνέτυχεν ἀνθρώπω τινὶ πολιτευομένῳ πάνυ εὐλαβεῖ καὶ τὸν θ. φοβουμένῳ ὃς καὶ περὶ* B. — [19] *τοῦ β. om.* S. — [20] (*ἀκούσαντα - ἀδ.*) *om.* H ; *ἔφθασεν ἀκούσας add.* B. — [21] *ὁ πολ. om.* B ; (*οὗτ. ὁ π.*) *ὃς* H.

ἐπεπίστευτο [22] σῖτον. Τούτῳ προσελθὼν ὁ ἀδελφὸς παρεκάλει αὐτὸν [23] πωλῆσαι αὐτῷ [24] σῖτον [25] ἑκατὸν ὁλοκοτίνων [26]. Ὁ δὲ [27] εἶπε πρὸς αὐτόν [28] · « Ἀληθῶς [29], ἀδελφέ, εἰ εἶχον ἐμὸν σῖτον, ἀπὸ τῶν τέκνων μου ἂν [30] λαβὼν [31] ἐδίδουν [32] ὑμῖν. Ἀκούω γὰρ περὶ τῆς θείας καὶ ἐναρέτου [33] ὑμῶν πολιτείας. Ἄκουσον δέ [34] μου, ὃ μέλλω σοι λέγειν. Δημόσιον σῖτον ἔχω κείμενον, καὶ τέως ἄρτι [35] οὐ ζητεῖται παρὰ τοῦ ἄρχοντος · εἰ οὖν θέλεις λαβεῖν αὐτὸν ἕως τοῦ καιροῦ τῆς ἄλωνος, ὑπερθέσθαι δύναμαι τὰ δημόσια [36] · ἐὰν οὖν [37] οἶδας ὅτι δύνασαι ἀποκαταστῆσαι τὸν σῖτον ἐν τῷ καιρῷ ἐκείνῳ [38], καὶ δὴ λάβε [39] ὅσον θέλεις. » Τοῦ δὲ ἀδελφοῦ εἰπόντος ὅτι [40] · « Οὐχ οὕτως θέλω ἵνα ποιήσῃς μοι · οὐ γὰρ δυνάμεθα ἀποκαταστῆσαι [41] τὴν ποσότητα ἣν μέλλω λαμβάνειν [42] · ἀλλ' ἐὰν θέλῃς τῶν ἑκατὸν ὁλοκοτίνων [43] δοῦναί μοι, οἵας θέλεις τιμῆς, εἰ ὅλως δύνασαι ἕως τοῦ καιροῦ [44] τῆς ἄλωνος ὑπερτίθεσθαι [45] τὰ δημόσια, καλῶς ποιεῖς », ὁ δέ φησι πρὸς αὐτόν [46] · « Ναί, δύναμαι ὑπερθέσθαι, οὐ μόνον τῶν ἑκατὸν [47] τούτων [48] ὁλοκοτίνων [49] · ἀλλ' ἐὰν θέλῃς καὶ ἄλλων [50] ἑκατὸν λαβεῖν ὁλοκοτίνων [51] σῖτον [52], χάριν μοι παρέχεις ἐν τούτῳ [53] · μόνον εὔχεσθε [54] ὑπὲρ ἐμοῦ. » Τοῦ δὲ ἀδελφοῦ εἰπόντος ὅτι [55] · « Οὐκ ἔχομεν χρυσίον [56] εἰ μὴ τοῦτο », ὁ πολιτευόμενος ἀκούσας [57] εἶπε [58] · « Μὴ μελέτω σοι περὶ τούτου [59]. Λάβε τὸν σῖτον, καὶ ὅταν εὕρητε τὴν τιμήν, ἐνέγ-

[22] ἐπιστεύετο HS. — [23] om. S. — [24] αὐτὸν C. — [25] προσελθ. οὖν αὐτῷ ὁ ἀδ. πωλ. αὐτῷ παρεκ. σῖτ. H ; ᾧ προσελθ. ὁ ἀδ. πωλ. αὐτῷ σῖτ. B. — [26] ἑκ. ὁλ. om. S, ἑκ. ὁλοκ. O, ἑκ. νομισμάτων VCHM, τῶν ἑκ. νομ. B ; ἐδεῖτο add. in marg. B. — [27] ἦν γὰρ ἀκούων περὶ τοῦ ἁγίου παχωμίου καὶ τῶν ἀδελφῶν add. H. — [28] πρ. αὐ. εἶπε S. — [29] ὁ (in ras.) δὲ πρ. αὐτ. ἀληθ. φησιν B. — [30] ἄρα H, om. B. — [31] ἔλαβον καὶ S ; (ἂν λαβ.) λαβ. ἂν O. — [32] ἐδίδων H, ἐδίδου S, ἂν add. BH. — [33] ἐναρ. κ. θείας S. — [34] (ἄκ. δὲ) ἀλλ' ἄκ. S. — [35] μὲν B, om. C. — [36] (εἰ οὖν - δημ.) δύναμαι δὲ ὑπερθ. τὸν δημόσιον ἕως τοῦ κ. τῆς ἄλ. H. — [37] (ἐὰν οὖν) καὶ εἰ B. — [38] δύνασαι ἀποδοῦναί μοι πάλιν ἐν τῷ κ. ἐκ. τὸν σῖτον H. — [39] (καὶ δὴ λ.) λ. δὴ BCHS. — [40] (τοῦ δὲ - ὅτι) τῷ δὲ εἰπόντι ὅτι B, εἶπε δὲ ὁ ἀδελφός H. — [41] σοι πάλιν add. H. — [42] οὗ μέλλω λαβεῖν σίτου H. — [43] WO ; νομισμάτων VBCMS. — [44] τ. κ. in ras. O. — [45] ὑπερθέσθαι BS. — [46] πρ. αὐ. om. B. — [47] ρ' W hic et infra. — [48] om. BC. — [49] WOM ; νομισμάτων BCS, νομίσματα V ; (ἀλλ' ἐὰν θέλῃς - τούτ. ὁλοκ.) om. H ; hinc iterum prima man. H. — [50] ἀλλὰ ἐὰν θ. καὶ ἄλλω V. — [51] λαβ. ὁλ. WOH, νομισμάτων λαβ. BC, λαβ. νομισμάτων VM. — [52] om. B ; σῖτον /// V. — [53] (ἀλλ' ἐὰν - ἐν τούτω) ἀλλὰ καὶ ἄλλων τοσούτων S. — [54] εὔχεσθες H ; χάριν δὲ ταύτην αἰτοῦμαι μόνην εὔχεσθαι B. — [55] om. H ; τῷ δὲ ἀδελφῷ εἰρηκότι ὅτι B. — [56] ἕτερον add. B. — [57] om. BS. — [58] φησί B. — [59] (περὶ τ.) περὶ δὲ τούτου S, τοῦτο BC.

κατέ [60] μοι. » Ἐπὶ τούτῳ οὖν τῷ ὅρῳ γομώσας [61] τὸ πλοῖον σίτου ἐκ δεκατριῶν ἀρταβῶν [62] τοῦ ὁλοκοτίνου [63], μηδαμοῦ καθ' ὅλην τὴν Αἴγυπτον [64] εὑρισκομένων [65] πέντε ἀρταβῶν τοῦ ὁλοκοτίνου [66], κατέπλευσεν εἰς τὴν μονὴν μετὰ πολλῆς χαρᾶς ὁ ἀδελφός.

74. Ἀκούσας δὲ ὁ μέγας ὅτι ὥρμισε τὸ πλοῖον γεγομωσμένον σίτου [1] καὶ τὸν τρόπον τῆς τοῦ σίτου ἀγορασίας [2], πέμπει εὐθέως εἰς τὸ πλοῖον λέγων · « Ἕνα κόκκον τοῦ [3] σίτου τούτου [4] μὴ εἰσενέγκητε εἰς τὴν μονήν, μηδὲ ὁ ἀγοράσας τὸν σῖτον [5] εἰς [6] πρόσωπόν μου ἔλθῃ, ἕως οὗ [7] ἀποκαταστήσῃ τὸν σῖτον εἰς τὸν ἴδιον αὐτοῦ τόπον [8], ὅτι πάνυ ἠνόμησε τοῦτο πεποιηκώς · καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἄλλων ἑκατὸν ὁλοκοτίνων [9] σῖτον λαβών [10], ὅπερ οὐκ ἐκέλευσα αὐτὸν [11] ποιῆσαι, ἀλλὰ τῷ ἰδίῳ φρονήματι ὑπηρετῶν τὸ πλέον [12] ἠγάπησε [13] · καὶ τῷ τῆς φιλοκερδίας πάθει πυρωθεὶς [14] κατεδουλώσατο ἡμᾶς, ποιήσας ὑποχρέους [15] εἶναι, καὶ [16] ἀκορέστως [17] μὲν τῇ φιλανθρωπίᾳ τοῦ δεδωκότος προσελθών, πλεονεξίας δὲ τρόπον ἐργασάμενος [18], ὑπὲρ τὴν χρείαν ἡμῶν [19] κομίσας σῖτον, καὶ ἐξ αὐθεντίας ἑαυτοῦ [20] δανεισάμενος [21] ὃν [22] οὐκ ἔχομεν πόθεν [23] ἀποδῶσαι [24]. Οὐ μὴν δέ [25], ἀλλ' εἰ καὶ συνέβη ἐρχόμενον [26] αὐτὸν ἀνθρώπινόν τι ὑποστῆναι ναναγήσαντος [27] τοῦ πλοίου [28], τί εἴχομεν [29] ποιῆσαι ; οὐκ ἐμέλλομεν πάντες ὑπόδουλοι [30] γίνεσθαι [31] ; Διὰ τοῦτο ὅσον ἤνεγκε σῖτον, τοῖς περὶ τὰ μέρη ταῦτα [32] κοσμικοῖς τυγχάνουσι [33] πωλείτω [34], ὡς ἔλαβε παρὰ τοῦ πιστεύσαντος [35] αὐτῷ, ἐκ δεκατριῶν ἀρταβῶν τοῦ ὁλοκοτίνου [36] · καὶ μετὰ τὸ πω-

Λ 22.

[60] ἐξενέγκατέ H. — [61] γεμίσας BMS. — [62] ἀρτάβων VH ; ἀνὰ δεκατρεῖς ἀρτάβας B. — [63] τοῦ νομίσματος V, τῷ νομίσματι BC. — [64] (καθ' ὅ. τ. αἴ.) καθόλου B. — [65] εὑρισκομένου MS ; εἰ μὴ add. S. — [66] τῷ νομίσματι VB ; (μηδαμοῦ - ὁλοκ.) om. CHO.

74. — [1] γεγ. σῖτον V, γεγ. τοῦ σίτου WOH, γέμον σίτου M, πλῆρες σίτου B, γεμισμένον τὸν σῖτον S ; μαθὼν δὲ add. B. — [2] ἀγορᾶς BS ; μαθὼν add. M. — [3] om. WO. — [4] τούτου τοῦ σίτου M. — [5] ὁ ὠνησάμενος τὸν σῖτ. B, ὁ τὸν σῖτ. ἀγ. S. — [6] τὸ add. BHS. — [7] ἂν B. — [8] τόπ. αὐτοῦ B. — [9] νομισμάτων VBCM. — [10] σῖτ. λ. om. H. — [11] αὐτῷ WOMH. — [12] πλεῖον B. — [13] (ἀλλὰ τῷ - ἠγάπησε) om. S. — [14] πηρωθεὶς B. — [15] ὑπόχρεως B, ὑποχειρίους S. — [16] om. B. — [17] ἀκορέστους C. — [18] μιμησάμενος S. — [19] om. BCWOM. — [20] αὐτοῦ C. — [21] (ὑπὲρ - δανεισ.) om. S. — [22] ὃς S. — [23] πόθον H. — [24] ἀποσῶσαι WOH ; ἀποδοῦναι BCS, add. man. rec. var. lect. in marg. M. — [25] om. B. — [26] om. WO. — [27] ναναγῆσαν VC. — [28] τὸ πλοῖον C. — [29] εἴμεν S. — [30] ὑπόδ. πάντες S. — [31] γενήσεσθαι B, γενέσθαι H. — [32] om. C. — [33] om. BC. — [34] πωλησάτω S. — [35] αὐτὸν add. H. — [36] νομίσματος VC ; ἀνὰ δεκατρεῖς ἀρτάβας τῷ νομίσματι B.

λῆσαι αὐτόν [37], λαβὼν τὸ χρυσίον [38] ἀποκομιζέτω [39] τῷ [40] πιστεύσαντι αὐτῷ · τῶν δὲ ἑκατὸν ὁλοκοτίνων [41] τῶν ἡμετέρων, ὡς πωλεῖται πανταχοῦ, οὕτως καὶ αὐτὸς ὠνησάμενος φερέτω. » Ἐποίησε δὲ [42] οὕτως καθὼς εἶπεν ὁ μέγας, καὶ ἤνεγκε τὸν σῖτον ἐκ πέντε ἥμισυ ἀρταβῶν [43] τοῦ ὁλοκοτίνου [44] ἀγοράσας [45]. Καὶ ἀπὸ τότε [46] οὐκ ἀφῆκεν αὐτὸν ἔτι [47] ἐκβῆναι [48] τῆς μονῆς εἰς διακονίαν τῶν ἀδελφῶν · ἀλλ' ἐάσας αὐτὸν ἔσω [49] καθέζεσθαι [50], ἔταξεν ἄλλον [51] εἰς τὴν οἰκονομίαν [52] τῶν ἀδελφῶν [53].

Λ 23. **75** [1]. Οὗτος ὁ [2] ἀδελφός ποτε λαβὼν [3] παρὰ τοῦ σκυτέως σανδάλια πολλὰ καὶ ἕτερά τινα εἴδη ἐπὶ τὸ πωλῆσαι, πλέον τῆς τιμῆς ἧς εἶπεν αὐτῷ ὁ σκυτεὺς λαβών [4], ἤνεγκεν αὐτῷ τὸ χρῆμα [5]. Λαβὼν δὲ τὸ κέρμα [6] ὁ σκυτεὺς [7] ἐμέτρησε τὴν τιμὴν τοῦ δέρματος καὶ τοῦ καμάτου τῶν χειρῶν αὐτοῦ, ἐκ πεντήκοντα λεπτῶν ὁρίσας τῆς ἡμέρας [8] ἧς [9] εἰργάσατο τὰ εἴδη ἐκεῖνα. Εὑρὼν δὲ τριπλοῦν τὸ ἀργύριον, εὐθὺς ἀπελθὼν πρὸς τὸν μέγαν εἶπεν αὐτῷ · « Ἀληθῶς, ὦ πάτερ, κακῶς [10] ἐποίησας τάξας τοῦτον τὸν ἀδελφὸν εἰς τὴν διακονίαν τῶν τοιούτων ἀποκρίσεων τῆς μονῆς · ἔτι [11] ἔχει ἐν ἑαυτῷ τὸ κοσμικὸν φρόνημα. » Εἰπόντος [12] δὲ τοῦ μεγάλου [13] · « Τί ἐστι τὸ πρᾶγμα ὃ ἐποίησε [14] κακῶς [15] ; » ἀπεκρίθη ὁ σκυτεὺς καὶ εἶπεν [16] · « Ἔδωκα αὐτῷ σανδάλια καὶ ἕτερά τινα εἴδη ἐπὶ τὸ [17] πωλῆσαι [18], εἰπὼν αὐτῷ [19] τὴν ποσότητα τῆς τιμῆς. Ὁ δὲ πωλήσας αὐτὰ πλείονος, ἤνεγκέ μοι [20] τριπλῆν τὴν τιμὴν παρ' ὃ εἶπον αὐτῷ. » Ἀκούσας δὲ ὁ μέγας ταῦτα [21], ἐκάλεσε τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ · « Διὰ τί οὕτως ἐποίησας ; » Ὁ δὲ πρὸς αὐτὸν εἶπε · « Τὴν τιμήν, ὦ πάτερ, ἣν εἶπε λαβεῖν με ὁ ἀδελφός, εἶπον τοῖς ἀνθρώ-

[37] αὐτὸ H. — [38] τὸν χρυσὸν BC. — [39] ἀποκομισάτω BCS. — [40] τὸν σῖτον add. B. — [41] νομισμάτων VBCM. — [42] (ἐπ. δὲ) ὁ δὲ ἐπ. B. — [43] ἀνὰ πέντε καὶ ἡμίσειαν ἀρτάβας B. — [44] νομίσματος VBC. — [45] ὠνησάμενος B. — [46] (καὶ ἀπὸ τότε) τὸ ἀπὸ τοῦδε τοίνυν B. — [47] om. S. — [48] ἐξελθεῖν BM. — [49] om. H ; τῆς μονῆς add. B. — [50] καθῆσθαι MS, διάγειν B. — [51] ἕτερον B. — [52] εἰς διακονίαν S. — [53] (ἀλλ' ἐάσας - τῶν ἀδ.) om. WO.

75. — [1] μδ' WO, νε' M. — [2] (οὗτος ὁ) ὁ αὐτὸς δὲ S. — [3] λαβών ποτε BC. — [4] λαβεῖν VWOM. — [5] τὸ χρ. om. B. — [6] τὸ κέρμα om. S. — [7] (λαβὼν ἤνεγκεν - ὁ σκυτ.) om. H. — [8] τὰς ἡμ. HS, ἑκάστην ἡμέραν B. — [9] ἃς VCHS, αἷς M, ἐν αἷς B. — [10] καλῶς S, οὐ καλῶς B. — [11] γὰρ add. B. — [12] εἰπόντι B. — [13] (τοῦ μεγ.) αὐτῷ B, αὐτοῦ C. — [14] ἐποίησα S. — [15] ὃ κακῶς ἐποίησεν B. — [16] (καὶ εἶπεν) λέγων WOMHS. — [17] τῷ VBS. — [18] αὐτὰ add. H. — [19] καὶ add. BS. — [20] om. B. — [21] om. B ; ταῦτα ὁ μέγας S.

ποις [22] τοῖς ἀγοράζουσιν. Οἱ δὲ λέγουσί μοι · Ἀδελφέ [23], ἐὰν μὴ κλεψιμαῖά εἰσι [24], περισσοτέρας τιμῆς ἀξιά εἰσιν [25]. Ἐγὼ δὲ διατραπεὶς εἶπον αὐτοῖς [26] · Κλεψιμαῖα μὲν οὐκ εἰσί [27], τοσούτου δὲ ἐκελεύσθην πωλῆσαι [28] αὐτά · ὅσον δὲ [29] θέλετε δοῦναι, δότε. Οἷ δὲ ὅσον ἤρεσκεν [30] αὐτοῖς ἐδίδουν [31], ἐμοῦ μὴ μετροῦντος τὸ παρ' αὐτῶν διδόμενον κέρμα. » Ὁ δὲ μέγας ἀκούσας [32] εἶπεν αὐτῷ · « Ἡμάρτησας [33] μεγάλως τὸ [34] πλέον ἀγαπήσας [35]. Ἀλλὰ ταχέως δραμὼν [36] τὸ περισσὸν τῆς τιμῆς ἀπόδος τοῖς δεδωκόσι σοι. Καὶ ἐλθὼν μετανόησον ὑπὲρ τοῦ σφάλματος τούτου · καὶ κάθου εἰς τὴν μονὴν ἐργαζόμενος τὸ ἴδιόν σου [37] ἔργον · οὐ συμφέρει γάρ σοι τοῦτο τὸ ἔργον ἔτι ποιεῖν [38]. » Ἐποίησε δὲ ὁ ἀδελφὸς ἐκεῖνος [32] οὕτως καθὼς [39] εἶπεν αὐτῷ ὁ μέγας [40]. Ἔταξε δὲ λοιπὸν ὁ γέρων εἰς τὴν διακονίαν πασῶν τῶν ἀποκρίσεων [41] τῆς μονῆς τὸν ἅγιον Ζακχαῖον [42], ἄνδρα ἀγαθὸν καὶ πάντα ἔπαινον ἀνθρώπων τῇ [43] τῶν ἀγαθῶν πράξεων ἀποδείξει νικῶντα.

Λ 8. **76**. Ἦν [1] τις ἀδελφὸς [2] ἀσκήσας καθ' ἑαυτὸν τῶν πάνυ ἐπισήμων. Οὗτος ἀκούσας τὸν βίον τοῦ ἁγίου [3] πατρὸς ἡμῶν Παχωμίου [4] παρεκάλεσεν αὐτὸν δέξασθαι αὐτὸν [5] εἰς τὸ κοινόβιον. Δεξαμένου δὲ αὐτὸν τοῦ μεγάλου, ποιήσας [6] ὀλίγον χρόνον μετὰ τῶν ἀδελφῶν ἐπεθύμει [7] μαρτυρῆσαι, τοῦ κόσμου εἰρηνεύοντος καὶ τῆς ἐκκλησίας προκοπτούσης καὶ τῇ τοῦ Θεοῦ χάριτι εἰρηνευούσης [8], Κωνσταντίνου τοῦ μακαρίου καὶ χριστοφόρου τότε βασιλεύοντος [9]. Οὗτος οὖν συνεχῶς παρεκάλει [10] τὸν μακάριον λέγων · « Ἔδξαι, ἀββᾶ [11], ὑπὲρ ἐμοῦ, ἵνα γένωμαι μάρτυς. » Ὁ δὲ μέγας [12] ἐνουθέτει αὐτὸν [13] μὴ συγχωρῆσαι ἔτι τὸν λογισμὸν τοῦτον ἐμ-

[22] τοῖς ἀνθρ. om. BCS. — [23] om. VBC. — [24] ὥσι B. — [25] ἐστιν S ; εἰσιν ἄξια B. — [26] corr., prius αὐτῷ M. — [27] ἔστι S. — [28] πωλ. ἐκελ. WOM. — [29] (ὅσ. δὲ) ὑμεῖς δὲ ὅσον VBC. — [30] ἤρεκεν W, ἤρεσεν BC. — [31] ἔδωκαν B, ἐδίδοσαν C ; ἐδίδουν corr., prius ἐδιδοῦσαν V. — [32] om. B. — [33] ἡμάρτηκας BMOS. — [34] ὅτι H. — [35] ἠγάπησας B, ἠθέλησας H. — [36] διαδραμὼν S. — [37] om. S. — [38] ποιεῖν ἔτι H. — [39] (οὕτ. κ.) ὡς B. — [40] ὁ μέγ. αὐ. S. — [41] (π. τ. ἀ.) πᾶσαν S. — [42] (τὸν ἅγ. ζ.) ζ. τινα B. — [43] corr., prius τὴν V.

76. — [1] με' (om. O) περὶ τοῦ ἐπιθυμοῦντος ἀθλῆσαι (ἀθλεῖν O) praemitt. WO ; νς' praem. M ; δὲ add. BCS. — [2] (ἦν τις ἀδ.) ἀδ. τις H. — [3] ὁσίου CWOS. — [4] οὗτος τὸν β. τοῦ θείου παχ. ἀκ. B. — [5] om. M. — [6] δεξάμενος δὲ αὐτὸν καὶ ποι. S. — [7] ἐπεθύμησε H. — [8] ὀρθῶς τε καὶ εὐσεβῶς ἐχούσης B. — [9] corr., prius βασιλεύσαντος H ; κωνστ. τότε τοῦ μακ. καὶ ἰσαποστόλου βασ. B. — [10] (οὗτ. - παρ.) παρ. τοίνυν συν. B. — [11] om. S. — [12] om. B. — [13] λέγων add. S.

βῆναι [14] εἰς τὴν καρδίαν αὐτοῦ. Ἔλεγε δὲ αὐτῷ· « Ἀδελφέ, ὑπόμεινον τὸν ἀγῶνα τοῦ μοναχοῦ [15] γενναίως καὶ ἀμώμως, κατὰ τὴν τοῦ Χριστοῦ εὐαρέστησιν τὸν βίον σου κατορθώσας, καὶ ἕξεις ἐν οὐρανοῖς τὴν μετὰ [16] τῶν μαρτύρων κοινωνίαν. » Ἐκείνου δὲ καθ' ἑκάστην ἐπιτείνοντος τὴν ἐπιθυμίαν [17] εἰς τοῦτο [18] καὶ ὀχλοῦντος τὸν ἅγιον ἵνα εὔξηται ὑπὲρ τούτου, ἀποσείσασθαι τὴν τοιαύτην ὄχλησιν αὐτοῦ [19] βουλόμενος ὁ μέγας εἶπεν αὐτῷ· « Ἔστω, ἐγὼ εὔχομαι. Πλὴν εἰ τοῦτο θέλεις, καταλήψεταί σε· ἀσφαλίζου δὲ ἑαυτόν [20], μή ποτε ἐλθούσης [21] τῆς ὥρας ἀντὶ τοῦ μαρτυρῆσαι εὑρεθῇς ἀρνούμενος τὸν Χριστόν [22]. Ἀληθῶς γὰρ [23] σὺ [24] σφάλλῃ αὐτομολεῖν βουλόμενος εἰς πειρασμόν [25], τοῦ Κυρίου ἡμῶν [26] καὶ
Luc. 22,40. σωτῆρος [27] Ἰησοῦ Χριστοῦ κελεύοντος [28] ἡμῖν προσεύχεσθαι [29] μὴ ἐμπεσεῖν εἰς πειρασμόν. » Καὶ ταῦτα εἰπὼν παρήγγειλεν αὐτῷ [30] ἀσφαλίσασθαι ἑαυτὸν [31] καὶ μὴ φρονεῖν τοῦτο μηκέτι [32].

Λ 9. Ἐγένετο δὲ μετὰ δύο ἔτη ἀποσταλῆναί τινας τῶν ἀδελφῶν παρὰ τοῦ μεγάλου εἰς ἀνωτέραν αὐτῶν κώμην [33] θρύα συλλέξαι [34] εἰς λόγον [35] τῶν ψιαθίων τῆς μονῆς [36]. Αὕτη [36*] δὲ ἡ κώμη πρόσκειται [37] τοῖς βαρβάροις [38] τοῖς λεγομένοις Βλέμμυες [39]. Καὶ τυγχανόντων ἐκεῖσε ἔτι τῶν ἀδελφῶν [40] περὶ νῆσόν τινα ἐν ᾗ πολλὰ [41] θρύα ὑπῆρχεν, ἀπέστειλε πρὸς αὐτοὺς [42] ὁ μακάριος τὸν ἀδελφὸν τὸν ἐπιθυμοῦντα μαρτυρῆσαι, δαπάνας ὀλίγας ἀπενεγκεῖν τοῖς ἀδελφοῖς [43], παραγγείλας αὐτῷ [44] ἀσφαλίσασθαι ἑαυτὸν [45] καὶ [46] εἰπὼν τὸ
II Cor. 6, 2-3. γεγραμμένον δι' αἰνίγματος ὅτι [47]· « Ἰδοὺ [48] νῦν [49] καιρὸς εὐπρόσδεκτος, ἰδοὺ [50] νῦν ἡμέρα σωτηρίας· μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν [51], ἵνα μὴ μωμηθῇ [52] ἡ διακονία. » Ὁ δὲ λα-

[14] *ἐνβῆναι* V, *ἐμμεῖναι* BCM, *εἰσελθεῖν* S. — [15] *μοναστηρίου* BC. — [16] *om.* VBC. — [17] *τὴν ἐπιθ. ἐπιτείν.* BC. — [18] (*εἰς τ.*) *om.* B, *αὐτοῦ* WO. — [19] *om.* B. — [20] *σεαυτὸν* BS. — [21] *ἐπελθούσης* S. — [22] *τὸν χρ. ἀρν.* B. — [23] *om.* WOM. — [24] *om.* S. — [25] *ἐμπεσεῖν add.* S. — [26] *del.* O. — [27] *καὶ σ. om.* BCS ; *ἡμῶν add.* O. — [28] *κελεύσαντος* BC. — [29] *εὔχεσθαι* WO, *om.* M. — [30] *αὐτὸν* O, *αὐτῷ* // W. — [31] (*ἀσφ. έ.*) *ἀσφαλίζεσθαι* B. — [32] *καὶ τοῦτο φρ. μηκέτι* S. — [33] *κώμ. αὐτ.* S. — [34] *συνάξαι* VCS, *συναγαγεῖν* B. — [35] (*εἰς λ.*) *λόγου* M, *λόγῳ* S. — [36] *τῶν τῆς μον. ψ.* M. — [36*] *αὐτὴ* VW. — [37] *corr., prius πρόκειται* C ; *παράκειται* B. — [38] *τοῖς β. om.* BC. — [39] *βλεμμύαις* VCWOM, *βλεμμύοις* H, *βλεμμύσι* S ; (*τοῖς λεγ. βλ.*) *τῷ ἔθνει τῶν βλεμμύων* B. — [40] (*καὶ - ἀδ.*) *ἐκεῖ τοίνυν ἔτι τῶν ἀδ. διαγόντων* B. — [41] *πλεῖστα* B. — [42] *πρὸς ἐπίσκεψιν* B. — [43] (*τοῖς ἀδ.*) *αὐτοῖς* B. — [44] *om.* B. — [45] *ἀσφάλισαι σεαυτὸν* S. — [46] *om.* M. — [47] *om.* W. — [48] *καὶ add.* V, *add. dein del.* M. — [49] *om.* BC. — [50] *om.* S. — [51] *corr., prius προκοπὴν* S. — [52] *μωμωθῇ* V, *μωθῇ* W.

βὼν ὄνον γεγομωσμένον [53] δαπανῶν [54], πρὸς τοὺς ἀδελφοὺς ἐπορεύετο. Γενομένου δὲ αὐτοῦ περὶ [55] τὴν ἔρημον, κατελθόντες ἀπὸ τοῦ ὄρους οἱ βάρβαροι ἐπὶ τὸ [56] ὑδρεύσασθαι [57] ἀπαντῶσιν [58] αὐτόν [59]· καὶ κατενέγκαντες [60] αὐτὸν [61] ἀπὸ τοῦ ὄνου ἔδησαν τὰς χεῖρας αὐτοῦ [62]· καὶ λαβόντες τὸν ὄνον μετὰ τῶν σκευῶν, ἀνήνεγκαν αὐτὸν [61] εἰς τὸ ὄρος πρὸς τοὺς ἄλλους βαρβάρους.

77. Ἰδόντες δὲ αὐτὸν [1] οἱ βάρβαροι [2] ἐρχόμενον [3] μετὰ τοῦ ὄνου, ἤρξαντο χλευάζειν αὐτὸν [4] λέγοντες· « Μονάζον, ἐλθὲ καὶ [5] προσκύνησον τοῖς θεοῖς ἡμῶν. » Σφαξάντων [6] δὲ [7] αὐτῶν [8] ζῷα, σπονδὰς [9] ἐποίησαν [10] τοῖς εἰδώλοις αὐτῶν, καὶ ἀγαγόντες τὸν μοναχὸν ἠνάγκαζον αὐτὸν [11] συσπεῖσαι αὐτοῖς [12]. Μὴ βουλομένου [13] δὲ αὐτοῦ [11] τοῦτο ποιῆσαι, μετὰ θυμοῦ προσῆλθον αὐτῷ κατέχοντες γυμνὰ τὰ [14] ξίφη αὐτῶν [15] καὶ ἀπειλοῦντες [16] ὡς, εἰ μὴ βούλοιτο [17] θῦσαι τοῖς θεοῖς αὐτῶν καὶ σπεῖσαι αὐτοῖς σπονδάς [18], εὐθὺς ἀνελεῖν αὐτόν [19]. Ὁ δὲ ἰδὼν γυμνὰ τὰ ξίφη [20] καὶ τὸ ἦθος αὐτῶν [21] τὸ [22] ἄγριον [23], εὐθὺς λαβὼν τὸν [24] οἶνον ἔσπεισε [25] τοῖς εἰδώλοις αὐτῶν [26] καὶ ἔφαγε μετ' αὐτῶν ἐκ τῶν κρεῶν τῶν εἰδωλοθύτων [27]. Καὶ φοβηθεὶς τὸν τοῦ σώματος ἀποθανεῖν [28] θάνατον τὴν ἀθάνατον [29] ἀπέκτεινε ψυχήν [30], τὸν δεσπότην πάντων [31] Θεὸν ἀρνησάμενος. Ποιήσαντος δὲ αὐτοῦ τοῦτο [32], ἀπέλυσαν αὐτὸν οἱ Βλέμμυες [33]. Ὁ δὲ κατελθὼν ἐκ τοῦ ὄρους καὶ ἐλθὼν εἰς ἑαυτὸν [34] ἔγνω τὴν ἀνομίαν αὐτοῦ [35], μᾶλλον δὲ τὴν ἀσέβειαν [36] ἣν ἐποίησε. Καὶ σχίσας [37] ἑαυτοῦ [38] τὰ ἱμάτια [39] μετὰ τὸ τύψαι πολλὰ τὸ πρόσωπον αὐτοῦ [40] ἔρχεται εἰς τὴν μονήν. Γνοὺς δὲ ὁ μακάριος τὸ *Λ 10.* Cf. Is. 37,1.

[53] *corr., prius γεμωσμένον* W ; *γεγομωμένον* S. — [54] (*γεγ. δαπ.*) *ἐπιφέροντα τὰς δαπάνας* B. — [55] *γενομένῳ δὲ περὶ* B. — [56] *ἐπὶ τῷ* WOS, *πρὸς τὸ* H, *om.* B. — [57] *ὕδωρ add.* S. — [58] *ὑπαντῶσιν* B. — [59] *αὐτῷ* WOB. — [60] *κατενεγκόντες* B. — [61] *om.* B. — [62] *ὄπιθεν add.* S.

77. — [1] *om.* WOMHS. — [2] (*οἱ β.*) *ἐκεῖνοι* B. — [3] *om.* BC ; *αὐτὸν add.* WOMHS. — [4] *om.* B. — [5] *om.* BC *al. man.* V. — [6] *σφάξαντες* BS. — [7] *τε* H. — [8] *om.* B, *καὶ* S. — [9] *σποδὰς* V. — [10] *ἐποίουν* S. — [11] *om.* B. — [12] *σπῆσαι τοῖς εἰδώλοις* S. — [13] *μὴ βουλομένῳ* B. — [14] *om.* S. — [15] *om.* BS. — [16] *αὐτὸν add.* S. — [17] *βούλοι τοῦ* W. — [18] (*καὶ σπ. αὐ. σπ.*) *σπείσας σὺν αὐτοῖς* B. — [19] *ἔφασκον add.* S. — [20] *τὰ ξ. γ.* B ; *αὐτῶν add.* C. — [21] *om.* C. — [22] *om.* H ; *ἀνήμερον καὶ* BC. — [23] *καὶ τὸ ἄγρ. ἦθος αὐτῶν* MS. — [24] *om.* B. — [25] *ἔπεισε* W. — [26] *om.* BS. — [27] *ἐκ τῶν εἰδ. κρ.* S. — [28] (*τοῦ σ. ἀπ.*) *σωματικὸν* S. — [29] *τὴν ἀθ. om.* V. — [30] *ψ. ἀπέκτ.* S. — [31] *om.* S. — [32] *τοῦτο οὖν ποιήσαντα* B. — [33] *βλεμμύες* VCSW, *βλεμμῦαι* M. — [34] *εἰς έ. ἐλθὼν* S. — [35] *ἑαυτοῦ* S. — [36] *αὐτοῦ add.* B. — [37] *διαρρήξας* M. — [38] *αὐτοῦ* M, *om.* S. — [39] *αὐτοῦ add.* S. — [40] *om.* B ; *τύψαι καὶ τὸ πρόσ. αὐτοῦ πολλὰ* S.

συμβὰν αὐτῷ, ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ πάνυ λυπούμενος [41]. Ὁ δὲ ἰδὼν αὐτὸν [42] προσερχόμενον αὐτῷ [43], βάλλει ἑαυτὸν ἐπὶ
Cf. Luc.15, 21. πρόσωπον ἐπὶ τὴν γῆν, κράζων [44] μετὰ κλαυθμοῦ · « Ἥμαρτον τῷ Θεῷ καὶ σοί, ὦ [45] πάτερ, ὅτι οὐκ ἤκουσά σου τῆς ἀγαθῆς συμβουλίας [46] οὐδὲ [47] μὴν [48] τῆς νουθεσίας σου [48]. Εἰ γὰρ ἤκουόν [49] σου [50], οὐκ ἂν ταῦτα ὑπέστην. »

78. Ὁ δὲ μέγας ἀκούσας [1] ἔφη πρὸς αὐτόν · « Ἀνάστα, ἄθλιε · σεαυτὸν ἀπέκλεισας [2] ἀπὸ τοσούτων ἀγαθῶν, ὦ ταλαίπωρε. Ἀληθῶς ἐπετέθη σοι στέφανος, καὶ ἀπέρριψας αὐτὸν ἀπὸ σοῦ. Ἕτοιμος ὑπῆρχες συναριθμεῖσθαι τοῖς ἁγίοις μάρτυσι, καὶ σεαυτὸν ἀπεσχοίνισας τῆς μακαρίας αὐτῶν [3] κοινωνίας. Ὁ δεσπότης [4] Χριστὸς παρῆν μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων [5] τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς σου [6] βουλόμενος θεῖναι [7], καὶ τοῦτον [8] ἠρνήσω διὰ ῥοπὴν ὥρας · καὶ θάνατον, ὃν μέλλεις ὑφίστασθαι [9] καὶ μὴ [10] θέλων [11], φοβηθεὶς ἐξέπεσας [12] τοῦ Θεοῦ σου, τὴν αἰώνιον ζωὴν ἀπολέσας [13]. Ποῦ οἱ πρὸ τούτου [14] σου [15] λόγοι ; ποῦ ἡ ὄρεξίς σου [16] ; »
Εἰπόντος δὲ ἐκείνου [17] · « Ἥμαρτον κατὰ πάντα, ὦ πάτερ [18], καὶ
Cf. Luc.18,13. οὐ δύναμαι ἔτι εἰς τὸν οὐρανὸν ἐπᾶραι τὸ [19] πρόσωπόν μου. Ἀπωλόμην, ὦ πάτερ · οὐκ ἔστιν ἀπὸ τοῦ νῦν ὑπόστασίς μοι [20] τοῦ δυνηθῆναι [21] μετανοῆσαι. Τί ποιήσω [22], ὦ πάτερ ; Οὐ [23] προσεδόκουν [24] οὕτως γενέσθαι · » ταῦτα δὴ [25] λέγοντος αὐτοῦ καὶ κλαίοντος [26], ἔφη ὁ μέγας πρὸς αὐτόν [27] · « Σὺ μέν, ὦ [28] ἄθλιε, παντελῶς
Λ 11. Cf. Mich. 7, 18-19. ἑαυτὸν [29] ἀλλότριον τοῦ Κυρίου κατέστησας. Ἀγαθὸς δέ ἐστιν ὁ Κύριος [30], καὶ οὐδέποτε συνέσχεν εἰς μαρτύριον [31] ὀργὴν αὐτοῦ,
Cf. Ps. 102, 11-12 ; ὅτι θελητὴς ἐλέους ἐστὶ καὶ τὰς ἁμαρτίας ἡμῶν δύναται καταπονῆσαι [32] εἰς τὰ βάθη τὰ [33] τῆς θαλάσσης, ὅτι καθ' ὅσον ἀπέχει ὁ

[41] *λυπ. πάνυ* S. — [42] *τοῦτον* S. — [43] *om.* VBC. — [44] *καὶ λέγων add.* WO. — [45] *om.* S. — [46] *συμβουλῆς* S ; *ἀγ. συμβ. in ras.* O. — [47] *οὔτε* MS. — [48] *om.* B. — [49] *ἤκουσά* H. — [50] *εἰ γὰρ ἤκ. σου om.* V.

78. — [1] *om.* B. — [2] *ἀπέκλ. σεαυτ.* B, *ἀπ. ἑαυτὸν* S. — [3] *ζωῆς καὶ add.* BC. — [4] *γὰρ add.* S. — [5] *ἀγγ. αὐτοῦ* S. — [6] *om.* M. — [7] *θ. βουλ.* S. — [8] *τοῦτο* S. — [9] *om.* B. — [10] *καὶ μὴ in ras.* B. — [11] *ὑποστήσεσθαι καὶ add.* B ; *καὶ add.* C. — [12] *ἐξέπεσες* WOMB ; *ἐνέπεσας* V. — [13] *ἀπολ. ζ.* B. — [14] *(πρὸ τ.) πρῶτοι* BC. — [15] *σοὶ* H. — [16] *ἐκείνη add.* B. — [17] *εἰπόντι δὲ ἐκείνῳ* B. — [18] *ἡμ. πάτ. κατὰ πάντα* S. — [19] *om.* S. — [20] *μου* O. — [21] *om.* S ; *δοθῆναι* H. — [22] *ἔτι add.* WOMHS. — [23] *γὰρ add.* S. — [24] *προσεδόκων* BS. — [25] *δὲ* CS. — [26] *(καὶ κλ.) μετὰ δακρύων* S ; *ταῦτα λέγοντι καὶ κλαίοντι* B. — [27] *πρ. αὐ. om.* BC. — [28] *om.* B. — [29] *σεαυτὸν* BSH. — [30] *ὁ δὲ κ. ἀγ. ἐστι* S. — [31] *τὴν add.* H. — [32] *καταπατῆσαι* O. — [33] *om.* BCH.

οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως [34] μακρύνει [35] ἀφ' ἡμῶν τὰς ἁμαρτίας [36] ἡμῶν [37]. Οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, καὶ τὸν πεσόντα μὴ ἐμμένειν τῷ πτώματι, ἀλλ' [38] ἀναστῆναι, καὶ τὸν ἀποστρέφοντα μὴ μακρυνθῆναι, ἀλλ' ἐπιστρέψαι διὰ τάχους πρὸς αὐτόν. Διὰ τοῦτο μὴ ἀπογνῷς σεαυτοῦ [39] · ἔστι [40] γὰρ ἐλπὶς σωτηρίας. Ἐὰν γὰρ ἐκκοπῇ δένδρον, φησί [41], πάλιν ἀν- Cf. Iob 14,7.
θήσει. Ἐὰν οὖν θέλῃς ἀκοῦσαί μου κατὰ πάντα ἃ [42] ἂν εἴπω σοι, ἔξεις τὴν συγχώρησιν παρὰ τοῦ [43] Θεοῦ. » Ὁ δὲ [44] κλαίων ἔλεγεν · « Ἀκούω σου [45], πάτερ, ἐν πᾶσιν [46] ἀπὸ τοῦ νῦν. » Καὶ κελεύει [47] αὐτὸν ὁ μέγας ἀναχωρήσαντα εἰς ἥσυχον κελλίον ἀποκλεῖσαι ἑαυτὸν [48] καὶ μηδενὶ συντυχεῖν ἕως θανάτου αὐτοῦ, καὶ ὑπὲρ [49] μίαν ἐσθίειν αὐτὸν [50] ἄρτον καὶ ἅλας μόνον, καὶ ὕδατος μόνου [51] μεταλαμβάνειν εἰς ὅλον τὸν χρόνον [52] τῆς ζωῆς αὐτοῦ, δύο δὲ ψιάθια [53] ποιεῖν καθ' ἑκάστην ἡμέραν, καὶ ἀγρυπνεῖν μὲν [54] ὅσον δύναται, εὔχεσθαι δὲ ὅσον ἰσχύει, κλαυθμοῦ [55] δὲ μὴ ἀπολείπεσθαι [56] καθόλου [57]. Ὁ δὲ ἀναχωρήσας ὡς προσέταξεν αὐτῷ ὁ μακάριος, ἐδιπλασίασε πάντα ὅσα εἶπεν αὐτῷ [58] ποιῆσαι. Οὐδενὶ δὲ συνετύγχανεν [59], εἰ μὴ μόνον [60] τῷ μεγάλῳ [61] καὶ [62] Θεοδώρῳ καὶ ὀλίγοις [63] τῶν μεγάλων γερόντων. Ποιήσας δὲ [64] δεκαετῆ χρόνον οὕτως ἀγωνιζόμενος, ἐκοιμήθη [65] τῇ τοῦ Θεοῦ [66] χάριτι καλῶς [67], μαρτυρήσαντος τῇ ἀναπαύσει αὐτοῦ τοῦ μεγάλου [68].

79 [1]. Ἐρχόμενος δὲ ὁ ἅγιος Παχώμιος εἰς τὴν μονὴν τὴν λεγο- *Φ 89.*
μένην Ταβέννησιν [2] ἅμα Θεοδώρῳ καὶ Κορνηλίῳ καὶ ἄλλοις

[34] *(δύναται - οὕτ.) om.* S. — [35] *μακρυνεῖ* V, *αἴρει* S. — [36] *ἀνομίας* BC, *itidem* H, *sed corr. rec. in marg.* — [37] *(τὰς ἁμ. ἡμ.) μετανοούντων* S. — [38] *ἀλλὰ* WOHS. — [39] *ἀπογνοῦς σεαυτὸν* S. — [40] *σοι add.* H. — [41] *(ἐκκ. δ. φ.) ἐκκ. φ. δ.* H, *φ. ἐκκ. δ.* S. — [42] *ἅπερ* S ; *(κατὰ π. ἃ) ὅσα* BC. — [43] *om.* WOMBH. — [44] *πικρῶς add.* S. — [45] *σοι* S ; *ὦ add.* WOMS. — [46] *ἐμπᾶσιν* O. — [47] *(καὶ κελ.) κελ. τοίνυν* B. — [48] *(ἀπ. ἑ.) ἐγκλεισθῆναι* B. — [49] *παρὰ* B. — [50] *om.* B. — [51] *μόνον* CH ; *om.* BMS. — [52] *(εἰς ὅ. τ. χρ.) ἐν μέτρῳ ἐν ὅλῳ τῷ χρόνῳ* S. — [53] *ψιαθία* V. — [54] *om.* VBC. — [55] *κλαυθμῶν* V, *κλαυθμὸν* WOMH. — [56] *ἀπολήψεσθαι* V. — [57] *(κλ. - καθ.) καθ. δὲ κλ. μὴ ἀπολ.* BC. — [58] *ὁ μακάριος add.* C. — [59] *ἐσυνετύγχανεν* O. — [60] *μόνῳ* S. — [61] *τῷ μεγ. om.* B. — [62] *om.* VBC. — [63] *τισὶ add.* B. — [64] *οὖν* S. — [65] *δὲ add.* V, *ἐν add.* S. — [66] *κυρίου* WOMS. — [67] *καλῶς τῇ τοῦ θ. χάρ.* B. — [68] *μαρτ. τοῦ μεγ. τῇ ἀναπ. αὐτοῦ* S.

79. — [1] *μς'* WO, *νζ'* M. — [2] M ; *ταβεννῆσιν* VC, *ταβεννήσην* WO, *ταβένησιν* H, *ταβένησον* S ; *ἐρχόμενος δέ ποτε ὁ ἅγ. εἰς τὴν ἐν τῇ ταβενίσῃ μονὴν* B.

πλείοσιν ἀδελφοῖς [3], ἔστη βραχὺ ἐν τῇ ὁδῷ · καὶ [4] ὥσπερ πυθόμενος παρά τινος αἰτίαν τινὰ [5] καὶ [6] ἐγνωκὼς τῷ πνεύματι [7] ἀμελεθεῖσαν ἐντολὴν ἐν τῇ μονῇ — ἦν γὰρ παραδεδωκὼς ὥστε [8] τοὺς ἐν τῷ ἀρτοποιείῳ [9] ἐργαζομένους τὴν προσφορὰν μηδέποτε λαλεῖν περιττά [10], ἀλλὰ καθ' ἑαυτοὺς [11] μελετᾶν τὴν πρέπουσαν ἐντολήν — καλεῖ [12] τὸν Θεόδωρον (αὐτὸς γὰρ ἦν φροντίζων τῆς μονῆς ἐκείνης) καὶ λέγει αὐτῷ · « Ἀπελθὼν κατὰ σχολὴν μάθε ἀκριβῶς εἴ τινες ἐσπέρας [13] ἐν τῷ ἀρτοκοπείῳ ὡμίλησαν · καὶ ἀσφαλισάμενος ἀνάγγειλόν μοι. » Ὁ δὲ ἀνακρίνας εὗρε [14] μὲν οὕτως καὶ τῷ προστατεύοντι [15] ἐγνώρισεν. Ὁ δὲ Παχώμιος λέγει · « [16] *Nomίζουσιν* [17] οἱ ἀδελφοὶ ἀνθρωπίνας εἶναι τὰς παραδόσεις, ἀγνοοῦντες ὅτι καὶ περὶ τῶν ἐλαχίστων κίνδυνος οὐχ ὁ τυχὼν τοῖς ἀμελοῦσιν ἀπόκειται. Ἑπτὰ [18] ἡμερῶν σιωπὴν ὁ Ἰσραὴλ ἐν Ἰεριχὼ ἀσμένως καταδεξάμενος, εἶτα τῷ ὁρισθέντι καιρῷ ἀνακράξας τήν τε πόλιν ἀνεῖλε καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ παρὰ ἀνθρώπου [19] δοθεῖσαν οὐ παρέβη. Καὶ νῦν τηρείτωσαν [20] αὐτοὶ τοῦ λοιποῦ [21] ταύτην ἡμῶν τὴν ἐντολήν, καὶ τὸ ἁμάρτημα συγχωρηθήσεται αὐτοῖς. Καὶ γὰρ καὶ ἡμεῖς ὠφέλιμον οὖσαν τὴν διδασκαλίαν [22] παρεδώκαμεν [23]. »

Cf. Mt. 5, 19. Ios. 6, 10, 16.

Φ 86. Εἰσελθὼν δὲ αὐτὸς ἐκαθέσθη [24] πρὸς [25] τὸ ἔργον τῶν ὑφαινομένων [26] ψιαθίων [27]. Καὶ ἑλθὸν παιδίον τυπωθὲν πρὸς ὑπηρεσίαν τῆς ἑβδομάδος [28] ὁρᾷ ἐργαζόμενον τὸν μέγαν [29] καὶ λέγει αὐτῷ · « Μὴ στρέφε οὕτως [30] τὸ λῶμα [31]. Κακῶς ἐργάζῃ. Ὁ ἀββᾶς Θεόδωρος ἄλλον τύπον [32] ὑφαίνει. » Καὶ ἀναστὰς λέγει αὐτῷ · « Καὶ [33] δίδαξόν με τὸν τύπον, τέκνον. » Καὶ διδαχθεὶς πάλιν ἐκαθέσθη ἐργάζεσθαι [34] σὺν εὐθυμίᾳ πολλῇ, καταστέλλων καὶ [35] ἐν [36] τούτῳ τὸ πνεῦμα τῆς ὑπερηφανίας. Εἰ γὰρ ἦν τὸ τῆς σαρκὸς φρόνημα κε-

Rom. 8, 6.

[3] τῶν ἀδελφῶν B. — [4] *om.* S. — [5] τινος S. — [6] *om.* B. — [7] πατρὶ V. — [8] (ἦν - ὥστε) παραδεδώκει γὰρ B. — [9] ἀρτοποιῶ S, *ante corr.* V ; ἀρτοπείω *corr.* C, ἀρτοκοπείω BH. — [10] περιττὸν WOMH, τι περιττὸν S. — [11] ἑαυτῶν M, ἑαυτὸν H. — [12] τοίνυν *add.* S. — [13] (εἴ τινες ἑσπ.) τίνες H. — [14] ηὗρε V. — [15] μεγάλω B. — [16] νῦν *add.* WOMHS. — [17] (ὁ δὲ - νομ.) καὶ ὅς · νομ. φησιν B. — [18] γὰρ *add.* BC. — [19] ἀνθρώπων S. — [20] τηρησάτωσαν S. — [21] αὐτῶ οὐ λοιποῦ (*sic*) H. — [22] τὴν διδ. οὖσαν BC. — [23] παραδεδώκαμεν HMS. — [24] εἰσ. δὲ ἐκάθισεν B. — [25] εἰς B, παρὰ WOH. — [26] ὑφηνομένων VM ; φενομένων (*sic*) H. — [27] ψιάθων VC. — [28] καὶ ἑλθ. τὸ παιδ. τὸ πρὸς ὑπ. τῆς ἑβδ. τυπωθέν S. — [29] τὸν μέγ. ἐργ. B. — [30] πάτερ *add.* S. — [31] τὰ λώματα VBC. — [32] ἄλλω τύπω S. — [33] *om.* B. — [34] *om.* VC ; ἐκάθισεν εἰς τὸ ἔργον B. — [35] *om.* V. — [36] (καὶ ἐν) κἀν S.

κτημένος, οὐκ ἂν ἐπείσθη [37] · ἀλλὰ γὰρ [38] καὶ ἐπετίμησεν [39] αὐτῷ ὑπὲρ τὰ μέτρα [40] λαλήσαντα τὸν παῖδα [41].

Φ 87. **80** [1]. Σχολῆς οὖν [2] τινος αὐτῷ [3] ἀπὸ τῆς ὀχλήσεως τῶν ξένων καὶ τῶν ἀδελφῶν γενομένης [4], πρόσεισιν ὁ δαίμων καὶ στὰς ἐξ ἐναντίας · « Χαίροις, ἔφη [5], Παχώμιε · ἐγὼ γάρ εἰμι ὁ Χριστὸς καὶ ἦλθον πρὸς σὲ τὸν ἐμὸν φίλον. » Αὐτὸς δὲ τῇ διακρίσει τοῦ ἁγίου Πνεύματος τὰς τοῦ πονηροῦ ἐκκλίνων [6] ὀπτασίας [7], διελογίζετο καθ' ἑαυτὸν λέγων · « Ἡ ἐπιστασία τῆς τοῦ Χριστοῦ [8] ἁγιότητος [9] πλήρης ὑπάρχει χαρᾶς, φόβου τε παντὸς ἐλευθέρα ἐστί [10], παντίκα τῶν ἀνθρωπίνων λογισμῶν ἁπάντων [11] ἀφανιζομένων πρὸς τὴν θεωρίαν [12] τοῦ ἐπιφαινομένου. Ἐγὼ δὲ νῦν θορύβου τε [13] μεστός εἰμι καὶ διαλογίζομαι. » Παραχρῆμα οὖν ἀναστὰς καὶ τῇ εἰς Χριστὸν πίστει θάρσος ἀναλαβὼν ἐξέτεινε τὴν χεῖρα [14] τοῦ κρατῆσαι αὐτόν · καὶ ἐμφυσήσας τῷ πνεύματι [15] ἔλεγεν · « Ἄπελθε ἀπ' ἐμοῦ, διάβολε · ἐπικατάρατός σου καὶ ἡ ὅρασίς σου καὶ ἡ τέχνη τῶν βουλευμάτων σου. » Γενόμενος δὲ [16] ὡσεὶ [17] κονιορτὸς ἐπλήρωσεν ἀηδίας τὸ οἴκημα [18] καὶ αὐτὸν τὸν ἀέρα συνέχεε [19] κράζων πρὸς αὐτὸν φωνῇ μεγάλῃ [20] · « Ἄρτι ἄν σε ἐκέρδησα [21], πρὸς τοῖς ποσὶ τοῖς ἐμοῖς καταρράξας [22] · ἀλλ' ἡ δύναμις τοῦ Χριστοῦ μεγάλη ἐστί, καὶ παίζομαι ὑφ' ὑμῶν καθ' ἑκάστην · ἀλλ' οὐ παύσομαι πολεμῶν · δεῖ γάρ με τὸ ἐμὸν ἔργον ἐπιτελεῖν. » Ὁ δὲ Παχώμιος ἰσχυροποιηθεὶς [23] τῷ πνεύματι ἀνθωμολογεῖτο τῷ Κυρίῳ [24] εὐχαριστῶν ἐπὶ ταῖς ἐξαισίαις [25] αὐτοῦ περὶ αὐτὸν δωρεαῖς.

Cf. Mt. 4, 3. Cf. Gen. 3, 14. Luc. 2, 38.

Λ 24. **81** [1]. Καὶ δὴ [2] μιᾷ νυκτὶ [3] ἐν τῇ μονῇ ταύτῃ [4] περιπατῶν ὁ μέγας μετὰ [5] τοῦ Θεοδώρου [6] ἄφνω ὁρᾷ ἀπὸ μήκους φαντασίαν τινὰ μεγάλην καὶ ἀπάτης πολλῆς [7] πεπληρωμένην. Ἦν γὰρ τὸ σχῆμα [8]

[37] τὸ παιδίον *add.* S. — [38] *om.* B. — [39] ἂν *add.* WOMH. — [40] ὡς ὑπὲρ τὸ μέτρον S. — [41] (λ. τ. π.) λαλῆσαν S, λαλήσαντι B.

80. — [1] μζ' WO, νη' M. — [2] δὲ B. — [3] *om.* VBC ; αὐτῶ τινος WOMH. — [4] γινομένης VC ; ποτε γεν. B. — [5] ἔφη χαίρ. BC. — [6] μὴ ἀγνοῶν S. — [7] φαντασίας B. — [8] ἁγίου πνεύματος MO. — [9] *corr. prius* ἁγιότης M ; *om.* O. — [10] καὶ *add.* S. — [11] *om.* S. — [12] ἐλευθερίαν S. — [13] *om.* BCH. — [14] τὴν χ. *om.* VWOMH ; αὐτοῦ *add.* C. — [15] καὶ ἐνφυσήσας πνεύμ. V. — [16] ὁ δὲ γεν. B. — [17] ὁ *del.* S. — [18] ἐπλ. τὸ οἴκ. ἀηδ. BC. — [19] συνέχει S. — [20] μεγ. τῇ φωνῇ WO. — [21] κερδήσας B ; ἄρτι ἄν σε ἐ. *om.* V. — [22] καταράξας V, κατέρραξα BC ; τοῖς ἐμοῖς καταρρ. ποσίν S. — [23] δυναμωθεὶς B. — [24] θεῶ S. — [25] ἐξαισίοις WOS.

81. — [1] νθ' M. — [2] ποτε B. — [3] μίαν νύκτα H ; μιᾶ (μιᾶς B) τῶν νυκτῶν BS. — [4] ἐν τῇ μ. τ. *in marg.* H, *om.* B. — [5] καὶ *add.* S. — [6] ἐν τῇ μονῇ ταύτη *add.* B. — [7] *om.* HS ; ἀπάτην πολλῆς V. — [8] τῶ σχήματι S.

γυναικὸς κάλλος ἐχούσης ἀμήχανον, ὡς μὴ δύνασθαι μήτε τὸ σχῆμα μήτε τὴν θέσιν μήτε τὴν θέαν τῆς προσούσης αὐτῇ διηγήσασθαι φαντασίας. Ταύτην οὖν [9] ἰδὼν ὁ Θεόδωρος ἐταράχθη λίαν καὶ ἠλλοιοῦτο τῷ προσώπῳ [10]. Ὃν θεασάμενος ὁ μακάριος οὕτω δειλιῶντα · « Θάρσει [11], ἔλεγεν αὐτῷ [12], ἐν Κυρίῳ, Θεόδωρε, καὶ μὴ ἀγωνιάσῃς. » Καὶ ταῦτα εἰπὼν ἔστη εἰς προσευχὴν πρὸς τὸ [13] τὴν ἔκπληκτον ἐκείνην ἀπελαθῆναι [14] φαντασίαν. Ἱκετευόντων δὲ αὐτῶν [15], μᾶλλον καὶ μᾶλλον ἐκείνη κατ' αὐτῶν ἐχώρει [16] ἀναιδευομένη. Ἐγγιζούσης δὲ αὐτῆς [17] μετὰ πλήθους δαιμόνων προτρεχόντων ἔμπροσθεν [15] αὐτῆς, καὶ τῆς δεήσεως τοῦ Παχωμίου ἔτι τελουμένης [18], ἐλθοῦσα [19] πρὸς αὐτοὺς λέγει αὐτοῖς [20] · « Τί μάτην κοπιᾶτε ; Οὐ δύνασθε τέως [21] κατ' ἐμοῦ ποιεῖν [22] οὐδέν · ἐξουσίαν [23] γὰρ ἔλαβον παρὰ τοῦ παντοκράτορος Θεοῦ [24] πειράζειν οὓς θέλω, καὶ πολὺν χρόνον ἔχω τοῦτο αἰτησαμένη [25] παρὰ τοῦ Θεοῦ [26]. » Cf. Iob 2, 1-6.

Ἠρώτα δὲ [27] αὐτὴν [28] ὁ ἅγιος Παχώμιος [29] λέγων · « Εἰπέ μοι · σὺ γὰρ [30] τίς εἶ ; καὶ πόθεν ἦκας [31] ; καὶ τίνα ζητεῖς πειράσαι ; » Ἡ δὲ ἔφη [32] · « Ἐγώ εἰμι ἡ δύναμις τοῦ διαβόλου [33]. Ἐμοὶ πᾶσα φάλαξ [34] τῶν δαιμόνων δουλεύει. Ἐγώ εἰμι ἡ τοὺς ἁγίους [35] φωστῆρας εἰς [36] γῆν καταφέρουσα [37]. Ἐγώ εἰμι ἡ σκυλεύσασα [38] τὸν Ἰούδαν ἐκ τῆς ἀποστολικῆς παρεμβολῆς [39]. Πρὸς σὲ οὖν [40], Παχώμιε, ἔλαβον ἐξουσίαν [41] τοῦ [42] πολεμῆσαι [43]. Οὐκ ἠδυνήθην [44] γὰρ στέξαι [45] τῶν δαιμόνων τὸ ὄνειδος. Οὐδεὶς γάρ μέ ποτε οὕτως ἐξενεύρωσεν [46] ὡς σύ. Παιδίοις γὰρ καὶ γέρουσι καὶ νεωτέροις διὰ τῆς διδαχῆς σου [47] ὑποτάσσεις με, καὶ πατεῖσθαί [48] με [49] ὑπ' αὐτῶν παρασκευάζεις · καὶ συνάξας [50] κατ' ἐμοῦ τοσοῦτον ὄχλον [51], τεῖχος ἀρραγὲς αὐτοῖς τὸν φόβον τοῦ Θεοῦ περιέθηκας [52], ὡς

[9] *om.* S. — [10] *τὸ πρόσωπον* S. — [11] *θάρρει* WOM. — [12] *om.* BS. — [13] (*πρὸς τό*) *ὥστε* B. — [14] *ἀπελασθῆναι* W. — [15] *om.* B. — [16] *ἐχώρει κατ' αὐτῶν* C ; (*μᾶλλον καὶ - ἐχ.*) *ἐχ. μᾶλλον ἐκείνη κατ' αὐτ.* B. — [17] *ἐγγίσασα δὲ αὐτοῖς* B. — [18] (*ἔτι τελ.*) *ἐπιτελουμένης* H. — [19] *ἐλθούσης* M. — [20] (*καὶ τῆς - αὐ.*) *ἔτι τῆς δεήσ. τελουμ. φησί* B. — [21] *om.* V. — [22] *ποιεῖν κατ' ἐμοῦ* V. — [23] *ἐξ ὅτου* S. — [24] *τοῦ add.* M. — [25] *αἰτησ. τοῦτο* B. — [26] *παρ' αὐτοῦ* S. — [27] *οὖν* S. — [28] *om.* BS. — [29] *om.* B. — [30] *om.* B ; *δὲ* S. — [31] *ἥκεις* B ; *ἧκες corr.* M. — [32] *εἶπεν* S. — [33] *ἡ μεγάλη add.* S. — [34] *φάλαγξ* BHMO. — [35] *om.* S. — [36] *τὴν add.* H. — [37] (*ἐγώ - καταφ.*) *om.* VBC. — [38] *χωρίσασα* M. — [39] B ; *περιβολῆς ceteri.* — [40] (*πρ. σὲ οὖν*) *καί σε τοίνυν* S. — [41] *om.* V ; *ἐξ. ἔλ.* S. — [42] *om.* B. — [43] *σε add.* CMS. — [44] *corr., prius ἠδυνήθη* S ; *ἐδυνήθην* WO. — [45] WOS ; *στέρξαι ceteri.* — [46] *ἐξενεύρησεν* BS. — [47] *διὰ τῆς σῆς διδ.* S. — [48] *καταπατεῖσθαι* BC. — [49] *om.* WOM. — [50] *συναγαγὼν* B. — [51] *τοσ. ὄχλ. κατ' ἐμ.* BC. — [52] *τὸν φ. τοῦ θ. περιέθ. αὐτοῖς* H.

μὴ δύνασθαι λοιπὸν τοὺς ἡμετέρους ὑπηρέτας μετὰ παρρησίας πλησιάζειν τινὶ ὑμῶν. Ταῦτα δὲ πάντα συνέβη ἡμῖν [53] διὰ τὸν ἐνανθρωπήσαντα Θεὸν Λόγον, ὃς ἔδωκεν ὑμῖν ἐξουσίαν, πᾶσαν ἡμῶν καταπατῆσαι τὴν δύναμιν [54] καὶ ἐμπαίζειν ἡμῖν. » Cf. Luc. 10, 19.

82. Πρὸς ταῦτα τοῦ Παχωμίου λέγοντος [1] · « Τί οὖν ; ἐμὲ μόνον ἦλθες πειράσαι, ὡς λέγεις [2], ἢ καὶ ἄλλους ; » ἡ δὲ [3] πρὸς αὐτόν [4] · « Καὶ σέ, ἔφη [5], καὶ τοὺς κατὰ σὲ [6] πάντας. » Πάλιν οὖν πρὸς αὐτὴν ὁ Παχώμιος · « Οὐκοῦν καὶ Θεόδωρον ; » Ἡ δέ · « Καὶ [7] κατὰ σοῦ [8] καὶ κατὰ Θεοδώρου ἔλαβον [9] ἐξουσίαν · ἀλλ' οὐ δύναμαι ὑμῖν [10] προσεγγίσαι τὸ σύνολον. » Εἰπόντων δὲ αὐτῶν [11] · « Τίνος ἕνεκεν ; » ἔφη πρὸς αὐτούς [12] · « Ἐὰν πολεμῶ πρὸς ὑμᾶς, αἰτία [13] ὑμῖν γίνομαι ὠφελείας μᾶλλον ἢ βλάβης [14], μάλιστα σοί, Παχώμιε, ὅτι σωματικοῖς ὀφθαλμοῖς κατηξιώθης θεατὴς γενέσθαι τῆς δόξης τοῦ Θεοῦ. Ἀλλ' οὐκ εἰς τὸν αἰῶνα συνοικήσετε τούτοις [15], οὓς [16] νῦν διὰ τῶν εὐχῶν τειχίζετε. Ἔσται γὰρ καιρὸς μετὰ τὴν ὑμετέραν τελευτὴν ὅτε χορεύσω [17] ἐν αὐτοῖς. Ὑμεῖς γὰρ ἐποιήσατε καταπατεῖσθαί με ὑπὸ τοὺς πόδας [18] τοσούτου πλήθους μοναχῶν. » Ὁ δὲ μέγας πρὸς αὐτὴν ἔφη · « Πόθεν οἶδας ὅτι [19] οἱ [20] μεθ' ἡμᾶς οὐ [21] πλέον ἡμῶν ἔσονται [22] γνησίως δουλεύοντες τῷ Κυρίῳ πρὸς τὸ δύνασθαι [23] ἀσφαλίσασθαι [24] τοὺς ὕστερον [25] τῷ τοῦ Κυρίου φόβῳ προσιόντας [26] ; » — « Οἶδα [27], ἔφη, τοῦτο [28]. » — « Ψεύδῃ κατὰ τῆς ἀνοσίου [29] σου [30] κεφαλῆς, εἶπεν ὁ Παχώμιος [31], μηδὲν [32] ὅλως προγνωστικὸν ἔχουσα. Θεῷ γὰρ μόνῳ τοῦτο [33] ἔπεται καὶ ἴδιόν ἐστι τῆς αὐτοῦ ἐξουσίας [34] καὶ δυνάμεως · σὺ δὲ [35] τοῦ ψεύδους ἄρχεις. » Ἡ δὲ ἔφη · « Κατὰ πρόγνωσιν μέν, κατὰ τὸν σὸν λόγον, οὐδὲν ἐπίσταμαι · στοχαζομένη δὲ λέγω σοι ὅτι οἶδα. » Εἰπόντος δὲ τοῦ μακαρίου [36] · « Καὶ πῶς στοχάζῃ [37] ; » φησὶ πρὸς αὐτόν [38] · « Ἐκ

[53] *ὑμῖν* VMH. — [54] *τὴν δύν. καταπ.* H.

82. — [1] *τῷ παχωμίῳ λέγοντι* B. — [2] *ὡς λ. om.* S. — [3] *ἔφη add.* B, *εἶπεν add.* VC. — [4] *πρ. αὐ. om.* B ; *ἡ δὲ πρ. αὐ. om.* WOMHS. — [5] *om.* BC. — [6] *κατεσὲ* (*sic*) V. — [7] *ἡ δὲ καὶ om.* S. — [8] *σὲ* H. — [9] *φησιν add.* B. — [10] *ὑμῶν* V. — [11] *τοῖς δὲ εἰποῦσι* B, *εἰπόντος δὲ αὐτοῦ* S. — [12] *πρ. αὐ. om.* B, *πρ. αὐτὸν* S. — [13] *corr., prius αἰτίαν* O. — [14] *καὶ add.* B. — [15] *τούτους* C. — [16] *οἷς* S. — [17] *χορεύσομεν* S. — [18] *τ. πόδ. om.* S. — [19] *εἰ* S. — [20] *εἰ οἱ corr. rec. in ras.* O. — [21] B ; *om. ceteri.* — [22] *om.* BC. — [23] (*πρ. τὸ δύν.*) *οὐ δυνήσονται* B. — [24] *om.* WOMH. — [25] *εἰς ὕστ.* WOMS. — [26] *προσ. τῷ τοῦ κ. φ.* B. — [27] *corr., prius οἶδας* O. — [28] *om.* B ; (*οἶδα ἔφη τοῦτο*) *om.* S. — [29] *ἀνοσίας* BCS. — [30] *om.* WO. — [31] *εἶπ. ὁ π. om.* S. — [32] *μηδὲ* O. — [33] *om.* S. — [34] *τε add.* B. — [35] *μόνου add.* S. — [36] *εἰπόντι δὲ τῷ μακαρίῳ* B. — [37] *στοχαζομένη* H. — [38] *πρ. αὐ. om.* B.

τῶν προλαβόντων καὶ [39] τὰ ἐσόμενα τεκμαίρομαι. » Πάλιν οὖν [40] πρὸς αὐτήν· « Πῶς; » Ἡ δέ φησι πρὸς αὐτόν [41]· « Παντὸς μὲν πράγματος ἡ ἀρχὴ ἐπιτεταμένῳ πόθῳ πρὸς τὰ σπουδαζόμενα
Cf. Hebr. 3,1. ἔχει τὸ εὔτονον· μάλιστα δὲ ἐπὶ θείας [42] φυτείας [43] καὶ οὐρανίου κλήσεως [44], ἥτις θελήματι [45] Θεοῦ βεβαιοῦται, τέρασί τε καὶ σημείοις καὶ ποικίλαις δυνάμεσι [46] τοὺς μετερχομένους [47] αὐτὴν ἀσφαλιζομένη. Παλαιουμένη [48] δὲ καὶ γηράσκουσα [49] τῆς αὐξήσεως ἀπολήγει ἢ χρόνῳ ἀναλισκομένη ἢ ῥᾳθυμίᾳ μαραινομένη ἢ καταφρονήσει ἀμβλυνομένη [50]. »

Λ 26. **83.** Ἐρωτῶντος δὲ αὐτὴν τοῦ μεγάλου [1]· « Τί οὖν ὅτι [2], ὡς φής, τοὺς μεγάλους ἦλθες πειράσαι καὶ οὐχὶ πάντας τοὺς ἀδελφούς, εἴπερ, ὡς λέγεις, ἴδιόν σου ἔργον ἐστὶν ἀπώλεια ψυχῶν [3] καὶ ὑπερβάλλεις [4] πάντας τοὺς δαίμονας εἰς κακίαν καὶ τοσοῦτον ἰσχύεις πρὸς τηλικούτους [5] ἄνδρας; » ἀποκριθεῖσα [6] λέγει· « Ἤδη μέν σοι [7] προλαβοῦσα εἶπον, ὅτι ἀφ' οὗ ἡ παντοδύναμος τοῦ Χριστοῦ [8] ἐπὶ γῆς γέγονε σωτήριος ἐνανθρώπησις [9], ἡμεῖς ἄτονοι γεγό-
Cf. Iob 40,24. ναμεν [10], ὥστε ἡμᾶς παρὰ τῶν πιστευόντων εἰς αὐτὸν ὡς στρουθίον ἐμπαίζεσθαι [11] καὶ καταγελᾶσθαι [12]. Ἀλλ' εἰ καὶ ἀσθενεῖς γεγόναμεν [13], οὐκ ἀργοῦμεν, ἐν οἷς ἰσχύομεν [14], τῆς ἐνεργείας ἡμῶν. Οὔτε μὴν ἡσυχάσομεν τοῦ ἀντικεῖσθαι ὑμῖν, σπείροντες μὲν τὴν οἰκείαν κακίαν ἐν ταῖς ψυχαῖς τῶν ἀγωνιστῶν· καὶ μάλιστα ἐπὰν γαργαλίζοντες γνῶμεν ἡδόμενον [15], πλέον ὑπεκκαίομεν τὰς ἡδονὰς καὶ ὡς δυνατοὶ καὶ [16] δυσμαχώτατοι ἐπεμβαίνομεν [17] αὐτῷ. Ἐὰν δὲ τοὐναντίον [18] τὰ παρ' ἡμῶν οὐ προσιέμενον [19] ἴδωμεν οὔτε μὴν ἡδέως καταδεχόμενον [20], ἀλλὰ πίστει τῇ εἰς Χριστὸν [21] καὶ τῷ νηφαλέῳ [22] τῆς διανοίας ἑαυτὸν τειχίζοντα [23], ὡς καπνὸς

[39] *om.* BC. — [40] *ὁ ἅγιος add.* BC. — [41] *πρ. αὐ. om.* S. — [42] *ἐπὶ θείας correxi ex ΛΠ, ἐπιθυμίας* VWOMS, *ἐπιθυμία* BCH. — [43] *προφητείας* M, *θεοῦ* S. — [44] *κλ. οὐρ.* B. — [45] *θέλοντος* S. — [46] *κινδυνάμεσι* W. — [47] *μετιόντας* B. — [48] *om.* V. — [49] *γῆρας ἀσκοῦσα* V. — [50] *ἀμβλυομένη* V.

83. — [1] *τοῦ μεγ. αὐτ.* H ; *ἐρωτῶντι δὲ τῷ μεγάλῳ* B. — [2] *om.* BOS. — [3] *ἴδιόν σού ἐστιν ἔργον καὶ ἀπώλ. εἶ τῶν ψ.* S. — [4] *ὑπερβάλλειν* V. — [5] *τηλικούτας* H. — [6] *καὶ ἀπ.* C. — [7] *σου* M. — [8] *θεοῦ* H. — [9] *ἐπὶ γῆς γέγ. ἐνανθρ.* C, *γέγ. ἐνανθρ. ἐπὶ γῆς* B. — [10] *corr. rec. in marg., prius γέγομεν* V. — [11] *παίζεσθαι* S. — [12] *corr., prius ταγελᾶσθαι* V. — [13] (*ὥστε - γεγόν.*) *om.* H ; *ἀλλ' add.* B. — [14] *δυνάμεθα* S ; *ἀπὸ add.* B. — [15] S ; *ἐπὰν γαργαλίζοντα* (*χαυνούμενόν τινα* B) *γνῶμεν ἢ ἡδόμενον ceteri.* — [16] *δυν. καὶ om.* B. — [17] *κατεπεμβαίνομεν* S. — [18] *τοῦ ἐναντίον* V. — [19] (*οὐ πρ.*) *προσιέμενα* S. — [20] *κατεχόμενον* V. — [21] *τῇ εἰς χρ. πίστει* S. — [22] *νηφαλίῳ* BHM. — [23] (*ἑαυτ. τειχ.*) *τειχιζόμενον* B.

διαλυόμενος εἰς ἀέρα χωροῦμεν. Τούτου δὲ ἕνεκεν παντὶ σθένει πρὸς πάντας οὐ συγχωροῦμαι [24] προσβαλεῖν [25] διὰ τὸ μὴ πάντας δύνασθαι τελείως φέρειν τὸν ὑπ' ἐμοῦ πόλεμον. Εἰ γὰρ συνεχωρούμην πρὸς ἅπαντας [26] τοῦτο ποιεῖν, πολλοὺς ἂν ἐπερειδομένους [27] τῇ ὑμετέρᾳ σκέπῃ ἐξηπάτησα. Καὶ τί πάθω [28] ὅτι φρουροῦνται τῇ προνοητικῇ καὶ [29] ἐποπτικῇ [30] δυνάμει τοῦ ἐσταυρωμένου [31] ταῖς ὑμετέραις εὐχαῖς. » Τότε ὁ ἅγιος μεγάλῃ τῇ φωνῇ σὺν [32] στεναγμῷ πολλῷ [33] λέγει πρὸς [34] αὐτήν· « Ὢ τῆς ἀκοιμήτου ὑμῶν κακίας. Οὐ παύεσθε τοῦ λοιποῦ κατὰ τοῦ γένους τῶν ἀνθρώπων μαινόμενοι [35], ἕως ἂν πάλιν ἡ θεία καὶ ἀθάνατος κορυφὴ [36] ἐλθοῦσα Cf. II Thess. 2, 8.
ἐξ οὐρανοῦ τέλειον [37] ἀναλώσῃ ὑμᾶς; » Καὶ ταῦτα εἰπὼν ἐπετίμησε [38] τῇ φάλαγγι τῶν δαιμόνων· καὶ [39] τῷ ὀνόματι τοῦ Χριστοῦ παραχρῆμα [40] διεσκέδασεν αὐτὴν [41] καὶ κατέστησεν ἀφανῆ.

Πρωΐας οὖν γενομένης, συγκαλεσάμενος ἅπαντας τοὺς καὶ βίῳ καὶ χρόνῳ προὔχοντας ἀδελφούς [42], διηγήσατο ἅπαντα [43] ὅσα τε [44] εἶδε καὶ ἤκουσε παρὰ τοῦ ὀλεθρίου δαίμονος. Ἐγνώρισε δὲ [45] καὶ τοῖς ἀπολειφθεῖσι, δι' οἰκείων γραμμάτων ἀσφαλιζόμενος αὐτοὺς [46] τῷ φόβῳ τοῦ Θεοῦ καὶ διδάσκων μηδὲν ἡγεῖσθαι τὰ τῶν πονηρῶν δαιμόνων φαντάσματα. Οἵτινες ἀκούσαντες καὶ θεωροῦντες [47] τὰ παρ' αὐτοῦ διὰ τῆς χάριτος τοῦ Χριστοῦ [48] γινόμενα [49] θαύματα, ἐστηρίζοντο κραταιῶς καὶ ὑπέμενον προθύμως τὸν πόνον τῆς ἀσκήσεως.

84 [1]. Ἀμέλει γοῦν ἀδελφόν τινα ζηλωτὴν τῆς ὑπομονῆς αὐτοῦ *Φ 101.*
κατ' αὐτὸν τὸν καιρὸν ἱστάμενον [2] εἰς προσευχὴν ἔκρουσε σκορπίος εἰς τὸν πόδα [3]. Καὶ ἐπὶ τοσοῦτον ἥψατο αὐτοῦ τῆς καρδίας [4] ἡ ὀδύνη, ὡς παρ' ὀλίγον ἀποδοῦναι τὸ πνεῦμα. Αὐτὸς δὲ ἀλγήσας πρὸς τὴν πληγὴν [5] οὐ πρότερον ἀπέστη πρὶν ἢ πληρώσῃ [6] τὴν εὐχήν.

[24] *συγχωροῦμεν* VC, *συγχωρούμεθα* H. — [25] *προσβάλλειν* VBCHM. — [26] *πάντας* B. — [27] *ἂν ἐπερ. om.* V. — [28] *πάπω* W. — [29] *om.* C. — [30] *καὶ ἐπ. om.* WOMS. — [31] *καὶ add.* BC. — [32] *καὶ* B. — [33] *μεγάλῳ* BC. — [34] *om.* V. — [35] *γενόμενοι* H. — [36] *κεφαλὴ* B. — [37] *τέλεον* WOH, *τελείως* BCS. — [38] *τῇ φαντασίᾳ καὶ add.* S. — [39] *ἐπὶ add.* BC, *ἐν add.* S. — [40] *om.* H. — [41] *om.* WOM. — [42] *τοὺς βίῳ καὶ λόγῳ καὶ χρ. προὔχουντας ἀδ.* S ; *καὶ add.* H. — [43] *πάντα* H. — [44] *om.* BCWOM. — [45] *ταῦτα add.* S. — [46] *αὐτοῖς* S. — [47] *θεωρήσαντες* S. — [48] (*διὰ - χρ.*) *om.* B. — [49] *γενόμενα* S.

84. — [1] *μη'* WO, *ξ'* M. — [2] *ἱστάμενος* S. — [3] *αὐτοῦ add.* C. — [4] *τῆς καρδ. αὐτ.* BC. — [5] *ἐπὶ τῇ πληγῇ* S ; (*αὐτὸς - πλ.*) *καὶ οὕτως ἀλγῶν* B. — [6] *πληρῶσαι* WOMH.

Φ 90. Πάθος [7] δέ τι [8] πάλιν [9] κρατῆσαν τῆς κεφαλῆς [10] Θεοδώρου δριμυτάτας αὐτῷ τὰς ἀλγηδόνας παρείχετο [11]. Καὶ αὐτὸς μὲν ᾔτει περιοδείας [12] τυχεῖν· ὁ δὲ Παχώμιος ἔφη· « Νομίζεις, ἀδελφέ, ὅτι συμβαίνει πάθος ἢ ἕτερόν τι τοιοῦτον ἄνευ τῆς τοῦ Θεοῦ συγχωρήσεως; Διό, τέκνον, ὑπόμεινον· καὶ ἡνίκα βούλεται [13] Κύριος, ἰάσεταί [14] σε· εἰ δὲ [15] τέως δοκιμάζῃ [16], γίνου εὐχαριστῶν ὡς [17] ὁ
Cf. Iob 1,21. τέλειος Ἰώβ [18], ὃς ὑπομένων τὰς θλίψεις [19] ηὐλόγει [20] τὸν Κύριον. Καὶ μείζονα τῶν κόπων [21] τὴν ἀνάπαυσιν ἕξεις. Καλὴ μὲν γὰρ τῷ ἀσκητῇ ἡ κατὰ Θεὸν ἐν ταῖς εὐχαῖς καὶ τῇ ἐγκρατείᾳ ὑπομονή. Δύναται δὲ καὶ [22] ἀρρωστῶν μείζονα δέξασθαι τὸν μισθὸν τῇ καρτερίᾳ καὶ τῇ [23] μακροθυμίᾳ. »

Λ 27. **85** [1]. Ἐγένετο δὲ [2] πάλιν [3] τὸν μακάριον, ἐν τοῖς κελλίοις ἐπισκεπτόμενον τοὺς ἀδελφοὺς καὶ ἐπανορθούμενον [4] ἑκάστου τὰ νοήματα [5], παραβαλεῖν [6] καὶ πρὸς Ῥωμαῖόν τινα ἀπὸ μεγάλου ἀξιώματος τυγχάνοντα, εἰδότα δὲ καὶ τὴν ἑλληνικὴν [7] γλῶσσαν [8] καλῶς. Ἐλθὼν οὖν πρὸς τοῦτον ὁ μέγας ἐπὶ τὸ νουθετῆσαι αὐτὸν [9] τὰ πρὸς ὠφέλειαν καὶ γνῶναι αὐτοῦ τῆς καρδίας [10] τὰ κινήματα [11] αἰγυπτιστὶ [12] ἐλάλει αὐτῷ [13]. Οὐκ ἐγίνωσκε δὲ ὁ ἀδελφὸς τί [14] ἐλάλει πρὸς αὐτὸν ὁ μέγας, οὐδὲ [15] ὁ μέγας ᾔδει [16] τί ἔλεγεν ὁ Ῥωμαῖος διὰ τὸ μὴ εἰδέναι ἑλληνιστὶ λαλεῖν τὸν μακάριον [17]. Ἠναγκάσθη οὖν ὁ μέγας [18] καλέσαι ἀδελφὸν τὸν δυνάμενον ἑρμηνεῦσαι τὰ παρ' ἀμφοτέρων [19] λεγόμενα. Ἐλθόντος οὖν τοῦ ἀδελφοῦ ἐπὶ τὸ [20] ἑρμηνεῦσαι [21], οὐκ ἐβούλετο [22] ὁ Ῥωμαῖος εἰπεῖν τὰ τῆς καρδίας αὐτοῦ [23] πλημμελήματα δι' ἑτέρου τῷ μεγάλῳ. Καὶ λέγει [24] οὕτως [25]·

[7] καὶ πάθ. H. — [8] om. S. — [9] om. BO. — [10] (κρ. τ. κ.) γενόμενον τῇ κεφαλῇ B. — [11] παρέσχε BC. — [12] ἀνέσεως B. — [13] ἡν. βούληται H, ὅτε βούλεται B. — [14] ἰάσηταί VC, ἰάται B. — [15] (εἰ δὲ) ἴδε V. — [16] δοκιμάζει σε V (σε add. sup. lin. al. man.) — [17] sup. lin. al. man. C. — [18] ὡς ὁ τ. Ἰὼβ γίνου εὐχ. VBC. — [19] εὐχαρίστει καὶ add. M. — [20] εὐλόγει WOMB. — [21] (ὃς ὑπομ. - κόπ.) οὗ καὶ S. — [22] (δὲ καὶ) γὰρ δὴ corr. C. — [23] om. B.

85. — [1] μθ' WO, ξα' M. — [2] om. S. — [3] om. B. — [4] τοὺς ἀδ. καὶ ἐπαν. om. S. — [5] ὀνόματα C; (ἑκ. τὰ ν.) ἕκαστον B. — [6] om. H. — [7] ἑλλάδα B. — [8] γλώτταν H. — [9] αὐτῷ S. — [10] τῆς καρδ. αὐτοῦ BC. — [11] νοήματα H. — [12] αἰγυπτιακῶς B, τῇ τῶν αἰγυπτίων γλώσσῃ M. — [13] αὐτὸν H. — [14] (ἐλάλει - τί) om. S. — [15] γὰρ add. S. — [16] οὐδ' αὖ πάλιν ἐκεῖνος ᾔδει B. — [17] (λαλ. τὸν μακ.) φθέγγεσθαι B. — [18] (ἠναγκ. οὖν ὁ μ.) ὅθεν καὶ ἠναγκ. B. — [19] παρὰ ἀμφ. VC. — [20] τῷ corr., prius τὸ C. — [21] (ἀλθόντος - ἑρμ.) οὗπερ ἐλθόντος B. — [22] ἠβούλετο S. — [23] om. S. — [24] φησιν B. — [25] αὐτῷ S.

« Σὲ μόνον βούλομαι μετὰ [26] Θεὸν τῶν τῆς καρδίας μου κακῶν γνώστην εἶναι. Καὶ οὐ θέλω σοι [27] αὐτὰ εἰπεῖν δι' ἑτέρου [28], ἀλλ' οὐδὲ ἀκοῦσαι ἕτερόν τινα ταῦτα [29] πλὴν σοῦ. » Ἀκούσας δὲ [30] ὁ μέγας ταῦτα [31], ἐκέλευσεν ἀναχωρῆσαι τὸν ἀδελφὸν τὸν ἐλθόντα ἑρμηνεῦσαι [32]. Μὴ δυνάμενος δὲ αὐτῷ διαλεχθῆναι τὰ πρὸς ὠφέλειαν καὶ σωτηρίαν ῥήματα ὁ μέγας διὰ τὸ μὴ εἰδέναι παντελῶς ἑλληνιστί [33], νεύσας αὐτῷ τῇ χειρὶ ἐκδέξασθαι [34] ἕως οὗ [35] ἔλθῃ πρὸς αὐτόν, καταλείψας [36] αὐτὸν [37] ἀπῆλθε προσεύξασθαι καθ' ἑαυτὸν ὁ μακάριος [38]. Καὶ [39] ἐκτείνας τὰς χεῖρας αὐτοῦ [40] εἰς τὸν οὐρανὸν προσηύξατο πρὸς τὸν Θεὸν [41] λέγων· « Κύριε παντοκράτωρ, εἰ οὐ δύναμαι ὠφελῆσαι τοὺς ἀνθρώπους οὓς ἀποστέλλεις πρός με ἀπὸ τῶν [42] περάτων τῆς γῆς διὰ τὸ ἀγνοεῖν με τὰς γλώσσας αὐτῶν, τίς χρεία παραγίνεσθαι αὐτούς; Εἰ δὲ [43] θέλεις σῶσαι αὐτοὺς ἐνταῦθα δι' ἐμοῦ, δός μοι, δέσποτα παντοκράτωρ [44], πρὸς διόρθωσιν τῶν ψυχῶν αὐτῶν [45] εἰδέναι με [46] τὴν ὁμιλίαν αὐτῶν. » Καὶ [47] ἐπὶ ὥρας τρεῖς προσευξαμένου αὐτοῦ [48] καὶ πολλὰ παρακαλέσαντος τὸν Θεὸν περὶ τούτου [49] καὶ καταπαύσαντος αὐτοῦ τὴν προσευχήν [50], ἄφνω ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐν τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ [51] ὡς [52] ἐπιστόλιον χάρτινον γεγραμμένον [53], καὶ [54] ἀνα-
γνοὺς αὐτὸ [55] ἔμαθε [56] παραχρῆμα πασῶν τῶν [57] γλωσσῶν τὰς λαλιάς [58]. Καὶ δόξαν ἀναπέμψας τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι [59], μετὰ χαρᾶς μεγάλης ἔρχεται πρὸς τὸν ἀδελφὸν ἐκεῖνον [60]. Καὶ ἤρξατο αὐτῷ διαλέγεσθαι [61] καὶ [60] ἑλληνιστὶ καὶ ῥωμαϊστὶ ἀπταίστως· ὡς ἀκούσαντα τὸν ἀδελφὸν λέγειν περὶ τοῦ

[26] τὸν add. H. — [27] om. S. — [28] σοι ταῦτα δι' ἑτέρου ἐξαγγεῖλαι B. — [29] om. O; ἀκ. ταῦτα ἕτ. τινα B. — [30] οὖν B. — [31] om. B. — [32] ἀναχ. τὸν ἑρμηνέα B. — [33] μὴ δυνάμ. δὲ αὐτῷ διαλ. διὰ τὴν εἰρημένην αἰτίαν B. — [34] αὐτὸν add. B. — [35] om. V. — [36] (πρὸς αὐτ. κατ.) καταλιπὼν B. — [37] κατ. αὐ. om. V. — [38] ὁ μ. om. B. — [39] δὴ add. S. — [40] om. B. — [41] (πρὸς τ. θ.) πρὸς κύριον S, εἰς τὸν οὐρανὸν O. — [42] sup. lin. H. — [43] γὰρ B. — [44] om. B. — [45] σύνεσιν add. B. — [46] om. B. — [47] οὕτως add. B. — [48] om. B. — [49] (καὶ πολλὰ - τούτου) om. H; περὶ τούτου om. VC. — [50] (καὶ κατ. αὐτ. τ. πρ.) ὡς ἐπαύσατο προσευχόμενος S; (παρακ. - πρ.) τὸν θεὸν ἱκετεύσαντος ἐπὶ τῇ καταπαύσει τῆς εὐχῆς B. — [51] ἐν τῇ δεξιᾷ αὐτοῦ B, ἐν τῇ δ. χειρὶ αὐ. S. — [52] om. BC. — [53] ἐπιστολίον χάρτ. γεγρ. VWO, χάρτης ἐγγεγραμμένος ἐν εἴδει ἐπιστολῆς B, ἐπιστολὴ χάρτινος γεγραμμένη C, ἐπιστολίδιον χαρτίον (χάρτινον M) γεγραμμένον HM, ἐπιστόλιον χάρτης γεγραμμένος S. — [54] δν B. — [55] om. B, αὐτὴν C, αὐτὸν S. — [56] ἐγνώρισε B. — [57] om. H. — [58] διαλέκτους M. — [59] δ. ἀναπέμψας θεῷ B. — [60] om. S. — [61] διαλ. αὐ. S.

μεγάλου [62] *ὅτι πάντας ὑπερβάλλει* [63] *τοὺς* [64] *σχολαστικοὺς εἰς τὴν διάλεκτον. Διορθωσάμενος οὖν αὐτὸν καθὼς ἔδει καὶ ὑπὲρ τῶν*
Cf. Act. 20,32. *πλημμεληθέντων αὐτῷ μετάνοιαν προσήκουσαν* [65] *ὁρίσας, παραθέμενος αὐτὸν τῷ Κυρίῳ ἐξῆλθεν ἀπ' αὐτοῦ* [66].

Λ 34. **86** [1]. *Ἐγένετό* [2] *ποτε καθημένου τοῦ μεγάλου ἐν τόπῳ τινὶ τῆς* 5
μονῆς μετὰ [3] *ἄλλων τινῶν μεγάλων ἀδελφῶν, ἀδελφόν τινα* [4] *τῆς μονῆς ἐν αὐτῇ τῇ ἡμέρᾳ δύο ψιάθια ποιήσαντα* [5] *προσθεῖναι* [6] *αὐτὰ* [7] *ἔμπροσθεν τοῦ κελλίου αὐτοῦ κατέναντι τοῦ τόπου εἰς ὃν* [8] *μετὰ τῶν ἀδελφῶν ἐκαθέζετο ὁ μακάριος* [9]. *Τοῦτο δὲ ἐποίησε τῷ τῆς κενοδοξίας ἐπαιρόμενος λογισμῷ, οἰόμενος ἐν τούτῳ ἐπαινεθῆναι* 10
παρὰ τοῦ μεγάλου, τὴν [10] *τοιαύτην σπουδὴν ἐνδειξάμενος* [11], *τοῦ κανόνος ἔχοντος ἓν ψιάθιον* [12] *τῆς ἡμέρας* [13] *ποιεῖν ἕκαστον ἀδελφόν* [14]. *Ἰδὼν δὲ ὁ μέγας πρὸς ἐπίδειξιν ποιήσαντα τοῦτο τὸν ἀδελφὸν ἐκεῖνον* [15] *καὶ κατανοήσας τὸν εἰς τοῦτο κινοῦντα αὐτὸν* [16] *λογισμόν, στενάξας μέγα εἶπε τοῖς ἀδελφοῖς* [17] *τοῖς συγκαθημέ-* 15
νοις αὐτῷ [18]· « *Βλέπετε τοῦτον τὸν ἀδελφόν, ἐργασάμενον μὲν* [19] *ἀπὸ πρωΐ* [20] *ἕως ἄρτι, ὅλον δὲ τὸν κόπον αὐτοῦ* [21] *τῷ διαβόλῳ χαρισάμενον καὶ μηδὲν τοῦ ἔργου αὐτοῦ* [22] *εἰς παραμυθίαν τῆς ἰδίας αὐτοῦ ψυχῆς* [23] *ἐάσαντα* [24], *ὅτι τὴν δόξαν μᾶλλον τῶν ἀνθρώπων* [25] *ἢ* [26] *τοῦ Θεοῦ ἠγάπησε, καὶ τῷ μὲν καμάτῳ τὸ σῶμα ἑαυτοῦ* [27] 20
ἀνάλωσε [28], *κενὴν δὲ τὴν ψυχὴν* [29] *αὐτοῦ* [30] *τῆς ἀπὸ τῶν ἔργων ἀπολαύσεως* [31] *κατέστησε* [32]. » *Καὶ* [33] *καλέσας* [34] *τὸν ἀδελφὸν ἐκεῖ-*

[62] (*τ. μ.*) *αὐτοῦ* B. — [63] *ὑπερβάλλεις* S. — [64] *om.* S. — [65] *τὴν προσ. μετ.* B. — [66] *καὶ τῷ κυρίῳ παραθ. ἐξῆλθεν ἐξ αὐτοῦ* S.

86. — [1] *ν'* WO, *ξβ'* M. — [2] *δὲ add.* B. — [3] *μετ'* B. — [4] (*ἀ. τ.*) *ἕνα τινὰ τῶν ἀδελφῶν* S. — [5] (*ἀδ. τινα - ποι.*) *τινὰ τῶν ἀδελφῶν τῶν ἐν τῇ μονῇ δύο ψ. ἐργασάμενον τῆς ἡμέρας* B. — [6] *προσθῆναι* CS. — [7] *om.* B. — [8] (*εἰς ὃν*) *οὗ* BS. — [9] *ὁ μακ. ἐκαθ.* B. — [10] *ὡς* S. — [11] *ἐνδεικνύμενος* C. — [12] *ψιαθὴν* V. — [13] *τὴν ἡμέραν* C. — [14] *ἕνεκα* (*l. ἕνα*) *ἕκαστον τῶν ἀδελφῶν* S ; (*οἰόμενος - ἀδ.*) *τὴν τοιαύτην ἐνδεικνύμενος σπουδὴν καὶ οἰόμ. ἐν τούτῳ παρὰ τοῦ μεγ. ἐπαιν. καίτοι τοῦ ὡρισμένου κανόνος ἓν ψ. ἕκ. ἀδ. τῆς ἡμ. ποιεῖν κελεύοντος* B. — [15] *ποιήσ. τὸν ἀδ. ἐκ. τοῦτο* S, *τοῦτο ποιήσ. τὸν ἀδ.* B. — [16] *om.* B ; *αὐτῷ* VC ; *αὐτοῦ τὸν* H. — [17] *τ. ἀδ. om.* B. — [18] *εἶπε τοῖς συγκ. αὐτῷ ἀδ.* S. — [19] *om.* V. — [20] *πρωΐας* S. — [21] *αὐτοῦ τὸν κόπ.* H. — [22] *τοῦ ἔ. αὐ. om.* H. — [23] *ψ. αὐτ.* M. — [24] *μηδὲν τοῦ ἔργου εἰς παραμ. τῆς ἑαυτοῦ ψ. ἀπονάμενον* B. — [25] *τῶν ἀνθρ. μᾶλλ.* S. — [26] *τ. ἀνθρ. ἢ corr., prius om.* H ; *τὴν add.* B. — [27] *αὐτοῦ* HS ; *τὸ ἑ. σ.* B. — [28] *ἀνήλωσε* C. — [29] *κενὴν δὲ τὴν ψ. in ras.* M. — [30] *om.* B. — [31] *ὠφελείας* S. — [32] *πεποίηκε* H. — [33] *om.* WOS. — [34] *οὖν add.* S.

νον [35] *ἐπετίμησεν αὐτῷ* [36] *καὶ παρήγγειλεν ἵνα, εὐχομένων τῶν ἀδελφῶν, κατέχων τὰ δύο ψιάθια, στὰς ὄπισθεν αὐτῶν* [37] *εἶπη* · « *Δέομαι ὑμῶν, ἀδελφοί, εὔξασθε ὑπὲρ τῆς ἀθλίας μου ψυχῆς, ἵνα ὁ πανοικτίρμων Θεὸς ταῖς ὑμετέραις εὐχαῖς* [38] *ἐλεήσῃ αὐτὴν*
5 *προκρίνασαν* [39] *μᾶλλον* [40] *τὰ δύο ψιάθια ταῦτα τῆς βασιλείας αὐτοῦ.* » *Καὶ πάλιν ἐν τῷ τοὺς ἀδελφοὺς ἐσθίειν* [41], *ἐκέλευσε τὸν αὐτὸν τρόπον ἑστάναι αὐτὸν* [42] *ἐν τῷ μέσῳ* [43] *μετὰ τῶν ψιαθίων, ἕως οὗ ἀναστῶσιν ἐκ τῶν τραπεζῶν οἱ ἀδελφοί* [44]. *Καὶ μετὰ ταῦτα ἐκέλευσεν αὐτὸν* [45] *ἐγκλεισθῆναι μόνον* [46] *εἰς κελλίον, καὶ ἐπὶ πεντα-*
10 *μηνιαῖον* [47] *χρόνον καθ' ἑκάστην ἡμέραν* [48] *δύο ψιάθια ποιεῖν, καὶ ἐσθίειν* [49] *ἄρτον μετὰ ἅλατος μόνον* [50], *καὶ μηδένα* [51] *τῶν ἀδελφῶν συντυγχάνειν* [52] *αὐτῷ* [53].

87 [1]. *Ἀναγκαῖον δὲ ἐπὶ τούτοις πρὸ τοῦ καταπαῦσαι ἡμᾶς* [2] *Λ 35.*
τὸν λόγον, μνημονεῦσαι ἑνὸς [3] *ἀνδρὸς καὶ* [4] *πάντα ἔπαινον ἀνθρώ-*
15 *πων νικῶντος* [5], *Ζακχαίου* [6] *τοὔνομα, εἰς οἰκοδομὴν καὶ ὠφέλειαν τῶν ἐντυγχανόντων. Οὗτος μετὰ πολὺν τῆς ἀσκήσεως χρόνον λώβην ὑποστὰς τοῦ σώματος* [7], *κεχωρισμένην μὲν* [8] *εἶχε τῶν ἀδελφῶν τὴν κέλλαν, ἅλατι καὶ ἄρτῳ* [9] *τὸν πάντα* [10] *βίον* [11] *αὐτοῦ διαγαγών* · *καθ' ἑκάστην δὲ ἡμέραν εἰργάζετο ψίαθον* [12] *τοσαύτην*
20 *ὑπομένων* [13] *συντριβήν, ὡς πολλάκις πλέκοντος αὐτοῦ τὰ σχοινία τῶν ψιάθων* [14] *τὰς χεῖρας κεντωμένας* [15] *αἵματος ἀφιέναι σταγόνας καὶ ἐπ' αὐτοῦ τοῦ ἔργου δεικνύναι τὴν καρτερίαν τοῦ ἀνδρός* [16]. *Ἐν τοσαύτῃ τοίνυν ἀσθενείᾳ* [17] *σωματικῇ* [18] *τυγχάνων οὐκ ἀπελείφθη ποτὲ τῆς ἐπισυναγωγῆς* [19] *τῶν ἀδελφῶν. Οὐδὲ ἐκοιμήθη* [20]

[35] (*καὶ καλ. τὸν ἀδ. ἐκ.*) *ὅθεν προσκαλεσάμενος αὐτὸν* B. — [36] *om.* B ; *αὐτὸν* HS. — [37] *ὄπιθε τῶν ἀδελφῶν* S ; *στὰς ὄπ. αὐτῶν κατ. τὰ δύο ψ.* B. — [38] *ταῖς ὑμ. εὐχ. om.* B. — [39] *corr. prius προκρίνασα* W. — [40] *om.* B. — [41] *ἐσθ. τ. ἀδ.* S. — [42] *om.* S. — [43] *ἐν μέσῳ* S. — [44] *οἱ ἀδ. om.* B. — [45] *ἐκ. αὐ. om.* B. — [46] *μόν. ἐγκλ.* O. — [47] *πενταμηναῖον* WOMS. — [48] (*καθ' ἑ. ἡ.*) *ἑκάστης ἡμέρας* B. — [49] (*καὶ ἐ.*) *ἐσθίοντα* B. — [50] *μόνου* BCH. — [51] *μηδενὶ* B. — [52] *corr., prius συντυχάνειν* H ; *συντυγχάνοντα* B, *συντυχεῖν* S. — [53] *om.* B.

87. — [1] *να'* WO, *ξγ'* M. — [2] *om.* B ; *sup. lin.* H. — [3] *ἕως* S. — [4] *om.* WOBS. — [5] (*πάντα - νικ.*) *θαυμασίου* B. — [6] *ζακχαῖος* S ; *idem frater in Λ 36 Ἀθηνόδωρος dicitur.* — [7] *τῷ σώματι* B. — [8] *om.* BCH. — [9] *ἄρτῳ καὶ ἅλ.* WOM. — [10] *ἅπαντα* S. — [11] *χρόνον* WOM. — [12] *ψιάθιον* BS ; *ἓν add.* S ; *ἐξ οὗ add.* B. — [13] *ὑπέμενε* B, *ὑπομένοντος* H. — [14] *ψιαθίων* BS. — [15] *κεντουμένας* MOH, *κεντούμενος* BS. — [16] (*τοῦ ἀ.*) *αὐτοῦ* BS. — [17] *ἀρρωστίᾳ* O. — [18] *om.* B ; *σωματ. ἀσθεν.* S. — [19] *συνάξεως* B. — [20] *ἐν add.* S.

ἡμέρας ποτὲ [21] *ἕως τῆς* [22] *ἐξόδου αὐτοῦ. Εἰώθει δὲ κατὰ νύκτα* [23] *πρὸ τοῦ καθευδῆσαι αὐτὸν* [21] *ἀποστηθίζειν ἐκ* [24] *τῶν ἁγίων γραφῶν φανερὰ* [25] *καὶ σφραγισάμενος ὅλον τὸ σῶμα, δούς τε δόξαν τῷ Θεῷ* [26], *οὕτως ἀνακλίνεσθαι, εἶτα ἐγείρεσθαι κατ' αὐτὸ τὸ* [27] *μεσονύκτιον καὶ ἕως πρωΐ τὴν ὑμνῳδίαν πληροῦν* [28]. *Τούτου ποτὲ* [29] *τὰς χεῖρας θεασάμενος ἀδελφὸς* [30] *ὑπὸ τῆς βίας τοῦ ἔργου σφοδρῶς αἱμασσούσας* [31], *λέγει αὐτῷ· « Ἀδελφέ, τί κοπιᾷς οὕτως ἐργαζόμενος, καὶ μάλιστα ἐν* [32] *τοιαύτῃ ἐξεταζόμενος νόσῳ ; Μὴ ἁμαρτία* [33] *ἐστὶν ἡ ἀργία ἡ σή* [34] *; καὶ* [35] *ἢ κρίμα ἕξεις παρὰ τῷ Θεῷ* [36] *μὴ* [37] *ἐργαζόμενος ; Οἶδεν* [38] *αὐτὸς ὅ τι πάσχεις. Καὶ οὐδεὶς ἔχων τοιαύτην θλῖψιν ἥψατο ἔργου ποτέ, μάλιστα* [39] *μὴ ἀναγκαζόμενος. Ἄλλοις ἐπαρκοῦμεν σὺν Θεῷ ξένοις τε καὶ πτωχοῖς· καὶ σοὶ τῷ ἰδίῳ ἡμῶν καὶ τηλικούτῳ πατρὶ προθύμως οὐ δουλεύσομεν* [40] *; »* *Τούτου δὲ πάλιν ἀνθυπενεγκόντος* [41] *ὡς· « Ἀδύνατόν μοί* [42] *ἐστι μὴ ἐργάζεσθαι* [43] *», — « Εἰ οὕτως, ἔφη* [44], *δοκεῖ σοι, κἂν ἐλαίῳ καθ' ἑσπέραν* [45] *ἄλειφέ σου τὰς χεῖρας πρὸς τὸ μὴ κοπιᾶν μηδὲ αἱμάσσειν* [46]. *» Ὁ δὲ πεισθεὶς ἐποίησε* [47] *μὲν ὡς παρεκλήθη* [48]· *τοσοῦτον δὲ ὑπὸ τῶν θρύων κεντούμεναι* [49] *αἱ χεῖρες ἐβλάβησαν, ὡς μὴ δύνασθαι φέρειν αὐτὸν* [50] *μηκέτι τὰς ἐκεῖθεν αὐτῷ* [51] *προσγινομένας ὀδύνας.*

Λ 36. *Παραγενόμενος τοίνυν ὁ Παχώμιος* [52] *ἐν τῷ κελλίῳ καὶ τὴν περιοδείαν πυθόμενος* [53] *λέγει αὐτῷ· « Ὑπολαμβάνεις, ἀδελφέ, ὅτι σε τὸ ἔλαιον ὠφελεῖ ; Τίς δέ σε καὶ ἠνάγκασεν οὕτως κοπιᾶν, ὥστε προφάσει τοῦ ἔργου τῷ αἰσθητῷ ἐλαίῳ* [54] *μᾶλλον* [55] *ἢ τῷ Θεῷ τὰς ἐλπίδας τῆς ὑγείας* [56] *ἀναθεῖναι* [57] *; Μὴ γὰρ ἀδύνατον ἦν*

Cf.Heb.4,15. *τῷ Θεῷ θεραπεῦσαί σε ; ἢ ἀγνοεῖ τὰς ἀσθενείας ἡμῶν καὶ ὑπο-*

[21] *om.* B. — [22] *om.* S. — [23] (*κατὰ ν.*) *νυκτὸς ἑκάστης* B. — [24] *ἀπὸ* B. — [25] *om.* BS. — [26] *καὶ σφραγίζων ὅλον τὸ σ. αὐτοῦ τῷ θεῷ τε διδοὺς δόξ.* S. — [27] *κατὰ τὸ* HS. — [28] *πληροῖν* O. — [29] *om.* BC. — [30] *τις τῶν ἀδελφῶν* B. — [31] *αἱματούσας* S, *αἱματουμένας* BC. — [32] *om.* B, *ἐπὶ* S. — [33] *corr.* H. — [34] *ἡ σὴ ἀργία* S. — [35] *om.* BCS. — [36] *παρὰ θεῶ* WOM, *παρὰ τῷ κυρίω* BC. — [37] *om.* H. — [38] *γὰρ add.* H. — [39] *καὶ μάλ.* B. — [40] *οὐ προθ. δουλ.* O. — [41] *τούτου δὲ εἰπόντος* S, *τῷ δὲ ἀνθυπενεγκόντι* B. — [42] *om.* BC, *με* VWOM. — [43] *ἔφη ὁ ἀδελφός add.* S. — [44] *ἐκεῖνος add.* O ; (*εἰ οὕτ. ἔφη*) *εἰ οὖν οὕτ.* S. — [45] *κατ' ἑσπ.* M ; (*καθ' ἑ.*) *ἑσπέρας* B. — [46] *αἱμάσσεσθαι* B. — [47] *ἐποίη* S. — [48] *ἐδιδάχθη* S. — [49] *κεντουμένου* VMOHS, *κεντωμένου* W ; *αὐτῶ add.* B. — [50] *αὐ. φέρ.* B. — [51] *om.* B. — [52] (*ὁ π.*) *ὁ μέγας πατὴρ ἡμῶν παχ. πρὸς τὸ ἐπισκέψασθαι αὐτὸν* S. — [53] *παραγ. τοίνυν πρὸς αὐτὸν ὁ παχ. καὶ τὴν αἰτίαν τῆς τοσαύτης ὀδύνης πειθόμενος* B. — [54] *corr., prius προφάσει τοῦ ἐλαίου* H. — [55] *μᾶλλ, ἐλ.* B. — [56] *ὑγιείας* WO, *ἀνέσεως* B. — [57] *ἀνατιθέναι* S,

μνήσεως δεῖται [58] *; ἢ παρορᾷ μισῶν ἡμᾶς ὁ φύσει φιλάνθρωπος* [59] *;* Cf. Sap. 11, 24-26.
Ἀλλὰ τὴν ὠφέλειαν τῆς ψυχῆς οἰκονομῶν [60] *ὁ Θεὸς* [61] *συγχωρεῖ* [62] *τὰς θλίψεις* [63], *ἵνα φέροντες γενναίως καρτερίαν ἐπιδειξώμεθα, αὐτῷ τὸ πᾶν ἀνατιθέντες* [64], *ὅτε θέλει καὶ ὡς θέλει* [65], *τὴν τῶν πόνων ἀνάπαυσιν* [66] *χαρίσασθαι. » Ὁ δὲ ἀποκριθεὶς λέγει· « Συγχώρησόν μοι* [67], *πάτερ, καὶ εὔξαι ὑπὲρ ἐμοῦ, ὅπως καὶ ταύτην καὶ πάσας μου τὰς ἁμαρτίας ὁ δεσπότης συγχωρήσῃ* [68] *Χριστός* [69]. *» Διεβεβαιώσαντο δέ τινες περὶ τούτου* [70] *ὅτι ἐνιαυτὸν ὁλόκληρον ἐπένθει ἑαυτὸν διὰ δύο ἡμερῶν* [71] *μεταλαμβάνων* [72] *τροφῆς.*

Τοῦτον [73] *ὁ μακάριος ὡς τύπον καλῶν ἔργων* [74] *καὶ θεμέλιον* [75] Tit. 2, 7.
πρὸς [76] *τοὺς ἀδελφοὺς ἀπέστελλεν* [77]. *Ἦν γὰρ παρακλητικὸς εἰ καί τις ἄλλος. Ὃς ἄχρι τέλους νομίμως ἀγωνισάμενος πέρας* Cf.II Tim. 2, 5.
ἐξαίρετον καὶ τὴν ἐπὶ τοῖς πόνοις ἀμοιβὴν τὴν τῶν οὐρανῶν ἐπεπόθησεν [78] *ἀπολαβεῖν* [79] *βασιλείαν* [80].

88 [1]. *Πληροφορηθεὶς οὖν ὁ ἅγιος* [2] *Παχώμιος ὅτι* [3] *οὐκ ἀπέκρυψε τὸ τάλαντον, ἀλλὰ καὶ τούτους* [4] *καὶ ἄλλους πλείονας τελείους τῷ Κυρίῳ προέπεμψεν* [5], *ἑορτὴν ἦγεν ἐπὶ ταῖς πεφυτευμέναις αὐτῷ* [6] *τοῦ σωτῆρος* [7] *σκηναῖς, ἐν αἷς* [8] *ὁ* [9] *τῶν ἁγίων ἀνδρῶν* [10] *τούτων ηὐλίσθη κατάλογος* [11]. *Μετὰ δὲ τὴν ἁγίαν καὶ σεβάσμιον* [12] *τοῦ πάσχα* [13] *ἑορτήν, πολλῶν ἀδελφῶν διαφόρως τελειωθέντων, τέλος καὶ* [14] *αὐτὸς ἠρρώστησεν. Διηκόνει* [15] *δὲ αὐτῷ* [16] *ὁ Θεόδωρος* [17], *οὗ πολλάκις ἐμνήσθημεν. Καὶ ἐγένετο μὲν* [18] *τῷ σώματι* [19]

Λ 41 concl. Cf.Mt.25,25.

Φ 114.

[58] *δεῖται ὑπομν.*S. — [59] (*ἢ παρ. - φιλ.*) *om.* S. — [60] *οἰκοδομῶν* VWOM. — [61] *ὁ θ. om.* B ; *ἀλλ. ὁ τὴν ὠφ. τῆς ψ. σου οἰκον. θεὸς* S. — [62] *σοι add.*S. — [63] (*οἰκον. - θλ.*) *om.* H. — [64] *τὸ πᾶν ἀνατ. αὐτῶ* O ; *ἵνα φέρων γ. κ. ἐπιδείξη..: ἀνατιθεὶς* S. — [65] (*ὅτε θ. καὶ ὡς θ.*) *ὅτι θέλει κατὰ τὸ δοκοῦν αὐτῶ* B. — [66] *ἀνάπαυλαν* WOMH. — [67] *om.* WOM. — [68] *μοι add.* O. — [69] *θεός* S. — [70] *αὐτοῦ* H. — [71] *in marg.* H. — [72] *λαμβάνων* M. — [73] *πρὸς τοῦτον* B, *ad quem Λ.* — [74] (*ὡς τ. κ. ἔ.*) *εἰς τύπον καλοῦ ἔργου* S. — [75] *στερρὸν add.* S. — [76] *om.* B ; *αὐτὸν add.* C. — [77] *ἀπέστειλεν* HS ; *ἀπέστ. τοὺς ἀδ.* B. — [78] *ἠξιώθη* B. — [79] (*ἐπ. ἀπολ.*) *ἐπιπόθητον ἀπέλαβε vel ἦν ἐπόθησεν ἀπέλαβε Pasquali.* — [80] (*πέρας - βασ.*) *τὴν τῶν οὐρ. ἀπέλαβε βασ. ἦν καλῶς καὶ γνησίως ἐπόθησε* S.

88. — [1] *νβ'* WO. — [2] *θεῖος* B. — [3] *ὅτιπερ* S. — [4] *τοῦτον* O. — [5] *παρέπεμψεν* BC. — [6] *παρὰ add.* WOMHS. — [7] *τοῦ σωτήριος* V, *τοῦ* (*sup. lin.*) *κυρίου* H. — [8] *ἐν αἷς om.* W. — [9] MOS ; *om. ceteri.* — [10] *om.* BC. — [11] *ὁ κατάλ.* BC ; (*ἐν - κατ.*) *om.* H. *Hinc, omissis cap. 14-87 et initio c.88, rursus cod.* Y ; *ξδ' in marg.* M. — [12] *σεβασμίαν* Y. — [13] *παχωμίου* H. — [14] *πολλοὶ μὲν καὶ ἄλλοι τῶν ἀδ. διαφ. ἐτελειώθησαν· τέλος δὲ καὶ* B. — [15] *διηκονεῖτο* HMSY. — [16] *om.* S ; *in marg.* V. — [17] *ὃ ἡγιασμένος θ.* BC ; *παρὰ τοῦ θεοδώρου* S. — [18] *ὁ μακάριος add.* B. — [19] *τῶ μὲν σώμ.* O.

λεπτότατος σφόδρα [20] · τῷ δὲ προσώπῳ [21] λίαν ἔμενε φαιδρός, τὴν καθαρὰν τῆς ψυχῆς συνείδησιν [22] ἐντεῦθεν χαρακτηρίζων τοῖς [22] εἰς αὐτὸν ἀποβλέπουσι [24].

Πρὸ οὖν δύο ἡμερῶν [25] τῆς αὐτοῦ τελειώσεως, συγκαλεσάμενος αὐτοῦ [26] πάντα [27] τὸν θεῖον κατάλογον, ἔφη αὐτοῖς · « Ἐγὼ μέν, ἀδελφοί, τὴν ὁδὸν τῶν πατέρων [28] πορεύομαι · ὁρῶ γὰρ ἐμαυτὸν καλούμενον ὑπὸ τοῦ Κυρίου. Ὑμεῖς δὲ μνημονεύοντες [29] ὧν ἠκούσατε [30] ἀεὶ [31] παρ' ἐμοῦ [32] παραινέσεων [33], νήφετε ἐν πᾶσι · καὶ μηδεμία [34] ὑμῖν ἔστω κοινωνία πρὸς τὴν Ὠριγένους ἢ Μελετίου ἢ Ἀρείου ἢ τῶν λοιπῶν [35] χριστομάχων αἱρεσιν ἢ [36] ἄλλων ὧν ὑμῖν διεστειλάμην [37]. Μετὰ τούτων δὲ [38] συνδιάγειν σπουδὴ ἔστω
II Tim. 4,6. ὑμῖν τῶν ὠφελούντων ὑμῶν τὰς ψυχάς. Ἐγὼ γὰρ ἤδη σπένδομαι [39] καὶ ὁ [40] καιρὸς τῆς ἐμῆς [41] ἀναλύσεως [42] ἐφέστηκεν. Ἐκλέξασθε δὲ [43] ἐπ' ἐμοῦ [44] καὶ [45] τὸν δυνάμενον μετὰ [46] Θεὸν ἄρχειν ὑμῶν. Ἐγὼ μέντοι [47] εἰς τοῦτο Πετρωνίου δοκιμώτερον οὐχ ὁρῶ. Ὑμέτερον δέ ἐστι τὸ συμφέρον ἐκλέξασθαι. » Ἀποδεξαμένων δὲ καὶ [48] αὐτῶν τὴν συμβουλὴν τοῦ [45] πατρός [45] — καὶ γὰρ ἦν δυνατὸς τῇ πίστει, ταπεινὸς τῷ φρονήματι [49] καὶ ἀγαθὸς [50] τοῖς τρόποις — ἐποίησεν [51] ὑπὲρ αὐτοῦ εὐχήν, διὰ τὸ καὶ αὐτὸν ἀρρωστοῦντα διάγειν ἐν τῇ καλουμένῃ Χηνοβοσκείων [52] μονῇ. Καὶ [45] αὐτῷ μέν [53], εἰ καὶ ἀπόντι [54], ὅμως [55] τὴν ἐν Χριστῷ παρέδωκεν ἀδελφότητα [56]. Καὶ ἀποστείλας [57] πρὸς τὸ παραγενέσθαι [58] αὐτόν, σφραγίσας δὲ [59] ἑαυτὸν [60] καὶ ἱλαρῶς τῷ πρὸς αὐτὸν ἀποσταλέντι [26] ἀτενίσας [61]
Φ 116b. ἀγγέλῳ [62], τὴν ἁγίαν ἐκείνην ἀπέδωκε [63] ψυχὴν τεσσαρεσκαιδεκά-

[20] om.BC ; corr., prius σφο V. — [21] τὸ δὲ πρόσωπον H. — [22] μορφὴν S. — [23] corr., prius χαρακτηρίζοντος V. — [24] ἀφορῶσι B. — [25] πρὸ δύο τοίνυν ἡμ. B. — [26] om. S. — [27] in marg. H. — [28] μου add. BCS. — [29] μνημονεύετε BCS. — [30] ἠκούετε S. — [31] om. Y ; μνημ. ἀεὶ ὧν ἠκ. B. — [32] παρ' ἐ. om. WOM. — [33] παραιν. παρ' ἐμοῦ BC. — [34] μηδεμίαν VY. — [35] τῶν add. WOMHY. — [36] τῶν add. B. — [37] ἢ ἄλλ. ὧν ὑ. δ. om. S. — [38] μετὰ δὲ τοῦτο H, μετὰ γὰρ τούτων BC. — [39] (ἐγὼ - σπ.) om. B. — [40] (καὶ ὁ) ὁ γὰρ B. — [41] om. H. — [42] ἤδη add. B. — [43] οὖν BO ; om. VCW. — [44] ἐπὶ ἐμ. S. — [45] om. B. — [46] τὸν add. V. — [47] μὲν B, μὲν γὰρ S. — [48] om. WOS. — [49] τῷ φρ. ταπ. B. — [50] corr., prius ἀγαθοῖς V. — [51] ἐποίσεν S. — [52] τῶν χην. B, χινοβώσκίων ante corr. C, χινοβοσκίων V, χοινοβοσκίων H. — [53] οὖν B. — [54] καὶ αὐτὸν μὲν εἰ καὶ ἀπόντα S. — [55] om. B. — [56] τῇ ἐν χρ. παρ. ἀδελφότητι S. — [57] (καὶ ἀπ.) ἀπ. H, ἀπ. δὲ B. — [58] παρεγενέσθαι καὶ S. — [59] τε S ; (σφρ. δὲ) καὶ σφραγισάμενος B. — [60] αὐτὸν VBCS ; τῷ πνεύματι add. B. — [61] ἐνατενίσας WOMBHY. — [62] ἀγγέλοις S. — [63] παρέδωκε WO ; (ἐκ. ἀπ.) ἑαυτοῦ ἀφῆκε B.

τῃ [64] τοῦ μαΐου [65] μηνός [66]. Λαβόντες δὲ [67] τὸ σῶμα [68] οἱ τούτου [69] μαθηταὶ [70] καὶ καθαρίως [71] κηδεύσαντες, τῇ ἐπαύριόν τε ἀγρυπνίαν ἐπιτελέσαντες [72], τῇ ἑξῆς ἔθαψαν αὐτὸν [73] ἐν τῷ ὄρει.

89. Οἱ δὲ ἀποσταλέντες ἐπὶ τὸν Πετρώνιον [1] ἤγαγον αὐτὸν ἔτι νοσοῦντα. Ὀλίγας δὲ ἡμέρας καὶ αὐτὸς κυβερνήσας τὴν ἀδελφότητα, τελευτᾷ ἐν εἰρήνῃ, καταλιπὼν ἀντ' αὐτοῦ [2] ἄνδρα δίκαιον καὶ θεοφιλῆ, Ὀρσίσιον [3] τοὔνομα [4]. Φ 117.

90 [1]. Ταῦτα δὲ ἡμεῖς γεγραφήκαμεν [2] ἐκ πλειόνων [3] ὀλίγα καὶ ἀντὶ [4] μειζόνων [5] αὐτοῦ κατορθωμάτων τὰ ἐλάχιστα, οὐχ ἵνα τοῖς ἁγίοις πατράσι τὸν ἔπαινον χαρισώμεθα [6] — οὐ [7] γὰρ ἐφίενται τῆς ἡμετέρας [8] τιμῆς ἢ δόξης [9] · ἀρκεῖ γὰρ αὐτοῖς ὁ αἰώνιος ἔπαινος ὁ παρὰ Κυρίου καὶ τῶν ἀγγέλων [10] γενόμενός τε [11] καὶ τελεώτερον ἐσόμενος · λάμψουσι γὰρ ὡς ὁ ἥλιος [12] τῷ φωτὶ τοῦ Χριστοῦ ἐντρυφήσοντες [13], ὃς ἀεὶ τοὺς δοξάζοντας αὐτὸν δοξάζει [14] — ἀλλ' ἵνα καὶ ἡμεῖς μιμηταὶ κατὰ δύναμιν αὐτῶν γινώμεθα [15], ἐκ τῆς ἀκοῆς εἰς ζῆλον [16] αὐτῶν ἐπαγόμενοι [17], εὐχαῖς καὶ πρεσβείαις τῶν ἁγίων προφητῶν, ἀποστόλων [18], μαρτύρων [19], δι' οὓς [20] ὁ δεσπότης ἡμῶν δοξάζεται [21] Χριστός [22], ᾧ ἡ δόξα καὶ τὸ κράτος [23] εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν [24]. Φ 98-99. Cf.I Cor.4,5. Mt. 13, 43. I Reg. 2,30. Cf.Heb.6,12. I Petr.4,11.

91 [1]. Παρακαλῶ τοιγαροῦν τοὺς ἐντυγχάνοντας μὴ ἀπιστεῖν τῷ διηγήματι τούτῳ [2]. Εἰ δέ τις τῶν ἀναγινωσκόντων ἔροιτο περὶ [3] Φ 46.

[64] τεσσαρισκαιδεκάτη VWY ; πεντεκαιδεκάτη C ; πεντεκαιδεκάτην τότε B. — [65] legendum παχὼν (cf. ΦΔΙΙ). — [66] ἄγοντος add. B. — [67] αὐτοῦ add. B. — [68] αὐτοῦ add. C. — [69] om. BS. — [70] αὐτοῦ add. S. — [71] καθαρῶς BCS ; καθαρῶς τε καὶ πολυτελῶς O. — [72] τελέσαντες HO ; (τῇ ἐπαύρ. - ἐπιτ.) om. BC. — [73] om. B.

89. — [1] οἱ δὲ ἐπὶ τὸν π. ἀπ. B. — [2] ἀνθ' ἑαυτοῦ O, τῇ προστασία B. — [3] ὡρσίσιον Y. — [4] τὸ ὄνομα S.

90. — [1] ξε′ M. — [2] γεγράφαμεν B. — [3] πολλῶν H. — [4] τῶν add. BC. — [5] τῶν add. S. — [6] χαρισάμενοι corr. rec. C. — [7] οὐδὲ O. — [8] παρ' ἡμῶν O. — [9] οὐ γὰρ τῆς ἡμ. τιμ. ἢ δ. ἐφίενται B. — [10] αὐτοῦ add. B. — [11] om. H. — [12] ὁ παρὰ χριστοῦ καὶ τῶν ἁγίων ἀγγ. γενόμ. καὶ τελειότερον ἐσόμ. λάμψασιν ὡς ἥλιος S. — [13] ἐντρυφήσαντες H, ἐντρυφῶντες S. — [14] ἀντιδοξάζει S. — [15] γενώμεθα WO, ante corr. C ; γινόμενοι S. — [16] εἰς τὸν ζῆλον Y. — [17] ἐναγόμενοι BCH, ἐναγόμεθα S. — [18] καὶ add. OS. — [19] καὶ πάντων τῶν (om. C) ὁσίων add. BC. — [20] δι' ὧν S. — [21] ἰησοῦς add. B, ἰησοῦς ὁ add. C. — [22] δι' οὗ ὁ χρ. δοξ. ὁ ἀγαθὸς ἡμ. δεσπ. O. — [23] νῦν καὶ ἀεὶ καὶ add. BC ; (ὧ - κρ.) αὐτῷ γὰρ εἴη δόξα κρ. τιμὴ καὶ προσκύνησις S. — [24] hic des. BCSY.

91. — [1] νγ′ W, ξς′ M. — [2] τῶδε τῷ διηγ. O. — [3] ἐροῖτο π. corr. W.

τῶν ἑκάστοτε λόγων τῆς προσευχῆς αὐτοῦ φάσκων· « Πόθεν ὑμῖν [4] συγγραφεῦσιν ἢ τούτων γνῶσις; » μνημονευσάτω τῶν παρ' [5] ἡμῶν ἀνωτέρω λεχθέντων, ὅτιπερ παρὰ πατέρων ἁγίων ἐγνώκαμεν [6] ταῦτα, μετὰ ἀκριβείας ἐξετάσαντες. Αὐτὸς γὰρ ὁ μακάριος πολλάκις ἐξηγούμενος τοῖς ἀδελφοῖς τὰ πρὸς ὠφέλειαν, τούς τε λογισμοὺς ἐφανέρου αὐτοῖς, καὶ ὅπως [7] περὶ ἑκάστου αἰτήματος δεῖ προσεύχεσθαι ἐδίδασκεν ἀφθόνως. Οὐ μόνον δὲ [8] τούτοις, ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς αὐτὸν παραγινομένοις μοναχοῖς παρήνει πιστεύειν εἰς [9] τὸν σωτῆρα Χριστὸν καὶ [10] ἀγαπᾶν αὐτόν, φυλάττειν τε [11]
I Petr. 2,11. ἑαυτοὺς [12] ἀπὸ [13] λογισμῶν ἀτόπων καὶ σαρκικῶν ἡδονῶν [14], φεύ-
I Thes.5,17. γειν τε κενοδοξίαν καὶ ἀδιαλείπτως προσεύχεσθαι, ὥστε ἀγαπᾶν ἀλλήλους. Πρὸς ταύτην γὰρ ἡμᾶς καὶ ὁ θεῖος ἀπόστολος ἐνάγων καὶ δεικνὺς αὐτῆς τὸ μέγεθος, Κορινθίοις [15] γράφων ἔλεγεν·
I Cor.12,31. « Ζηλοῦτε δὲ [16] τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. » Καὶ ὁ δεσπότης δὲ [17] Χριστὸς πρὸς τοὺς
Ioh.13,35. ἀποστόλους ἔλεγεν· « Ἐν τούτῳ, φησί [18], γνώσονται πάντες ὅτι μαθηταί μου ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους [19] ».

Φ 47. **92.** « Πολλοὶ μὲν γάρ, φησί [1], θαυμάζουσι [2] τοὺς δυναμένους θεραπεύειν τὰ σώματα [3]· ἐγὼ δὲ οὐ τούτους τοσούτου [4] θαύματος ἀξίους κρίνω ὡς τοὺς τελείους ἀποσπᾶν [5] ἰδιώτας καὶ ἀπὸ κακίας
Φ 48. εἰς ἀρετὴν τὰς ψυχὰς [6] ἐπιστρέφοντας. Οὐ κρίνεται γάρ, φησίν, ἀγαπητοί, διὰ τί τὸ καὶ τὸ οὐκ ἐπεδείξατο θαῦμα. Κρίνεται δὲ ἐὰν τὴν ὁμοίωσιν ἔχῃ τῶν ἐν τῷ ψαλμῷ ὑπὸ τοῦ Πνεύματος κατακρι-
Ps. 53, 5. νομένων λέγοντος· Οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Πῶς γὰρ δύναται τὸν πλησίον ἀγαπᾶν ὁ μὴ τὸν Θεὸν ἀεὶ προορώμενος,
Ps. 15, 8. κατὰ τὸν μακάριον Δαυὶδ τὸν λέγοντα· Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ; »

Φ 49. **93.** « Ἀναγκαῖον δέ ἐστιν, ἔλεγε, καὶ φίλον Θεῷ, τὸ τοὺς παῖδας ἔτι πονηρίας ἀπηλλαγμένους ταῦτα [1] ἀκούειν συχνότερον, καὶ
Gal. 6, 16. πραγμάτων προβεβηκότων [2] ἐκδιδάσκεσθαι τούτῳ τῷ κανόνι

[4] ἡμῖν WMH ; τοῖς *add.* WOMH. — [5] περὶ H. — [6] V ; ἔγνωμεν *ceteri.* — [7] V ; πῶς *ceteri.* — [8] *om.* H. — [9] ἐπὶ WOM. — [10] πρὸς τούτοις O. — [11] (φυλ. τε) καὶ φυλ. O. — [12] αὐτοὺς M. — [13] πονηρῶν *add.* H. — [14] ἐπιθυμιῶν O. — [15] *corr., prius* κοριθίοις V. — [16] *om.* WO. — [17] *om.* H. — [18] *om.* H ; δὲ M. — [19] ὅτι ἐμοὶ μαθ. ἐστε ἐὰν ἀγάπην ἔχετε εἰς ἀλλ. H.

92. — [1] *om.* M. — [2] (φ. θ.) θαυμάσουσι φησὶ H. — [3] τὰ σώμ. θερ. H. — [4] τοσοῦτον H. — [5] ἀποσπῶντας *in ras.* O. — [6] τὰς ψ. *om.* V.

93. — [1] ταῦτ' M. — [2] προβεβήτων H ; προ- *in ras.* O.

στοιχεῖν [3], πρὸς τὰ ἄνω πρὸ τῆς ἡλικίας [4] τὸ καλὸν ζηλώσαντας, τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι καταντῶντας εἰς τελειότητα, ὡς Phil. 3,13.
ὁ μακάριος Σαμουὴλ τῷ ναῷ προσεδρεύων. Καὶ γὰρ καθαρὰ γῆ Cf. I Reg.2,
ἑτοίμη πρὸς φυτουργίαν ἐστίν· ἡ δὲ χέρσος, διὰ πολλῶν μόχθων 18, 26.
καθαρθεῖσα, τηνικαῦτα φύεται [5]. Φυλάττειν οὖν [6] ἡμᾶς χρὴ τὸ περὶ τοὺς νέους ἀπρόσκοπον, ὅπως ὁ φυλάσσων τὰ νήπια Κύριος Ps. 114, 6 ;
διαφυλάξῃ [7] καὶ ἡμῶν τὴν ψυχὴν [8] ὡς κόρην ὀφθαλμοῦ· ᾧ γὰρ 16, 8.
μέτρῳ μετρεῖτε, φησί, μετρηθήσεται [9] ὑμῖν. Μὴ τοίνυν, ἀγαπητοί, Luc. 6, 38.
τολμήσῃ [10] τις ψυχὴν βλάψαι μηδὲ ἑνὶ [11] λόγῳ ἀργῷ. Ὅπως δὲ
δεῖ τούτους φυλάττειν, οὐ χρεία λόγων μακρῶν. Τέλος γὰρ λόγου, Eccl. 12,13 .
φησί, τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, καὶ ἔσῃ τέλειος μοναχός. Ἐνῆν μὲν οὖν καὶ ἕτερα εἰπεῖν πρὸς ὑμᾶς, ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον [12] κοπῶμεν [13] ὑμᾶς, καταπαύσωμεν [14] τὸν λόγον [15]. Ὁ δὲ Θεὸς τῆς εἰρήνης στηρίξαι [16] ὑμᾶς, Phil. 4, 9.
ἀδελφοί [17], εἰς τὸν φόβον αὐτοῦ· ἀμήν [18]. »

[3] καὶ *add.* O. — [4] ἀνάγεσθαι καὶ *add.* O. — [5] (την. φ.) φυτεύεται H. — [6] *om.* W ; (φυλ. οὖν) διὸ φυλ. O. — [7] φυλάξῃ M, διαφυλάξαι H. — [8] τὰς ψυχὰς WO. — [9] ἀντιμετρηθήσεται WO. — [10] τολμήσαι V. — [11] μηδ' ἑνὶ H. — [12] πλέον HO. — [13] κοποῦμεν V. — [14] ὑμ. κατ. *om.* V. — [15] (κοπ. - λόγ.) ἀποκναίειν ὑμᾶς ποιῶμεν, ὧδε τοῦ λόγου καταπαύσομεν O. — [16] στηρίξει V. — [17] *om.* WO. — [18] τέλος τοῦ βίου (καὶ τῶν θαυμάτων *add.* W) τοῦ ὁσίου (ἁγίου W) πατρὸς ἡμῶν (π. ἡ. *om.* W) παχωμίου (ἀμὴν *add.* W) *add.* WM.

V. SANCTI PACHOMII VITA TERTIA (*II*).

E codice Patmensi monasterii S. Iohannis 9 (= P).
Adhibitis etiam, inde a cap. 68, codice Athoo Lavrensi Ω 81 - Carnutensi 1754 - Parisiensi Bibl. Nat. Suppl. 480 (= N) *et codice Athoo monasterii Dionysii 148* (= D).

Τοῦ ὁσίου πατρὸς ἡμῶν Παχωμίου τοῦ μεγάλου βίος [1].

Φ 1. **1.** *Ὁ λόγος τοῦ τὰ πάντα κτίσαντος υἱοῦ τοῦ Θεοῦ ἐφάνη ἀληθής, ὁ γενόμενος πρὸς τὸν πατέρα ἡμῶν Ἀβραὰμ ἐπὶ τῷ τέλει τῆς πρὸς αὐτὸν εὐαρεστήσεως ἤτοι ὁλοκαρπώσεως τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, λέγοντος τοῦ Κυρίου·* « *Ἢ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει* » *καὶ πάλιν·* « *Ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς.* » *Οὗτος γὰρ ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ μετὰ Μωϋσέα τὸν θεράποντα αὐτοῦ καὶ τοὺς ἄλλους προφήτας φανεὶς ἄνθρωπος καὶ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος, τὴν ἐπαγγελίαν τῆς εὐλογίας εἰς πάντα τὰ ἔθνη ἐπλήρωσε, λέγων τοῖς μαθηταῖς·* « *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* » *Καὶ εἰς πᾶσαν τὴν γῆν τοῦ εὐαγγελίου αὐξανομένου, ἐκ συγχωρήσεως Θεοῦ διὰ δοκιμὴν πίστεως αὐτοῦ βασιλεῖς ἔλληνες κατὰ τῶν χριστιανῶν ἐκίνησαν πανταχοῦ μέγαν διωγμόν· καὶ πολλῶν μαρτύρων διὰ πολλῶν καὶ ποικίλων βασάνων ἕως θανάτου ἀγωνισαμένων καὶ στεφανωθέντων σὺν Πέτρῳ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας, ὑπερηύξανε καὶ ἐκραταιοῦτο ἡ πίστις τοῦ Χριστοῦ ἐν πάσῃ χώρᾳ καὶ νήσῳ κατὰ τὰς ἐκκλησίας.*

Gen. 22, 17, 18.

Hebr. 2,16.

Matth.28,19

Lemma. — [1] *inscriptio haec nuperrime addita est; antiqua autem, quae vix non omnino deleta est, sic restituenda videtur: Βίος καὶ πολιτεία τοῦ ἁγίου (μεγάλου ?) πατρὸς ἡμῶν Παχωμίου καὶ τοῦ μαθητοῦ αὐτοῦ Θεοδώρου τοῦ ἡγιασμένου* P.

2. *Ἐντεῦθεν καὶ μοναστήρια ἤρξαντο γίνεσθαι καὶ ἀσκητῶν τόποι τῶν ἐν ἁγνείᾳ καὶ ἀποταξίᾳ κτημάτων σεμνυνομένων. Καὶ ἐπειδὴ τῶν μαρτύρων τοὺς ἀγῶνας καὶ τὴν ὑπομονὴν εἶδον οἱ πάλαι ἐξ ἑλλήνων γεγονότες μοναχοὶ ἤρξαντο ἀνανεῶσαι τὸν βίον καὶ σκληροτέραις ἑαυτοὺς ἀγωγαῖς ἐθίζειν· περὶ ὧν καὶ ἐλέχθη·* « *Ὑστερούμενοι, κακουχούμενοι, ἐπ' ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.* » *Καὶ οὕτως αὐτοὺς ἀνῆγον τραχυτέρᾳ ἀσκήσει καὶ πρεπούσῃ εὐλαβείᾳ ὡς ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ νήφειν, καὶ ἐν ὀφθαλμοῖς ἔχειν τὸν σταυρωθέντα Κύριον καὶ τοὺς ὑπὲρ αὐτοῦ ἀγωνισαμένους μάρτυρας.*

Hebr. 11, 37, 38.

Φ 2. **3.** *Τοῦ γὰρ ἀσκητικωτάτου καὶ ἀληθῶς ἐναρέτου πατρὸς ἡμῶν Ἀντωνίου τοιοῦτος ἦν ὁ βίος ὡς τοῦ μεγάλου Ἠλιοὺ καὶ Ἐλισσαίου καὶ Ἰωάννου τοῦ βαπτιστοῦ· καθὰ καὶ ἐγγράφως μαρτυρεῖ περὶ αὐτοῦ μετὰ τὴν τελευτὴν ὁ ἁγιώτατος ἐπίσκοπος Ἀθανάσιος, δηλώσας ἐν αὐτῷ καὶ τὴν διαγωγὴν τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀμοῦν* [1]*, ἀρχιμονάζοντος τῶν ἐν τῷ ὄρει τῆς Νητρίας ἀδελφῶν, καὶ τοῦ σὺν αὐτῷ Θεοδώρου. Οἴδαμεν δὲ ὅτι ἐπειδὴ ἐν χείλεσι τοῦ ἀγαπητοῦ τοῦ πάντας εὐλογοῦντος ἐξεχύθη ἡ χάρις — ἐπεσκέψατο γὰρ τὴν γῆν καὶ ἐμέθυσεν αὐτήν, χαρὰν αὐτῇ παρασχὼν ἀντὶ λύπης καὶ στεναγμοῦ — διὰ τοῦτο καὶ εἰς πᾶσαν χώραν ἐγένοντο πατέρες θαυμαστοὶ τῶν μοναχῶν, ὡς καὶ προειρήκαμεν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζώντων. Ἐν δὲ τῇ Αἰγύπτῳ καὶ Θηβαΐδι μήπω γενομένων πολλῶν, μετὰ τὸν διωγμὸν Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἡ μετάνοια τῶν ἐν Χριστῷ* [2] *πληθυνομένη ἐν τῇ ἐκκλησίᾳ, τῶν ἐπισκόπων αὐτοῖς ὁδηγούντων πρὸς ἐπίγνωσιν Θεοῦ κατὰ τὴν τῶν ἁγίων ἀποστόλων διδαχήν, σφόδρα ἐκαρποφόρει.*

BHG. 140.

Ps. 44, 2; 64, 9.

Phil. 4, 3.

4. *Καί τις ἀνὴρ ὀνόματι Παχώμιος, καὶ αὐτὸς ἑλλήνων γονέων υἱὸς ἐν Θηβαΐδι ὢν καὶ ἐλέους σφόδρα τυχών — ἦν γὰρ ἴσως καὶ αὐτὸς ἐλεήμων — ἐγένετο χριστιανός· καὶ προκόψας ἐν τῇ πίστει ἐγένετο τέλειος μοναχός. Ἀναγκαῖον δὲ τὸν ἐκ παιδόθεν βίον αὐτοῦ κατὰ δύναμιν ἡμᾶς διηγήσασθαι εἰς δόξαν Θεοῦ τοῦ πανταχόθεν πάντας* [1] *καλοῦντος ἐκ σκότους εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.*

Cf. Matth. 5, 7.

I Petr. 2,9.

Φ 3. **5.** *Ἐγένετο οὖν ποτε παραγενέσθαι σὺν τοῖς γονεῦσι τὸν παῖδα εἰς εἰδωλεῖον τοῖς ἐν τῷ ποταμῷ φαντάσμασι τῶν δαιμόνων θυμιᾶσαι. Καὶ τοῦτον ἰδὼν ὁ ἐπὶ τῆς θυσίας* [1] *ἱερεὺς ἐποίησε τοῦ*

3. — [1] *ἀμμοῦν corr. sup. lin.* P. — [2] *τῶν ἐν χριστῶ sic* P ; *cf. Φ : τῶν ἐθνῶν*

4. — [1] *πάντα* P.

5. — [1] *θῴρας* P, *correxi ex Φ.*

τόπου ἐκδιωχθῆναι · καὶ ἐμμανῶς κράζων ἔλεγε · « Τὸν ἐχθρὸν τῶν θεῶν ἐντεῦθεν ἀποδιώξατε. » Καὶ ἀκούσαντες οἱ γονεῖς αὐτοῦ ἐλυπήθησαν σφόδρα, ὡς ἐχθροῦ ὄντος τῶν λεγομένων θεῶν, μὴ ὄντων δέ. Ἀλλὰ καὶ ἄλλοτε τοῦ οἴνου τοῦ ἐκ τῆς σπονδῆς αὐτῶν ἐπότισαν αὐτόν, καὶ εὐθὺς ἐξέμεσεν ὃ πέπωκεν ὁ παῖς.

6. Ταῦτα δὲ μετὰ τὸ γενέσθαι αὐτὸν μοναχὸν αὐτὸς ἐξηγούμενος περὶ τῶν παιδικῶν αὐτοῦ ἐδήλωσεν εἰπών · ἐν οἷς καὶ τούτου τὴν γνῶσιν τοῖς περὶ αὐτὸν μοναχοῖς φησιν · « Μὴ νομίσητε ὅτι ἐκ προγνώσεως οἱ μηδὲν ἀγαθὸν γινώσκοντες δαίμονες ἐποίησάν με διωχθῆναι, ὡς μέλλοντός μου μετὰ ταῦτα προσελθεῖν τῇ πίστει τῆς ἀληθείας · ἀλλ' ὁρῶντές με καὶ τότε τὰ κακὰ μισοῦντα — ὁ γὰρ Θεὸς τὸν ἄνθρωπον εὐθῆ ἐποίησε — στοχασάμενοι ἄρα μετὰ ταῦτα ἔσομαι θεοσεβὴς τῇ ἐνεργείᾳ, ἐδίωξάν με οἱ ὑπηρέται αὐτῶν. »

II Thess. 2, 13.

Eccl. 7, 30.

Φ 4.

7. Μετὰ οὖν τὸν διωγμὸν ἐβασίλευσεν ὁ μέγας Κωνσταντῖνος, ἀπαρχὴ τῶν χριστιανῶν Ῥωμαίων βασιλέων · καὶ πρὸς τύραννον οὗτος πολεμῶν ἐκέλευσε πολλοὺς τήρωνας συλλαβεῖν · ἐν οἷς καὶ αὐτὸς Παχώμιος συνελήφθη, ὢν ὡς ἐτῶν εἴκοσιν. Καὶ καταπλεόντων τῶν τηρώνων, οἱ κρατοῦντες αὐτοὺς στρατιῶται ὥρμισαν εἰς πόλιν τῶν Θηβῶν καὶ ἐκεῖ ἐνέκλεισαν αὐτούς. Ὀψίας δὲ γενομένης ἀκούσαντές τινες χριστιανοὶ ἐλεήμονες ἤνεγκαν αὐτοῖς φαγεῖν καὶ πιεῖν καὶ ἄλλας χρείας, καθότι ἦσαν ἐν θλίψει. Ὁ δὲ νεανίας Παχώμιος ἐρωτήσας τινὰ περὶ αὐτῶν · « Τίνες εἰσὶν οὗτοι οἱ οὕτως εὔσπλαγχνοι ; » ἤκουσε χριστιανοὺς αὐτοὺς εἶναι καὶ πρὸς ξένους καὶ πρὸς πάντας ἐλεήμονας ὑπάρχειν. Καὶ πάλιν πυνθάνεται, τί ἂν εἴη χριστιανός. Καὶ λέγουσιν αὐτῷ · « Ἄνθρωποί εἰσι τὸ ὄνομα τοῦ Χριστοῦ φοροῦντες τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ · καὶ πᾶν ἀγαθὸν πᾶσι ποιοῦσιν, ἐλπίζοντες ἐπ' αὐτὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα καὶ ἡμᾶς τοὺς ἀνθρώπους. » *

Act. 4, 24.

Φ 99 a.

22. Ἀεὶ γὰρ ὁ Θεὸς τοὺς ἰδίους δούλους δοξάζει, μᾶλλον τοὺς ταπεινοφρόνως προέχοντας λαοῦ · ὃς καὶ τῷ Μωϋσεῖ φησι · « Καὶ σοὶ πιστεύσουσιν εἰς τοὺς αἰῶνας. » Καὶ οὕτως ἐδόξασεν αὐτοῦ

Ex. 19, 9.

*Capitula **8** (Ἀκούσας οὖν τὴν τηλικαύτην χάριν Παχώμιος...) et **9** (Καὶ ταῦτα εὐξάμενος...) iam contuli cum cap. 5 Vitae Primae (**Φ**); vide supra, p. 3-4. — Cap. **10** (Καὶ λοιπὸν διυπνισθεὶς...) et **11** (Τότε ἀνοίξας...) contuli cum Φ 6, supra, p. 4-5.— Cap. **12-14** contuli cum **Φ** 7-9, p. 5-7. — Cap. **15-21** contuli cum Φ 11-17, p. 6-11.*

τὸ πρόσωπον, ὡς μὴ δύνασθαι τὸν λαὸν εἰς αὐτὸν ἀτενίσαι. Μαθόντες γὰρ κατὰ καιρὸν ὅτι πάντων μέν ἐστι τὸ πιστεύειν, μάλιστα δὲ μοναζόντων, διὰ τοῦτο ταῦτα συνεκεράσαμεν γράφοντες πρὸς τὸ δύνασθαι ἡμᾶς φέρειν ἀζημιώτους τῶν λεγομένων τὸ κέρδος. Καὶ γνῶμεν ἀσφαλῶς ὅτι καὶ νῦν λέγει ὁ Θεός · « Τοὺς δοξάζοντάς με δοξάσω. » Καὶ γὰρ καὶ αὐτὸς τὴν ὁδὸν τῶν ἁγίων ἐπορεύετο, ὡς γέγραπται · « Μιμηταί μου γίνεσθε. » Καὶ ἀκώλυτος πᾶσι τῆς ἀρετῆς ἡ ὁδός · ἀλλὰ χρῄζει ὁ ἄνθρωπος ἀεὶ διδασκαλίας, ὡς ἡ γῆ ἀρδείας καὶ ὑετῶν. Καὶ ἤρκει μέν, εἰ ἐνήφαμεν, εἷς ψαλμὸς ἐκδιδάξαι ἡμᾶς τὴν ἀρετὴν πᾶσαν · διὰ δὲ τὸ εἰς λήθην ἡμᾶς ἐκπίπτειν ταχέως, ἡ ποικίλη τῶν γραφῶν δέδοται ἱστορία. Καὶ νῦν ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ πολλὴ ἡ τάξις · πρεσβύτεροι, διάκονοι καὶ ἄλλοι καθεξῆς, καὶ μονάζοντες πάλιν · καὶ πάντες ψάλλομεν · « Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. » Τίνες δέ εἰσιν οὗτοι ἀλλ' ἢ περὶ ὧν ὁ λόγος ἡμῖν καὶ ἡ ὑπόθεσις ; Ταῦτα οὕτως παρεδόθη ἵνα κἀκεῖνοι δοξασθῶσι καὶ οἱ μετὰ ταῦτα ζηλώσωσι. Καὶ γὰρ ἑκάστου τελείου ὁ βίος, εἰ γραφῇ [1] ὧδε, μᾶλλον παρὰ Κυρίου ἐγράφη. *

II Cor. 3,7.

I Reg. 2, 30.

I Cor. 4, 16.

Ps. 127, 1.

29. Γέγονε δὲ τῷ χρόνῳ προκόπτων ἐφάμιλλος τῶν εὐσεβῶς βεβιωκότων · κατηξιώθη δὲ χαρίσματος προρρήσεων καὶ ὀπτασίας ἀγγελικῆς · ἐγένετο δὲ εἰσάγαν φιλάνθρωπος καὶ φιλάδελφος. Μετὰ ταῦτα δὲ ἦν κατ' ἰδίαν καθήμενος ἐν σπηλαίῳ, ἀγρυπνῶν καὶ αἰτούμενος τὸ τέλειον θέλημα τοῦ Θεοῦ · οὐκ ἐβούλετο γὰρ ἔχειν φροντίδα, ἀλλ' ἡσυχάζειν κατ' ἰδίαν. Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου λέγων · « Τὸ θέλημα τοῦ Θεοῦ ἐστιν τὸ διακονεῖν τῷ γένει τῶν ἀνθρώπων καὶ ἀποκαταλλάσσειν αὐτοὺς αὐτῷ. Σὺ δέ, Παχώμιε, τὰ κατὰ σεαυτὸν κατώρθωσας · περιττῶς οὖν κάθῃ ἐν τῷ σπηλαίῳ. Δεῦρο λοιπὸν ἐξελθὼν συνάγαγε πάντας τοὺς νεωτέρους μονάζοντας καὶ οἴκησον μετ' αὐτῶν. Καὶ κατὰ τὸν τύπον τὸν διδόμενόν σοι, οὕτως αὐτοῖς νομοθέτησον. »

Φ 23.

30. Καὶ ἐπιδέδωκεν αὐτῷ δέλτον χαλκῆν, ἐν ᾗ ἐγέγραπτο οὕτως · « Συγχωρήσεις ἑκάστῳ κατὰ τὴν δύναμιν καὶ φαγεῖν καὶ πιεῖν · καὶ πρὸς τὰς δυνάμεις τῶν ἐσθιόντων, ἀνάλογα καὶ τὰ ἔργα αὐτοῖς [1] ἐγχείριζε · καὶ μήτε νηστεῦσαι κωλύσῃς μήτε φαγεῖν. Οὕτω μέντοι

Regula ab angelo tradita : victus,

22. — [1] *sic* P ; *cf. Φ :* ἐὰν μὴ γραφῇ.

*Capitula **23** (Τὸ δὲ ποικίλον...) et **24** (Ἐνίοτε γὰρ...) contuli cum Φ 18, p. 11-12. — Cap. **25-28** contuli cum Φ 19-22, p. 12-14.*

30. — [1] αὐτοὺς P.

labores, τὰ ἰσχυρὰ ἔργα τοῖς ἰσχυροτέροις καὶ ἐσθίουσιν ἐγχείριζε· τὰ δὲ ἄτονα τοῖς ἀσκητικωτέροις καὶ οἶκοι τῇ προσευχῇ προσκαρτε-
habitatio, ροῦσι. Ποίησον δὲ κέλλας διαφόρους ἐν τῇ αὐλῇ· καὶ τρεῖς κατὰ κέλλαν μενέτωσαν. Ἡ δὲ τροφὴ πάντων ὑπὸ ἕνα οἶκον ἐξεταζέσθω.
somnus, Καθευδέτωσαν δὲ ἐν ταῖς κέλλαις μὴ ἀνακείμενοι· ἀλλὰ θρόνους οἰκοδομητοὺς ὑπτιωτέρους ποίησον, ἵνα ἐν τῷ καθεύδειν αὐτοὺς κεκάθηνται· φορείτωσαν δὲ ἐν ταῖς νυξὶ λεβίτωνας λινοῦς καὶ
vestitus, ἐζωσμένοι. Ἕκαστος δὲ αὐτῶν ἐχέτω μηλωτὴν αἰγείαν ἠργασμένην, ἧς ἄνευ μηδὲ ἐσθιέτωσαν μηδὲ καθευδέτωσαν. Εἰσιόντες
communio, δὲ εἰς τὴν κοινωνίαν κατὰ [2] σάββατον καὶ κυριακὴν τὰς ζώνας λυέτωσαν καὶ τὴν μηλωτὴν ἀποτιθέσθωσαν καὶ μετὰ κουκουλίου[3] εἰσίτωσαν.» Κουκούλια [4] δὲ αὐτοῖς ἐτύπωσεν ὡς παιδίοις, ἐν οἷς καὶ κατηνάρια διὰ πορφυρίου ἐκέλευσε τίθεσθαι.

turmarum distributio, **31.** Ἐκέλευσε δὲ εἰκοσιτέσσαρα τάγματα εἶναι· καὶ ἑκάστῳ τάγματι πεποίηκε στοιχεῖον ἑλληνικὸν ἀπὸ τοῦ ἄλφα καὶ βῆτα καὶ γάμμα [1] καὶ δέλτα καὶ καθεξῆς. Ἐν τῷ οὖν ἐρωτᾶν καὶ πολυπραγμονεῖν τὸν ἄγγελον· «Εἰς τοσοῦτον πλῆθος πῶς ὁ πρῶτος ἐρωτήσει τὸν δεύτερον;» εἶπεν αὐτῷ· «Τοῖς ἀκεραιοτέροις καὶ ἁπλουστέροις ἐπιθήσεις τὸ ἰῶτα. Ἰδίῳ δὲ σημείῳ καλέσουν [2] τό· Πῶς ἔχει τὸ γ' [3]; ὡσανεὶ τὸ τρίτον τάγμα. Εἶτα· Πῶς ἔχει τὸ ζ' [3]; ἕβδομον τάγμα. Ἄσπασαι τὸ ρ' [3]. Καὶ οὕτως ἑαυτοὺς ἐπισκεπτέσθωσαν. Τοῖς δὲ σκολιωτέροις ἐπιθήσεις τὸ ξ' [3]». Καὶ οὕτως κατὰ ἀναλογίαν τῆς καταστάσεως τῶν στοιχείων, ἁρμοζουσῶν τῶν προαιρέσεων καὶ τῶν βίων, ἑκάστῳ τάγματι στοιχεῖον ἐφήρμοσε, μόνων τῶν πνευματικῶν εἰδότων τὰ σημαινόμενα.

hospites, **32.** Ἐγγέγραπτο δὲ καὶ τοῦτο ἐν τῇ δέλτῳ ὅτι· «Ξένον ἄλλου μοναστηρίου ἄλλον ἔχοντα τύπον οὐ δέξῃ, πλὴν τοῦ ξενοδοχεῖν· τούτοις μὴ συμφαγεῖν μὴ συμπιεῖν· μὴ εἰσάγῃς [1] εἰς τὴν μονήν, ἐκτὸς εἰ μὴ εὑρεθῇ εἰς τὴν ὁδὸν ἢ γνωστὸς <ἢ [2]>, ἢ θέλοντα συν-
novicii, εἶναι αὐτοῖς· τὸν τοιοῦτον, ἐπὶ τριετίαν εἴσω μὴ εἰσαγαγεῖν, ἀλλ' ἐργατικώτερα ἔργα ἐπιτελοῦντα οὕτως εἰσδέχεσθαι μετὰ τριετίαν.
refectio, Ἐσθίοντες δὲ ἐν ἑνὶ οἴκῳ τὰς κεφαλὰς καλυπτέσθωσαν τοῖς κουκουλίοις, ἵνα μὴ ἀδελφὸς ἀδελφὸν μασώμενον [3] ἴδῃ· οὐδὲ ἐξεῖναι λαλεῖν ἐσθίοντα, οὐδὲ ἐκτὸς τοῦ πίνακος καὶ τῆς τραπέζης ἀλλαχοῦ
oratio. προσέχειν τῷ ὀφθαλμῷ. Διὰ πάσης δὲ ἡμέρας ποιεῖν εὐχὰς δώδεκα, ὡς εἶναι τὴν εὐχὴν ἄπαυστον· καὶ ἐν ταῖς παννυχίσιν ὡσαύ-

[2] κακατὰ P. — [3] κουκουλλίου *corr.* P. — [4] κουκούλλια *corr.* P.
31. — [1] γάμα P. — [2] *i. e.* καλέσουσι. — [3] *in ras.* P.
32. — [1] *corr.* P. — [2] *om.* P. — [3] μασσόμενον P.

τως· καὶ ἐννάτην ὥραν, ὅτε δοκεῖ τὸ πλῆθος μεταλαμβάνειν, τρεῖς εὐχάς· καὶ ἑκάστῃ εὐχῇ προσάδεσθαι ψαλμόν.» Προσαντιλέγοντος δὲ Παχωμίου τῷ ἀγγέλῳ ὅτι ὀλίγαι εἰσὶν αἱ εὐχαί, λέγει αὐτῷ ὁ ἄγγελος· «Ἱκανόν· ταύτας δὲ ἐτύπωσα, ὡς φθάνειν καὶ τοὺς μικροὺς ἐπιτελεῖν τὸν κανόνα καὶ μὴ λυπεῖσθαι ὡς ἀποιήτους. Οἱ δὲ τέλειοι νομοθεσίας χρείαν οὐκ ἔχουσι· καθ' ἑαυτοὺς γὰρ ἐν ταῖς κέλλαις ὅλον ἑαυτῶν τὸ ζῆν τῇ τοῦ Θεοῦ νομοθεσίᾳ παραχωρείτωσαν.» Ταῦτα νομοθετήσας ὁ ἄγγελος Κυρίου τῷ Παχωμίῳ καὶ δοὺς αὐτῷ τὴν δέλτον ἀπέστη ἀπ' αὐτοῦ. *

Monachorum numerus, **39.** Καὶ λοιπὸν πάντα ἐποίησεν ὁ πατὴρ ἡμῶν Παχώμιος ὅσα συνέταξεν αὐτῷ ἐν τῇ δέλτῳ ὁ ἄγγελος Κυρίου. Καὶ συνεστήσατο μοναστήρια, ἐν οἷς τὸ πρῶτον καὶ μέγιστον μοναστήριον, ἔνθα αὐτὸς ὁ μέγας πατὴρ ἡμῶν ᾤκισται, <τὸ [1]> καὶ τὰ ἄλλα ἀποκυῆσαν [2] μοναστήρια, ἀνδρῶν χιλίων τριακοσίων· τὸ δὲ ἐφεξῆς, ἀνδρῶν διακοσίων. Ἐκ τούτων καὶ ἄλλα πλεῖστα ἐγένοντο μοναστήρια κρατήσαντα τὸν αὐτὸν τύπον, συντείνοντα εἰς ἑπτακισχιλίους ἄνδρας.

officia, **40.** Ἐν τούτῳ τῷ μοναστηρίῳ, ἐν ᾧ ὁ Παχώμιος ᾤκει, γεγόνασι διὰ τὸ μέτριον [1] τῆς χώρας καὶ τὴν τῶν ἀδελφῶν πληθὺν τέχναι διάφοροι· ῥάπται ιε', χαλκεῖς ζ', τέκτονες δ', γναφεῖς ιε', σκυτοτόμοι ιε', βυρσεῖς κ', κηπουροὶ κ', ζεύγη βοῶν καὶ τούτων οἱ ἀροτῆρες ν', καλλιγράφοι δέκα, καμηλάριοι ιβ', πλέκοντες τὰς σπυρίδας τὰς μεγάλας κ', ἄλλοι πλέκοντες τὰ λεγόμενα μαλάκια τὰ σπυριδάλια τὰ μικρὰ ὡσαύτως κ'. Καὶ φύλακας δὲ ἔτρεφον δέκα. Οἱ οὖν ἐφημερευταὶ τοῦ μαγειρείου, καθὼς προλέλεκται, ὄρθριοι ἀνιστάμενοι, οἱ μὲν αὐτῶν περὶ τὸ μαγειρεῖον, οἱ δὲ περὶ τὰς τραπέζας ἐγίνοντο· ἱστῶσιν οὖν αὐτὰς ἀπαρτίζοντες, ἀποτιθέμενοι λαμψάνας συνθετάς, ἐλαίας διαφόρους, τυροὺς καὶ ἄρτον
ordo vescendi. καὶ λεπτολάχανα. Οἱ οὖν ἐν τοῖς τοιούτοις ἔργοις συλλεγόμενοι εἰσίασιν, ἕκαστος καθὼς προῄρητο, οἰκείᾳ προθέσει εἰς τὸ μεταλαβεῖν, οἱ μὲν ἕκτην ὥραν, οἱ δὲ ἑβδόμην, ἄλλοι ὀγδόην, ἕτεροι δὲ ἐννάτην, ἄλλοι δεκάτην, ἄλλοι δὲ βαθεῖαν ἑσπέραν· καὶ οἱ μὲν ὑπὲρ μίαν, ἄλλοι διὰ δύο, ἕκαστος καθὼς ἐβούλετο, κατὰ τὴν νομοθεσίαν τοῦ ἀγγέλου. Ἔτρεφον δὲ καὶ χοίρους διὰ τὰ ἀποσι-
Quare

*Cap. **33-36** contuli cum Φ 24-27, p. 14-17. — Cap. **37** (Βλέπων δὲ...) et **38** (Ὁμοίως καὶ ἄλλους πιστοὺς...) contuli cum Φ 28, p. 17-19.
39. — [1] *om.* P. — [2] ἀποκυήσαντα P.
40. — [1] μέτρον P ; *correxi ex* Ψ.

porcos nutriant.

νιάσματα, διὰ τὰ ἀποκαθαρίσματα τῶν λαχάνων, διὰ τὰ ῥιπτόμενα ἀφ' ἑκάστου περισσεύματος· τὸ κρέας [2] μὲν πιπράσκουσι, τὰ δὲ ἄκρη [3] τοῖς νοσοῦσι καὶ τοῖς γέρουσιν ἀνήλισκον, ὅτι ἦν ἡ χώρα μετρία καὶ πολυάνθρωπος. Καὶ ταῦτα μὲν περὶ τοῦ πρώτου καὶ μεγίστου μοναστηρίου. *

[Φ 32.]

Pachomii soror

42. Ἀκούσασα δὲ ἡ ἀδελφὴ τοῦ μεγάλου πατρὸς ἡμῶν Παχωμίου τὰ περὶ αὐτὸν ἦλθεν ἰδεῖν αὐτόν. Καὶ πέμπει τὸν προσέχοντα τὴν θύραν τῆς μονῆς ἀδελφὸν εἰπεῖν αὐτῇ· « Ἰδοὺ ἤκουσας περὶ ἐμοῦ ὅτι ζῶ· μὴ λυπηθῇς δὲ ὅτι οὐκ εἶδές με. Ἀλλ' εἰ θέλεις καὶ σὺ τοῦ ἁγίου βίου τούτου μετασχεῖν, ὅπως εὕρωμεν ἔλεος παρὰ τῷ Θεῷ, σκέπτου· καὶ οἱ ἀδελφοὶ ποιοῦσι μονὴν εἰς τὸ ἡσυχάσαι σε ἐκεῖ· καὶ ἴσως καλέσει καὶ ἄλλας σὺν σοὶ εἶναι ὁ Κύριος. Οὐδεμίαν γὰρ ἐλπίδα ἔχει ὁ ἄνθρωπος ἐν τῷ κόσμῳ, εἰ μὴ ποιήσει τὸ ἀγαθὸν πρὶν ἐξέλθῃ τοῦ σώματος εἰς τὸν τόπον οὗ μέλλει κρίνεσθαι καὶ

Rom. 2, 6.

ἀπολαβεῖν κατὰ τὰ ἔργα αὐτοῦ. » Καὶ ταῦτα ἀκούσασα ἐδάκρυσε· καὶ κατανυσσομένη ἔκλινε τὴν καρδίαν αὐτῆς εἰς τὸ σῴζεσθαι.

virginum monasterium condit.

Καὶ οὕτως ἐγένετο μοναστήριον ἐν τῇ κώμῃ μακρὰν ὀλίγον τῶν ἀδελφῶν. Καὶ ἦν ἀσκουμένη προθύμως σὺν ἄλλαις· καὶ ὅσον ὅσον πληθυνομένων, μήτηρ αὐτῶν ἐγένετο. Καὶ Πέτρον τινὰ εὐλαβέστατον καὶ τὴν ἡλικίαν πρεσβύτην ἔταξεν ἐπισκέπτεσθαι

Col. 4, 6.

αὐτάς. Ἦν γὰρ ἐκείνου ὁ λόγος ἅλατι ἠρτυμένος καὶ σεμνοὶ λίαν σὺν τῇ διανοίᾳ οἱ ὀφθαλμοί. Πολλάκις τε ὡμίλει αὐταῖς στήκων ἀπὸ τῶν θείων γραφῶν τὰ τῆς σωτηρίας λόγια. Τούς τε κανόνας ἔγραψε τῶν ἀδελφῶν καὶ ἔπεμψεν αὐταῖς διὰ τοῦ γέροντος Πέτρου, ὅπως κατὰ κυβέρνησιν αὐτῶν στοιχήσωσι.

Quo pacto fratribus consanguineas virgines visere liceat.

43. Καὶ εἴ ποτέ τις τῶν ἀδελφῶν μήπω εἰς τελειότητα φθάσας ἤθελεν ἐπισκέψασθαι ἰδίαν τινὰ ἑαυτοῦ, ἔπεμπεν αὐτὸν διὰ τοῦ οἰκιακοῦ αὐτοῦ πρὸς τὸν γέροντα Πέτρον· καὶ οὕτως μετεδίδοτο φάσις τῇ μητρὶ αὐτῶν· καὶ παρούσης ἄλλης αἰδεσίμης ἐπεσκέπτετο τὴν διαφέρουσαν αὐτῷ ἐκεῖνος μετὰ πολλῆς τῆς ἀκριβείας ἐπιλανθανόμενος ἅμα τῆς σαρκικῆς συγγενείας καὶ μηδὲν φέρων αὐτῇ (οὐ γὰρ εἶχε) καὶ μὴ λαμβάνων ὁμοίως· ἦρκεῖτο γὰρ αὐτοῖς

Cf. Heb. 10, 1.

ἀμφοτέροις ἡ ἐλπὶς καὶ ἡ μνήμη τῶν μελλόντων αἰωνίων ἀγαθῶν. Καὶ ὅτε χρεία ἐγένετο οἰκοδομῆσαι ἐκεῖ ἢ ἐργάσασθαι ὧν χρῄζουσιν, ἐπιστήμονα καὶ εὐλαβῆ μετὰ καὶ ἄλλων ὁμοίων ἐκλεξάμενος ἔπεμπεν ἐκεῖσε ἐπὶ τοῦτο· καὶ τῇ ὥρᾳ τοῦ ἐσθίειν ἤρχοντο εἰς τὴν

[2] κρέα P. — [3] an ἄκρα ?

*Cap. 41 contuli cum Φ 54, p. 36-37.

μονήν. Ἐὰν δέ τις τῶν ἐκεῖ ἐτελεύτα, αἱ μὲν μητέρες αὐτῶν ἐποίουν σινδόνα μίαν βληθῆναι εἰς ὅλον τὸ σῶμα· ἔπειτα τῶν ταχθέντων ἀδελφῶν στηκόντων σεμνῶς ἐν συνάξει ἐκεῖσε ὑπὸ στοάν, καὶ αὐτῶν [1] μακρὰν εἰς τὸ ἕτερον μέρος, ἕως ψαλλόντων ἐνταφιασθῇ, καὶ οὕτως εἰς τὸ ὄρος ὑπαγόντων σεμνοτέρως, ψάλλουσαι καὶ αὐταὶ [2] ὄπισθεν τῆς ἁμάξης, τοῦ πατρὸς αὐτῶν μὴ σαλευομένου ἀπὸ τῆς εὐχῆς, ἕως εἰσέλθωσιν εἰς τὴν μονὴν ἐν φόβῳ Θεοῦ· καὶ ἐν τοῖς ἰδίοις μνήμασιν ἐν τῷ μοναστηρίῳ θάπτοντες [3] αὐτήν. Ἠὐξήθη δὲ ὁ ἀριθμὸς τῶν γυναικῶν ἕως τετρακοσίων, τὸν αὐτὸν τύπον ἔχουσαι τοῦ μεγάλου μοναστηρίου ἐκτὸς τῆς μηλωτῆς.

Virginum sepultura.

Virgines duae,

44. Συνέβη δέ ποτε ἐν τούτῳ τῷ γυναικείῳ μοναστηρίῳ πρᾶγμα τοιοῦτον. Ῥάπτης κοσμικὸς περάσας κατὰ ἄγνοιαν ἐζήτει ἔργον. Ἐξελθοῦσα δὲ μία νεωτέρα τῶν παρθένων λόγῳ ἑαυτῆς — ἔρημος γάρ ἐστιν ὁ τόπος — ἐνέτυχεν αὐτῷ ἀκουσίως, καὶ δέδωκεν αὐτῷ ἀπόκρισιν ὅτι· « Ἡμεῖς ἔχομεν ῥάπτας ἡμετέρους. » Ἄλλη δὲ ὁρῶσα τὴν συντυχίαν ταύτην, χρόνου παρελθόντος γενομένης μάχης μεταξὺ αὐτῶν, ἐξ ἐπιβουλῆς τοῦ διαβόλου ἀπὸ πολλῆς πονηρίας καὶ ζέσεως θυμοῦ ἐσυκοφάντησεν αὐτὴν ἐπὶ τῆς ἀδελφότητος διὰ τὴν συντυχίαν· ᾗ [1] συνέδραμον ὀλίγαι οὐ πολλῇ κακίᾳ φερόμεναι. Λυπηθεῖσα δὲ ἐκείνη ὡς τοιαύτην ὑποστᾶσα συκοφαντίαν τὴν μηδὲ εἰς ἔννοιαν αὐτῆς ἐλθοῦσαν καὶ μὴ ἐνέγκασα τὸ πρᾶγμα ἔβαλεν ἑαυτὴν εἰς τὸν ποταμὸν λάθρα καὶ ἐτελεύτησεν οὕτως. Εἰς συναίσθησιν δὲ ἐλθοῦσα ἡ συκοφαντήσασα καὶ ἑωρακυῖα ὅτι ἀπὸ πονηρίας ἐσυκοφάντησε καὶ τὸ ἄλγος τοῦτο εἰργάσατο τῇ ἀδελφότητι, λαβοῦσα ἑαυτὴν ἀπήγξατο καὶ αὐτὴ μὴ ἐνεγκοῦσα τὸ πρᾶγμα. Ἀνήγγειλαν δὲ ταῦτα τῷ μεγάλῳ αἱ λοιπαὶ παρθένοι· καὶ ἐκέλευσε τούτων μηδεμιᾶς προσφορὰν ἐπιτελεσθῆναι· τὰς δὲ λοιπὰς ὡς συνειδυίας καὶ μὴ ἐρευνησάσας τὴν συκοφαντίαν καὶ τὴν συκοφαντήσασαν [2], ἀλλὰ μᾶλλον πιστευσάσας [3] τὰ εἰρημένα, ἐπταετίαν ὥρισεν ἀκοινωνήτους ποιήσας.

altera falso accusata,

calumniatrix altera,

mortem sibi consciscunt.

45. Ὀφείλομεν δέ — καὶ γὰρ ὠφέλιμόν ἐστι πᾶσι — διηγήσασθαι καὶ περὶ τοῦ προειρημένου αὐτοῦ γνησίου τέκνου Θεοδώρου, τοῦ ἀπὸ πρώτης αὐτοῦ ἡλικίας χριστιανοῦ ὄντος καὶ ἐκ γονέων ὁμοίως. Ἔοικε δὲ διαφορὰν ἔχειν καὶ μείζονος προκοπῆς Θεόδωρος· οὐ γὰρ ἄσημος ἐκ παιδόθεν τοῦ ποιμνίου Χριστοῦ, ἀλλὰ καὶ ἐπίση-

Φ 33.

43. — [1] <στηκουσῶν> ex Γ supplendum videtur. — [2] <ἐφείποντο> supplet Pasquali. — [3] i. e. ἔθαπτον.

44. — [1] ἣν P. — [2] an legendum μὴ εἰρηνευσάσας τὴν συκοφάντριαν καὶ τὴν συκοφαντηθεῖσαν ? — [3] πιστεῦσαι P.

μος. Οὗτος, γενομένης ἡμέρας ἑορτῆς τῶν χριστιανῶν ἐν δεκάτῃ τοῦ δεκεμβρίου [1] μηνός, ἰδὼν τὴν οἰκίαν αὐτοῦ μεγάλην οὖσαν κατὰ τὸν κόσμον εὐθηνοῦσαν ἐπιγείοις ἀγαθοῖς, κατενύγη ἡ καρδία αὐτοῦ θείᾳ αἰσθήσει. Καὶ διελογίζετο ἐν ἑαυτῷ ὅτι· « Ἐὰν ἀπολαύσῃς τούτων τῶν βρωμάτων, οὐχ εὑρήσεις τὰ αἰώνια ἀγαθὰ καὶ τὴν ἀληθινὴν ζωήν. » Καὶ εὐθὺς ἀναστενάζων εἰσῆλθεν εἰς ἥσυχον τόπον τῆς οἰκίας αὐτοῦ· καὶ ἐπὶ πρόσωπον πεσὼν ἤρξατο δακρύειν καὶ λέγειν· « Ὁ Θεός, οὐ θέλω ταῦτα τὰ τοῦ κόσμου τούτου· σὲ μόνον θέλω καὶ τὸ ἔλεός σου. » Ἡ δὲ μήτηρ αὐτοῦ πολλὰ ζητήσασα εὗρεν αὐτόν· καὶ βλέπουσα τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς ἀπὸ δακρύων, λέγει αὐτῷ· « Τίς ἐλύπησέ σε, τέκνον, καὶ ποῦ ἦς; Ἐγὼ γὰρ καὶ οἱ ἀδελφοί σου ἐξεδεχόμεθά σε εἰς τὸ φαγεῖν. » Αὐτὸς δὲ ἀποκριθεὶς λέγει αὐτῇ· « Ἀπέλθατε, φάγετε ὑμεῖς· ἐγὼ γὰρ τέως ἐσθίειν οὐ βούλομαι. » Καὶ οὕτως ἐν τῇ διατριβῇ τυγχάνων ἐνήστευεν ἕως ὀψέ, πολλάκις δὲ καὶ τὰς δύο· καὶ ἐγκρατευόμενος τῶν πολυτελῶν βρωμάτων καὶ τροφῶν ὡς μοναχὸς διῆγεν ἐπὶ δύο ἔτη. Καὶ μετὰ ταῦτα συνεχωρήθη ἐξελθεῖν καὶ εἰς μονὴν ἀναχωρεῖν σὺν τοῖς ἐκεῖσε μοναχοῖς, κἀκείνοις εὐλαβέσιν οὖσι, περὶ τὸν Λατοπολίτην τόπον. Ἦν δὲ τότε ὡς ἐτῶν δεκατεσσάρων.

Φ 34. **46.** Καὶ καθημένων τῶν μοναχῶν κατ' ὀψὲ λαλεῖν τὸν λόγον τοῦ Θεοῦ, ἤκουσέ τινος λέγοντος περὶ τῆς σκηνῆς τὰ ἅγια καὶ τὰ

Cf. Hebr. 9. ἅγια τῶν ἁγίων καὶ τὴν ἐπίλυσιν ἐπὶ τῶν δύο λαῶν, ὅτι· « Ὁ πρῶτος λαὸς ἡ πρώτη σκηνή ἐστιν· ἡ γὰρ λατρεία διὰ θυσιῶν ζώων ἦν καὶ ἄρτων φανερῶν καὶ τῆς λυχνίας μετὰ λύχνων, καὶ τὰ ἄλλα. Τὰ δὲ ἅγια τῶν ἁγίων, ἡ κλῆσις τῶν ἐθνῶν ἡ κατὰ τὸ εὐαγγέλιόν

Rom. 13,10. ἐστι, τὸ πλήρωμα τοῦ νόμου· καὶ πάντα τὰ ἐν αὐτῇ, ἐσωτέρα σκηνὴ καὶ ἐνδοξοτέρα· ἀντὶ γὰρ θυσίας ζώων, θυμιατήριον θυμιαμάτων, προσευχὴ ἐκτενὴς ἐκ καρδίας εὐθείας ἀναπεμπομένη, καὶ ἀντὶ τραπέζης καὶ κιβωτοῦ, ἡ καθαρὰ διάνοια ἔχουσα τοὺς πνευματικοὺς ἄρτους τῶν μυστηρίων καὶ τὸ βιβλίον τοῦ νόμου τὰς ἐντολὰς τοῦ Χριστοῦ, ἃς οἱ πιστοὶ διηνεκῶς ἔχουσιν ἐν καρδίᾳ, ὡς γέ-

Hebr. 10,16. γραπται· « Καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν γράψω αὐτούς. » Καὶ ἀντὶ φωτὸς τῆς λυχνίας, ἡ τοῦ ἁγίου πνεύματος ἔλλαμψις, καὶ τὸ θυ-

Ibid. 12, 29. σιαστήριον [1] ὅπου ὀπτάνεται ὁ Θεὸς πῦρ καταναλίσκον, τοῦτ' ἔστιν ὁ Θεὸς Λόγος τῇ ἐνανθρωπήσει· ἱλασμὸς γὰρ ἐγένετο ἡμῖν ὀφθεὶς τῇ σαρκὶ καὶ τῷ πυρὶ τῆς θεότητος τὴν ἁμαρτίαν ἀναλώσας. »

45. — [1] δεκεβρίου P ; *cf. Σ 30 :* ἐνδεκάτη τοῦ τυβὶ μηνός (*6 ian.*).
46. — [1] *ita* P ; *recte* ἱλαστήριον *Φ*.

Καὶ ἐπὶ τῇ λύσει τούτων λέγει ὁ ἀδελφός· « Τὸ ῥητὸν τοῦτο ἤκουσα καὶ τὴν λύσιν τούτων παρὰ ἁγίου ἀνθρώπου τοῦ πατρὸς ἡμῶν Παχωμίου, τοῦ καὶ συνάξαντος ἐν Ταβεννήσει πολλοὺς ἀδελφοὺς προκόπτοντας ἐν Κυρίῳ. Καὶ πιστεύω ὅτι συγχωρήσει ὁ Θεός τινα τῶν ἁμαρτιῶν μου, ὅτι ἐμνήσθην δικαίου ἀνδρὸς κατὰ τὴν ὥραν ταύτην. » Καὶ ἀκούσας ὁ παῖς ἔλαβεν ἐν καρδίᾳ πόθον τοῦ ἀνδρός· καὶ ἦν εὐχόμενος καὶ λέγων· « Κύριε, εἰ ἔστιν ἅγιος ἐπὶ τῆς γῆς, καταξίωσόν με ἰδεῖν αὐτὸν καὶ μαθητεῦσαι αὐτῷ, ὅπως δι' αὐτοῦ σώσῃς τὴν ψυχήν μου. » Καὶ οὕτως τὸ πλεῖστον τῆς νυκτὸς ἐποίησεν αἰτούμενος τὰ τοιαῦτα. *

Φ 31. **56.** Ἐμίσει δὲ ὁ πατὴρ ἡμῶν τὸν λεγόμενον Ὠριγένην [1], οὐ μόνον ὅτι ἐξεβλήθη τῆς ἐκκλησίας, πρὸ Ἀρείου καὶ Μελετίου τῶν κατὰ τῆς ἐκκλησίας Χριστοῦ βλασφημίᾳ καὶ σχήματι ὁμοφρονούντων, ὑπὸ Ἡρακλᾶ τοῦ Ἀλεξανδρείας ἐπισκόπου, ἀλλ' ὅτι καὶ ἐν τοῖς συντάγμασιν αὐτοῦ γεγραμμένα δεινὰ ἤκουσε καὶ ἐπέγνω αὐτὸν βλάσφημον καὶ τολμηρότερον κατὰ τῆς ἰδίας ζωῆς καὶ ὅτι συνέμιξε τὰ δοκοῦντα πιθανὰ τοῖς ὀρθοῖς ῥήμασι τῆς θείας γραφῆς εἰς ἀπώλειαν τῶν ἀγνοούντων, ὃν τρόπον τις φάρμακον ἀναμιγνύει μέλιτι. Ὅθεν τοῖς ἀδελφοῖς ἐνετείλατο σφόδρα οὐ μόνον ὅπως μὴ ἀναγνῶναι τολμῶσιν, ἀλλὰ μήτε ἀκοῦσαι τῶν λεγομένων ὑπ' αὐτοῦ. Εὑρὼν οὖν ποτε βιβλίον αὐτοῦ ἔβαλεν εἰς τὸ ὕδωρ καὶ ἀπώλεσεν αὐτό, λέγων· « Εἰ μὴ ὅτι τὸ ὄνομα Κυρίου γεγραμμένον ἦν ἐν αὐτῷ, ἐπεὶ ἔκαιον τὰς βλασφημίας αὐτοῦ καὶ φλυαρίας. »

57. Ὁ δὲ ἅγιος Ἀθανάσιος ἔβλεπε τὸν σωτῆρα ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καθήμενον ἐπὶ θρόνου, ὡς καὶ ὁ ἅγιος Πέτρος ὁ ἐπίσκοπος καὶ μάρτυς τῆς αὐτῆς ἐκκλησίας, καθὼς μεμαθήκαμεν ἀπὸ τῶν διαδόχων αὐτοῦ ὀρθοδόξων ἐπισκόπων. Ἡμεῖς δὲ πάλιν τοῦ προκειμένου ἐχώμεθα. Παντοίως ἠσφαλίζετο ὁ πατὴρ ἡμῶν Παχώμιος τηρῶν ἑαυτοῦ τὴν καρδίαν ἀπὸ παντὸς πονηροῦ λογισμοῦ. Καὶ ἐάν τινος *Detractores* ἤκουσέ ποτε καταλαλοῦντος ἑνὸς τῶν πατέρων, οὐκ ἠνείχετο *aversatur* ἀκοῦσαι· ἀπέφευγε γὰρ τὰ τοιαῦτα ὡς ἀπὸ ὄφεως· καὶ ἐπιτιμῶν Eccli. 21, 2. ἐπαίδευε τοὺς ἐπιχειροῦντας ταῦτα λέγειν, καὶ ἔλεγεν αὐτοῖς· *Pachomius.* « Οὐδείς, φησίν, ἀγαθὸς προφέρει πονηρόν, μάλιστα κατὰ πατέρων ἁγίων, ἐν οἱῳδήποτε τρόπῳ, » ὑπομιμνήσκων αὐτοῖς Μαρίας Num. 12.

* *Cap.* **47-48** *contuli cum Φ 35-37, p. 21-23.— Cap.* **49** *contuli cum Φ 50, p. 32-33. — Cap.* **50-53** *contuli cum Φ 65-68, p. 43-45.— Cap.* **54-55** *contuli cum Φ 29-30, p. 19-20.*

56. — [1] ὀριγένην P.

τῆς ἀδελφῆς Μωϋσέος. Τοιοῦτος λίαν καὶ εὐθὺς καὶ ὠφέλιμος τοῖς συντυγχάνουσιν αὐτῷ ἦν, ὡς μὴ ἐθέλειν αὐτοῦ χωρίζεσθαι τοὺς θεατάς. *

Φ 46. **66.** Οὗτος οὖν ὁ ἅγιος πατὴρ ἡμῶν καθήμενος ἐν μέσῳ τῶν ἀδελφῶν ἐπληροφόρει αὐτοὺς περὶ παντὸς λογισμοῦ ποιῶν τὴν ἔρευναν, πρῶτον δηλονότι τὰ ἑαυτοῦ αὐτοῖς ἐξαγγέλλων καὶ πῶς δεῖ εὔχεσθαι περὶ ἑκάστου αἰτήματος, διδάσκων ἀφθόνως πάντας τὴν πίστιν καὶ τὴν ἐλπίδα ἔχειν πρὸς τὸν Κύριον καὶ τὴν ἀγάπην εἰς
Rom. 12,9. αὐτόν τε καὶ εἰς τὸν πλησίον ἀνυπόκριτον καὶ ἀληθινήν.

Φ 47. **67.** Σὺν τῶν σωματικῶν δὲ ἰαμάτων [1] καὶ πνευματικῶς ἰᾶτο τοὺς ἀκούοντας κοσμικούς. « Ἀνήρ, φησί, μὴ ἐπιγινώσκων τὸν Κύριον τυφλός ἐστι τῇ διανοίᾳ, ἀνθ' ὧν οὐ βλέπει τὸ φῶς τοῦ Θεοῦ διὰ τὴν εἰδωλολατρείαν · εἰ δὲ μετὰ ταῦτα ὁδηγηθῇ ἐπιγνῶναι τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ἀναβλέψῃ, μακάριός ἐστι πορευ-
Ps. 18, 8. όμενος κατὰ τὰς ἐντολὰς αὐτοῦ. Ἡ γὰρ ἐντολὴ Κυρίου, φησί, τηλαυγὴς φωτίζουσα ὀφθαλμούς. » Καὶ πάντας μὲν ὡδήγει καὶ ἐφω-
II Petr.2,2. ταγώγει ὁ μέγας πρὸς τὴν ὁδὸν τῆς ἀληθείας, τοὺς μὲν ἐκκόπτων ἀπὸ τοῦ ψεύδους καὶ συμβιβάζων μὴ λαλεῖν ἄδικα καὶ ἁπλῶς ψεύδεσθαι, τοὺς δὲ εἴργων βεβλαμμένας ἔχοντας τὰς χεῖρας ἀπὸ τῆς ἀργείας τῶν ἐντολῶν καὶ πρὸς τὸ ἀγαθὸν ἐργάζεσθαι, τοὺς δὲ ἐν πορνείᾳ καὶ ὑπερηφανίᾳ τυγχάνοντας μετανοεῖν καὶ στοιχεῖν
Act. 26, 20. τῷ φόβῳ τοῦ Θεοῦ καὶ ποιεῖν ἔργα ἄξια τῆς μετανοίας. **

Φ 51. **70.** Ποτὲ δὲ τῶν ἀδελφῶν ἐν τῇ νήσῳ ὄντων [1] θερίσαι θρύα, μετ' αὐτῶν ἦν [2] Θεόδωρος [3] ἑτοιμάζων τὰς τραπέζας. Μιᾶς δὲ ἑσπέρας [4] ἦλθεν ὁ πατὴρ ἡμῶν Παχώμιος ἀπὸ τοῦ ἔργου νοσῶν. Καὶ κατακειμένῳ [5] ῥιγοῦντι [6] ἐπέβαλεν αὐτῷ στρῶμα τρίχινον [7] Θεόδωρος [3]. Καὶ ἰδὼν [8] οὐκ ἠθέλησε, λέγων · « Ἆρον αὐτὸ καὶ βάλε ψιαθίον [9]. » Καὶ ἔδωκεν αὐτῷ [10] δράκα φοινίκων ἀντὶ χόρτου [11]. Καὶ ἀποστρέψας ὁ μέγας τὴν δράκα τῶν φοινίκων λέγει μετὰ

*Cap. **58-65** contuli cum Φ 38-45, p. 23-29.

67. — [1] sic P ; cf. A : σὺν τῶν σωμάτων δὲ ἰάμασι.

Cap. **68-69 contuli cum Φ 48-49, p. 30-32. — Inde a medio cap. 68 hanc Vitam praebent, praeter codicem P, codices NDT.

70. — [1] ἀπελθόντων ND. — [2] (μετ' αὐ. ἦν) ἦν μετ' αὐ. D, ἦν καὶ N. — [3] ὁ θ. ND. — [4] (μ. δὲ ἑ.) ἐν δὲ μιᾷ ἑσπέρα N. — [5] αὐτῷ καὶ add. N. — [6] ῥιγοῦντι ND. — [7] (σ. τ.) τ. σ. N. — [8] ἐκεῖνος add. N. — [9] ψιάθιον D passim ; καὶ ἐπέδωκεν αὐτῷ ψιάθιον add. D, καὶ ἔβαλε ψιαθίον add. N. — [10] ἔδ. αὐ. om. PD. — [11] (ἀ. χ.) om. N, ἀρτὶ χ. D.

δακρύων · « Ἐπειδὴ ἡμεῖς ἔχομεν τῶν ἀδελφῶν τὸν κάματον καὶ τὰς χρείας οἰκονομῆσαι [12], διὰ τοῦτο ἐξουσιάζομεν αὐτοῖς [13] ἵνα ἀναλίσκωμεν αὐτά [14] ; Καὶ ποῦ ὁ φόβος τοῦ Θεοῦ ; [7] Ἆρα διῆλθες ὅλας τὰς καλύβας [15] τῶν ἀδελφῶν ταύτην τὴν ὥραν [16], καὶ ἠσφαλίσω μὴ εἶναί [17] τινας ἀσθενοῦντας ; καὶ γὰρ καὶ ἕως τούτων ὁ Θεὸς κριτής ἐστιν [18]. » *

Φ 57. **75.** « Πεισθέντες οὖν, ἀδελφοί, περὶ τῆς μελλούσης τῶν σωμάτων ἀναστάσεως, ὀφείλομεν καὶ πνευματικὴν ἀνάστασιν εἰδέναι, εἰπόντος αὐτοῦ τοῦ Κυρίου · « Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, Ioh. 11,25.
ζήσεται ». Καὶ γὰρ ἀληθὴς ὁ λόγος τοῦ Κυρίου ὅτι · « Πᾶς ἁμαρ- Cf. Ez. τωλὸς πιστεύων καὶ ποιῶν τὰς ἐντολάς, ζήσεται ἡ ψυχὴ αὐτοῦ. » 18, 21.
Ψυχῆς γὰρ θάνατος ἡ ἁμαρτία καὶ ζωὴ ἡ δικαιοπραγία. Ἐπισκεψώμεθα δὲ [1] καὶ τοῦτο, ἀδελφοί, πῶς [7] ὁ Κύριος ποτὲ μὲν διὰ πράξεως ἐντελλόμενος ἡμῖν ὑπεδείκνυεν [2] (λοιδορούμενος γάρ [3] · « Δαιμόνιον Ioh. 7, 20.
ἔχεις [4] » οὐκ ἀντελοιδόρει), ποτὲ δὲ διελέγχων τοὺς γραμματεῖς καὶ φαρισαίους [5] λόγῳ ἡμᾶς παιδεύων [6], ὡς φησι πολλάκις · « Οὐαὶ Matth. 23,
ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι · » καὶ τυφλοὺς ὁδηγοὺς καὶ 16, 27.
τάφους κεκονιαμένους τούτους ἐκάλει καὶ τὰ ὅμοια τούτων [7]. Ὥσπερ γάρ τις βόθρον βλέπων [8] λέγει [9] τυφλοῖς [10], μή ποτε περιπατοῦντες πέσωσιν [11] εἰς αὐτὸν εἰς θάνατον [12] βαθὺν [13] ὄντα [14], οὕτως καὶ ὁ Κύριος ἀπεκάλυψε [15] τὴν κακὴν πρᾶξιν αὐτῶν πρὸς ἀσφάλειαν τῶν πιστῶν, ἵνα μὴ ὁμοιωθέντες αὐτοῖς συναποθάνωμεν.

[12] εἰς τὸ οἰκονομεῖν D. — [13] αὐτῶν D. — [14] εἰς ἡμετέρας χρείας add. D. — [15] (ὅ. τ. κ.) τ. κ. ὅ. D. — [16] ταύτῃ τῇ ὥρᾳ ND. — [17] μὴ εἶ. om. N. — [18] ἕως τούτ. κριτ. ἐστιν ὁ θ. ND.

*Cap. **71-72** contuli cum Φ 52-53, p. 34-36. — Cap. **73-74** contuli cum Φ 55-56, p. 37-39.

75. — [1] om. ND. — [2] ὑποδεικνύει N. — [3] ὅτι add. N. — [4] ἔχει ἔλεγον αὐτῷ N. — [5] (γρ. κ. φ.) φ. κ. γρ. N. — [6] ἐπαίδευεν Pasquali ; (ἡμ. π.) π. ἡμ. N. — [7] (πῶς - τούτων) ὅτι ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς ποτὲ μὲν διὰ πράξεως ποτὲ δὲ διὰ λόγου ἦν διδάσκων καὶ παιδεύων ἡμᾶς · καὶ διὰ πράξεως μὲν ἡνίκα λοιδορούμενος « δαιμόνιον ἔχεις » οὐκ ἀντελοιδόρει · ἐδίδασκε γὰρ ἡμᾶς διὰ τοῦτο μὴ ἀντιλοιδορεῖν μηδὲ ἀνταποδιδόναι τοῖς εἰς ἡμᾶς πλημμελοῦσιν ἀλλὰ διὰ τῆς ὑπομονῆς κτᾶσθαι τὴν ἀρετήν · διὰ λόγου δὲ ὅτε τοὺς γραμμ. καὶ φαρισ. διελέγχων καὶ ταλανίζων ὁδηγοὺς τυφλοὺς καὶ τάφους κεκον. καὶ τὰ ὅμοια τούτοις ἀπεκάλει D. — [8] βαθύτατον add. D ; ὥσπερ γὰρ βόθρ. βλ. τις βαθὺν ὄντα N. — [9] προλέγει N, μηνύει τοῦτον D. — [10] τοῖς τ. N, τοῖς μὴ εἰδόσι D. — [11] ἐμπέσωσιν D. — [12] (εἰς θ.) καὶ ἀποθάνωσιν ND. — [13] βαθὺ P. — [14] β. ὄ. om. ND. — [15] ἀπεκάλυπτε D.

Περὶ δὲ τοῦ λοιδορούμενον αὐτὸν μὴ ἀντιλοιδορεῖν, ἐδίδασκεν [16] *ἡμᾶς μὴ ἀνταποδιδόναι τοῖς εἰς ἡμᾶς πλημμελοῦσιν, ἀλλὰ διὰ τῆς ὑπομονῆς κτᾶσθαι τὴν ἀρετήν* [17]. *Ὅτε δὲ εἶπεν Πέτρῳ · « Σα-*
Matth.16,23. *τανᾶ* [18] *», οὐκ αὐτὸν ἔλεγεν, ἀλλὰ τὸν Σατανᾶν, τὸν ὑποβάλλοντα τοῖς ἀνθρώποις τὰ τοῦ κόσμου φρονεῖν καὶ λέγειν. » **

Φ 59. **77.** *Οὐκ εἶχε* [1] *δὲ κἂν εἷς* [2] *ἐξ αὐτῶν ποιῆσαί τι ἢ εἰς κελλίον εἰσελθεῖν πρὸς ἀδελφὸν χωρὶς βουλῆς καὶ προτροπῆς τῶν προεστώτων. Ἀλλὰ καὶ τὰ ἱμάτια αὐτῶν τὰ περισσὰ ὁ οἰκιακὸς ἢ ὁ δεύτερος εἶχεν αὐτὰ παριδίως εἰς κελλίον πεφυλαγμένα, ἕως δὰν* [3] *χρεία τούτων* [4] *γένηται* [5] *ἀλλάσσειν* [6] *πρὸς* [7] *τὸ πλῦναι τὰ ἀμφιασμένα* [8] *αὐτοῖς* [9]. *Ὡσαύτως καὶ τὰ βιβλία, ἐν θυριδίῳ κείμενα, ὑπὸ τὴν φροντίδα ἦν* [10] *τῶν προειρημένων δύο, τοῦ τε πρώτου* [11] *καὶ τοῦ δευτέρου. Ἀργύριον* [12] *ἢ χρυσίον οὐδὲ ἤδεσαν* [13], *ἐκτὸς τῶν τὴν φροντίδα ποιούντων* [14]. *Πολλοὶ δὲ* [15] *ἐτελεύτησαν μὴ εἰδότες κἂν τὴν εἰκόνα τούτων ἢ τὴν ἐπιγραφήν. Ἀλλὰ καὶ αὐτοὶ οἱ κρατοῦντες αὐτὰ καὶ οἰκονομοῦντες* [16] *πρὸς μίαν ἡμέραν τὰ εἰσερχόμενα εἰς τὰς χεῖρας αὐτῶν κατεῖχον, καὶ παραυτὰ ἐδίδουν τῷ μεγάλῳ οἰκονόμῳ αὐτὰ* [17] *καὶ ἐξέωναν* [18].

Φ 60. **78.** *Ὁ δὲ πατὴρ ἡμῶν Παχώμιος ἐν σκαφιδίῳ* [1] *ποτὲ πλέων* [2], *μέλλων ἀπελθεῖν* [3] *εἰς τὰς μονὰς καὶ* [4] *ὀψίας γεναμένης* [5] *εἶπεν αὐτοῖς · « Θέλετε* [6] *ἀγρυπνήσω τὴν νύκτα ταύτην μεθ' ὑμῶν ; » Αὐτῶν δὲ εἰπόντων · « Ναί », λέγει αὐτοῖς* [7] *· « Ἐγὼ τρεῖς τύπους ἐδιδάχθην ὑπὸ τοῦ ἁγίου πατρὸς ἡμῶν Παλάμωνος εὔχεσθαι* [8] *· ἢ* [9] *εὐξώμεθα ἕως* [10] *μεσονυκτίου καὶ λοιπὸν* [11] *κοιμηθῶμεν ἕως* [10]

[16] (*περὶ δὲ - ἐδίδ.*) *ὡσαύτως καὶ λοιδορούμενος οὐκ ἀντελοιδό ρει διδάσκων* N. — [17] (*περὶ δὲ - ἀρετὴν*) om. D. — [18] *καὶ ὅτε δὲ ἔλεγε τὸν πέτρον σατανᾶν* D.

Cap.* **76 *contuli cum Φ 58, p. 40.*

77. — [1] *ἐτόλμα* D. — [2] (*κ. εἷς*) *οὐδεὶς* D. — [3] *δ' ἂν* P, *ἂν* ND. — [4] om. D. — [5] *ἐγένετο* N, *γένοιτο* D ; *καὶ add.* P. — [6] *ἀλλάξαι ἕκαστον αὐτῶν* D. — [7] *εἰς* D. — [8] *ἠμφιεσμένα* N, *προημφιεσμένα* D. — [9] *τούτω* D. — [10] *ὑπῆρχον* D. — [11] *φημὶ add.* D. — [12] *δὲ add.* D. — [13] *ἤδεισαν* ND. — [14] *ποιουμένων* D. — [15] *καὶ add.* D. — [16] *ταῦτα add.* N. — [17] *καὶ παραυτίκα ἐδ. αὐτὰ τῷ μεγ. οἰκ.* D. — [18] *sic* P (*i. e. ἐξέωσαν vel potius ἐξεώθουν*) ; *ἐξέβαλλον* D, *ἀμέριμνοι ἦσαν* N.

78. — [1] *ἐν σκ.* om. D. — [2] (*π. πλ.*) *πλ. π. μετὰ καὶ ἄλλων δύο ἀδελφῶν* D. — [3] (*μ. ἀπ.*) *καὶ ἀπερχόμενος* D. — [4] om. D. — [5] *γενομένης* ND. — [6] *ἵνα add.* D. — [7] (*αὐτῶν δὲ - αὐτοῖς*) *οἱ δὲ λέγουσιν αὐτῷ ναί · καὶ ὁ μέγας* D. — [8] *προσευχῆς* D. — [9] *γὰρ add.* D. — [10] *μέχρι* D. — [11] (*καὶ λ.*) *εἶτα* D.

πρωΐ [12], *ἢ κοιμηθῶμεν ἕως* [13] *μεσονυκτίου καὶ ἀγρυπνήσωμεν ἕως πρωΐ* [12], *ἢ ἀπ' ἄρτι κοιμηθῶμεν ὀλίγον καὶ εἶθ' οὕτως ἐγερθῶμεν καὶ εὐξώμεθα* [14] *καὶ πάλιν κοιμηθῶμεν* [15] *ἕως πρωΐ* [12]. *Ἓν ἐκ τῶν τριῶν* [16] *ἐκλέξασθε. » Κἀκεῖνοι δὲ* [17] *ἐκλεξάμενοι τὸ ἔσχατον, ἔμειναν ὁ μέγας ἀγρυπνῶν καὶ νηφαλέως* [18] *ἰσάζων* [19] *τὰς ὥρας τοῦ ὕπνου καὶ τῆς εὐχῆς, πεῖραν ἔχων τοῦ ἀγρυπνεῖν. Ὁ εἷς δὲ αὐτῶν* [20] *ὀλιγωρήσας ἀπῆλθε κοιμηθῆναι · ὁ δὲ ἄλλος ἔμεινεν ἕως πρωΐ. Πρὸς ὄρθρον δὲ ἐκάλεσε τὸν ἕτερον τοῦ ποιῆσαι τὴν σύναξιν ἀμφότεροι* [21] *· καὶ μετὰ ταῦτα ἀπῆλθε κοιμηθῆναι* [22] *ὁ ἀδελφὸς ὁ ἀγρυπνήσας* [23]. *Καὶ ὁ* [24] *μέγας ἤλασε* [25] *κώπας μετὰ τοῦ κοιμηθέντος τὴν νύκτα* [26], *ἕως τῆς μονῆς πολὺ* [27] *ἔχον* [28] *τὸ διάστημα* [29].

Φ 61. **79.** *Ὁ προειρημένος δὲ Κορνήλιος ἦν οἰκονόμος* [1] *ἐκείνης τῆς μονῆς* [2]. *Ἀκούσας δε* [3] *ὅτι ὁ πατὴρ ἡμῶν Παχώμιος ἔρχεται, συνεκάλεσε τοὺς ἀδελφοὺς πάντας καὶ ἐξῆλθεν εἰς ἀπάντησιν* [4] *αὐτοῦ · καὶ ἰδόντες ἠσπάσαντο αὐτὸν καὶ τοὺς ἀδελφούς. Εἷς δὲ τῶν ἀδελφῶν τῶν ὄντων μετὰ τοῦ μεγάλου πατρὸς εἰσπορευόμενος ἠρέμα ἠρωτήθη* [5] *ὑπὸ Κορνηλίου* [6] *· « Τί ποιεῖ* [7] *ὁ πατὴρ* [8] *τὰς ἡμέρας ταύτας ; » Καὶ λέγει αὐτῷ* [9] *ὅτι · « Ὅλως τῇ νυκτὶ ταύτῃ ἐπαίδευσεν ἡμᾶς ἀγρυπνεῖν. » Καὶ εἰπόντος* [10] *τὴν ὑπόθεσιν πᾶσαν* [11], *λέγει ὁ Κορνήλιος · « Ὦ ἀσθένεια* [12] *· ἀφῆκες* [13] *ἄτονον γέροντα νικῆσαί σε ὄντα νεανίσκον ; » Καὶ τούτου λαλοῦντος* [14] *ἤκουσεν ὁ ἀββᾶς Παχώμιος. Καὶ* [15] *προσποιησάμενος ὡς μὴ ἀκούσας* [16], *ὀψὲ* [17] *περὶ τὴν πυρκαϊὰν* [18] *λέγει τῷ Κορνηλίῳ · « Εὐχὴν θέλεις ποιήσωμεν* [19] *; » Τοῦ δὲ εἰπόντος · « Ὡς θέλεις* [20] *», ἀναστάντες* [21]

[12] *πρωΐας* D. — [13] *μέχρι* D. — [14] *ὀλίγον add.* D. — [15] *καὶ οὕτω ποιήσωμεν add.* D. — [16] *τούτων add.* D. — [17] om. ND. — [18] *νηφαλίως* D. — [19] *ἐξισάζων* N. — [20] *τῶν ἀδελφῶν* D. — [21] (*ὁ δὲ ἄλλος - ἀμφότεροι*) *ὁ δὲ ἕτερος ἔμενε καρτερῶν · ὄρθρου δὲ καταλαβόντος ἐκάλεσεν ὁ πατὴρ τὸν κοιμώμενον ἵνα ἀμφότεροι ποιήσωσι τὴν σύναξιν* D. — [22] om. N. — [23] *ἀπῆλθε καὶ ὁ ἀγρυπνῶν ἀδ. κοιμ.* D. — [24] (*καὶ ὁ*) *ὁ δὲ* D. — [25] *ἤλαυνε* ND ; *τὰς add.* D. — [26] (*τὴν ν.*) *ἀδελφοῦ* D. — [27] *πολὺν* PN. — [28] *ἔχοντα* P. — [29] (*πολὺ ἔ. τὸ δ.*) *οὐκ ὀλίγον δ.* D.

79. — [1] (*ἦν οἰκ.*) *οἰκ. ἦν* N. — [2] *τῆς μον. ἐκ.* D ; *εἰς ἣν ὑπῆγον add.* N. — [3] (*ἀ. δὲ*) *ὃς ἀ.* D, *ὃς καὶ ἀ.* N. — [4] *ὑπάντησιν* D. — [5] (*εἷς δὲ - ἠρωτ.*) *ἠρωτ. δὲ εἷς τῶν συνόντων ἀδ. τῷ μεγάλῳ πατρὶ ἠρέμα* D. — [6] *συμπορευόμενος add.* D. — [7] *λέγοντος add.* D. — [8] *ἡμῶν add.* ND. — [9] (*καὶ λ. αὐ.*) *ὁ δὲ ἔφη* D. — [10] *αὐτοῦ add.* D. — [11] (*τ. ὑ. π.*) *π. τ. ὑ.* D. — [12] *καὶ add.* D. — [13] *ἀφῆκας* ND. — [14] *λεγομένου* D. — [15] om. ND. — [16] *προσεποιήσατο δὲ μὴ ἀκοῦσαι* D. — [17] *ὁ. δὲ* N, *καὶ ὁ. τῆς ὥρας* D. — [18] (*περὶ τ. π.*) *πῦρ ἀναψάντων* D. — [19] (*εὐ. θ. π.*) *θ. π. εὐ.* D. — [20] *κελεύεις* D. — [21] *καὶ ἀν.* D, *ἀναστάντων* N.

εὔξασθαι, ἐχρόνισεν ὁ γέρων · καὶ παρεκτείνοντος [22] αὐτοῦ τὴν εὐχὴν καὶ Κορνήλιον δοκιμάζοντος [23], οἱ σὺν αὐτῷ ὄντες τῷ μεγάλῳ [24] δύο ἀδελφοί [25], ἐκ τῆς παρελθούσης νυκτὸς γνόντες τὴν πεῖραν, ἐξέβησαν ἐκ τοῦ πλοίου [26] καὶ [27] ἀλλαχοῦ ἀπελθόντες ἐκοιμήθησαν [28]. Ὁ δὲ Κορνήλιος κατελείφθη [29] μετὰ τοῦ πατρός · καὶ στήκων ὁ πατὴρ εἰς τὴν εὐχὴν καὶ χρονίζων σφόδρα [30], ὁ δὲ Κορνήλιος [31] ἐν ἑαυτῷ ἐμελέτα [32] τὰ ἐκμαθήματα αὐτοῦ. Καὶ ὅτε [33] ἔκρουσαν εἰς [34] σύναξιν πρωΐ, καὶ καταπαύσαντος αὐτοῦ [35] τὴν εὐχήν [36], λέγει αὐτῷ Κορνήλιος [37] · « Τί ἐποίησας, πάτερ ; Οὐδὲ ἐγευσάμην ὕδατος ὀψὲ φαγών. » Καὶ λέγει αὐτῷ ὁ πατήρ [38] · « Ἀφῆκες [39] γέροντα [40] νικῆσαί σε εἰς εὐχήν [41], Κορνήλιε ; » Τότε γνοὺς [42] ὅτι ἤκουσεν ὀψὲ εἰρηκέναι τοῦτο [43] τῷ ἀδελφῷ, λέγει αὐτῷ [44] · « Ἥμαρτον, συγχώρησόν μοι [45], ὅτι οὐκ ὀρθῶς ἐλάλησα.
Cf.Dan.4,15. Τὸ γὰρ ἐν σοὶ πνεῦμα ἅγιόν ἐστι καὶ δύναμις Θεοῦ. » *

Φ 71. **84.** Ἐν ἄλλοις [1] δὲ πάλιν ὁ μέγας πατὴρ ἡμῶν ἐπορεύθη μετὰ τῶν ἀδελφῶν κόψαι θρύα. Καὶ μιᾷ τῶν ἡμερῶν τὴν μεταφορὰν ποιούντων [2] αὐτῶν εἰς τὸ πλοῖον, ἐξαίφνης ἐν ἐκστάσει γέγονε · καὶ ὁρᾷ τοὺς ἀδελφοὺς τινὰς μὲν περιεχομένους πυρὶ κύκλῳ περιφλογίζοντι εἰς [3] αὐτοὺς [4] καὶ ὑπερβῆναι μὴ δυναμένους, τινὰς δὲ ἐπάνω ἀκανθίνων ξύλων [5] ἀνυποδέτους [6] ἀπὸ σκολόπων ἐμπεπηγμένους [7] καὶ μὴ ἔχοντας πόθεν [8] ἐκβῆναι, ἑτέρους δὲ ἐπὶ μέσου κρη-

[22] (καὶ π.) παρεκτείναντος N, ἐκτείνων D. — [23] καὶ τὸν κορν. δοκιμάζων D. — [24] οἱ δὲ σὺν τῷ μεγ. ὄντες N, οἱ δὲ σὺν τῷ μεγ. D. — [25] πεπειραμένοι ὄντες τὰ κατ' αὐτὸν add. D. — [26] sic PN ; recte τόπου Φ. — [27] (γνόντες - καὶ) om. D. — [28] ἐκοιμῶντο D. — [29] κατ. δὲ ὁ κορν. D. — [30] (καὶ στ. - σφ.) ἱσταμένου εἰς εὐ. καὶ χρονίζοντος σφ. N. — [31] (ὁ δὲ κορν.) οὗτος N. — [32] (καὶ στήκων - ἐμ.) ἱστάμενος καὶ λέγων καθ' ἑαυτὸν D. — [33] (καὶ ὅτε) ὅτε γοῦν D. — [34] τὴν add. D. — [35] (καὶ κατ. αὐ.) κατ. τοῦ μεγάλου N, κατέπαυσεν ὁ μέγας D.— [36] καὶ add. D. — [37] ὁ κορν. ND. — [38] (καὶ λέγ. αὐ. ὁ π.) ὁ δὲ π. ἔφη D. — [39] ἀφῆκας N, καὶ ἀφῆκας D. — [40] hoc loco, inter fol. 116 et 117, desideratur folium unum in cod. N. — [41] εἰς εὐ. om. D.— [42] ὁ κορνήλιος add. D. — [43] (ὀψὲ εἰρ. τ.) τὰ εἰρημένα ὑπ' αὐτοῦ D. — [44] πρὸς αὐτόν D. — [45] πάτερ add. D.

*Cap. **80 - 81** contuli cum Φ 62 et 64, pp. 42 et 43. — Cap. **82 - 83** contuli cum Φ 69-70, p. 46-48.

84. — [1] (ἐν ἄ.) ἄλλοτε D.— [2] ποιουμένων D.— [3] om. D.— [4] (περιφλ. εἰς αὐ.) φλογιζομένους ὑπ' αὐτοῦ N. — [5] (ἀκ. ξ.) ξ. ἀκανθωδῶν D. — [6] τοὺς πόδας add. D, add. sup. lin. N. — [7] (ἀπὸ σκ. ἐ.) ἔχοντας ἐμπεπαρμένους ταῖς ἀκάνθαις D. — [8] ποθὲν PN ; (ἔχ. π.) δυναμένους D.

μνοῦ ὑψηλοῦ ἑστῶτας [9] καὶ [10] μὴ δυναμένους [11] μήτε ἀνιέναι [12] μήτε βαλεῖν αὐτοὺς [13] κάτω, ποταμοῦ μεγίστου ὄντος καὶ τῶν κροκοδείλων [14] τηρούντων αὐτοὺς ἁλλομένων κάτωθεν [15]. Καὶ ἔτι στήκοντος αὐτοῦ [16] καὶ ὁρῶντος [17], οἱ ἀδελφοὶ διερχόμενοι [18] καὶ [19] ἀπορρίψαντες [20] τὰ φορτία [21] παρέστησαν [22] εἰς εὐχήν [23]. Καὶ μετὰ πολλὴν ὥραν [24] εἰς ἑαυτὸν ἐλθὼν κελεύει [25] ψωμίζειν τοὺς ἀδελφούς · ὀψὲ [26] γὰρ ἦν ἤδη. Καὶ μετὰ τοῦτο εἶπε συναχθῆναι αὐτοὺς πρὸς αὐτόν · καὶ λοιπὸν [27] εἰπόντος αὐτοῖς [28] τὸ ὅραμα, ἔκλαιον πάντες μετὰ φόβου πολλοῦ [29] · καὶ [30] ἐρωτηθεὶς τί ἂν εἴη τοῦτο, λέγει αὐτοῖς [31] · « Ὡς νομίζω καὶ αἰσθάνομαι [32], μετὰ τὴν τελευτήν μου ἔσται τοῦτο τοῖς ἀδελφοῖς, ὥστε [33] μὴ εὑρεῖν [34] αὐτοὺς τὸν δυνάμενον [35] ὡς δεῖ παραμυθήσασθαι [36] ἐν Κυρίῳ ἀπὸ τῶν θλίψεων αὐτῶν. »

Φ 72. **85.** Ἀναχωρητὴς δέ τις ἀδελφὸς [1] ἦλθεν ἰδεῖν αὐτόν [2]. Καὶ αὐτῶν καθημένων [3] καὶ ὁμιλούντων τὰ δέοντα, λέγει τῷ Θεοδώρῳ · « Ἑτοίμασόν τί ποτε [4] ἵνα φάγῃ ὁ ἀδελφός. » Ἐξελθὼν δὲ ὁ Θεόδωρος ἐκάθισε, νομίσας ὅτι εἶπεν αὐτῷ · « Ἄφες ἕως οὗ λαλήσω τῷ ἀδελφῷ. » Αὐτοῦ δὲ μὴ ἑτοιμάσαντος, λέγει ἄλλῳ οἰκονόμῳ διαβαίνοντι · κἀκεῖνος ἀνεχώρησε μὴ γνοὺς τί ἐστιν ὃ λέγει. Γνοὺς δὲ τοῦτο ὁ πατὴρ πειρασμὸν εἶναι, νηφάλεος ὢν τῷ πνεύματι [5], ἐγερθεὶς ἡτοίμασε τῷ ἀδελφῷ · καὶ συμφαγὼν [6] ἀπέλυσεν αὐτόν.

[9] ἑστ. ὑψ. N. — [10] om. N. — [11] μὴ δ. om. D. — [12] ἰσχύοντας add. D. — [13] ἑαυτοὺς N.— [14] κορκοδείλων P.— [15] (μήτε βαλεῖν - κάτωθεν) μήτε κατιέναι διὰ τὸ ποταμὸν μέγιστον σύρεσθαι κάτωθεν πλήρη κροκοδείλων ἄλλομ. καὶ ὁρμώντων κατ' αὐτῶν D. — [16] om. N.— [17] (καὶ ἔτι - ὁρ.) ἔτι γοῦν τοῦ ὁσίου τὰ τοιαῦτα θεωροῦντος D. — [18] διερχ. οἱ ἀδ. D. — [19] ἰδόντες αὐτὸν add. N. — [20] ἔρριψαν D. — [21] καὶ add. D. — [22] αὐτῷ add. D. — [23] προσευχήν D. — [24] (καὶ μ. π. ὥρ.) μ. δὲ ὥρ. ἱκανὴν D. — [25] ἐκέλευε D. — [26] ὀψία D. — [27] om. N. — [28] αὐτοῦ N. — [29] (καὶ μετὰ τοῦτο - πολλοῦ) εἶτα συναγαγὼν αὐτοὺς ἀνήγγελλεν αὐτοῖς τὰ ὁραθέντα· οἱ δὲ ἀκούσαντες καὶ φόβῳ πολλῷ κάτοχοι γεγονότες ἔκλαιον D. — [30] ὁ μέγας add. D.— [31] (λ. αὐ.) ἔφη D.— [32] (ὡς ν. κ. αἰσθ.) ὡς ἔμοιγε δοκεῖ D. — [33] ἐν τῷ D. — [34] εὑρίσκειν D. — [35] ποιμαίνειν add. D. — [36] καὶ παραμυθεῖσθαι αὐτοὺς D.

85. — [1] Ἀδ. τις ἀναχ. D. — [2] τὸν μέγαν D. — [3] καὶ καθ. αὐτ. D. — [4] om. D. — [5] (ἐξελθὼν - πνεύμ.) νομίσας οὖν ὁ θεόδ. ὅτι εἶπεν αὐτῷ ἀναχωρῆσαι μικρὸν ἕως οὗ ὁμιλήσῃ τῷ ἀδ. ἐξελθὼν ἔξω ἐκάθητο · ἑτέρου δέ τινος τῶν οἰκονόμων παρερχομένου ἐπέτρεπεν αὐτῷ ἑτοιμάσαι · κἀκεῖνος μὴ γνοὺς ὅπερ ἐπετράπη ἀνεχώρησεν · συνεὶς δὲ ὁ πατὴρ οἷα δὴ νουνεχὴς καὶ νηφάλιος ὢν πειρασμὸν εἶναι τοῦτο τοῦ πονηροῦ D. — [6] συνεστιαθεὶς D.

Καὶ [7] *καλέσας τὸν Θεόδωρον λέγει αὐτῷ · « Ὁ κατὰ σάρκα πατήρ σου ἐάν τί σοι εἶπε* [8]*, παρέβλεπες* [9] *ἂν* [10] *αὐτόν* [11] *; Διὰ τί* [12] *οὐχ ἡτοίμασας τῷ ἀδελφῷ φαγεῖν, ὡς σοι εἶπον* [13] *; » Λέγει* [14] *αὐτῷ Θεόδωρος* [15] *· « Ἐνόμιζον* [16]*, πάτερ, ὅτι λέγεις* [17] *μοι* [18] *· Ἔξελθε* [19] *ἵνα λαλήσω* [20] *τῷ ἀδελφῷ. » Καλέσας δὲ καὶ τὸν ἕτερον, εἶπεν* [21] *τὰ αὐτά · κἀκείνου τὸ αὐτὸ* [22] *εἰπόντος* [23]*, ἀνεστέναξε* [24] *λέγων · « Πνεῦμα πονηρὸν ἐνεπόδισε τοῦτο ὅπως λυπηθῶμεν · ἀλλ' εὐλογητὸς ὁ Θεὸς ὁ δοὺς τὴν μακροθυμίαν καὶ τὴν σύνεσιν. Μάθετε οὖν καὶ ὑμεῖς ἀπὸ τούτου μακροθυμεῖν καὶ φέρειν γενναίως τοὺς πειρασμούς. »*

Φ 73. **86.** *Πολλάκις δὲ ὁ πατὴρ ἡμῶν ἤκουε τῶν πονηρῶν πνευμάτων, λαλούντων αὐτῶν* [1] *τὰ ποικίλα αὐτῶν κακὰ τὰ κατὰ τῶν ἀνθρώπων, τοῦ μὲν λέγοντος* [2] *· « Πρὸς* [3] *σκληρὸν ἤμην* [4] *ἄνθρωπον, καὶ ὅταν ὑποβάλλω αὐτῷ λογισμόν, κἀκεῖνος εὐθὺς* [5] *στήκει* [6] *εἰς εὐχήν, καὶ οὐ δύναμαι στῆναι, ἀλλὰ καιόμενος* [7] *ἐξέρχομαι », τοῦ δὲ ὅτι · « Πανουργικῶς καὶ τεχνωδῶς ἀπατῶ αὐτούς », ἄλλου δὲ λέγοντος* [8] *ὅτι · « Ἔχω τινὰ εὐπειθῆ, καὶ εἴ τι συμβουλεύω αὐτῷ* [9]*, ἀκούει μου καὶ ποιεῖ · καὶ* [10] *σφόδρα ἀγαπῶ αὐτόν. » — « Τοιγαροῦν, φησὶ τοῖς ἀδελφοῖς* [11]*, τηρεῖτε ἑαυτοὺς πάντοτε καὶ κατασφραγίζεσθε τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ* [12] *Χριστοῦ · καὶ* [13] *κατ' αὐτῶν ὑμῶν στρατευομένων* [14]*, οὐ δυνήσονται* [15] *πρὸς ὑμᾶς. »*

Φ 74. **87.** *Ποτὲ δὲ* [1] *ἐξηγουμένου τοῦ μεγάλου πατρὸς πάλιν* [2] *τοῖς ἀδελφοῖς τὰ λυσιτελῆ καὶ συμφέροντα τῶν ψυχῶν* [3] *αὐτῶν, παραχρῆμα κατεσχέθη ἡ καρδία αὐτοῦ μὴ λαλεῖν. Καὶ συνεὶς τῷ πνεύματι πόθεν γέγονε τοῦτο, ἐκάλεσε τὸν οἰκονόμον τῆς μονῆς καὶ ἠρέμα λέγει αὐτῷ* [4] *· « Ἀπελθὼν εἰς τόδε τὸ κελλίον μάθε τίς* [5] *ὁ ἐκεῖ*

[7] *εἶτα* D. — [8] *ἔλεγεν* D. — [9] *παρήκουες* N, *ἆρα παρήκ.* D. — [10] *om.* ND. — [11] *αὐτῶ* N, *αὐτοῦ* D. — [12] *οὖν add.* D. — [13] *ὡς εἶπον σοι* D. — [14] *ἀπεκρίθη* D. — [15] *ὁ θ.* ND. — [16] *ἐνόμισα* D. — [17] *κελεύεις* D. — [18] *ὅτι add.* N. — [19] *ἐξελθεῖν* D. — [20] *ὁμιλήσης* D ; *(ἵνα λ.) λαλῆσαι γὰρ θέλω* N. — [21] *κἀκεῖνος add.* D. — [22] *τὸ αὐτὸ correxi ex* F, *τοῦτο* PN. — [23] *κἀκ. τὸ αὐτὸ εἰπ. om.* D. — [24] *ὁ δὲ πατὴρ ἐστέναξε* D.

86. — [1] *om.* ND. — [2] *ὅτι add.* N. — [3] *εἰς* D. — [4] *εἰμι* D. — [5] *(κἀκ. εὐ.) εὐθὺς ἐκεῖνος* D. — [6] *ἵσταται* ND. — [7] *(καὶ οὐ δύν. - καιόμ.) ἐγὼ δὲ καιόμ. καὶ μὴ δυνάμενος στ.* D. — [8] *φάσκοντος* D. — [9] *εὐθὺς add.* N. — [10] *διὸ καὶ* N, *καὶ διὰ τοῦτο* D. — [11] *ὁ πατὴρ add.* D. — [12] *κυρ. ἡμ. ἰ. om.* ND. — [13] *οὕτω add.* N. — [14] *(ὁμ. στρ.) στρατευόμενοι* ND. — [15] *αὐτοὶ add.* N.

87. — [1] *καὶ αὖθις add.* N. — [2] *om.* N. — [3] *ταῖς ψυχαῖς* D. — [4] *(ἠρ. λ. αὐ.) λ. αὐ. ἠρ.* D. — [5] *ἐστιν add.* D.

καταφρονῶν τῆς ἰδίας ψυχῆς, καὶ γίνου [6] *μάρτυς σὺ πῶς ἐβλάβη ὁ τοιοῦτος* [7] *· πρῶτον* [8]*, ὅτι οὐκ ἦλθεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ ἵνα ἐνδυναμωθῇ κατὰ τοῦ θλίβοντος καὶ ἕλκοντος αὐτὸν εἰς τὸν κόσμον · δεύτερον* [9]*, ἐπεὶ οὐκ ἦλθεν ἀκοῦσαι, διὰ τί ἐκεῖσε οὐκ εὔχεται, ἀλλὰ κάθηται ἀργός ; Οὐκ οἶδα εἰ οὗτος γένηται* [10] *μοναχός. » Καὶ μετ' ὀλίγον ἐκεῖνος ἐξῆλθε* [11] *τῆς μονῆς καὶ* [12] *ἀπῆλθε πρὸς τοὺς ἑαυτοῦ γονεῖς, μὴ παραδοὺς* [13] *ἑαυτὸν* [14] *βαστάσαι τὸν σταυρὸν* [15] *κατὰ δύναμιν.* Luc. 14, 27.

Φ 75. **88.** *Καὶ ἤρξατο παραβολὴν ὁ ἅγιος λέγειν* [1] *ὅτι · « Ἔστιν* [2] *οἰκία ἐν ᾗ ἑκατὸν τόποι εἰσὶ <ἢ>* [3] *κελλία* [4] *· ἐὰν* [5] *ἀγοράσῃ ἀλλότριος* [6] *ἓν* [7] *κελλίον παρὰ τοῦ οἰκοδεσπότου, μὴ* [8] *κωλύεται εἰς τὸ ἴδιον εἰσελθεῖν* [9]*, κἂν ἐσώτερον ᾖ ; Οὕτως καὶ ὁ πιστός · ἐὰν ἔχων τοὺς καρποὺς τοῦ πνεύματος, τῇ ἀμελείᾳ καὶ τῇ ἐπιβουλῇ τοῦ ἐχθροῦ ἑνὸς αὐτῶν ἀλλοτριωθῇ, οὐκ ἔσται εὐσθενὴς ἐκείνου τοῦ καρποῦ πρὸς τὸν ἐχθρόν* [10]*. Ἴσως δὲ ἐὰν μὴ νήψῃ, νικᾷ αὐτὸν καὶ ἐν ἄλλῳ · καὶ οὕτως κατακυριεύει τοῦ ἀνθρώπου ὅλου μὴ ἔχοντος μηδὲν ἀγαθόν* [11]*. Ἐὰν δὲ πάλιν* [12] *ἐπιγνοὺς* [13] *ἑαυτὸν σφίγξῃ* [14]*, οὐ μόνον τὸν ἕνα κτήσεται* [12] *καρπὸν οὗ ἀπηλλοτριώθη ποτέ* [15]*, ἀλλὰ καὶ* [16] *πολλούς* [17] *· καὶ σφόδρα προκόψει. Οὐ γὰρ ἓν μέτρον ἐστὶ* [18] *τῆς θεοσεβείας* [19] *ἀλλὰ πολλά, καὶ ὁδοὶ πολλαί* [20]*. Εἰσὶ γὰρ πλούσιοι ἄνθρωποι, καὶ εἰσὶν ὧδε δέκαρχοι* [21] *καὶ χιλίαρχοι καὶ βασιλεῖς τέλειοι* [22]*, ὡς τῷ Ἀβραὰμ ἐλέχθη · « Βασιλεὺς εἶ σὺ παρὰ Θεοῦ. »* Gen. 23, 6. *Οὐ μόνον γὰρ ἦν αὐτὸς βασιλεὺς ἁπλῶς, ἀλλ' ὅτι ὁ βασιλεὺς τῶν βασιλευόντων ἦν ἐν αὐτῷ ὡς ἐπὶ θρόνου καθήμενος* [22]*. »* I Tim. 6, 15.

[6] *γενοῦ* D. — [7] *(ὁ τ.) οὗτος* ND. — [8] *μὲν add.* D. — [9] *δὲ add.* D. — [10] *γίνεται* ND. — [11] *(ἐκ. ἐξ.) ἐξελθὼν ἐκ.* D. — [12] *om.* D. — [13] *ἐκδοὺς* D. — [14] *εἰς τὸ add.* D. — [15] *τοῦ κυρίου add.* D.

88. — [1] *(καὶ - λέγ.) ὁ δὲ ὅσιος ἤρξ. λέγ. παρ. τοιάνδε* D. — [2] *εἰ ἔστιν* D. — [3] *supplevi ex Φ.* — [4] *(ἐν ᾗ - κ.) ἔχουσα ἐκ. κ.* D. — [5] *καὶ* D. — [6] *τις* D ; *ἀλλ. τις* N. — [7] *ἐξ αὐτῶν add.* D. — [8] *μὴ ἆρα* D. — [9] *κελλίον add.* D. — [10] *(ἑνὸς - ἐχθρόν) ὥσπερ ἀπεμπολήσῃ τινὰ ἐξ αὐτῶν δυσκόλως οὕπερ ἠλλοτριώθη καὶ ὅπερ ἀπεμπόλησεν ἢ ἀπώλεσεν ἐπαναλήψεται* D. — [11] *(καὶ ἐν ἄλλῳ - ἀγ.) κατὰ μικρὸν τελείως ὁ ἐχθρὸς καὶ πάντων ἀποστερεῖ τῶν ἀγαθῶν* D. — [12] *om.* D. — [13] *συνεὶς ὁ ἀδελφὸς* D. — [14] *(ἑ. σφ.) συσφίγξῃ καὶ διεγείρῃ ἑ.* D. — [15] *(οὗ ἀ. π.) ὅπερ ἀπώλεσεν ἐπαναλήψεται* D. — [16] *ἄλλους add.* D. — [17] *προσεπικτήσεται add.* D. — [18] *καὶ ὁδὸς μία add.* N. — [19] *οὐ γάρ ἐστι μία ὁδὸς πρὸς ἀρετήν* D. — [20] *(ἀλλὰ π. καὶ ὁ. π.) correxi, καὶ ὁδοὶ ἀλλὰ καὶ πολλοί* P, *ἀλλὰ πολλαί* N, *ἀλλὰ πολλαὶ καὶ διάφοροι οὐδὲ ἑνός εἰσι πάντες μέτρου ἀλλ' οἱ μὲν ἐλάττονος οἱ δὲ μείζονος* D. — [21] *(εἰσὶ γὰρ - δέκ.) ὥσπερ καὶ ἐν τῷ κόσμῳ εἰσὶ δέκ.* D. — [22] *τέλειοι κτλ. om.* D.

Φ 76. **89.** *Γέρων δέ τις τῶν ἀδελφῶν ἄκακος καὶ καλὸς σφόδρα* [1], *Μαῦγος* [2] *λεγόμενος, τῶν ἀρχαίων οἰκιακῶν, τῇ ὥρᾳ ἐκείνῃ* [3] *ὡς ἀσθενῶν καὶ λυπούμενος οὐκ ἀπῆλθε μετὰ τῶν ἀδελφῶν θερίσαι θρύα. Ἡ δὲ λύπη αὐτοῦ ἦν ἀπὸ τῆς ὀψὲ κατηχήσεως τοῦ μεγάλου πατρὸς ἡμῶν. Ἀκούσαντος* [4] *γὰρ αὐτοῦ ὁμιλοῦντος* [5] *λόγους ἀσφαλείας πολλῆς πρὸς τὴν σωτηρίαν αὐτῶν, καὶ αὐτὸς ξενιζόμενος ταῦτα* [6], *ἀγνοῶν* [7] *τὴν τῶν ἐχθρῶν πανουργίαν κατὰ τῶν ψυχῶν ἡμῶν* [8], *ἔλεγεν* [9] *εἰδὼς ἑαυτὸν ἐστηριγμένον* [10] · « *Τί ὅτι τοσαύτας ἀσφαλείας παραδίδωσιν ἡμῖν ὁ γέρων* [11] ; *Μέλλομεν ἆρα* [12] *καθ' ὥραν πεσεῖν* [13] ; » *Καὶ* [14] *διὰ ταύτην* [15] *τὴν αἰτίαν λυπούμενος* [16] *ἐκοιμᾶτο εἰς τὰς καλύβας* [17]. *Τοῦτον τοιγαροῦν ἰδὼν ὁ πατὴρ ἐλθόντα λέγει τῷ οἰκονόμῳ* · « *Φρόντισον αὐτοῦ ἕως ἂν ἔσω εἰσέλθω* · *βλέπω γὰρ αὐτὸν μέγαν* [18] *καὶ εὐλαβῆ* [19]. » *Καὶ ἐλθόντος ἔσω* [20] *τοῦ μεγάλου μετὰ τῶν ἀδελφῶν, ἀπήντησεν αὐτῷ ἐκεῖνος* [21] *καὶ ἄλλοι σὺν αὐτῷ. Καὶ* [22] *τῇ διακρίσει τοῦ πνεύματος διωρθώσατο αὐτόν* [23] · *κἀκείνου πρῶτον ὁμολογήσαντος τὸ σφάλμα αὐτοῦ* [24], *ἐπιλέγοντος* [25] *καὶ τὸ*
Iac. 3, 2. *γεγραμμένον* [26] *ὅτι* · « *Πολλὰ πταίομεν ἅπαντες* · *ἀλλ' εὐχώμεθα τῷ Θεῷ τῷ φιλανθρώπῳ* [27] *καὶ ἐλεήμονι, καὶ ἰάσεται ἡμᾶς. Πλὴν οὖν καὶ ἡμεῖς τηρήσωμεν ἑαυτοὺς ἐπὶ τὰ ἔμπροσθεν* [28]. » *Ἀκούων δὲ ταῦτα Μαῦγος ὁ γέρων* [29] *ἐθαύμαζε* [30] *τὴν ἐν πνεύματι ἐνοῦσαν διάκρισιν τῷ μεγάλῳ Παχωμίῳ* · *καὶ πεισθέντος* [31] *ἐν ἅπασι καὶ πληροφορηθέντος* [32], *ἐδόξασε τὸν Θεόν* [33].

89. — [1] *ἄκ. καὶ κ. σφ. om.* N. — [2] *μαῦος Φ.* — [3] *τῇ ὥ. ἐ. om.* D. — [4] *ἀκούοντος* D. — [5] *ὁμιλοῦντι τῷ πατρὶ* D. — [6] (*καὶ αὐ. ξ. τ.*) *αὐ. ἦν ξ. ἐπὶ τούτοις* D. — [7] *ἅτε εἰδὼς ἑαυτὸν ἐστηριγμένον καὶ* D. — [8] *ἴσως ἀγνοῶν add.* D. — [9] *καὶ ἔλ.* D, *ἅμα δὲ καὶ* N. — [10] *εἰδ. ἑ. ἐστ. om.* D ; *ἔλεγε add.* N. — [11] *οὗτος add.* D. — [12] (*μέλλ. ἆ.*) *μὴ ἆρα* D. — [13] *μέλλομεν πίπτειν* D. — [14] *om.* D. — [15] *οὖν add.* D. — [16] *λυπηθεὶς οὐκ ἀπῆλθε μετὰ τῶν ἀδελφῶν ἀλλ'* D. — [17] *ἐν ταῖς καλύβαις* D. — [18] *μέγα* PN. — [19] (*τοῦτον τοιγ. - εὐλ.*) *ὁ δὲ πατὴρ ἐνετείλατο τῷ οἰκον. φροντίσαι περὶ αὐτοῦ τοῦ μαύγου ὅτι μέγας ἐστί, λέγων, καὶ εὐλαβής, ἕως ἂν κἀγώ, φησίν, ἀφίκωμαι* D. — [20] (*καὶ ἐλθ. ἔσω*) *ἐλθ. οὖν* D. — [21] *ὑπήντησεν αὐτῷ ὁ μαῦγος* D. — [22] *ὁμολογήσαντος αὐτοῦ πρῶτον τὸ ἴδιον σφάλμα add.* D. — [23] *διωρθ. αὐ. ὁ πατὴρ τῇ διακρ. τοῦ πν.* D. — [24] (*κἀκείνου - αὐτοῦ*) *om.* D. — [25] *sic* PN ; *intellege ἐπιλέγων vel ἐπιλέγει ; λέγων μετὰ τῶν ἄλλων* D. — [26] (*τὸ γ.*) *τοῦτο* D. — [27] *τῷ φιλ. θεῷ* N. — [28] (*πλὴν - ἔμπρ.*) *om.* D. — [29] *ὁ γέρ. ὁ μαῦγ.* N. — [30] *ἐθαύμασε* N. — [31] (*καὶ π.*) *διὸ καὶ πεισθεὶς* N. — [32] *πληροφορίαν λαβὼν* N. — [33] (*ἀκούων δὲ κτλ.*) *ὁ δὲ μαῦγος πεισθεὶς ἐν ἅπασι καὶ πληροφορηθεὶς ἣν θαυμάζων ἐπὶ τῇ πνευματικῇ διακρίσει τοῦ μεγάλου παχωμίου καὶ τὸν θεὸν δοξάζων* D.

Φ 77. **90.** *Μεθ'* [1] *ἡμέρας δέ* [2] *τινας καλεῖ τὸν Θεόδωρον ὁ μέγας πατὴρ ἡμῶν καὶ λέγει αὐτῷ* · « *Ὅτε ἐξέρχονται οἱ ἀδελφοὶ ἐκ τῆς τραπέζης, παράδος τὴν διακονίαν σου ἑτέρῳ ἀδελφῷ* [3] · *καὶ δεῦρο* [4] *ὅπου συναγόμεθα* [5] *εἰς* [6] *κατήχησιν κατὰ κυριακήν.* » *Ἐλθόντος δὲ* [7] *τοῦ Θεοδώρου, λέγει αὐτῷ ὁ μέγας* · « *Στῆθι ὧδε μέσον τῶν ἀδελφῶν καὶ λάλησον τὸν λόγον τοῦ Θεοῦ κατὰ τὸ σύνηθες ἡμῖν.* » *Καὶ* [8] *παραχρῆμα ἔστη ὁ Θεόδωρος* [9] *ἄνευ πάσης παρακοῆς* [10] *καὶ ἤρξατο λαλεῖν ἃ ὁ Κύριος ἔδωκεν αὐτῷ, ἑστώτων πάντων καὶ αὐτοῦ τοῦ μεγάλου Παχωμίου ἀκούοντος* [11] *ὡς εἷς* [12] *ἐξ* [13] *αὐτῶν* [14]. *Ἦν δὲ* [15] *Θεόδωρος τῇ μὲν φαινομένῃ ἡλικίᾳ νεώτερος, τῇ δὲ νοουμένῃ φρονήσει πρεσβύτερος, εἰκοσαετῆ χρόνον* [16] *ἔχων ἐν τῇ μονῇ.* Λ 1.
Τινὲς δὲ τῶν ἀρχαιοτέρων γερόντων, ἰδόντες ὅτι νεωτέρῳ ἐπέτρεψε τοῦ λαλῆσαι, οὐκ ἠβουλήθησαν ἀκοῦσαι, λέγοντες · « *Εἰ ἤδη ἀρχάριος* [17] *ἡμᾶς διδάσκει* [18], *οὐκ ἀκουσόμεθα αὐτοῦ.* » *Καὶ καταλείψαντες* [19] *τὴν σύναξιν τῶν ἀδελφῶν ἀνεχώρησαν εἰς τὰ κελλία αὐτῶν* [20]. *Ἀπολυθέντων δὲ τῶν ἀδελφῶν* [21] *ἀπὸ τῆς ἀκροάσεως* [22], *ἀποστείλας* [23] *ὁ μακάριος Παχώμιος μετεστείλατο* [24] *τοὺς ἀναχωρήσαντας γέροντας καὶ μὴ βουληθέντας ἀκοῦσαι τοῦ Θεοδώρου. Ἐλθόντων δὲ αὐτῶν, ἐπηρώτησεν αὐτοὺς λέγων* · « *Τίνος ἕνεκεν καταλείψαντες* [25] *ἡμᾶς ἀνεχωρήσατε εἰς τὰ κελλία ὑμῶν ;* » *Οἱ δὲ φασιν* · « *Ὅτι* [26] *παιδίον διδάσκαλον ἡμῶν ἐποίησας, τοσούτων γερόντων ἑστώτων καὶ ἄλλων ἀρχαιοτέρων ἀδελφῶν.* »

91. *Ἀκούσας δὲ ταῦτα ὁ ὅσιος πατὴρ ἀνεστέναξε* [1] *καὶ εἶπεν* · « *Ὦ πόσου χρόνου καμάτους ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπωλέσατε* [2]. *Οὐκ οἴδατε πόθεν ἡ ἀρχὴ τῆς κακίας* [3] *ἐχώρησεν εἰς τὸν κόσμον ;* » *Τῶν δὲ εἰρηκότων* · « *Πόθεν ;* » *εἶπεν αὐτοῖς* · « *Ἐκ τῆς ὑπερηφανίας, δι' ἧς ἐξέπεσεν ὁ ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων καὶ συνετρίβη ὑπὸ τὴν γῆν, δι' ἣν καὶ μετὰ θηρίων συνῴκησε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος. Ἢ* [4] *οὐκ ἠκούσατε τῆς θείας* [5] *γρα-*
Is. 14, 12.
Dan. 5,21.

90. — [1] *καὶ μεθ'* N. — [2] *πάλιν* N. — [3] *ἑτέροις ἀδελφοῖς* N. — [4] *ἄπελθε* D. — [5] *ποιοῦμεν* D. — [6] *τὴν* D. — [7] (*ἐ. δὲ*) *οὕτω γοῦν ποιήσαντος* D. — [8] *ὃς* N, *καὶ ὃς* D. — [9] *ὁ θ. om.* ND. — [10] *ἀντιλογίας* D. — [11] *om.* D ; *καὶ ἀκ.* N. — [12] *ἑνὸς* ND. — [13] *om.* D. — [14] *καὶ ἀκουόντων add.* D. — [15] *ὁ add.* ND. — [16] *εἰκοστὸν ἔτος* D. — [17] *ὁ ἀρχ. οὗτος* N. — [18] (*ἡ. δ.*) *δ. ἡ.* N. — [19] *καταλιπόντες* D. — [20] *ἑαυτῶν* ND. — [21] (*ἀπ. δὲ τῶν ἀδ.*) *τῶν δὲ ἀδ. ἀπ.* D, *καὶ τῆς συνάξεως ταύτης διαλυθείσης* N. — [22] *ἀπὸ τ. ἀκρ. om.* N. — [23] *μετεστείλατο* D. — [24] *om.* D. — [25] *καταλιπόντες* D.

91. — [1] *ἐστέναξε* D. — [2] *καὶ add.* N. — [3] *τοῦ κακοῦ* D ; *πόθεν ἡ κακία* N. — [4] *om.* D. — [5] *om.* D.

Prov. 11,1; 16, 5. Luc. 14, 11. φῆς λεγούσης· Βδέλυγμα ἐνώπιον Κυρίου πᾶς ὑψηλοκάρδιος, καὶ πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται; Ἐσκυλεύθητε ὑπὸ τοῦ διαβόλου [6] πᾶσαν ὑμῶν ἀρετὴν [7] ἀγνοήσαντες [8]. Μήτηρ γὰρ πάντων τῶν κακῶν καὶ ἀρχηγὸς ἡ ὑπερηφανία [9]. Οὐ γὰρ Θεόδωρον καταλιπόντες ἀπήλθατε [10], ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ ἀποφυγόντες ἐξεπέσατε [11] ἀπὸ τοῦ ἁγίου πνεύματος, ἀληθῶς ἄθλιοι [12] καὶ παντὸς οἴκτου ἄξιοι. Πῶς οὐκ ἐνοήσατε ὅτι ὁ Σατανᾶς ἦν ὁ ἐνεργήσας ὑμῖν τοῦτο, οὗ χάριν ἀπεσχοινίσθητε τοῦ Θεοῦ; Ὦ μεγάλου θαύματος Phil. 2, 8. καὶ ὑμῶν κατακρίσεως· ὁ Θεὸς ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπή- Eccli. 17,32. κοος μέχρι θανάτου δι' ἡμᾶς, καὶ ἡμεῖς γῆ καὶ σποδὸς ὑπάρχοντες κατὰ φύσιν ὑπερηφανευόμεθα. Ἀνετράπη γὰρ ἡμῶν ἡ φύσις· ὁ πανύψηλος [13] καὶ λίαν ὑπερμεγέθης διὰ τῆς ταπεινότητος τὸν κόσμον ἑαυτῷ πρὸς σωτηρίαν ἐσαγήνευσε, δυνάμενος [14] καὶ βλέμματι μόνῳ τὰ πάντα καταφλέξαι· ἡμεῖς δὲ μηδὲν ὄντες φυσιούμεθα, ἀγνοοῦντες ὅτι [15] ἐν τῷ [16] τιμὴν ἡμᾶς ἐπιζητεῖν, μᾶλλον ἑαυτοὺς καταδικάζομεν εἰς τὰ κατώτατα τῆς γῆς. Οὐκ εἴδατε [17] ἐμὲ στήκοντα [18] καὶ ἀκροώμενον τὴν διδασκαλίαν [19] αὐτοῦ; Ἐπ' ἀληθείας λέγω [20] ὅτι ὠφελήθην μεγάλως [21] ἀκούσας αὐτοῦ· οὐ γὰρ ὡς δοκιμάζων ἐπέτρεψα αὐτῷ λαλῆσαι ὑμῖν, ἀλλ' εἰδὼς ὅτι δύναται ὁ Θεὸς καὶ ἐν νεωτέρῳ δοῦναι λόγον ὠφελείας τοῖς ἀκούουσι. Τί I Cor. 14, 30, 18. γὰρ λέγει ὁ ἀπόστολος; ὅτι· « Ἐὰν τῷ ἑσχάτῳ ἀποκαλυφθῇ, ὁ πρῶτος σιγάτω· » ὡσανεί [22] · « Εὐχαριστῶ τῷ Θεῷ τῷ διδόντι [23] Iac. 1, 5. πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντι. » Πόσον οὖν μᾶλλον ὑμᾶς ἔδει [24] μετὰ πολλῆς τῆς προθυμίας καὶ ταπεινοφροσύνης ἀκοῦσαι αὐτοῦ [25]; Πολλοὶ ἦσαν ἐν Αἰγύπτῳ παλαιότεροι καὶ σοφώτεροι κατὰ σάρκα τοῦ ἁγίου καὶ [26] νέου ἐν ἡλικίᾳ Ἰωσήφ· ἀλλὰ διὰ τὴν ἐν αὐτῷ ἐπουράνιον σοφίαν, πάντων ὑπεραναβέβηκε τῶν ἐν ἀμελείᾳ [27] καταγηρασάντων. Ἐν ἀληθείᾳ λέγω ὑμῖν ὅτι ἐγὼ ὁ πατὴρ ὑμῶν Cf. Ion.4,11. ἐν Κυρίῳ ὡς μὴ εἰδὼς δεξιὰν ἢ ἀριστερὰν οὕτως διὰ τὸν φόβον τοῦ Θεοῦ [28] ἐπηκροώμην αὐτοῦ ὠφεληθείς [29]. Ἐὰν οὖν μὴ μεγάλην

[6] διαβούλου P. — [7] πάσης ὑμῶν ἀρετῆς N. — [8] ἀλογήσαντες N; (ἐσκυλ. - ἀγν.) om. D. — [9] ἐσκυλ. ὑπὸ τοῦ διαβ. τὴν βασιλίδα τῶν ἀρετῶν τὴν ταπεινοφροσύνην ἠγνοήσατε add. D. — [10] ἀπήλθετε D. — [11] ἐξεπέσετε D. — [12] ὑμεῖς add. D. — [13] ὑψηλότατος D, ἀκατάληπτος τῷ ὕψει N. — [14] ὁ δυν. D. — [15] om. N. — [16] τὴν add. N. — [17] εἴδετε ND. — [18] ἱστάμενον N. — [19] τῆς διδασκαλίας D. — [20] ὑμῖν add. D. — [21] (ὠ. μ.) μ. ὠ. D. — [22] καὶ ἀλλαχοῦ πάλιν D. — [23] διδοῦντι P. — [24] (ὑ. ἔ.) ἔ. ὑ. N. — [25] (πόσον - αὐτοῦ) om. D. — [26] om. N. — [27] τῶν κρειττόνων add. D. — [28] (διὰ - θεοῦ) om. ND. — [29] καὶ ὠφελήθην D; πόσα γε μᾶλλον ὑμᾶς ἔδει μετὰ πολλ. προθ. καὶ ταπ. ἀκ. αὐτοῦ καὶ κερδάναι add. D.

ὑπὲρ τοῦ σφάλματος τούτου ἐπιδείξησθε πρὸς τὸν [30] Θεὸν μετάνοιαν ἵνα συγχωρηθῇ ὑμῖν τῆς ὑπεροψίας τὸ παράπτωμα [31], εἰς Dan. 2, 5. ἀπώλειαν ἔσεσθε. »

92. Μετὰ ταῦτα δὲ [1] ἔταξεν ὁ μέγας πατὴρ ἡμῶν τὸν Θεόδωρον Φ 78. εἰς Ταβέννησιν [2] οἰκονόμον τῆς μονῆς, καταλαβόμενος [3] αὐτὸν ἱκανὸν εἶναι τῷ πνεύματι· ἦν δὲ ὁ Θεόδωρος τότε ὡσεὶ χρόνων λδ' [4]. Αὐτὸς δὲ ὁ μέγας Παχώμιος ἔμενεν [5] ἐν τῇ μεγάλῃ μονῇ τῇ λεγομένῃ Παβώ [6], ἔνθα ἡ οἰκονομία ἦν πάντων τῶν μοναστηρίων. Θεόδωρος δέ, ὡς εἴρηται, ταχθεὶς ἐν Ταβεννήσει [7], ὡς μὴ ταχθεὶς ἦν, καθότι οὐκ εἶχε θέλημα ἴδιον· ἐπύρωσε γὰρ αὐτὸν ὁ λόγος τοῦ Ps.104,19. Θεοῦ καὶ ἐστήριξεν αὐτὸν τὰ ἄνω φρονεῖν. Πᾶσαν δὲ τὴν σπουδὴν Col. 3, 2. εἶχε τὸν Θεὸν ἀγαπᾶν ἐν ὅλῃ καρδίᾳ κατὰ τὴν ἐντολήν. Καὶ προκόπτων ὠφέλει τοὺς ἀδελφούς· εἶχε γὰρ [8] καὶ ὁ λόγος αὐτοῦ χάριν. Mt. 22, 37.

93. Κορνήλιος δὲ καὶ Ψενθαήσιος καὶ Σοῦρος καὶ Ψὼς καὶ Φ 79. Πεκύσιος καὶ Παχώμιος ἄλλος καὶ Παῦλος [1] καὶ Ἰωάννης καὶ Παφνούτιος καὶ ἄλλοι πολλοί, οὓς [2] καθ' ἕκαστον ὀνομάσαι [3] περιττόν, οὗτοι πάντες δυνατοὶ τῷ πνεύματι ἦσαν καὶ ἀληθῶς ἀθληταὶ τοῦ Χριστοῦ. Ὁ δὲ μέγας πατὴρ ἡμῶν εἶδεν [4] ἑκάστου τὸν βίον καὶ [5] ἔταξε τοὺς πλείονας αὐτῶν εἰς τὰς μονὰς ἡγουμένους καὶ πατέρας. Ὅσοι δὲ μετὰ τοὺς τοιούτους πατέρας [6] ὡς ἐν δευτέρᾳ τάξει ἐτύγχανον, καὶ ἠγάπησαν [7] τὸν Θεὸν σφόδρα [8]. Ὧν [9] εἷς τούτων [10], Τιθόης [11] λεγόμενος, γέγονε [12] τῶν παρθένων πατὴρ [13] ἅγιος καὶ τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ ὡς στέαρ πεπιεσμένος [14] καὶ χρηστὸς ὑπεράγαν [15]. Τινὲς δὲ [16] τούτων οὕτως ἐτύγχανον ἀσκηταί, ὡς μὴ μόνον ὑγιαίνοντας [17] ἀπέχεσθαι [18] οἴνου, ἀλλὰ καὶ νοσοῦντας [19] ἐγκρατεύεσθαι [20]· ἦσαν δὲ ὡς [21] ἑβδομήκοντα μοναχοὶ τοιοῦτοι. Οὐ μόνον δὲ οὗτοι [22], ἀλλὰ καὶ ἕτεροι περιπεσόντες ἀρ-

[30] om. N. — [31] εἰ δὲ μή γε add. N.

92. — [1] (μ. τ. δὲ) μ. δὲ τ. ND. — [2] ταβέννην N. — [3] κατανοήσας D. — [4] τριακοντατεσσάρων ND. — [5] ἔμεινεν N. — [6] παββὼ N. — [7] ταβέννη N. — [8] δὲ ND.

93. — [1] καὶ παῦλ. om. D. — [2] καὶ add. N. — [3] (καθ' ἕ. ὀ.) ἀπαριθμεῖν κατόνομα D. — [4] οἶδεν PN, om. D. — [5] ἐπιστάμενος D. — [6] (ὅσοι - πατ.) οἵτινες καὶ N. — [7] (καὶ ἠγ.) ἠγ. γὰρ N. — [8] (ὅσοι - σφ.) ὡς ἀρετῇ διαλάμποντας καὶ τὸν θεὸν σφόδρα ἀγαπῶντας D. — [9] ἐξ ὧν ND. — [10] ὑπῆρχε καὶ ὁ D. — [11] τιθώης ND. — [12] ὃς καὶ D. — [13] ἐχρημάτισεν add. D. — [14] πεπιαμένος N; (ἅγ. - πεπ.) ἀνὴρ ἅγ. ταῖς ἀρεταῖς καταπεπυκασμένος D. — [15] εἰ καί τις ἄλλος D. — [16] γὰρ ND. — [17] αὐτοὺς add. D; ὑγιαίνοντες N. — [18] ἀπέσχοντο N. — [19] νοσοῦντες N. — [20] ἐνεκρατεύοντο N; αὐτοῦ add. D. — [21] ὡσεὶ D. — [22] om. D.

ρωστίᾳ καὶ ἀξιούμενοι ἀπὸ τοῦ καθισματίου αὐτῶν [23] θεῖναι αὐτοὺς [24] ἐπὶ κραββάτων [25] ἕως ἂν συνέλθωσιν [26] ἀπὸ τῆς νόσου [27], οὐκ ἐσυνεχώρησαν [28] τοῖς ὀχλοῦσιν ἕως τῆς ὥρας τοῦ θανάτου αὐτῶν πρὸς τὸ δυνηθῆναι κἂν καλῶς ἐνταφιασθῆναι αὐτούς [29] · ἀλλ' ἔμενον [30] ἐν τῷ καθισματίῳ [31] συγκαμπτόμενοι [32] ἀποθανεῖν [33]. Καὶ εἰ μὴ ὅτι πολύς ἐστιν ὁ λόγος, εἶχον ἂν πλειόνων ποιῆσαι ἔκθεσιν ὁσίων ἀνδρῶν · ἐπειδὴ οὐκ ἔστι βλαβερόν, ἀλλὰ καὶ λίαν ὠφέλιμον ἀρετὰς τοιούτων ἀνδρῶν ἁγίων [34] μνημονεύειν [35].

Λ 2 a. **94.** Ἀδελφὸς ἦν ἐν τῇ μονῇ Σιλβανὸς ὀνόματι, εἰκοσαετῆ χρόνον ἔχων ἐν τῷ μοναστηρίῳ ἐν τῷ μοναχικῷ σχήματι. Οὗτος δὲ ἦν [1] ἀπὸ μίμων. Ὃς ἐν ταῖς ἀρχαῖς πάνυ ἐπεμελεῖτο τῆς ἑαυτοῦ ψυχῆς. Χρόνου δὲ πολλοῦ παρελθόντος, ἤρξατο καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας, ὥστε βούλεσθαι [2] αὐτὸν σπαταλᾶν καὶ στρηνιᾶν λοιπόν [3], ἔτι γε μὴν [4] καὶ τὰ τῆς θυμέλης ἄσεμνα ῥήματα ἀδεῶς μεταξὺ τῶν ἀδελφῶν τραγῳδεῖν [5]. Τοῦτον καλέσας ὁ μακάριος
Φ 104 a. Παχώμιος ἐπὶ μέσεως [6] τῶν ἀδελφῶν λέγει αὐτῷ · « Πῶς ἐνετειλάμην σοι [7] ἐν τῇ ἀρχῇ, οὐκ οἶδας [8] ; Οὐκ εἶπόν σοι ὅτι μέγα ἐστὶ τὸ μοναχὸν γενέσθαι ; Οὐ προείρηκά σοι πρὸ τοῦ εἰσελθεῖν [9] σε [10] ὅτι · Βλέπε σεαυτόν, μὴ ἄρα οὐ δύνῃ [11] μοναχὸς γενέσθαι ; Καὶ ὡμολόγησας ἐνώπιον τοῦ Θεοῦ ὅτι · γίνομαι. Καὶ νῦν διὰ τί οὐ προσέχεις ἑαυτόν [12], εἰ ἀληθῶς θέλεις τὴν ζωήν, ἀλλὰ ἀπέλυσας [13] τὴν καρδίαν σου ; Ὅμως ἐπειδὴ οὐ [14] θέλεις εἰς φόβον τῆς κρίσεως τοῦ Θεοῦ [15] ἐλθεῖν, ἐγείρου [16], ἄπελθε πρὸς τοὺς γονεῖς σου ·

[23] *om.* D. — [24] *θεῖναι ἑαυτοὺς* N, *τεθεῖναι αὐτοὺς* D. — [25] *κραββάτου corr. ex κραββάτω* N. — [26] *ἀνασφήλωσιν* D. — [27] *ἢ κἂν ἀποθάνωσιν ἵν' ἔχωσι καλῶς ἐνταφιασθῆναι ὡς ὑπτιότερον κείμενοι add.* D. — [28] *οὐκ ἐπείσθησαν* N, *οἱ δὲ οὐ συνεχώρησαν* D. — [29] (*τοῖς ὀχλοῦσιν - αὐτούς*) *om.* N, *τοῖς βιαζομένοις τοῦτο ποιῆσαι* D. — [30] *ἔμειναν ἄχρι τελευτῆς αὐτῶν* N. — [31] *ἐν τῷ καθίσματι* N, *ἐν τοῖς καθισματίοις αὐτῶν* D. — [32] *συγκαπτόμενοι* P. — [33] *μέχρι θανάτου* D. — [34] *om.* N. — [35] (*καὶ εἰ μὴ ὅτι - μνημονεύειν*) *εἰ μὴ γὰρ τὸ τοῦ λόγου πλήσμιον παρητούμην, εἶχον ἂν καὶ ἑτέρων πλειόνων ὁσίων ἀνδρῶν ἀρετὰς ἐπεκδιηγήσασθαι, ἐπεὶ καὶ λίαν ἐπωφελὲς καὶ σωτήριον ἐν τοῖς τοιούτοις διατρίβειν · νῦν δὲ τὴν συμμετρίαν ἐπαινῶν πρὸς τὰ ἀναγκαιότερα τῷ λόγῳ μέτειμι* D.

94. — [1] (*οὗτος δὲ ἦν*) *ἦν δὲ* D. — [2] *om.* D. — [3] *om.* ND. — [4] *ἔτι δὲ* N. — [5] *τραγωδῶν* PN. — [6] (*ἐπὶ μέσεως*) *παρρησία* ND. — [7] *σοι ἐνετ.* N. — [8] (*πῶς - οἶδας*) *οὐκ οἶδας ὅσα σοι ἔφην ἐν τῇ ἀ.* D. — [9] *ἐλθεῖν* N, *γενέσθαι* D. — [10] *om.* D. — [11] *μή ποτε οὐ δυνήσῃ* D. — [12] *σεαυτῷ* ND. — [13] *οὕτως add.* ND. — [14] *οὔπω* ND. — [15] *εἰς τὸν φόβον τῆς τοῦ θεοῦ κρ.* N. — [16] *ἐγερθεὶς* D.

μηκέτι μείνῃς ὧδε [17]. » *Καὶ* [18] *ταῦτα εἰπὼν ὁ μακάριος* [19] *ἐκέλευσεν* Λ 2 b. *αὐτὸν ἀποδυθῆναι τὸ σχῆμα τοῦ μοναχοῦ καὶ λαβόντα αὐτὸν τὰ κοσμικὰ ἱμάτια ἐκβληθῆναι τῆς μονῆς ὑπὸ τῶν ἀδελφῶν. Ὁ δὲ πεσὼν ὑπὸ* [20] *τοὺς πόδας αὐτοῦ παρεκάλει αὐτὸν λέγων ὅτι · « Ἐὰν συγχωρήσῃς* [21] *ἔτι τὸ* [18] *ἅπαξ τοῦτο, ὦ πάτερ, τοῦ μὴ ἐξεῶσαί με τῆς μονῆς, ἔξεις με ἀπὸ τοῦ νῦν μετανοοῦντα ἐφ' οἷς ἐν ἀμελείᾳ διῆγον, ὥστε σε χαρῆναι* [22] *ἐπὶ τῇ μεταβολῇ τῆς ψυχῆς μου* [23]. » *Ὁ δὲ ἅγιος ἀποκριθεὶς εἶπεν αὐτῷ · « Οἶδας πόσα σε ἐβάστασα καὶ πόσα σε ἐνοὐθέτησα, ὥστε με* [24] *καὶ τυπτῆσαί σε πολλάκις, ἄνθρωπον μὴ βουλόμενον μήτε* [25] *τὴν χεῖρα ἐκτεῖναι ἐπὶ τοιοῦτο* [26] · *ἐφ' οἷς νῦν ἀνάγκῃ πράττω ἐπὶ σοῦ* [27], *ὃς πλέον σου τοῦ τυπτομένου ἤλγουν τὴν ψυχὴν τῷ τῆς συμπαθείας ἐλέῳ. Διὰ γὰρ τὴν ἔνθεόν* [28] *σου* [29] *σωτηρίαν* [30] *τύπτειν σε ἔδοξα* [31], *ἵν'* [32] *ἐκ τούτου δυνηθῶ διορθώσασθαί σε τοῦ σφάλματος. Εἰ τοίνυν νουθετούμενος οὐ μετετράπης, οὔτε παρακαλούμενος ἐπὶ τὸ κρεῖττον μετηνέχθης* [33], *οὔτε μὴν τυπτόμενος ἐφοβήθης* [34], *πῶς δύναμαί σοι συγχωρῆσαι ἔτι* [35] ; » *Ἐπεκτεινόντος δὲ τὴν παράκλησιν τοῦ Σιλβανοῦ* [36] *καὶ διαβεβαιουμένου διορθοῦσθαι ἑαυτὸν τοῦ λοιποῦ, ἐγγύας ᾔτησε παρ' αὐτοῦ ὁ ὅσιος πατήρ, μὴ* [37] *μετὰ τὸ ἀφεθῆναι αὐτὸν τοῖς αὖ-τοῖς ἐμμεῖναι* [38] *πάλιν* [39]. *Πετρωνίου δέ τινος ἀδελφοῦ ἀναδεξαμένου αὐτὸν* [40] *ἐφ' οἷς ὑπισχνεῖτο κατορθοῦν, συνεχώρησεν αὐτῷ ὁ μακάριος Παχώμιος. Καὶ* [41] *λέγει τῷ ἀναδεξαμένῳ, μὴ παρόντος* [42] Φ 104 b. *Σιλβανοῦ · « Οἶδα μὲν* [43] *ὅτι ἐκοπίασας* [44] *τῇ ἀσκήσει ἱκανὸν χρόνον* [45] · *ἀλλὰ διὰ τὸν Θεόν, ὃν παρέλαβες παῖδα, σύμπασχε αὐτῷ κατὰ πάντα, ἕως ἂν σωθῇ. Οἶδας* [46] *γὰρ ὅτι ἐγὼ ἀσχολοῦμαι περὶ πολλὰ τῶν ἀδελφῶν. » Λαβὼν* [47] *δὲ αὐτόν* [48], *ἦσαν ἀμφότεροι ἐργα-ζόμενοι ψιαθία, πληροῦντες τὴν νηστείαν καὶ τὰς εὐχὰς ὡς δεῖ* [49]. Φ 105 a. *Ὁ δὲ παῖς λαβὼν ἐντολὰς ἀκούειν αὐτοῦ* [50], *ἕως φύλλου λαχάνου*

[17] *καὶ μηκέτι μείνῃς ἐνθάδε* D. — [18] *om.* D. — [19] *hic desinit primum fragmentum (nempe Athoum) codicis* N, *cuius unum folium periit; fragmentum alterum (Carnutense) incipit c. 95, l. 7.* — [20] *εἰς* D. — [21] *μοι add.* D. — [22] (*σε χ.*) *χ. σε* D. — [23] *τῆς ἐμῆς ψ.* D. — [24] *om.* D. — [25] *ἄνθρωπος μὴ βουλόμενος μηδὲ* D. — [26] *τοιούτοις* D. — [27] (*ἐφ' οἷς - σοῦ*) *οἷς ἀναγκαζόμενος ἔπραττον ἐπὶ σέ* D. — [28] *om.* D. — [29] *σὴν* D. — [30] *καὶ add.* D. — [31] *οὐ παρητούμην* D. — [32] *εἴ πως* D. — [33] (*οὔτε - μετ.*) *καὶ παρ. οὐ μετ. ἐπὶ τὸ κρ.* D. — [34] (*οὔτε μὴν τ. ἐφ.*) *καὶ τυπτ. οὐκ ἐφ.* D. — [35] *ἔτι συγχ.* D. — [36] (*τὴν π. τοῦ σ.*) *τοῦ σ. τὴν π.* D. — [37] *μή ποτε* D. — [38] *ἐμμείνειε* D. — [39] *πάλαι* P. — [40] *αὐτοῦ* P. — [41] *εἶτα* D. — [42] *τοῦ add.* D. — [43] *οἴδαμεν* D. — [44] *ἐν add.* D. — [45] (*ἱ. χρ.*) *χρ. ἱ.* D. — [46] *ἐπίστασαι* D. — [47] *παραλαβὼν* D. — [48] *ὁ πετρώνιος add.* D. — [49] *ἔδει* D. — [50] (*ὁ δὲ - αὐτοῦ*) *ὁ δὲ σιλβανὸς ἐκδοὺς ἑαυτὸν τῇ μακαρίᾳ ὑπακοῇ* D.

οὐκ ἤσθιεν ἕως οὗ ἐξέτασεν αὐτόν [51]. Οὕτως δὲ ἦν ταπεινόφρων καὶ πρᾶος λίαν, ὡς μήτε τὸ στόμα αὐτοῦ ἀνοίγειν ἢ τοὺς ὀφθαλμοὺς αὐτοῦ [52] πρός τινα. Ἥσκει δὲ ἱκανῶς καθ' ἑαυτὸν εἰς ἀγρυπνίαν προσευχῶν [53], ὥστε μετὰ τὸ κορεσθῆναι δεήσεων ἐκάθητο [54] ἐν μέσῳ τοῦ κελλίου αὐτοῦ [55] πλέκων τὴν νύκτα [56], καὶ [57] οὕτως μετελάμβανε τὴν χρείαν αὐτοῦ τοῦ ὕπνου [58]. Ἵνα δὲ μὴ πολλὰ λέγωμεν [59], ἐγένετο ἄνθρωπος [57] ἄξιος δοῦλος τοῦ Θεοῦ [60]. Ἀφ' οὗ
Λ 2 c. γὰρ ἔτυχε τῆς ἀφέσεως [61] παρὰ τοῦ μεγάλου πατρός [62], ἠγωνίσατο περὶ τῆς ψυχῆς αὐτοῦ [63], ὥστε αὐτὸν γενέσθαι ὑπογραμμὸν [64] εἰς πᾶσαν ἀρετὴν θεοσεβείας [65] πᾶσι τοῖς ἀδελφοῖς μικροῖς τε καὶ μεγάλοις.

Λ 3. **95.** Τὸ δὲ μέγα πλεονέκτημα αὐτοῦ τῶν ἀρετῶν, καθὼς καὶ προειρήκαμεν, ἦν ἡ ἐπ' ἄκρον ταπεινοφροσύνη [1] καὶ τὸ μὴ διαλείπειν [2] τοὺς ὀφθαλμοὺς [3] αὐτοῦ ἀπὸ δακρύων [4], ἀλλὰ [5] συμμίγνυσθαι τῇ τροφῇ [6] τὰ δάκρυα [7]. Λεγόντων [8] δὲ αὐτῷ [9] πολλάκις τῶν ἀδελφῶν τὸ μὴ ἐπὶ ξένων προσώπων ἢ ἐπί τινων ὅλως [10] τοῦτο ποιεῖν, διϊσχυρίζετο λέγων ὅτι· « Πολλάκις ἠθέλησα ἐπικρατῆσαι τῶν δακρύων [11] τούτων χάριν τῶν αἰτιῶν [12], καὶ οὐκ ἴσχυσα. » Φασκόντων δὲ τῶν ἀδελφῶν [13] ὅτι· « Δυνατόν ἐστι καθ' ἑαυτὸν μὲν κλαίειν τὸν κατανενυγμένον καὶ [14] ἐν τῇ προσευχῇ δὲ [15] ὁμοίως [16], μετὰ δὲ τῶν [14] ἀδελφῶν ἐπέχειν [17]. Δύναται γὰρ καὶ ἡ ψυχὴ [18] χωρὶς τῶν φαινομένων τούτων [19] δακρύων κλαίειν [20]. Βουλόμεθα οὖν [21]

[51] (ἕως οὗ ἐξ. αὐ.) παρὰ γνώμην τοῦ ἀναδεξαμένου αὐτόν D. — [52] (ἀνοίγειν - αὐτοῦ) μήτε τοὺς ὀφθ. ἀν. D. — [53] ἐν ἀγρυπνίαις καὶ προσευχαῖς D. — [54] (ὥστε - ἐκάθ.) ὅτε οὖν ἔδει καὶ μικρὸν τὸ σῶμα διαναπαύεσθαι καθήμενος D. — [55] καὶ D. — [56] τῇ νυκτὶ D. — [57] om. D. — [58] μετελ. βραχυτάτου ὕπν. D. — [59] (ἵνα - λέγ.) καὶ τί δεῖ πολλὰ λέγειν D.
Act. 9, 15. — [60] καὶ σκεῦος ἐκλογῆς ὁ μακάριος σιλβανός add. D. — [61] (τῆς ἀφ.) συγχωρήσεως D. — [62] τοσοῦτον add. D. — [63] (περὶ τ. ψ. αὐ.) ὑπὲρ τῆς αὐ. ψ. D. — [64] (γ. ὑ.) ὑ. γ. D. — [65] καὶ εὐλάβειαν D.

95. — [1] Ἦν δὲ αὐτοῦ τὸ ἰδιαίτατον ἐν ἀρεταῖς πλεον. καθὼς ἔφθημεν εἰπόντες ἡ ἀκρὰ ταπ. D. — [2] τὰ δάκρυα add. D. — [3] τῶν ὀφθαλμῶν, prius τῶν ἀδελφῶν D. — [4] ἀπὸ δ. om. D. — [5] καὶ add. D. — [6] τῇ τρ. συμμ. D. — [7] τὰ δ. om. D. — [8] παραινούντων D. — [9] αὐτὸν P, om. D. — [10] (τὸ μὴ - ὅλως) μηδαμῶς ἐπὶ οἱουδήτινος ξένου προσώπου D. — [11] inc. fragmentum Carnutense codicis N ; vid. supra, c. 94, annot. 19. — [12] χάρ. τῶν αἰτ. τούτων N ; (πολλάκις - αἰτ.) κἀγὼ πλειστάκις ἠθέλ. τούτου χάρ. ἐγκρατὴς τῶν δακρ. γενέσθαι D. — [13] (φ. δὲ τ. ἀδ.) οἱ δὲ ἀδελφοὶ ἀντέλεγον αὐτῷ D. — [14] om. D. — [15] om. ND. — [16] καὶ ἡνίκα ἂν βούληται D. — [17] τὰ δάκρυα add. D. — [18] (δύν. - ψ.) ὅτιπερ δύν. ἡ ψ. καὶ D. — [19] om. D. — [20] πενθεῖν ἔσωθεν D. — [21] (β. οὖν) πλὴν β. D,

γνῶναι τί κατὰ νοῦν ἔχων ἀδιαλείπτως βρέχῃ τοῖς δάκρυσιν [22], ὥστε πολλοὺς ἐξ ἡμῶν [23] βλέποντάς σε αἰδεῖσθαι εἰς κόρον φαγεῖν [24], » ὁ δὲ ἔφη πρὸς τοὺς αὐτὸν ἐπερωτῶντας [25] · « Οὐ θέλετέ με [26] κλαῦσαι ἑαυτὸν [27] βλέποντα ἁγίους ὑπηρετοῦντάς μοι, ὧν καὶ τοῦ
5 κονιορτοῦ τῶν ποδῶν οὐκ εἰμὶ ἄξιος ; Οὐκ ὀφείλω οὖν πενθεῖν ἐμαυτόν, ὅτι ἀπὸ θυμέλης ἄνθρωπος ὑπηρετοῦμαι ὑπὸ τοιούτων [28] ἀνδρῶν ; Κλαίω οὖν [29], ἀδελφοί, φοβούμενος μήπως καταποθῶ ὡς Num. 16, 32. Δαθὰν καὶ Ἀβειρών, μάλιστα ὅτι [30] ἀπὸ [31] ἀγνωσίας εἰς γνῶσιν [32] γενόμενος, τῆς κατὰ ψυχὴν σωτηρίας οὐκ ἐφρόντισα [33], ὡς κινδυ-
10 νεῦσαί [34] με ἐκβληθῆναι [35] τῆς μονῆς καὶ ἐγγύας δοῦναί με μετὰ φρικωδεστάτων ὅρκων ὑπὲρ τοῦ μηκέτι καταφρονῆσαι τῆς σωτηρίας [36] μου [37]. Διὰ τοῦτο οὖν [38] οὐκ ἐπαισχύνομαι τὰ [39] τοιαῦτα μετελθεῖν [40] · οἶδα γὰρ τὰς ἁμαρτίας μου, ὑπὲρ ὧν εἰ ἦν καὶ ἔκδοτον δοῦναι τὴν ψυχήν μου, οὐκ ἔστι μοι χάρις [41]. »

15 **96.** Τούτου οὖν καλῶς ἀγωνιζομένου [1], διεμαρτύρατο περὶ αὐτοῦ *Λ 4 a.* ὁ μακάριος Παχώμιος ἐπὶ παντὸς τοῦ πλήθους τῶν ἀδελφῶν οὕτως λέγων [2] · « Ἰδοὺ διαμαρτύρομαι ὑμῖν [3] ἐνώπιον τοῦ Θεοῦ [4], ἀδελφοί, I Tim.5,21. ὅτι [5] ἀφ' οὗ τὸ κοινόβιον τοῦτο γέγονεν [6], οὐδεὶς ἐκ πάντων [7] τῶν συνόντων μοι ἀδελφῶν [8] ἐμιμήσατο τὸν χαρακτῆρά μου παντε-
20 λῶς, εἰ μὴ [9] εἷς μόνος. Ὥσπερ γὰρ ἔριον λευκὸν βαφὲν εἰς πορ- *Φ 105 b.* φύραν τιμίαν, οὐκέτι ἡ βαφὴ ἐξαλείφεται, οὕτως ἡ ψυχὴ ἐκείνου τοῦ ἀδελφοῦ ἐβάφη [10] τῷ πνεύματι τῷ ἁγίῳ [11]. » Ὥροντο [12] δὲ τὸν

[22] βρέχεις τοῖς δ. σαυτὸν N, τὰς παρειὰς βρέχεις D. — [23] (ἐξ ἡμ.) ἡμ. in marg. D. — [24] (αἰδ. εἰς κ. φ.) καὶ αὐτὴν παραιτεῖσθαι τὴν τροφὴν D. — [25] ὁ δὲ πρὸς αὐτοὺς ἀπεκρίνατο D. — [26] μοι PN. — [27] ἐμαυτὸν D. — [28] ἁγίων add. ND. — [29] τοίνυν D. — [30] om. PN. — [31] τῆς κοσμικῆς add. D. — [32] μοναδικὴν καὶ θεῶ φίλην add. D. — [33] ἀλλ' ἐν τοῖς ἀτόποις καὶ αὖθις περιέπιπτον add. D. — [34] κινδυνεύειν D. — [35] (με ἐκ.) ἐκ. με D. — [36] ζωῆς N. — [37] καὶ ἐγγύας καὶ ὅρκους φρικωδεστάτους ἀποτίνειν ὑπὲρ τοῦ τῶν κακῶν ἀποσχέσθαι τῶν δὲ καλῶν ἐπιμέλειαν θέσθαι D. — [38] om. ND. — [39] om. N. — [40] (τὰ τοι. μετ.) τὰ δοκοῦντά τισιν ἐπονείδιστα μετέρχεσθαι D. — [41] οἶδα γὰρ τὸ πλῆθος τῶν ἐμῶν ἁμαρτιῶν ὑπὲρ ὧν εἰ καὶ μέχρι θανάτου ἠγωνίσμην οὐδὲν ἂν μέγα ἐποίουν οὐδὲ ἀντίρροπον τὴν μετάνοιαν ἐπεδείκνυον D.

96. — [1] ἀγωνισαμένου N. — [2] οὕτω γοῦν καλῶς ἀγωνισαμένου καὶ προκόψαντος ἐν ταῖς ἀρεταῖς διεβεβαιοῦτο ὁ μακ. παχ. περὶ αὐτοῦ ἐπὶ πάσης τῆς ἀδελφότητος λέγων D. — [3] (δ. ὑμ.) ὡς ἀληθῶς D. — [4] λέγω ὑμῖν add. D. — [5] om. N. — [6] συνέστη D. — [7] ἐκ π. om. D. — [8] οὕτως ἀκριβῶς add. D. — [9] (μου παντ. εἰ μὴ) τοῦ ἐμοῦ βίου πλὴν D. — [10] βαφεῖσα D. — [11] τῷ ἁγ. πν. ND ; οὐκ ἂν ῥαδίως ἀπαλειφθείη add. D, — [12] οἱοντο P,

Λ 4 b. ἕνα εἶναι Θεόδωρον [13], ἄλλοι [14] δὲ Πετρώνιον, ἄλλοι δὲ Ὡρσίσιον [15]. Ἐπερωτήσαντος [16] δὲ τοῦ Θεοδώρου τὸν ἅγιον ἄνδρα [17] περὶ τίνος λέγει, οὐκ ἠθέλησεν εἰπεῖν. Ἐπιμείναντος δὲ τοῦ Θεοδώρου καὶ τῶν λοιπῶν μεγάλων [18] ἀδελφῶν [19] παρακαλούντων μαθεῖν τίς ἂν εἴη ὁ τοιοῦτος, ἀπεκρίθη τούτοις [20] ὁ μέγας λέγων· « Ἐπ' ἀληθείας εἰ ἤδειν ὅτι κενοδοξῆσαι ἔχει περὶ οὗ [21] μέλλω λέγειν, οὐκ ἂν συνέστησα τὸν τοιοῦτον [22]. Ἀλλ' ἐπειδὴ [23] οἶδα ἀκριβῶς ὅτι ἐπαινούμενος μᾶλλον ταπεινοῖ ἑαυτὸν καὶ εὐτελίζει [24] πλέον [25], διὰ τοῦτο πρὸς τὸ μιμεῖσθαι ὑμᾶς τὸν κάλλιστον αὐτοῦ τρόπον [26], καὶ [27] ἐπὶ πάντων ὑμῶν μακαρίσω [28] αὐτόν [29]. Σὺ μὲν [30] γάρ, Θεόδωρε, καὶ ὅσοι εἰσὶ [31] κατὰ σὲ ἐν τῇ μονῇ ἀγωνιζόμενοι, κατὰ μὲν τὸν [32] χρόνον καὶ τὴν ἄσκησιν πατέρες αὐτοῦ ἐστε· κατὰ δὲ τὴν βαθεῖαν ταπείνωσιν καὶ τὸ καθαρὸν τοῦ συνειδότος, μέγας ἐκεῖνός ἐστιν. Ὑμεῖς [33] γὰρ δήσαντες τὸν διάβολον ὡς στρουθίον ὑπὸ τοὺς πόδας ὑμῶν ἐθήκατε καὶ καθ' ἑκάστην καταπατεῖτε αὐτὸν ὡς χῶμα· ἀλλὰ ἐὰν ἀμελήσητε ἑαυτῶν θαρροῦντες [34], ἀναστὰς ὁ ὑπὸ τοὺς πόδας ὑμῶν κείμενος φεύξεται μέν [35], πάλιν [36] δὲ ἀνθυποστρέψας καθ' ὑμῶν στρατεύσεται [37]. Ὁ δὲ νεώτερος Σιλβανός, ὁ πρὸ χρόνου ὀλίγου ἐκβάλλεσθαι [38] τῆς μονῆς μέλλων διὰ τὴν ἀμέλειαν αὐτοῦ, οὕτως [39] ἐχειρώσατο παντελῶς τὸν διάβολον καὶ ἐξηφάνισεν αὐτόν, ὡς μὴ δύνασθαι ἔτι φανῆναι παρ' αὐτῷ, τῇ ὑπερβολῇ τῆς αὐτοῦ ταπεινοφροσύνης εἰς τέλος νικήσας αὐτόν. Καὶ ὑμεῖς μὲν οἱ καθεξῆς [40] ταπεινοῦντες ἑαυτοὺς [41] ὡς προσθήκην ποιούμενοι τῆς ἑαυτῶν [42] ἀρετῆς [43], ἔτι [44] ἑαυτοὺς ταπεινώσατε [45] θαρροῦντες [46] ὅτι ἀπροσωπόληπτος [47] ὁ μισθαποδότης [48]. Οὗτος δὲ ὅσον ἀγωνίζεται, τοσοῦτον

Cf. Iob 40,24

[13] τὸν ἕνα ἐκεῖνον θεόδ. εἶναι N ; (ὤοντο - θεόδ.) οἱ δὲ ἀκούσαντες οἱ μὲν τὸν θεόδωρον ὤοντο τὸν ἕνα ἐκεῖνον εἶναι D. — [14] οἱ D. — [15] ὀρσίσιον ND. — [16] ἐρομένου D. — [17] (ἅγ. ἄ.) ὅσιον D. — [18] om. N ; ἐπιμένοντος δὲ αὐτοῦ μετὰ τῶν λοιπ. μεγ. D. — [19] ἀξιούντων καὶ add. D. — [20] αὐτοῖς ND. — [21] (περὶ οὗ) ὁ περὶ ὃν ὁ λόγος ὑπὲρ ὧν D. — [22] οὐδὲ δῆλον ἐποίησα add. D. — [23] litteras aliquot (ἀννικῶς ?) add. dein del. N. — [24] ἐξευτελίζει D. — [25] om. D. — [26] τοὺς καλλίστους αὐτοῦ τρόπους D. — [27] om. N. — [28] ἐμακάρισα N. — [29] (καὶ ἐπὶ - αὐ.) ἤδη φανερὸν αὐτὸν καθίστημι D. — [30] om. ND. — [31] οἱ N, om. D. — [32] om. P. — [33] μὲν add. D. — [34] ὡς θαρρ. N ; ἀλλ' ἐὰν θαρρήσαντες ἀμελ. ὑμῶν αὐτῶν D. — [35] τὸ πρῶτον D. — [36] αὖθις N. — [37] στρατεύσηται P, ἐπιστρατεύσει καθ' ὑμ. D. — [38] ἐκβαλέσθαι D. — [39] οὗτος ND. — [40] οἱ κ. om. N ; ἀδελφοὶ add. D. — [41] καὶ add. D, εἰστοεξῆς add. N. — [42] ὑμῶν αὐτῶν D. — [43] διακείμενοι add. D. — [44] ἔτι μᾶλλον D, ὅτι οὕτως N. — [45] ταπεινώσετε D, ἐταπεινώσατε N. — [46] ἐκδέχεσθαι τὴν τῶν καμάτων ἀμοιβήν add. N. — [47] ἐστιν add. D. — [48] ὅτι ὁ μισθ. ἀπρ. N,

ἀδόκιμον ἑαυτὸν [49] ἀποφαίνει ἐξ ὅλης αὐτοῦ ψυχῆς [50] καὶ διανοίας ἀχρεῖον καὶ εὐτελῆ ἑαυτὸν ἐνθυμούμενος εἶναι [51]. Διὰ τοῦτο γὰρ [52] καὶ τὸ δακρύειν [53] πρόχειρον ἔχει [54] ἐκ τοῦ πάνυ ἑαυτὸν ἐξευτελίζειν [55], καὶ τῶν ὁρωμένων [56] ἀνάξιον εἶναι λέγων [57]. Ὥστε ὑμεῖς μὲν καὶ τῇ γνώμῃ [58] καὶ τῇ ὑπομονῇ καὶ τοῖς [59] κατὰ τοῦ διαβόλου μετρητοῖς [60] ἀγῶσιν ὑμῶν ὑπερέχετε αὐτοῦ· ὁ δὲ τῇ ταπεινοφροσύνῃ ὑπεραναβέβηκεν ὑμῶν. Οὐδὲν γὰρ ἄλλο [61] τὸν διάβολον ἐκνευροῖ [62] ὡς ἡ μετὰ πρακτικῆς δυνάμεως [63] ἐξ ὅλης ψυχῆς γινομένη ταπεινοφροσύνη. » Οὕτως οὖν ἀγωνιζόμενος [64] Σιλβανὸς ἐν ὅλοις ὀκτὼ ἔτεσιν ἐκοιμήθη [65] ἐν εἰρήνῃ, τελέσας τὸν καλὸν ἀγῶνα καὶ καταπαύσας αὐτοῦ τὸν βίον ἐν Κυρίῳ [66], ὡς μαρτυρῆσαι τὸν τοῦ Χριστοῦ θεράποντα Παχώμιον περὶ τῆς ἐξόδου αὐτοῦ, ὅτι πλῆθος ἄπειρον [67] ἁγίων ἀγγέλων τεθέαται [68] μετὰ χαρᾶς μεγάλης καὶ ψαλμῳδίας τὴν ψυχὴν αὐτοῦ λαβόντας [69]· καὶ ὡς ἐκλεκτὴν θυσίαν καὶ ὡς παράδοξον ἐν οὐρανοῖς εὑρεθὲν θυμίαμα προσήνεγκαν [70] τῷ Θεῷ [71].

I Tim. 6,12.

97. Λ 5. Ἐγένετο δέ [1] ποτε τῷ ἁγιωτάτῳ πατρὶ ἡμῶν Παχωμίῳ ἀπελθεῖν [2] εἰς ἕτερον μοναστήριον ἐπισκέψασθαι τοὺς ἐκεῖσε ἀδελφοὺς τὸ πῶς ἔχουσιν. Ἀπερχόμενος δὲ ἀπήντησε [3] προκομιδὴν [4] κοιμηθέντος [5] ἀδελφοῦ ἐκ τῆς [6] μονῆς ἐκείνης εἰς ἣν ἀπῄει. Ἦσαν δὲ [7] πάντες οἱ ἀδελφοὶ τῆς μονῆς ψάλλοντες ἐν τῷ ἐξοδίῳ [8]. Ὑπῆρχον [9] δὲ σὺν αὐτοῖς [10] καὶ οἱ γονεῖς καὶ [11] συγγενεῖς τοῦ κοιμηθέντος. Ἰδόντες δὲ [12] οἱ ἀδελφοὶ [13] πόρρωθεν τὸν ἅγιον [14]

[49] om. N. — [50] (αὐ. ψ.) ψ. αὐ. N. — [51] τοσοῦτον ἐξ ὅλης ψ. αὐτοῦ καὶ διαν. ἀχρ. καὶ εὐτ. καὶ ἀδόκ. ἑαυτὸν καὶ λογίζεται καὶ λέγει καὶ τῶν ὁρωμένων πάντων ἀνάξιον ἡγεῖται D. — [52] om. D. — [53] δάκρυον D. — [54] καὶ ἀέναον add. D. — [55] εὐτελίζειν N. — [56] πάντων add. N. — [57] (ἐκ τοῦ πάνυ - λέγ.) om. D. — [58] (καὶ τῇ γν.) τῇ γνώσει D. — [59] om. N ; λοιποῖς add. D. — [60] ita PND ; cf. Λ : ἀμετρητοῖς. — [61] οὕτως D, οὕτω add. N. — [62] (τ. δ. ἐ.) ἐ. τ. δ. N. — [63] ὡς ἡ μετὰ γνώσεως καὶ διακρίσεως καὶ πράξεως D. — [64] ἀγωνισάμενος ὁ μακάριος D. — [65] ἐτελεύτησεν ND. — [66] τελέσας ἐν κυρίῳ τὸν καλ. ἀγ. καὶ τὸν δρόμον τὸν ἔνθεον D. — [67] οὐκ εὐαρίθμητον D. — [68] τεθεᾶσθαι P. — [69] παραλαβόντας D. — [70] προσηνέχθη P. — [71] καὶ ὡς θυσ. ἐκλ. καὶ θυμ. εὐῶδες τῷ θεῷ προσενεγκόντας D.

97. — [1] om. N. — [2] (ἐγένετο - ἀπ.) ἀπερχομένου ποτὲ τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν παχωμίου D. — [3] (τὸ πῶς - ἀπήντησε) ὑπήντησεν D. — [4] προσκομιδὴν P, ἐκκομιδήν N, ἐκφορὰν D. — [5] τεθνεῶτος D. — [6] ἐκ τῆς corr. ex εἰς τὴν P. — [7] ἐκεῖ add. D. — [8] ἐν τῷ ἐξ. om. D. — [9] ἔτι D. — [10] σὺν αὐ. om. D. — [11] οἱ add. sup. lin. D. — [12] οὖν D. — [13] τῆς μονῆς add. N. — [14] ὅσιον D,

ἐρχόμενον πρὸς αὐτούς, ἔστησαν καὶ [15] ἀπέθεντο [16] τὸν κράβ-
βατον ἐπὶ τῆς γῆς [17], ἵνα ἐλθὼν εὐχὴν ποιήσῃ [18] ἐπάνω αὐτοῦ [19].
Ἱστάμενοι οὖν οἱ ἀδελφοὶ [20] ἔψαλλον μετὰ τῶν κοσμικῶν [21]
ἄχρι τῆς παρουσίας αὐτοῦ [22]. Ἐλθὼν οὖν καὶ εὐξάμενος [23] ὁ μακά-
ριος [24] ἐκέλευσε τοῖς ἀδελφοῖς μηκέτι ψάλλειν ἔμπροσθεν αὐτοῦ [25]· 5
καὶ ποιεῖ ἐξενεχθῆναι τὰ ἱμάτια τοῦ κοιμηθέντος ἀδελφοῦ [26], καὶ
ἔμπροσθεν [27] πάντων καῆναι [28] αὐτὰ παρακελεύεται [29]. Καυθέντων
δὲ αὐτῶν, προσέταξεν ἀρθῆναι τὸ σκήνωμα αὐτοῦ [30] καὶ ἄνευ
ψαλμῳδίας [31] ταφῆναι αὐτό. Τῶν δὲ ἀδελφῶν σὺν τοῖς γονεῦσι καὶ
συγγενέσι τοῦ τετελευτηκότος ῥιφάντων ἑαυτοὺς [32] ὑπὸ τοὺς 10
πόδας αὐτοῦ [33] ἐπὶ τῷ [34] συγχωρηθῆναι ψάλλεσθαι [35] αὐτῷ [36], οὐκ
ἠνέσχετο τοῦτο ποιῆσαι. Τῶν δὲ γονέων αὐτοῦ λεγόντων [37]·
« Τί ποιεῖς, ὦ πάτερ, τὸ καινὸν τοῦτο καὶ ἀθέμιτον πρᾶγμα καὶ
ξένον τῆς χριστιανικῆς παραδόσεως προσάπτων τῷ γένει ἡμῶν [38];
Οὐ πρέπει τῇ σῇ ἁγιότητι τοιαύτην ἀσπλαγχνίαν ἐπιδείκνυσθαι [39] 15
ἐπὶ νεκρῷ, ὡς [40] καὶ βαρβάρων ὠμότητα ὑπερβαίνειν τὸ γινόμενον [41].
Ποῖος γὰρ ἐχθρὸς ὁρῶν τοῦ ἀντιδίκου αὐτοῦ τὸ σκήνωμα ἀκίνητον
καὶ ἄφωνον [42] κείμενον, εἰς συμπάθειαν ἐλθὼν [43] οὐκ οἰκτειρήσειεν
ἄν [44]; Νῦν δὲ [45] καινότερον θέαμα εἴδομεν παρ' ἡμῖν τοῖς χριστια-
νοῖς, ὃ οὐδὲ παρὰ βαρβάροις ὤφθη ποτέ. Ὄνειδος γὰρ [46] ἀνεξά- 20
λειπτον προσάγεις [46] τῷ γένει ἡμῶν [47] διὰ τῆς τοιαύτης ἀσπλαγ-
χνίας [48]. Εἴθε μὴ εἴδομέν σε σήμερον, ἵνα μὴ αἰώνιον μῶμον διὰ
σοῦ ὁ οἶκος ἡμῶν κληρονομήσῃ [49]. Εἴθε μὴ μετῆλθε τὸν ἀγριώ-
τατον [50] καὶ ἀσυμπαθῆ βίον τοῦτον [51] ὁ ἄθλιος οὗτος υἱὸς ἡμῶν·
οὐ γὰρ ἂν κατέλιπεν ἡμῖν τὴν αἰώνιον ταύτην ὀδύνην. Εἰ γὰρ [52] 25

[15] ἔ. καὶ om. ND. — [16] κατέθεντο D. — [17] ἐπὶ τὴν γῆν ND. — [18] ποιήσοιεν D. — [19] τοῦ λειψάνου D. — [20] (ἱστ. - ἀδ.) αὐτοὶ δὲ πάντες ἱστ. D. — [21] μ. τ. κ. om. D. — [22] ἄχρις ἂν ἀφίκηται D. — [23] καὶ εὐξ. om. D. — [24] καὶ εὐχὴν ποιησάμενος add. D. — [25] ἔμπρ. αὐ. om. D. — [26] ἃ add. N; (καὶ ποιεῖ - ἀδ.) ἀλλὰ καὶ τὰ ἐνδύματα αὐτοῦ τοῦ τεθνηκότος ἐξεν. D. — [27] ἐνώπιον D. — [28] κατακαῆναι ND. — [29] om. D. — [30] προσέταξε τὸ σκ. αὐ. ἀρθ. N. — [31] ἀπενεχθῆναι καὶ add. D. — [32] ἑαυτῶν N. — [33] τοῦ (corr., prius τούτου) ὁσίου D. — [34] (ἐπὶ τῷ) ἐφ' ᾧ D. — [35] ψάλλειν N. — [36] αὐτόν ND. — [37] οἱ δὲ γονεῖς αὐτοῦ τοιαῦτα ἐβόων D. — [38] ὄνειδος add. N; πρ. τῷ γ. ἡμ. om. D. — [39] ἐνδείκνυσθαι D. — [40] τῷ D. — [41] (ὑ. τὸ γ.) μαλάσσειν ἱκανῶ D. — [42] (ἀκ. κ. ἄφ.) ἄφ. κ. ἀκ. D. — [43] εἰς σ. ἐ. om. ND. — [44] ὀκτειρήσειεν ἄν P, ἂν οἰκτ. D; ἐλθὼν εἰς συμπάθειαν add. N. — [45] om. D; καὶ add. N. — [46] om. D. — [47] προσάπτεις add. D. — [48] ἀσυμπαθείας D. — [49] ἐκληρονόμησεν D. — [50] ἠγριωμένον D. — [51] (β. τ.) τ. β. D. — [52] (εἰ γὰρ) ἀλλ' εἰ D.

καὶ τὰ ἱμάτια αὐτοῦ καυθῆναι ἐποίησας [53], τὸν ψαλμὸν συγχώρησον
λεχθῆναι [54]. »

98. Ἀποκριθεὶς [1] δὲ [2] ὁ μακάριος Παχώμιος εἶπεν [3] αὐτοῖς· Λ 6.
« Ἀληθῶς, ἀδελφοί, πλεῖον ὑμῶν οἰκτείρω τὸν κείμενον τοῦτον,
καὶ περισσοτέραν φροντίδα ποιούμενος εἰς αὐτὸν ὡς πατὴρ προσέ-
ταξα [4] τοῦτο γενέσθαι. Ὑμεῖς [5] γὰρ τοῦ φαινομένου [6] φροντίδα
ποιεῖσθε, ὅπερ καὶ μὴ βουλομένων ὑμῶν εἰς γῆν λυθὲν [7] χάριτας
ὑμῖν οὐχ ὁμολογήσει. Ἐγὼ δὲ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἀγωνίζομαι.
Ἐὰν γὰρ ψάλλετε [8] αὐτῷ [9], πλείονες αὐτὸν διαδέξονται κολάσεις
ἀπαιτούμενον [10] ὑπὲρ τῶν ψαλλομένων [11] λόγον, ὅτι [12] οὐκ ἀπῆλθεν
ἔχων τῶν ψαλμῶν τὴν δύναμιν. Εἰ μὲν οὖν ἀληθῶς θέλετε προσθή-
κην αὐτῷ ποιῆσαι τῶν αἰωνίων ὀδυνῶν, ψάλλετε [13] αὐτῷ [14]· καὶ
πλέον ὀδυνώμενος [15] καταράσεται ὑμῖν [16]. Εἰδὼς οὖν [17] ἐγὼ [18] τὸ
συμφέρον [19] τῆς ψυχῆς αὐτοῦ [20] οὐκ ἐπιμελοῦμαι τοῦ νεκροῦ σώ-
ματος αὐτοῦ, τοῦ μετ' ὀλίγον εἰς γῆν ἀναλυομένου. Ἐὰν γὰρ [21]
συγχωρήσω ὑμῖν [22], ὡς ἀνθρωπάρεσκος εὑρίσκομαι [23] παρὰ τῷ
Θεῷ, ὅτι ἕνεκεν ἀνθρώπων πληροφορίας τὸ συμφέρον τῆς ψυχῆς
παριδὼν κατεφρόνησα τῆς μελλούσης ἐν κρίσει κολάσεως [24].
Πηγὴ γὰρ ὑπάρχων ἀγαθότητος [25] ὁ Θεὸς ζητεῖ προφάσεις [26]
δι' ὧν δράξασθαι δύναται [27] τοῦ πηγάζειν εἰς ἡμᾶς τὰ [28] τῆς ἑαυτοῦ
χρηστότητος ῥεῖθρα [29]. Ἐὰν οὖν [30] ἡμεῖς, οἱ παρὰ Θεοῦ καταξιω-
θέντες [31] τῆς θείας αὐτοῦ [32] ἰατρικῆς [33] ἔμπειροι εἶναι, μὴ [34] τὸ
ἐπιτήδειον βοήθημα [35] ἑκάστῳ πάθει προσφέρωμεν, ὡς καταφρο-
νηταὶ εἰκότως ἀκουσόμεθα [36] τὸ θεῖον λόγιον [37]· « Ἴδετε οἱ καταφρο- Hab. 1, 5.

[53] ἀλλὰ add. N. — [54] (τὸν ψ. συγχ. λ.) κἂν τοῦ ψαλθῆναι συγχ. αὐτὸν πάτερ D.

98. — [1] ταῦτα καὶ τὰ παραπλήσια τούτοις αὐτῶν ἀποδυρομένων praemittit D. — [2] om. D. — [3] λέγει D. — [4] prius προσέταξε N. — [5] μὲν add. D. — [6] τούτου add. D. — [7] διαλυθέν D. — [8] ψάλλητε N, ψάλητε D. — [9] αὐτόν D. — [10] ἀπαιτούμενος P; καὶ add. D. — [11] τοῦ ψαλλομένου N, τῆς ψαλμωδίας D. — [12] οὐκ ἦν ἄξιος ταύτης διότι add. D. — [13] ψάλατε ND. — [14] αὐτὸν D. — [15] ὀδυνηθησόμενος N. — [16] ὑμᾶς D. — [17] (εἰδ. οὖν) ἀλλ' N, om. D. — [18] γὰρ add. D. — [19] εἰδὼς add. N. — [20] εἰδὼς add. D. — [21] om. ND. — [22] γενέσθαι καθὼς ὑμεῖς λέγετε N; ὅπερ αἰτεῖσθε add. D. — [23] εὑρεθήσομαι D. — [24] τὸ συμφ. παρεῖδον τῆς ψ. καὶ κατ. τῆς αἰωνίου κολ. D. — [25] (ὑπ. ἀγ.) ἀγ. ὢν ND. — [26] πρόφασιν μικρὰν ἀφ' ἡμῶν D. — [27] δι' ὧν δρ. δύν. om. D. — [28] ῥεῖθρα add. D. — [29] ἵνα μὴ τὸ πᾶν αὐτοῦ λογίζηται ἀλλὰ καὶ ἡμῶν D. — [30] δὲ N. — [31] (ἐὰν - κατ.) ἡμεῖς γὰρ οἱ κατ. παρὰ θ. D. — [32] om. D. — [33] ἐπιστήμης add. N. — [34] ἐὰν μὴ D. — [35] (ἑ. β.) κατάλληλον φάρμακον D. — [36] εἰκ. ἀκ. καὶ ἡμεῖς ὡς κατ. D. — [37] τοῦ θείου λόγου N, παρὰ τοῦ θείου λόγου D.

νηταὶ καὶ θαυμάσατε καὶ ἀφανίσθητε. » Διὰ τοῦτο παρακαλῶ ὑμᾶς[38], πρὸς τὸ κουφισθῆναι αὐτὸν τῆς μελλούσης τιμωρίας, χωρὶς ψαλμῶν ἄρατε αὐτόν[39]. Δύναται γὰρ ὁ Θεὸς ἀγαθὸς ὢν ὑπὲρ ταύτης τῆς γεναμένης[40] αὐτῷ ἀτιμίας ἄνεσιν αὐτῷ παρασχεῖν καὶ εἰς ζωὴν ἀνακαλέσασθαι[41]. Εἰ γὰρ ἤκουσέ[42] μου πολλάκις νουθετηθεὶς παρ' ἐμοῦ, οὐκ ἂν ἔφθασεν εἰς ταῦτα[43]. » Καὶ[43*] ταῦτα εἰπόντος τοῦ ἁγίου[44], ἀπηνέχθη[45] εἰς τὸ ὄρος[46] χωρὶς ψαλμοῦ[47] καὶ
Φ 103. ἐτάφη[48]. Προσφορὰ δὲ ὑπὲρ αὐτοῦ[49] ἐγένετο[50]. Τοῦτο δὲ ἐποίησεν ὁ μέγας[51] ἐκφοβῶν πάντας[52] μὴ καταφρονεῖν τῆς ἑαυτῶν σωτηρίας.
Cf. II Cor. 12, 2. Πῶς[53] δὲ ἠνέσχετο αὐτοῦ[54] ἕως καὶ ἀποθανόντος[55], οὐκ οἴδαμεν[56]· ὁ Θεὸς οἶδεν. Τοῦτο δὲ[57] γινώσκομεν ὅτι οἱ ἄνθρωποι τοῦ Θεοῦ οὐδὲν βλαβερὸν[58] ποιοῦσιν· ἀλλὰ[59] τὸ ἀπότομον αὐτῶν καὶ ἡ χρηστότης μεμιγμένη[60] ἐστὶ καὶ μεμετρημένη γνώσει τελείᾳ[61].

Λ 6 b. **99.** Ἐποίησε δὲ ἡμέρας ὀλίγας ἐν τῇ μονῇ ἐκείνῃ[1], νουθετῶν καὶ διδάσκων ἕνα ἕκαστον τῶν ἀδελφῶν πρὸς τὸν φόβον τοῦ Θεοῦ καὶ[2] πῶς δεῖ ἀγωνίζεσθαι πρὸς τοὺς πειρασμοὺς τοῦ διαβόλου καὶ τὰς μετεμπλοκὰς[3] αὐτοῦ[4] καὶ ὀξυδόρκως ἀναλαβόντας ἡμᾶς[5]
Eph. 6, 16. τὸν θυρεὸν τῆς πίστεως ἀκυρῶσαι αὐτοῦ καθ' ἡμῶν τὰ[6] σπουδαζόμενα τῇ δυνάμει τοῦ Κυρίου[7].

Λ 13. **100.** Ἔτι δὲ αὐτοῦ ἐκεῖ ὄντος[1], ἀνηγγέλη[2] αὐτῷ ὅτι· « Ὁ δεῖνα

[38] χωρὶς ψαλμωδιῶν θάψατε αὐτὸν add. D.— [39] χωρὶς ψ. ἄ. αὐ. om. D.— [40] γενομένης N. — [41] (δύναται γὰρ - ἀνακαλ.) om. D.— [42] ἦν οὗτος ἀκούσας D. — [43] οὐκ ἂν τοιαῦτα τούτῳ συμβεβήκεισαν D ; ποιήσατε οὖν ὅπερ ὑμῖν ἐντέλλομαι μετὰ πληροφορίας καὶ πίστεως καὶ ὁ θεὸς ἐλεήμων καὶ οἰκτίρμων ὑπάρχων οὐ μικρὰν ἐκεῖθεν αὐτῶπαρέξει τὴν ἄνεσιν ὑπὲρ τῆς ἀτιμίας ταύτης add. D. — [43*] om. D.— [44] μεγάλου D. — [45] ἀπήνεγκαν τὸ σῶμα N. — [46] ὁ νεκρὸς add. D. — [47] ψαλμωδίας N, ψαλμωδιῶν D. — [48] (κ. ἐ.) αὐτὸ θάψαντες N.— [49] οὐκ videtur supplendum; cf. Φ.— [50] εἶτα ἐγέν. προσφ. ὑπὲρ αὐ. D.— [51] οὐ μόνον ὑπὲρ τοῦ τεθνηκότος ἀλλὰ καὶ τοὺς λοιποὺς add. D. — [52] πρὸς τὸ D. — [53] ὅπως D. — [54] τοῦ τετελευτηκότος D. — [55] ἕως θανάτου ἀμελοῦς ὄντος D, ἄχρι τοῦ θανάτου αὐτοῦ N. — [56] ἴσμεν ἡμεῖς D. — [57] (τ. δὲ) πλὴν τ. D ; μόνον add. N. — [58] ἁπλῶς καὶ ὡς ἔτυχε D. — [59] καὶ add. ND. — [60] (καὶ ἡ χρ. μ.) τῇ χρηστότητι μεμιγμένον N. — [61] καὶ ἡ χρηστ. μετὰ γνώσεως τελείας καὶ πνευματικῆς ἐστι διακρίσεως D.

99. — [1] om. N ; παρέμεινε δὲ ὁ πατὴρ ἐν ταύτῃ τῇ μονῇ ὁλ. ἡμ. D.— [2] (πρὸς - καὶ) om. D. — [3] μηχανὰς ND. — [4] καὶ ποικιλίας add. D. — [5] (καὶ ὀξ. ἀν. ἡμ.) καὶ διεγείρων αὐτοὺς πρὸς τὸν φόβον τοῦ θεοῦ καὶ πρὸς τὸ κατέχειν εὐτόνως D.— [6] (καθ' ἡμ. τὰ) τὰ καθ' ἡμ. N.— [7] (ἀκυρῶσαι κτλ.) δι' ὧν δυνήσονται σὺν θεῷ πάντα τὰ κατ' αὐτῶν σπουδαζόμενα τοῖς δαίμοσιν ἀκυροῦν D.

100. — [1] ἔτι οὖν ἐκεῖσε ὄντος τοῦ μεγάλου D. — [2] ἀνηγγέλλει PN.

ὁ[3] ἀδελφὸς τῆς ἐν τῇ Χηνοβοσκῶν μονῆς[4] οὕτω καλουμένης[5] νοσεῖ ἰσχυρῶς καὶ θέλει[6] σε ἰδεῖν[7] καὶ εὐλογηθῆναι[8] πρὸ τοῦ[9] ἀποθανεῖν[10]. » Ἀκούσας δὲ ταῦτα[11] ὁ ἄνθρωπος τοῦ Θεοῦ ἀναστὰς ἠκολούθει αὐτοῖς[12]. Γενομένου δὲ αὐτοῦ ἀπὸ δύο μιλίων[13] τῆς μονῆς ἐκείνης[14], ἤκουσε[15] φωνὴν ἐν τῷ ἀέρι ἱεράν[16]· καὶ ἀνανεύσας εἶδε[17] τὴν ψυχὴν τοῦ καλουμένου[18] ἀδελφοῦ μετὰ τῶν ἁγίων ἀγγέλων ψάλλουσαν καὶ εἰς τὴν μακαρίαν[19] ζωὴν τοῦ Θεοῦ[20] ἀπαγομένην. Τῶν δὲ ἀκολουθούντων αὐτῷ[21] ἀδελφῶν ἀγνοούντων δι' ἣν αἰτίαν[22] ἠτένιζεν ἐν τῷ ἀέρι[23], μηδὲν ἀκουσάντων ἢ[24] θεασαμένων, ἔλεγον αὐτῷ· « Τί στήκεις[25], ὦ[26] πάτερ ; Ἀπέλθωμεν τὸ τάχος ἵνα ζῶντα καταλάβωμεν τὸν ἀδελφόν. » Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· « Οὐ καταλαμβάνομεν αὐτὸν ζῶντα· ἰδοὺ γὰρ αὐτῷ ἀτενίζω ἀναγομένῳ εἰς ζωήν[27]. Ἀπέλθατε[28] οὖν ὑμεῖς ἐν εἰρήνῃ εἰς τὴν μονὴν ὑμῶν, τέκνα. » Παρακληθεὶς δὲ ὑπὸ τῶν ἀδελφῶν εἶπεν[29] αὐτοῖς τὸν τρόπον τῆς θεωρίας. Καὶ ὑποστρέψαντες εἰς τὴν μονὴν αὐτῶν[30] καὶ πυθόμενοι περὶ τῆς κοιμήσεως αὐτοῦ[31] ἐγνώρισαν[32] ἀκριβῶς τὴν ὥραν[33] ἐν ᾗ εἶπεν αὐτοῖς ὁ μέγας[34] καὶ εὗρον περὶ τοῦ ἀδελφοῦ οὕτως ἀληθῆ[35].

101. Τοῦ δὲ ἁγίου ἀπερχομένου[1] εἰς τὸ ἴδιον[2] αὐτοῦ[3] μοναστήριον καὶ γενομένου περὶ τὴν ἔρημον τὴν λεγομένην Ἀμνῶν[4], ἐπέστησαν αὐτῷ λεγεῶνες δαιμόνων ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων[5] παρακολουθοῦντες αὐτῷ[6] καὶ ἄλλοι[7] προτρέχοντες καὶ λέγοντες·

Λ 14.

[3] om. ND.— [4] (τῆς - μον.) ὁ ἐν τῇ μονῇ τῆς χην. N, ἐν τῇ χην. μονῇ D. — [5] καλουμένη D. — [6] ἐπιζητεῖ D. — [7] (σε ἰ.) θεάσασθαί σε D. — [8] παρὰ σοῦ add. D. — [9] αὐτὸν add. N. — [10] αὐτόν add. D. — [11] (ἀκ. δὲ τ.) τ. ἀκ. D.— [12] (ἠκ. αὐ.) ἐπορεύετο πρὸς αὐτόν D. — [13] (γενομ. - μιλίων) καὶ διελθόντος ὡσεὶ μίλια δύο ἀπὸ D. — [14] ἧς ἐξῆλθεν D. — [15] θείαν add. D. — [16] om. D. — [17] ὁρᾷ D. — [18] PN ; προσκαλεσαμένου αὐτόν D ; recte κακουμένου Λ. — [19] καὶ ἀτελεύτητον add. D. — [20] τ. θ. om. ND. — [21] om. N. — [22] τῶν δὲ σὺν αὐτῷ ὄντων ἀδ. ἀγν. τὴν αἰτ. δι' ἣν D. — [23] ἅτε add. D. — [24] μήτε D. — [25] ἵστασαι ND. — [26] om. ND. — [27] αἰώνιον add. D. — [28] ἀπέλθετε D. — [29] (παρακλ. - εἶπεν) οἱ δὲ παρακαλέσαντες αὐτὸν ἐξεῖπεν D. — [30] εἰς τὴν ἰδίαν μον. D. — [31] τοῦ ἀδελφοῦ ND. — [32] ἔγνωσαν N, ἔμαθον D. — [33] ὅτι αὕτη ἦν add. N. — [34] τὴν τελευτὴν αὐτοῦ add. N. — [35] (τὴν ὥραν κτλ.) ὅτι ἐν τῇ ὥρα ἐν ᾗ ὁ μέγας ἐθεάσατο τὴν θεωρίαν ἐν αὐτῇ τετελεύτηκεν D ; (καὶ εὗρον κτλ.) om. N.

101. — [1] ἀπερχ. δὲ τοῦ ὁσίου D. — [2] om. D. — [3] ἑαυτοῦ D. — [4] ἀμνὸν D. — [5] αὐτοῦ add. D. — [6] (π. αὐ.) παραπορευόμενοι D. — [7] (καὶ ἄ.) ἄ. δὲ D.

« Ἴδε ὁ εὐλογημένος ἄνθρωπος τοῦ Θεοῦ [8]. » Τοῦτο δὲ ἐποίουν κενοδοξίαν αὐτῷ βουλόμενοι [9] ἐπισπεῖραι [10]. Ὁ δὲ γνοὺς τὴν κακουργίαν αὐτῶν [11], ὅσον ἐκεῖνοι ἔκραζον εὐφημοῦντες αὐτόν, τοσοῦτον αὐτὸς ἀναβοῶν πρὸς τὸν Θεὸν ἐξωμολογεῖτο τὰς ἑαυτοῦ ἁμαρτίας. Ἔλεγε δὲ καὶ πρὸς αὐτούς · « Οὐ δύνασθέ με συναρπάσαι πρὸς [12] κενοδοξίαν, ὦ ἀνοσιώτατοι. Οἶδα γάρ μου τὰς ἀνομίας, δι' ἃς ὀφείλω πάντοτε κλαίειν περὶ τῆς αἰωνίου κολάσεως [13]. Οὐ δέομαι οὖν [14] τῆς παρ' ὑμῶν ψευδολογίας [15] καὶ δολερᾶς ἀπάτης [16] · ὑμῶν γὰρ τὸ ἔργον ἀπώλεια ψυχῶν ἐστιν [17]. Οὐ συναρπάζομαι οὖν [18] τοῖς [19] ὑμῶν [20] ἐπαίνοις. Οἶδα γὰρ [18] τὸ σοφὸν [21] τῆς κακίας [22] καὶ τῆς [18] ἀνοσίου ὑμῶν [18] γνώμης [23]. » Ταῦτα δὲ [18] τοῦ ἁγίου [24] Παχωμίου [18] λέγοντος πρὸς τοὺς δαίμονας [25], οὐδὲ οὕτως ἐπαύσαντο τῆς ἀναιδείας αὐτῶν, ἀλλὰ παρέμειναν [26] αὐτῷ [27] ἕως ἤγγισεν εἰσελθεῖν εἰς τὴν μονὴν αὐτοῦ · καὶ [28] τότε [29] ὡς [30] ἀσπαζόμενοι αὐτὸν [31] ἀνεχώρησαν [32].

Λ 15. **102.** Ἐξελθόντων δὲ τῶν ἀδελφῶν εἰς ἀπάντησιν [1] αὐτοῦ καὶ ἀσπασαμένων αὐτόν [2], παιδίον [3] ἐξελθὸν μετὰ τῶν ἀδελφῶν [4] ἤρξατο ἐντυγχάνειν αὐτῷ [5] λέγον · « Ἀληθῶς, ὦ πάτερ, ἀφ' οὗ εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν ἀπῆλθες ἕως ἄρτι, οὔτε λάχανον οὔτε ἀθὴρ ἐψήθη [6] ἡμῖν. » Πρὸς ὃν [7] χαριέντως ἀποκριθεὶς [8] εἶπεν · « Μὴ λυποῦ, τέκνον · ἐγὼ ἀπὸ τοῦ νῦν [9] ποιῶ ἐψηθῆναι ὑμῖν. » Περιελθὼν δὲ [10] τὴν μονὴν [11] εἰσῆλθεν [12] εἰς τὸ μαγειρεῖον · καὶ εὑρὼν τὸν μάγειρον ἐργαζόμενον ψιαθία [13] εἶπεν [14] αὐτῷ · « Πόσον χρόνον [15] ἔχεις μὴ ἐψῶν [16] τοῖς ἀδελφοῖς λάχανον ; » Ὁ δὲ ἔφη · « Δύο μῆνας. » Καὶ λέγει αὐτῷ [17] · « Τί τοῦτο ἐποίησας, τῶν ἐντολῶν καὶ κανόνων

[8] (ἄνθρ. τ. θ.) τ. θ. ἄνθρ. N. — [9] (αὐ. β.) β. αὐ. N. — [10] πρὸς κεν. καὶ οἴησιν αὐτὸν ἐπᾶραι βουλ. D. — [11] καὶ ἀπάτην add. D. — [12] οἴησιν καὶ κριθῶ D. — [13] om. D. — [14] (περὶ - κολ.) ἵνα μὴ εἰς κόλασιν αἰώνιον διὰ ταύτας καταγένωμαι add. D. — [15] ψευδοῦς D. — [16] συστάσεως καὶ δόξης D. — [17] (ὑμῶν γὰρ - ἐστιν) om. D, sed cf. annot. 23. — [18] om. D. — [19] ἀπατηλοῖς add. D. — [20] (τοῖς ὑμ.) ὑμ. τοῖς N. — [21] σοφιστικὸν D. — [22] ὑμῶν add. D. — [23] ὑμῶν γὰρ τὸ ἔργον ἀπώλεια ψυχῶν ἐστιν add. D. — [24] ὁσίου D. — [25] ἐκεῖνοι add. N. — [26] ἐπέμενον D. — [27] τὰ αὐτὰ δρῶντες D. — [28] om. ND. — [29] τηνικαῦτα γὰρ D. — [30] ὡσανεὶ D. — [31] λοιπὸν add. N. — [32] ἀνεχώρουν D.

102. — [1] ὑπάντησιν D. — [2] συνεξῆλθεν αὐτοῖς καὶ add. D. — [3] ἐκ τῆς μονῆς add. N. — [4] (ἐξ. μ. τ. ἀδ.) καὶ D. — [5] τῷ ἁγίῳ D. — [6] ἠψήθη D. — [7] δ ND. — [8] ὁ μέγας add. N. — [9] ἀπὸ τ. ν. om. ND. — [10] (π. δὲ) καὶ π. D. — [11] πᾶσαν add. D. — [12] καὶ add. D. — [13] ψιάθια D passim. — [14] λέγει D. — [15] καιρὸν D. — [16] ἐψήσας corr. sup. lin. N. — [17] (καὶ λ. αὐ.) καὶ δς πρὸς αὐτὸν D.

τῶν ἁγίων πατέρων κελευόντων κατὰ [18] σάββατον καὶ κυριακὴν ἐψεῖσθαι λάχανον τοῖς ἀδελφοῖς ; » Ὁ δέ φησι πρὸς αὐτόν [19] · « Ἀληθῶς [20], πάτερ, ἤθελον καθ' ἑκάστην ἡμέραν [21] αὐτοῖς ἐψεῖσθαι [22] · ἀλλ' ἐπειδὴ εἶδον ὅτι ἐψουμένων τῶν λαχάνων οὐκ ἐσθίουσι [23], τῶν ἀδελφῶν σχεδὸν πάντων ἐγκρατευομένων καὶ μὴ ἐσθιόντων τὸ ἔψημα, ἵνα οὖν μὴ τὸ [24] μετὰ τοσούτου κόπου γινόμενον ἀνάλωμα [25] μηδενὸς ἐσθίοντος [26] βληθῇ ἔξω — τεσσαράκοντα γὰρ ξέστας ἐλαίου βάλλομεν τῆς ἡμέρας [27] εἰς τὸ σύνηθες ἔψημα τῶν ἀδελφῶν — ἐπεὶ οὖν εἶδον ὅτι οὐκ ἐσθίουσι [28], τούτου χάριν οὐχ ἥψησα [29], ἄτοπον ἡγησάμενος [30] τὸ βαλεῖν [31] τοσαῦτα ἀναλώματα [32] ἔξω. Διὰ δὲ [33] τὸ μὴ ἀργόν με καθῆσθαι [34], ἐργάζομαι ψιαθία μετὰ τῶν ἀδελφῶν, λογισάμενος ἕνα καὶ μόνον ἀρκεῖν τῷ μαγειρείῳ [35] πρὸς τὸ καταρτῦσαι [36] μικρὰ βρώματα τοῖς μεταλαμβάνουσιν ἀδελφοῖς, ἅπερ εἰσὶ λαψάναι [37] μετὰ ὄξους καὶ ἐλαῖαι καὶ σκουρδουμᾶς καὶ λεπτολάχανα. »

103. Ἀκούσας δὲ ταῦτα [1] ὁ ἅγιος [2] γέρων εἶπεν [3] αὐτῷ · « Ἐπληροφόρησας [4] ἐν τῇ ἐπινοίᾳ [5] τῆς πολυλογίας [6] τὸν λογισμόν [7], ἢ ἔτι εἰσὶν [8] ἕτερα ; Εἰπέ [9]. » Τοῦ δὲ σιωπήσαντος, εἶπεν αὐτῷ [10] · « Πόσα ψιαθία ἐποιήσατε ὑμεῖς οἱ ἀπὸ [11] τοῦ μαγειρείου σχολάσαντες εἰς τοῦτο τὸ ἔργον [12] ; » Ὁ δέ φησι [13] · « Πεντακόσια. » Καὶ λέγει αὐτῷ · « Φέρετέ μοι αὐτὰ ὧδε, ἵνα ἐγὼ μετρήσω αὐτά [14]. » Ἐνεχθέντων δὲ τῶν ψιαθίων, κελεύει αὐτὰ εἰς τὸ πῦρ βληθῆναι. Καυθέντων δὲ [15] αὐτῶν εἶπε πρὸς τοὺς μαγείρους · « Ὥσπερ τὸν κανόνα τὸν δοθέντα ὑμῖν περὶ τῆς τῶν ἀδελφῶν οἰκονομίας παρείδατε [16] διὰ σατανικὴν κενοδοξίαν καὶ αὐταρέσκειαν λογισμῶν, οὕτως κἀγὼ τὸ ἔργον τῶν χειρῶν ὑμῶν ἀφειδῶς κατέκαυσα, ἵνα

Λ 16.

[18] καθ' ἕκαστον D. — [19] πρὸς αὐ. om. D. — [20] ὦ add. N. — [21] εἰ ἦν δυνατὸν add. D. — [22] ἐψεῖν αὐτοῖς D, αὐτοῖς ἐψηθῆναι τὸ σύνηθες N. — [23] αὐτὰ add. D. — [24] (μὴ τὸ) corr. P, τὸ μὴ N. — [25] μὴ τὸ ἀνάλ. τὸ μετὰ κόπ. τοσ. γιν. D. — [26] (μ. ἐ.) ὡς μὴ ἐσθιόμενον D. — [27] τῆς ἡμ. om. D ; cf. Λ : τοῦ μηνὸς A. — [28] (ἐπεὶ - ἐσθ.) ἐν ᾗ ἂν ἡμέρα ἐψήσωμεν D. — [29] ἔψησα N, ἔψουν D. — [30] λογισάμενος N. — [31] τὸ β. om. D. — [32] βάλλειν add. D. — [33] τε P. — [34] καθέζεσθαι ND. — [35] ἀρκ. εἰς τὸ μαγειρεῖον N. — [36] καταρτῆσαι P, καταρτίσαι ND. — [37] λαμψάναι D.

103. — [1] (ἀ. δὲ τ.) τ. ἀ. D. — [2] ὅσιος D. — [3] λέγει D. — [4] ἐπλήρωσας D. — [5] ἐν τῇ ἐ. om. D. — [6] τὴν πολυλογίαν σου D. — [7] τ. λ. om. D. — [8] (ἢ ἔτι εἰσὶν) ὅθεν καὶ εἰ ἔχεις εἰπεῖν N, ἢ ἔχεις καὶ D. — [9] εἰπεῖν D. — [10] τοῦ δὲ σιωπῶντος φησὶ πρὸς αὐτόν D. — [11] τῆς διακονίας add. ND. — [12] εἰς τὸ ἔ. τοῦτο ND. — [13] ἔφη D. — [14] om. N. — [15] (κ. δὲ) καὶ κ. D. — [16] παρείδετε ND ; ὑμεῖς add. D.

μάθετε [17] τί ἐστι καταφρονῆσαι [18] θεσμὸν πατέρων [19] εἰς σωτηρίαν ψυχῶν δοθέντα [20]. Πόσην ὠφέλειαν περιείλατε [21] ἀπὸ τῶν ἀδελφῶν [22] ἐν τῷ μὴ ἐψῆσαι [23] ὑμᾶς ; Ἢ ἀγνοεῖτε ὅτι ὁ τὴν ἀποχὴν ποιούμενος ἀκουσίως μισθὸν ὀλίγον παρὰ τῷ Θεῷ ἕξει, ὁ δὲ τὴν δεσποτείαν ἐσχηκὼς πλείονα μισθὸν ἔχει [24], μὴ [25] ἀνάγκῃ καὶ βίᾳ ἐγκρατευόμενος ; Οὐκ οἴδατε ὅτι [26] ἐὰν βληθῇ ἐπὶ τὴν τράπεζαν ἕψημα καὶ τούτου διὰ Θεὸν οὐ γεύσωνται οἱ ἀδελφοί, ἕξουσι πλείονα μισθόν, ἐὰν δὲ μὴ δοθῇ αὐτοῖς ἕψημα, ὑπὲρ οὗ οὐκ εἶδον ἐγκράτεια οὐκέτι [27] λογισθήσεται αὐτοῖς ; Ὑμεῖς δὲ διὰ ὀγδοήκοντα ξεστία ἐλαίου τοσαύτην καρποφορίαν ἐξεκόψατε τῶν ἀδελφῶν ; Ὅλη ἡ τοῦ παντὸς κόσμου [28] ὕλη ἀπολέσθω, καὶ μὴ μία εὐτελὴς ἀρετὴ ἐκκοπήτω ἀπὸ ψυχῆς. Ἐγὼ γὰρ καθ' ἑκάστην ἐβουλόμην ἕψῆσαι [29] καὶ πολλὰ τοῖς ἀδελφοῖς παρατιθέναι [30] ἐδέσματα, ἵνα καθ' ἑκάστην προθέσει [31] ἐγκρατευόμενοι καὶ ἀπεχόμενοι τῶν διδομένων αὐτοῖς [32], προσθήκην ἀρετῆς [33] καθ' ἑκάστην ποιήσωνται [34]. Εἰ δὲ συμβῇ [35] τινα κακωθέντα μὴ θελῆσαι εἰς τὸν τῶν νοσερῶν τόπον [36] ἀπελθεῖν, ἐλθόντα δὲ [37] εἰς τὴν κοινὴν τράπεζαν [38] ἐπὶ τὸ μεταλαβεῖν τοῦ κατὰ συνήθειαν διδομένου αὐτοῖς λαχάνου, μὴ εὑρεῖν [39] δέ [40], ὅ τι [41] ἐγένετο [42] ; οὐκ ἐσκανδαλίζετο ἄρα [43] τοῦ [44] μὴ εὑρεῖν [45] ἐπὶ τῇ κοινῇ τραπέζῃ [46] τὴν χρείαν αὐτοῦ ; Ἢ οὐκ οἴδατε ὅτι παιδία μάλιστα οὐ δύνανται διαμένειν ἐν τῇ ἀρετῇ μὴ ὑπαρχούσης αὐτοῖς τῆς τελειότητος ἢ [47] μικρᾶς [48] παραμυθίας [49] ; Ὅθεν ὑπὲρ τοῦ τοιούτου ὑμῶν πταίσματος [50] εἰλικρινῆ καὶ ἐπίμονον μετάνοιαν προσενέγκαι ὑμᾶς τῷ Θεῷ [51] προσήκει. »

[17] μάθητε ND. — [18] καταφρόνησις D. — [19] θεσμῶν πατρικῶν τῶν D. — [20] δοθέντων D, δοθέντας N. — [21] περιείλετε N. — [22] πόσης ὠφελείας ἀπεστερήσατε τοὺς ἀδελφοὺς D. — [23] ἑψῆναι N, ἕψειν D. — [24] ἢ ἀγνοεῖτε ὅτι ὁ ἀκουσίως ἀπεχόμενος οἱουδήτινος πράγματος μικρὸν ὅσον παρὰ θεῶ ἕξει τὸν μισθόν, ὁ δὲ τὴν δεσπ. ἐνίων κεκτημένος καὶ μὴ χρώμενος αὐτοῖς δι' ἀρετήν, λαμπράν τινα καὶ δαψιλῆ τὴν ἀντάμειψιν κομιεῖται D. — [25] ὡς μὴ D. — [26] om. P. — [27] οὐ ND. — [28] om. D. — [29] καθ' ἑκ. ἡμέραν ἐβουλ. ἕψειν ὑμᾶς D. — [30] παρατεθῆναι N ; (τ. ἀ. π.) π. τ. ἀ. D. — [31] om. D. — [32] οἰκεία προθέσει add. D. — [33] τῆς ἀρ. αὐτῶν D. — [34] (καθ' ἑ. π.) ἐργάζωνται D. — [35] καὶ συμβαίη D. — [36] εἰς τὸ νοσοκομεῖον D. — [37] (ἐ. δὲ) ἀλλ' D. — [38] εἰσελθόντα add. D. — [39] εὑρὼν N. — [40] (μὴ εὑ. δὲ) εἶτα μὴ εὑρόντα D. — [41] ὅ τι P ; cf. A : τί. — [42] (ὅ τι ἐγ.) τοῦτο γενέσθαι N, om. D. — [43] (οὐκ ἐ. ἄρα) ἆρα οὐκ ἐσκανδαλίσθη N, ἆρα οὐκ ἂν σκανδαλισθείη ὁ τοιοῦτος D. — [44] om. ND. — [45] εὑρὼν ND. — [46] ἐπὶ τῇ κ. τρ. om. ND. — [47] ἀλλὰ δεῖ αὐτοῖς N. — [48] τινος add. N. — [49] ἢ οὐκ οἴδατε ὅτι εἰσὶ καὶ παιδία χρήζοντά τινος μικρᾶς παραμυθίας ἅτε μὴ δυνάμενα ἐγκρατεύεσθαι διὰ τὸ ἀτελὲς τῆς ἡλικίας αὐτῶν D. — [50] σφάλματος D. — [51] τῶ θ. om. N.

104. *Διαλεγομένου δὲ* [1] *τοῦ ἁγίου τοῖς ἀδελφοῖς, παραγενόμενος* A 7.
ὁ Σωρωρὸς ἀπήγγειλεν αὐτῷ ὅτι · « Μεγάλοι ἄνδρες ἀναχωρηταὶ ἥκασι καὶ θέλουσι συντυχεῖν σοι [2]. » *Ὁ δὲ ἔφη · « Κάλεσον αὐτοὺς ὧδε. » Εἰσελθόντων οὖν* [3] *εἰς τὴν μονὴν καὶ ἐλθόντων* [4] *πρὸς* [5] *αὐτόν, ἠσπάσατο αὐτοὺς ἅμα τοῖς συνοῦσιν αὐτῷ ἀδελφοῖς. Μετὰ δὲ τὸ ἰδεῖν αὐτοὺς πᾶσαν τὴν ἀδελφότητα καὶ περιελθεῖν ὅλα τὰ κελλία αὐτῶν, ἠθέλησαν αὐτῷ* [6] *κατ' ἰδίαν διαλεχθῆναι. Καθεσθέντων οὖν αὐτῶν ἐν κελλίῳ ἐφησυχάζοντι, ἀντελάβετο αὐτῶν μεγάλης δυσωδίας ὁ γέρων* [7] *· οὐκ ἐπέγνω* [8] *δὲ τότε* [9] *τὴν αἰτίαν* [10] *τῆς τοιαύτης δυσωδίας διὰ τὸ κατὰ πρόσωπον διαλεχθῆναι* [11] *αὐτοῖς καὶ μὴ δύνασθαι διὰ τῆς πρὸς Θεὸν ἐντεύξεως τὴν αἰτίαν* [12] *μαθεῖν. Ὁρῶν δὲ* [13] *αὐτῶν τὸν προφορικὸν λόγον καὶ τὸ εἰθισμένον ἐν ταῖς γραφαῖς* [14] *ἠπόρει* [15] *περὶ τῆς νοερᾶς* [16] *αὐτῶν δυσωδίας* [17]. *Μετὰ δὲ τὸ πολλὰ* [18] *αὐτοῖς* [19] *διαλεχθῆναι ἐκ* [20] *τῶν ἁγίων γραφῶν καὶ λοιπὸν φθάσαι τὴν ὥραν τῆς ἐννάτης* [21], *ἀνέστησαν ἐπὶ τὸ* [22] *ἀπελθεῖν εἰς τὰ ἴδια. Παρακληθέντες δὲ* [23] *ὑπὸ τοῦ μεγάλου ἐπὶ τὸ* [24] *γεύσασθαι ἐκεῖ* [25], *οὐ συνεκατέθεντο* [26], *διότι σπουδὴν εἶχον πρὸ τῆς δύσεως τοῦ ἡλίου καταλαβεῖν τὸν τόπον αὐτῶν* [27]. *Εὐξάμενοι δὲ* [28] *καὶ ἀποταξάμενοι* [29] *ἀπῆλθον* [30]. *Ὁ δὲ μακάριος Παχώμιος ὑπὲρ τοῦ μαθεῖν τὴν αἰτίαν τῆς δυσωδίας ἐκείνων* [31] *εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ* [32] *· καὶ εὐξάμενος τῷ Θεῷ ἐκτενῶς, εὐθέως ἔγνω ὅτι δόγματα ἀσεβείας ἦν τὰ ἐκ τῆς ψυχῆς αὐτῶν* [33] *τοσαύτην δυσωδίαν ἐκπέμποντα. Παραχρῆμα οὖν ἐξελθὼν ἐκ* [34] *τοῦ κελλίου αὐτοῦ κατεδίωξε τοὺς ἀνθρώπους ἐκείνους · καὶ καταλαβὼν αὐτοὺς λέγει αὐτοῖς · « Θέλω ὑμᾶς ἐρωτῆσαι λόγον. » Οἱ δὲ εἶπον · « Λέγε ὃ βούλει. » Καί φησι πρὸς αὐτοὺς ὁ μακάριος Παχώμιος* [35] *· « Τοῦ λεγομένου* [36] *Ὠριγένους τὰ συγγράμματα ὑμεῖς ἀναγινώ-*

104. — [1] (διαλ. δὲ) ταῦτα διαλ. D. — [2] θέλουσιν ἰδεῖν σε ND. — [3] δὲ D, δὲ αὐτῶν N. — [4] παραγενομένων D. — [5] εἰς N. — [6] τῶ ἁγίω D. — [7] καὶ καθεσθ. ἐν κελλίω ἡσύχω καὶ ὁμιλούντων ἤσθετο δυσ. μεγ. αὐτῶν ὁ πατήρ D. — [8] ἐγίνωσκε D. — [9] om. D. — [10] τὴν αἰ. om. N. — [11] διαλέγεσθαι D. — [12] (τ. αἰ.) ταύτην D. — [13] οὖν N. — [14] καὶ τὴν ἠθισμένην τῆς γραφῆς ὁμιλίαν N. — [15] (ὁρῶν - ἠπόρει) ἀλλὰ τὸν προφ. αὐτῶν λόγον ἀκούων καὶ τὴν ἐν ταῖς γρ. πεῖραν καὶ τριβὴν αὐτῶν κατανοῶν διηπορεῖτο D. — [16] νοερᾶς N, om. D. — [17] (αὐ. δ.) δ. αὐ. D. — [18] πλεῖστα D. — [19] ἀλλήλοις D. — [20] παρὰ D. — [21] ἐνάτης N ; τὴν ἐννάτην ὥραν D. — [22] τῶ ND. — [23] (π. δὲ) καὶ (sup. lin.) παρ. N. — [24] ἐπὶ τὸ om. ND. — [25] om. D. — [26] συγκατέθεντο ND. — [27] ὡς ἔλεγον add. D. — [28] οὖν D. — [29] αὐτῶ add. D. — [30] ἀνεχώρησαν D. — [31] αὐτῶν N. — [32] ἑαυτοῦ D. — [33] τὴν add. D. — [34] om. D. — [35] om. D. — [36] om. N.

σκετε [37] ; » Οἱ δὲ ἀκούσαντες [38] εἶπον · « Οὐχί. » Ὁ δὲ ἅγιος γέρων
I Tim. 5, 21. εἶπεν αὐτοῖς [39] · « Ἰδοὺ διαμαρτύρομαι ὑμῖν ἐνώπιον τοῦ Θεοῦ
ὅτι πᾶς ἄνθρωπος ἀναγινώσκων [40] Ὠριγένην καὶ δεχόμενος [41] τὰ
Prov. 14, 12. συγγράμματα αὐτοῦ, εἰς πυθμένα ᾅδου μέλλει καταντᾶν · καὶ ἡ
Matth. 8, 12. κληρονομία αὐτοῦ ἔσται τὸ σκότος τὸ ἐξώτερον. Ὃ οὖν ἐγνωρίσθη
μοι παρὰ τοῦ Θεοῦ ἐμαρτυράμην [42] ὑμῖν · ἀνεύθυνος οὖν εἰμι [43]
πρὸς τὸν Θεὸν ὑπὲρ τούτου · ὑμεῖς ὄψεσθε · ἰδοὺ ἠκούσατε τὴν
ἀλήθειαν. Εἰ δὲ [44] πιστεύετέ μοι καὶ θέλετε ἀληθῶς θεραπεῦσαι
τὸν Θεὸν καὶ μὴ γίνεσθαι [45] ὑπόδικοι τῆς ὀργῆς αὐτοῦ, ὅλα τὰ
βιβλία Ὠριγένους εἰς τὸν ποταμὸν ῥίψατε, καὶ μηκέτι θελήσητε
ἀναγνῶναι αὐτὰ μηδὲ εἰς ἀκοὴν παραδέξησθε [46]. » Καὶ [47] ταῦτα εἰ-
πὼν κατέλιπεν αὐτούς.

Λ 17. **105.** Καὶ ὑποστρέψας εἰσῆλθεν [1] εἰς τὴν μονὴν αὐτοῦ. Καὶ [2]
εὑρὼν τοὺς ἀδελφοὺς εἰς τὰς εὐχὰς τῆς ἐννάτης [3] συνηγμένους
καὶ συναχθεὶς [4] μετ' αὐτῶν [5] ἐπλήρωσε τὰς εὐχάς [6]. Καὶ [7] ἐξελ-
θόντων τῶν ἀδελφῶν ἐπὶ τὸ γεύσασθαι, ἔμεινεν αὐτὸς μόνος ἐν
Cf. Matth. 6, 6. τῷ εὐκτηρίῳ · καὶ κλείσας τὴν θύραν ἔμεινεν ἐν αὐτῷ [8]. Καὶ
προσηύξατο [9] τῷ Θεῷ, ἀξιῶν γνωρισθῆναι αὐτῷ περὶ τῆς μετὰ
ταῦτα καταστάσεως τῶν ἀδελφῶν καὶ τί [10] ἐν τοῖς μεταγενεστέροις
τὰ συμβησόμενα αὐτοῖς [11]. Καὶ παρέτεινε τὴν εὐχὴν ἀπὸ ὥρας
δεκάτης τῆς ἡμέρας [12], ἕως οὗ ἔκρουσεν [13] εἰς τὴν νυκτερινὴν λει-
τουργίαν [14]. Καὶ ἐγένετο [15] περὶ τὸ μεσονύκτιον [16] προσευχομένου
Act. 9, 3. αὐτοῦ, ἄφνω περιήστραψεν αὐτὸν [17] φῶς · καὶ ὡς ἐν ἐκστάσει
Cf. II Tim. 3, 12. γεγονὼς ἤκουσε φωνῆς λεγούσης ὅτι ζῆν μὲν ὡσαύτως [18] κατὰ
Χριστὸν εὐσεβῶς [19] · καὶ τὸν μέλλοντα πλατυσμὸν ἔσεσθαι τῶν
μοναστηρίων ἐγνώρισεν αὐτῷ [20]. Ἐθεάσατο δὲ [21] καὶ πλῆθος ἄ-

[37] ἀναγιν. ὑμ. τοῦ λεγ. ὡριγ. τὰ συγγρ. D. — [38] *om.* ND. — [39] (ὁ δὲ - αὐ.) καὶ ὁ ἅγιος πρὸς αὐτούς D. — [40] δεχόμενος τὸν D. — [41] ἀναγινώσκων D. — [42] διεμαρτυράμην D. — [43] ἐγὼ *add.* D. — [44] οὖν D. — [45] γενέσθαι D. — [46] (ὅλα - παραδ.) μηκέτι ἀναγνῶτε τὰ βιβλία τοῦ ὡριγ. μηδὲ εἰς ἀκοὴν παραδ. ἀλλ' εἰς τὸν ποτ. αὐτὰ ὅλα ῥίψατε D. — [47] *om.* D.

105. — [1] *om.* D. — [2] *om.* D. — [3] ἐνάτης N. — [4] συσταθεὶς N. — [5] μετ' αὐ. *om.* N. — [6] εὗρε τοὺς ἀδ. ψάλλοντας τὴν ἐννάτην ὥραν καὶ συνέστη αὐτοῖς ψάλλων καὶ αὐτός D. — [7] εἶτα D. — [8] (καὶ κλ. - αὐ.) *om.* ND. — [9] προσηύχετο D. — [10] ἔσται *add.* N. — [11] (τὰ σ. αὐ.) συμβήσεται D. — [12] τ. ἡ. *om.* N. — [13] ἔκρουσαν D. — [14] εἰς τὴν σύναξιν τοῦ ὄρθρου D. — [15] καὶ ἐγ. *om.* D. — [16] οὖν *add.* D. — [17] αὐτῷ N. — [18] (ζ. μὲν ὡσ.) ζῶντες μὲν καὶ πολιτευόμενοι D. — [19] ἔσονται *add.* D. — [20] (καὶ τὸν - αὐ.) καὶ πληθυσμὸς τῶν μον. ἔσται πανταχοῦ D. — [21] (ἐ. δὲ) εἶτα ἐ. D.

πειρον ἀδελφῶν [22] ὡς ἐν κοιλάδι τινὶ βαθυτάτῃ καὶ αὐχμηρᾷ λίαν
ὀδευόντων, καὶ πολλοὺς ἐξ αὐτῶν θέλοντας ἀναβῆναι ἐκ τῆς κοι-
λάδος [23] καὶ μὴ ἰσχύοντας, πολλοὺς [24] δὲ κατὰ πρόσωπον ἄλλων [25]
ἀπαντῶντας [26], μὴ γνωρίζοντας δὲ [27] ἀλλήλους [28] ἀπὸ τῆς περὶ αὐ-
τοὺς σκοτίας [29], πολλοὺς δὲ [30] πεσόντας [31] ἀπὸ τῆς ἀτονίας [32],
ἄλλους δὲ πυκτεύοντας ἀνελθεῖν [33] καὶ ἐν τῷ ἐγγίζειν αὐτοὺς τοῦ
ἀνιέναι [34] αὖθις καταρασσομένους, ἑτέρους δὲ βοῶντας ἐλεεινῇ
τῇ φωνῇ, ὀλίγους δὲ ἐξ αὐτῶν μόλις ποτὲ μετὰ πολλοὺς καμάτους [35]
ἰσχύσαντας ἀνελθεῖν ἐκ τῆς κοιλάδος ἐκείνης. Καὶ ἀνελθοῦσιν
εὐθέως φῶς ὑπήντησεν αὐτοῖς [36] · ἐλθόντες δὲ εἰς τὸ φῶς [37] ηὐχα-
ρίστησαν μεγάλως [38] τῷ Θεῷ.

106. Τότε ἔγνω ὁ μακάριος Παχώμιος τὰ συμβησόμενα τοῖς
ἀδελφοῖς ἐπ' ἐσχάτων καὶ τὴν μέλλουσαν ἐν τοῖς καιροῖς ἐκείνοις
ἔσεσθαι ἀμέλειαν τοῖς ἀδελφοῖς [1] καὶ τὴν πολλὴν πώρωσίν [2] τε
καὶ πλάνην καὶ τὴν τῶν [3] ποιμένων ἔκλειψιν συμβήσεσθαι αὐτοῖς [4] ·
διότι τῶν καλῶν καὶ ἀγαθῶν οἱ [5] ἀμελεῖς καὶ ῥᾴθυμοι ἄρξουσι
τῷ ἑαυτῶν πάθει νικήσαντες [6] · καὶ ἐντὸς τῆς ἰδίας ἐπιθυμίας γε-
νόμενοι, κατὰ τὸ αὐτοῖς ἀρεστὸν οὕτω κρατήσουσιν αὐτῶν, τύποι
μόνον ἐσόμενοι καὶ οὐκ εἰς οἰκοδομὴν ἄγοντες [7], ἀλλ' ἐναμβρυ-
νόμενοι [8] · ὥστε τοὺς μὴ εἰδότας γνῶσιν διὰ τυραννίδος κρατῆσαι
τῶν τὴν εἴδησιν ἐχόντων [9] καὶ περὶ ἀρχῆς μάχεσθαι [10], καὶ τοὺς
καλοὺς ὑπὸ τῶν κακῶν διώκεσθαι [11], καὶ μὴ ἔχειν τοὺς ἀγαθοὺς
παρρησίαν ἐν ταῖς ἡμέραις αὐτῶν [12], δηλονότι τῶν κατὰ βίαν ποι-

[22] μοναχῶν N. — [23] ἐκείνης *add.* ND. — [24] ἄλλους D. — [25] ἀλλήλοις D. — [26] συναντῶντας καὶ D ; καὶ *add. sup. lin.* N. — [27] *om.* ND. — [28] *om.* D. — [29] διὰ τὴν περὶ αὐτοὺς σκοτίαν D. — [30] τε N. — [31] καταπίπτοντας D. — [32] (ἀπὸ τῆς ἀτ.) ὑπὸ ἀτ. D. — [33] (πυκτ. ἀν.) ἀνερχομένους μετὰ πολλοῦ καμάτου D. — [34] (τοῦ ἀν.) ἐξελθεῖν τῆς κοιλάδος D. — [35] μετὰ πολλοῦ πόνου καὶ μόχθου D. — [36] αὐτοὺς N. — [37] καὶ εἰσελθόντες (*corr. rec., prius* εἰσελθόντας) ἐν τῷ φωτὶ D. — [38] *om.* ND.

106. — [1] μοναχοῖς N. — [2] πόρρωσίν P, *ante corr.* D. — [3] καλῶν *add.* D. — [4] σ. αὐ. *om.* D. — [5] *om.* N. — [6] νικηθέντες N. — [7] (διότι - ἄγ.) καὶ ὅτι ἀμελεῖς καὶ ῥάθ. τῶν σπουδαίων καὶ ἀγαθῶν καὶ τῶν (οὐ *add. sup. lin.*) τοιούτων ἄρξουσι τῷ τῆς φιλαρχίας ἡττηθέντες πάθει καὶ τοὺς ἀρχομένους ἄγοντες καὶ φέροντες ἔσονται κατὰ τὸ αὐτοῖς ἀρεστὸν οὐκ εἰς οἰκοδ. ὄντες D. — [8] ἀλλ' ἐναβρυνόμενοι N, ἀλλ' εἰς καθαίρεσιν μᾶλλον αὐτῶν καὶ ἔσονται ἐναμβρ. D. — [9] (ὥστε - ἐχ.) *om.* D. — [10] μαχόμενοι ἀλλήλοις D. — [11] (καὶ τοὺς κ. - διώκ.) *om.* N, καὶ τῶν ἁπλουστέρων τυραννικῶς κρατοῦντες D. — [12] (καὶ μὴ ἔχειν - αὐ.) ὥστε μὴ ἔχειν παρρ. τοὺς τότε ἀγαθοὺς εὐαριθμήτους εὑρισκομένους D.

Cf. Marc. 7 7-8. μαίνειν [13] ἀρξάντων [14]. Καὶ τὸ δὴ λεγόμενον [15], τὴν θείαν διδασκαλίαν [16] εἰς ἀνθρωπίνην διαγωγὴν [17] μεταβαλοῦσιν [18].

Λ 18. **107.** Γνοὺς οὖν ὁ μακάριος γέρων ταῦτα [1] ἀνεβόησε μετὰ κλαυθμοῦ πρὸς τὸν Θεὸν λέγων· « Κύριε παντοκράτωρ, εἰ οὕτως ἔχει γενέσθαι, διὰ τί συνεχώρησας τὰ κοινόβια ταῦτα γενέσθαι [2], εἰ ἐν τοῖς καιροῖς ἐκείνοις οἱ μέλλοντες ἄρχειν αὐτῶν τοιοῦτοι ἔσονται κάκιστοι; Τυφλὸς γὰρ τυφλὸν [3] ὁδηγῶν [4], ἀμφότεροι εἰς βόθυνον πεσοῦνται [5]. Εἰκῇ καὶ μάτην ἐκοπίασα; εἰς οὐδὲν ἐγένετο ὁ μόχθος μου; Μνήσθητι, Κύριε, τῶν καμάτων μου καὶ πάντων τῶν ἀδελφῶν τῶν ἐξ ὅλης ψυχῆς διὰ τὸ ὄνομά σου νῦν ἑαυτοὺς τα- Matth.15,14. Ibid. 28, 20. πεινούντων [6]. Μνήσθητι, Κύριε, ὅτι συνέθου [7] μοι [8] ἕως τῆς συντελείας τοῦ αἰῶνος τούτου [9] μὴ ἐκλείπειν [10] τὸ πνευματικόν μου σπέρμα. Σὺ οἶδας, δέσποτα, ὅτι ἀφ' οὗ ἐνεδυσάμην τὸ σχῆμα τοῦ μοναχοῦ, οὐδέποτε ἐκορέσθην ἐπὶ τῆς [11] γῆς τινος οὐδὲ μέχρις ὕδατος. »

108. Καὶ ἐπὶ τῷ λόγῳ τούτῳ ἐγένετο φωνὴ πρὸς αὐτὸν λέγουσα· « Καυχᾶσαι, Παχώμιε, ἄνθρωπος ὤν; Αἴτησαι σεαυτῷ συγγνώμην ἐλέους, ὅτι τὰ σύμπαντα τῷ ἐλέει μου συνίστανται, καὶ [1] ἵνα μή σοι λογισθῇ [2] εἰς ἔπαρσιν [3]. » Ταῦτα ἀκούσας [4], παραχρῆμα ῥίψας ἑαυτὸν ἐπὶ τῆς γῆς ᾐτήσατο ἔλεος παρὰ τοῦ Θεοῦ λέγων· « Κύριε παντοκράτωρ, τὸ ἔλεός σου κατάπεμψον [5] ἐπ' ἐμὲ καὶ μηδέποτε ἀφέλῃς αὐτὸ ἀπ' ἐμοῦ [6], ὅτι οἶδα [7] κἀγὼ ὅτι ἄνευ τοῦ ἐλέους σου τὰ σύμπαντα οὐ δύναται [8] εἶναι. » Ταῦτα αὐτοῦ προσευχομένου [9] ἰδοὺ δύο ἄγγελοι τοῦ Θεοῦ ἐπέστησαν αὐτῷ· καὶ ἦν [10] μετ' [11] αὐτῶν νεώτερος, ἀνεκλάλητον καὶ ἄφατον ἔχων τὴν θέαν τοῦ προσώπου καὶ ἐπὶ τῆς κεφαλῆς [12] αὐτοῦ στέφανον ἐξ ἀκανθῶν. Καὶ ἀναστήσαντες οἱ ἄγγελοι τὸν [13] Παχώμιον, εἶπον αὐτῷ· « Ἐπειδὴ ᾐτήσω τὸν Θεόν, κατέπεμψέ [14] σοι τὸ ἔλεος αὐτοῦ.

[13] *om.* N. — [14] (δηλον. - ἀρξ.) *om.* D. — [15] (καὶ τὸ δὴ λεγ.) ἀλλὰ καὶ D, καὶ τὸν διαλεγόμενον PN, *correxi ex Λ.* — [16] οἱ τοιοῦτοι λοιμοὶ *add.* D. — [17] ὁμιλίαν D. — [18] μεταβάλλουσιν PN.

107. — [1] ταῦτα οὖν ὁ μακ. γνοὺς D. — [2] συστῆναι D ; καὶ *add.* ND. — [3] *corr.* P. — [4] ἐὰν ὁδηγῇ D. — [5] ἐμπεσοῦνται ND. — [6] (μνήσθητι - ταπ.) D, *om.* PN, *cf. ΛΣ.* — [7] ἐπηγγείλω D. — [8] ὅτι *add.* P. — [9] τοῦ αἰ. τ. *om.* ND. — [10] ἐκλιπεῖν D. — [11] *om.* D.

108. — [1] *om.* D. — [2] (σ. λ.) λ. σ. D. — [3] ὅπερ ἐφθέγξω *add.* D. — [4] ἐκεῖνος *add.* D. — [5] κατ. τὸ ἔλ. σου D. — [6] ἀπ' ἐ. αὐτό N. — [7] (ὅτι οἶ.) οἶδα γὰρ D. — [8] δύνανται ND. — [9] (τ. αὐ. πρ.) οὕτως οὖν εὐχομένου τοῦ ὁσίου D. — [10] *om.* ND. — [11] ἐν μέσῳ D. — [12] τὴν κεφαλὴν D. — [13] θεῖον *add.* D, — [14] καταπέμψαι D,

I Cor. 2, 8. I Ioh. 4, 9. Matth.27,29. Cf. Eccli. 24, 9. Λ 19.

Ἰδοὺ αὐτός [15] ἐστι τὸ ἔλεος αὐτοῦ [16], ὁ Κύριος τῆς δόξης, ὁ Χριστός [17], ὁ μονογενὴς υἱὸς αὐτοῦ, ὃν ἀπέστειλε τῷ κόσμῳ σωτῆρα, καὶ ἐσταυρώσατε αὐτὸν καὶ στέφανον ἐξ ἀκανθῶν περιεθήκατε αὐτῷ [18]. » Εἶπε δὲ [19] Παχώμιος πρὸς αὐτόν· « Δέομαί σου τῆς ἀχράντου φύσεως, δέσποτα, οὐκ ἐσταύρωσά σε ἐγώ. » Ὁ δὲ νεώτερος ὑπομειδιάσας λέγει αὐτῷ [20]· « Οἶδα ὅτι σύ με οὐκ ἐσταύρωσας [21], ἀλλ' οἱ πατέρες ὑμῶν. Θάρσει δὲ ὅτι ἡ ῥίζα τοῦ σπέρματός σου τοῦ πνευματικοῦ ἕως τοῦ αἰῶνος [22] οὐ μὴ ἐκλίπῃ [23]· καὶ οἱ μέλλοντες [24] ὀλίγοι σῴζεσθαι ἐν τοῖς καιροῖς ἐκείνοις [25] ἀπὸ τῆς πολλῆς ὁμίχλης τῆς ἀμελείας αὐτῶν, ὑπὲρ [26] τοὺς ἄκρως νῦν πολιτευομένους εὑρεθήσονται· ὅτι <οἱ> [27] νῦν ἔχοντές σε ὡς φωστῆρα πρὸ ὀφθαλμῶν αὐτῶν [28], ἐναρέτως τῷ σῷ φωτὶ ἐπερειδόμενοι πολιτεύονται· τοῖς δὲ μεταγενεστέροις [29] ἐν αὐχμηρῷ τυγχάνουσι τόπῳ [30], εἰ [31] ἑκουσίως [32] ἐν ἀγαθῷ φρονήματι [33], μηδενὸς αὐτοὺς ὁδηγοῦντος ἐπὶ τὴν ἀλήθειαν [34], ἀποπηδήσαντες τῆς κακίας τοῦ ψεύδους, τὴν δικαιοσύνην μετέλθωσιν [35], ἀμὴν λέγω σοι ὅτι μετὰ τῶν ἄκρως νῦν πολιτευομένων καὶ ἀμέμπτως εὑρεθήσονται τῆς αὐτῆς ἀπολαύοντες σωτηρίας [36]. » Καὶ [37] ταῦτα εἰπὼν [38] εἰς οὐρανοὺς ἀνῆλθε [39] τοῦ ἀέρος φωτισθέντος [40].

109. Θαυμάζοντος δὲ τοῦ μακαρίου [1] Παχωμίου [2] ἐπὶ τοῖς λαληθεῖσιν αὐτῷ, διέμεινεν ἄσιτος [3]. Καὶ [1] εὐθέως κρούουσιν [4] εἰς τὴν νυκτερινὴν [5] σύναξιν. Συναχθέντες δὲ [6] οἱ ἀδελφοὶ εὗρον αὐτὸν εἰς τὸν εὐκτήριον οἶκον. Τελεσθείσης δὲ [7] τῆς νυκτερινῆς [8]

[15] οὗτος ND. — [16] ὁ χριστὸς *add.* D. — [17] ὁ χρ. *om.* D. — [18] (καὶ στέφ. - αὐ.) *om.* ND. — [19] ὁ *add.* N, ὁ ἱερὸς *add.* D. — [20] *om.* D. — [21] οὐκ ἐστ. με σὺ N. — [22] ἕως τ. αἰ. *om.* ND. — [23] εἰς τὸν αἰῶνα *add.* ND. — [24] δὲ *add.* D. — [25] τοῖς ἐσχάτοις *add.* D. — [26] N *ante corr.* ; ἐπὶ P, *corr. in marg.* N ; κατὰ D. — [27] *om.* P, οὗτοι D ; διότι οὗτοι N. — [28] ἔχ. σε πρὸ ὀφθ. αὐ. ὡς φωστ. D. — [29] οἱ δὲ μεταγενέστεροι D. — [30] τυγχάνοντες τόπῳ D ; καὶ ἐστερημένῳ ἱκμάδος ἐναρέτου *add.* D. — [31] *om.* P, εἴπερ D. — [32] *om.* D. — [33] ἐν ἀγαθῇ προαιρέσει D. — [34] ἐπὶ τ. ἀλ. *om.* D. — [35] ἀποπηδ. τοῦ ψ. καὶ τῆς κακ. αὐτομολήσουσι πρὸς τὴν ἀλήθειαν καὶ τὴν ἀρετὴν καὶ μετέλθωσιν αὐτήν D. — [36] μετὰ τῶν νῦν ἀμέμπτων καὶ τελείων ταχθήσονται τῶν αὐτῶν αὐτοῖς ἀπολαύοντες D. — [37] *om.* D. — [38] ὁ κύριος *add.* D. — [39] ἀν. εἰς οὐρ. D. — [40] (τοῦ ἀ. φ.) τῇ ἀνόδῳ τὸν ἀέρα καταπυρσεύσας D.

109. — [1] *om.* N. — [2] (θαυμ. - παχ.) ὁ δὲ ἅγιος ἦν θαυμάζων D. — [3] (διέμ. ἄ.) *om.* D, ἀσίτου ὄντος N. — [4] ἔκρουσαν D. — [5] ὀρθρινὴν D. — [6] (σ. δὲ) καὶ σ. N. — [7] (τ. δὲ) καὶ τ. D. — [8] ὀρθρινῆς D,

λειτουργίας [9], ἀνοίξας [10] τὸ στόμα αὐτοῦ ἤρξατο διδάσκειν [11] αὐτοὺς λέγων, καθισάντων πάντων εἰς ἀκρόασιν τοῦ λόγου αὐτοῦ [12] · « Ἀδελφοί, ὅσον [13] ἔχετε [14] τὴν πνοὴν ὑμῶν [15] ἐν τῷ γηΐνῳ τούτῳ σώματι, ἀγωνίσασθε [16] ὑπὲρ τῆς σωτηρίας ὑμῶν [17]. Πρὸ [18] τοῦ ἐλθεῖν τὴν ὥραν ἐκείνην ἐν ᾗ μέλλομεν ἑαυτοὺς κλαίειν [19], ἐργασώμεθα προθύμως τὴν ἀρετήν. Λέγω γὰρ [20] ὑμῖν ὅτι εἰ ᾔδειτε τὰ ἐν [21] οὐρανοῖς ἀποκείμενα ἀγαθὰ τοῖς ἀγωνιζομένοις [22] καὶ πῶς οἱ
I Tim. 4, 3. ῥᾳθυμοι καὶ οἱ [23] ἀποπεσόντες κολάζονται καὶ ὅσα [24] βασανιστήρια ἀπόκεινται τοῖς ἀμελήσασι καὶ μάλιστα τοῖς ἐπεγνωκόσι τὴν ἀλήθειαν [25] καὶ μὴ ἀξίως αὐτῆς [26] πολιτευσαμένοις τοῦ ἀποφυγεῖν τὴν ἐν [26] κολάσεσι βάσανον,... [27]. Ἀπέλθατε τοιγαροῦν, ἀδελφοί, εἰς τοὺς τάφους καὶ ἴδετε [28] τὴν τῶν ἀνθρώπων ὑπόστασιν
Cf. Ps. 102, 14; ὅτι οὐδέν ἐστι [29]. Τί οὖν [30] κενοδοξεῖ ἄνθρωπος, χοῦς ὑπάρχων; τί δὲ [31] ὑπερηφανεύεται, ὅλος ὢν δυσωδία [32]; Κλαύσωμεν οὖν [33]
Eccli. 10, 9. ἑαυτοὺς ὡς [34] καιρὸν ἔχομεν, μήποτε ἐλθούσης [35] τῆς ἐξόδου ἡμῶν [36]
Gal. 6, 10. εὑρεθῶμεν ἀπαράσκευοι καὶ μέλλωμεν τότε [37] τὸν Θεὸν καιρὸν ἄλλον αἰτεῖσθαι [38] πρὸς μετάνοιαν [39]. Ἀθλία ὄντως [40] ψυχὴ ἐκείνη καὶ τρισαθλία ἡ τὸν κόσμον [41] καταλείψασα καὶ ἑαυτὴν καταγράψασα [42] τῷ Θεῷ, ἀξίως δὲ τοῦ ἑαυτῆς ἐπαγγέλματος [43] μὴ ζήσασα [44]. Μὴ οὖν συγχωρήσωμεν, ἀδελφοί, τῷ αἰῶνι τούτῳ ὀλίγῳ

[9] ἐκάθισαν πάντες (om. D.) εἰς ἀκρόασιν τοῦ λόγου αὐτοῦ add. ND.— [10] καὶ ἀν. N, καὶ αὐτὸς ἀν. D.— [11] (ἤ. διδ.) ἐδίδασκεν D.— [12] (καθισ. - αὐτοῦ) om. ND.— [13] ἕως D.— [14] ἔχομεν D.— [15] ἡμῶν D.— [16] ἀγωνισώμεθα D.— [17] (σ. ὑμ.) ἑαυτῶν σ. D. — [18] σπουδάσωμεν πρὸ D. — [19] ἀπαραμύθητα εἰ μὴ νῦν μετανοήσαιμεν add. D.— [20] (λ. γὰρ) ἀληθῶς λέγω D. — [21] τοῖς add. D. — [22] καὶ ἀρεταίνουσι add. D. — [23] om. N. — [24] οἷα N. — [25] (καὶ μάλιστα - ἀλ.) om. N.— [26] ταῖς add. N.— [27] (πῶς οἱ ῥάθ. - βάσανον) τὰ διαμένοντα κολαστήρια τοῖς ἀμελέσι καὶ ῥαθύμοις D. *Post βάσανον desinit sententia imperfecta in cod.* P ; *in cod.* N *scriba reliquit integrum versum agraphum;* οὐκ ἂν ἑτέρου τινὸς ἐδεήθητε πρὸς τὴν ἐνάρετον πολιτείαν ὑμᾶς διεγείροντος add. D ; *cf. A 19.* — [28] ἀπέλθωμεν ἐν τοῖς τάφοις καὶ ἴδωμεν D. — [29] ἐσμέν N ; (ὅτι οὐ. ἐ.) οἷα ἀποκαθίσταται D. — [30] om. D. — [31] ὅλως add. D. — [32] (ὅλ. ὢν δ.) δ. ὤν D. — [33] om. ND. — [34] ἕως D. — [35] ἄφνω ἐπιστάσης τῆς ὥρας D. — [36] ἀπὸ τοῦ βίου τούτου add. D. — [37] (μ. τ.) τ. μ. D. — [38] (τὸν θ. κ. ἄλλ. αἰτ.) αἰτ. καιρ. ἄλλ. D, αἰτ. παρὰ τοῦ θεοῦ κ. ἄλλ. N. — [39] ὃν ἴσως οὐ ληψόμεθα ἵνα μὴ καὶ αὐτὸν ῥαθύμως διανύσαντες μείζονα τὴν κόλασιν ἑαυτοῖς προξενήσωμεν add. D. — [40] ἀθλία ἀλήθως N, ἀληθῶς ἀθλία D. — [41] δῆθεν add. D. — [42] ἀναθεῖσα D. — [43] (ἑ. ἐπ.) ἐπ. ἑ. ND. — [44] βιωσαμένη D.

ὄντι καὶ εὐτελεῖ καὶ σκιᾷ παρερχομένῃ [45] ἐοικότι, ἁφαρπάσαι Cf.Sap. 5,
ἀφ' ἡμῶν τὴν μακαρίαν ἐκείνην καὶ ἀθάνατον ζωήν [46]. Ἀληθῶς φοβοῦμαι, ἀδελφοί, μήποτε οἱ κατὰ σάρκα πατέρες [47] ἐν τῷ κόσμῳ διατρίβοντες καὶ περιαντλούμενοι [48] ταῖς τοῦ βίου πραγματείαις
5 τε [49] καὶ περιστάσεσιν, οἰόμενοι περὶ ἡμῶν [50], ὡς δῆθεν ἀνακειμένων τῷ Κυρίῳ [51] καὶ ἐντεῦθεν ἀρραβωνισθέντων ἡμῶν [52] τὰ πρόσοδα τῆς μακαρίας ζωῆς, ἐπικουρίας τυχεῖν παρ' ἡμῶν [53] ἐν τῷ μέλλοντι αἰῶνι [54], εὑρεθῶσι τοὐναντίον [55] κατακρίνοντες ἡμᾶς καὶ λέγοντες · Οὐ ταῖς εὐχαῖς ὑμῶν ἠλπίζομεν σωθῆναι ; καὶ ποῦ ἡ
10 ἀποταγὴ ὑμῶν [56] τοῦ κόσμου καὶ ἡ ἀκολούθησις τοῦ Χριστοῦ [57] ; »

110. Λιμοῦ [1] ποτε γενομένου ἐπὶ [2] τοῦ μακαρίου πατρὸς ἡμῶν *A 21.*
Παχωμίου [3] καὶ τῶν ἀδελφῶν μὴ ἐχόντων σῖτον, μᾶλλον δὲ μὴ εὑρισκομένου καθ' ὅλην σχεδὸν [4] τὴν Αἴγυπτον, ἀπέστειλεν ὁ μακάριός [5] τινα τῶν ἀδελφῶν περιελθεῖν τὰς πόλεις καὶ τὴν περίχωρον
15 τοῦ ζητῆσαι [6] σῖτον καὶ ἀγοράσαι [7], δεδωκὼς αὐτῷ ἐπὶ λόγου ἀγορᾶς σίτου [8] ἑκατὸν δηνάρια. Περιελθὼν δὲ ὁ ἀποσταλεὶς ἀδελφὸς πολλοὺς τόπους [9] καὶ μὴ εὑρηκὼς [10] παρέβαλεν [11] εἴς τινα κώμην καλουμένην Ἑρμουθίν [12]. Καὶ κατ' οἰκονομίαν Θεοῦ εὗρέ τινα ἐκεῖ ἄνθρωπον [13] πολιτευόμενον [14], πάνυ εὐσεβῆ [15] καὶ φοβού-

[45] σκιᾶς παρερχομένης N. — [46] (μὴ οὖν συγχωρ. - ζωήν) μὴ προτιμήσωμεν ἀδελφοὶ τῆς μακαρίας ἐκείνης καὶ ἀθανάτου ζωῆς καὶ τῶν κατ' αὐτὴν συναϊδίων ἀγαθῶν τὴν πρόσκαιρον ταύτην ζωὴν καὶ τὰ τῶ αἰῶνι τούτω συγκαταλυόμενα εὐτελῆ καὶ οὐδαμινὰ καὶ σκιαῖς παρερχομέναις ἐοικότα D. — [47] καὶ ἀδελφοὶ ἡμῶν add. N, ἡμῶν καὶ συγγενεῖς add. D. — [48] καὶ δονούμενοι add. D. — [49] om. ND. — [50] (οἰό. π. ἡμ.) καὶ π. ἡμ. οἰό. τὰ χρηστὰ D.— [51] θεῶ ND ; καὶ παρρησίαν ἐχόντων πρὸς αὐτὸν add. D. — [52] om. N. — [53] (παρ' ἡ.) ἐλπίσαντες N ; (καὶ ἐντεῦθεν - ἡμῶν) καὶ τοὺς ἀρραβῶνας τῆς ἀτελευτήτου ζωῆς ἐντ. ἤδη κομισαμένων καὶ προστασίας τινὸς καὶ ἐπικουρ. τυχ. παρ' ἡμ. ἐλπίζοντες D. — [54] om. D.— [55] ἐκεῖ τἀναντία βλέποντες ὧν προσεδόκησαν καὶ D. — [56] om. N. — [57] (καὶ λέγ. - χρ.) λέγ. ποῦ ἡ τοῦ κόσ. ἀποτ. ποῦ ἡ τοῦ χρ. ἀκολ. οἱ ταῖς εὐχαῖς ὑμῶν ἠλπίζομεν σωθῆναι D ; τοιαύταις συμβουλίαις καὶ παραινέσεσιν ἦν ὁ τοῦ θεοῦ ἄνθρωπος καταρτίζων τοὺς ἀδελφούς add. D ; καὶ ταῦτα μὲν οὕτως add. N.

110. — [1] δὲ add. D. — [2] τῶν ἡμερῶν add. D. — [3] om. D. — [4] om. N. — [5] μέγας D. — [6] εὑρεῖν N. — [7] εἴπερ εὕρη add. D. — [8] (ἐπὶ λ. ἀγ. σ.) χάριν τῆς ἀγ. τοῦ σ. N, καὶ τὴν ὠνὴν τοῦ σ. D. — [9] (π. τ.) τ. π. D. — [10] τελευταῖον add. D. — [11] παρεγένετο N. — [12] ἑρμουθίμ D, ἑρμουθείμ N. — [13] (τ. ἑ. ἄ.) ἑ. τ. ἄ. N, ἑ. ἄ. τ. D. — [14] διοικητὴν τῶν κοινῶν σίτον δημόσιον ἐμπεπιστευμένον D. — [15] εὐλαβῆ D.

μενον τὸν Θεόν [16], ἀκοὴν ἀγαθὴν ἐσχηκότα [17] περὶ τῆς πολιτείας τοῦ ἁγίου Παχωμίου καὶ τῶν σὺν αὐτῷ ἀδελφῶν. Οὗτος ὁ πολιτευόμενος δημόσιον ἐπεπίστευτο σῖτον [18]. Τούτῳ προσελθὼν ὁ ἀδελφὸς παρεκάλει λέγων [19] πωλῆσαι αὐτῷ σῖτον ἑκατὸν νομισμάτων. Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· « Ἀληθῶς, ἀδελφέ, εἰ εἶχον ἐμὸν σῖτον, ἀπὸ τῶν τέκνων μου λαβὼν ἂν ἔδωκά σοι. Ἀκήκοα γὰρ περὶ τῆς θείας καὶ [20] ἐναρέτου [21] τοῦ ἁγίου ἀνδρὸς [22] Παχωμίου [23] πολιτείας [24] καὶ τῶν μαθητῶν αὐτοῦ [25]. Ἄκουσον δέ [26] μου [27] ὃ μέλλω λέγειν σοι [28], ἀδελφέ. Δημόσιον σῖτον ἔχω κείμενον, καὶ τέως ἄρτι [29] οὐ ζητεῖται παρὰ τοῦ ἄρχοντος. Εἰ οὖν θέλεις λαβεῖν αὐτὸν ἕως τοῦ καιροῦ τῆς ἄλωνος, ὑπερθέσθαι δύναμαι τὰ δημόσια. Ἐὰν οὖν οἶδας ὅτι δύνασαι ἀποκαταστῆσαι τὸν σῖτον ἐν τῷ καιρῷ ἐκείνῳ, λάβε ὅσον θέλεις. » Τοῦ δὲ ἀδελφοῦ εἰπόντος [30] ὅτι [31]· « Οὐχ οὕτως θέλω ἵνα ποιήσῃς μοι· οὐ γὰρ δυνησόμεθα ἀποκαταστῆσαι τὴν ποσότητα ἣν μέλλομεν λαμβάνειν. Ἀλλ' ἐὰν θέλῃς, τῶν [31] ἑκατὸν νομισμάτων [32] οἵας θέλεις τιμῆς παράσχου μοι [33]· εἰ ὅλως δύνασαι ἕως τοῦ καιροῦ τῆς ἄλωνος ὑπερθέσθαι τὰ δημόσια, καλῶς ποιεῖς [34]. » Ὁ δέ φησι· « Ναί, δύναμαι καὶ [35] ὑπερθέσθαι, οὐ μόνον τούτων [36] τῶν ἑκατὸν νομισμάτων, φησίν [35], ἀλλ' ἐὰν θέλῃς καὶ ἄλλων τοσούτων [37] ὁλοκοτίνων [35] λαβεῖν, χάριν μοι παρέχεις ἐν τούτῳ· μόνον εὔχεσθε ὑπὲρ ἐμοῦ. » Τοῦ δὲ ἀδελφοῦ εἰπόντος [38] ὅτι· « Οὐκ ἔχομεν χρυσὸν [39] ἕτερον εἰ μὴ τοῦτον [40] », εἶπε τῷ ἀδελφῷ [41]· « Μὴ μελέτω σοι περὶ τούτου, ἀφρόντιστος ἔσο. Ὅταν δὲ εὕρητε [42], ἀγάγετέ μοι [43]. » Ἐπὶ τοῦτον οὖν τὸν ὅρον [44] γεμίσας τὸ πλοῖον σίτου [45] ἐκ [46] δεκατριῶν ἀρταβῶν [47] τοῦ νομίσματος, μηδαμοῦ καθ' ὅλην σχεδὸν τὴν Αἴγυπτον εὑρισκομένου, κατέπλευσεν [48] εἰς τὴν μονὴν ὁ ἀδελφὸς μετὰ πολλῆς χαρᾶς [49].

Λ 22. **111.** Ἀκούσας δὲ ὁ μέγας ὅτι ἦκει τὸ πλοῖον καὶ ὥρμισε [1] πε-

[16] καὶ *add.* D. — [17] ἔχοντα D. — [18] (οὗτος - σῖτον) *om.* D. — [19] *om.* ND. — [20] θ. κ. *om.* D. — [21] πολιτείας *add.* D. — [22] *om.* D. — [23] *om.* N. — [24] *om.* D. — [25] καὶ πάνυ τοὺς ἄνδρας ἄγαμαι *add.* D. — [26] (ἄκ. δέ) ἀλλ' ἄκ. N, λοιπὸν ἄκ. D. — [27] *om.* D. — [28] (λ. σ.) σ. λ. D. — [29] *om.* D. — [30] ὁ δὲ ἀδελφὸς ἀποκριθεὶς εἶπεν D. — [31] *om.* D. — [32] σῖτον *add.* D. — [33] (οἵας θ. τιμ. π. μοι) παρ. μοι οἵας βούλει τιμ. D. — [34] κ. π. *om.* D. — [35] *om.* ND. — [36] *om.* N. — [37] *om.* P. — [38] εἰρηκότος D. — [39] χρυσίον ND. — [40] τοῦτο N, τοῦτο μόνον D. — [41] εἶπε πρὸς αὐτόν D. — [42] ὅταν τούτου εὐπορήσητε D. — [43] *corr., prius* με P. — [44] ἐπὶ ταύτῃ τῇ συμφωνίᾳ D. — [45] σῖτον P ; μη *add. del.* D. — [46] ἀνὰ ND. — [47] ἀρτάβων *hic et infra* PD. — [48] ἀπέπλευσεν D. — [49] μετὰ χαρ. μεγάλης N.

111. — [1] καὶ ὥ. *om.* ND.

πληρωμένον τοῦ [2] σίτου, ἐπύθετο τὸν τρόπον τῆς ἀγορασίας· καὶ μαθὼν πέμπει εὐθέως εἰς τὸ πλοῖον λέγων· « Ἕνα κόκκον τοῦ σίτου μὴ εἰσενέγκητε εἰς τὴν μονήν, μηδὲ ὁ ἀγοράσας τὸν σῖτον [3] εἰς πρόσωπόν μου ἔλθῃ, ἕως οὗ ἀποκαταστήσῃ τὸν σῖτον εἰς τὸν ἴδιον τόπον· ὅτι πάνυ ἠνόμησε τοῦτο πεποιηκώς· καὶ οὐ τοῦτο μόνον [4], ἀλλὰ καὶ ἄλλων ἑκατὸν νομισμάτων σῖτον αὐτεξουσίως [5] λαβών, ὅπερ οὐκ ἐνετειλάμην ποιῆσαι αὐτῷ [6], τῷ ἰδίῳ φρονήματι ὑπηρετῶν [7] τὸ πλεῖον ἠγάπησε [8]· καὶ τῷ τῆς φιλοκερδίας πάθει πυρωθεὶς [9] κατεδουλώσατο ἡμᾶς ποιήσας ὑποχειρίους [10] εἶναι, καὶ ἀκορέστως μὲν τῇ φιλανθρωπίᾳ [11] τοῦ δεδωκότος προσελθών [12], πλεονεξίας ‹δὲ› [13] τρόπον ἐργασάμενος [14], ὑπὲρ [15] τὴν χρείαν ἡμῶν κομίσας σῖτον [16], ἐξ αὐθεντίας δανεισάμενος, ὅπερ οὐκ ἔχομεν πόθεν ἀποσῶσαι [17]. Οὐ μὴν ἀλλ' εἰ καὶ συνέβη [18] αὐτὸν ἐρχόμενον [19] ἀνθρώπινόν τι [20] ὑπομεῖναι [21] ἢ τὸ πλοῖον ναυαγίῳ περιπεσεῖν, τί εἴχομεν ποιῆσαι; Οὐκ ἐμέλλομεν [22] πάντες ὑπόδουλοι γενέσθαι, καὶ τοῦτο [23] δημοσίοις; Διὰ τοῦτο ὅσον ἤνεγκε σῖτον, τοῖς περὶ τὰ μέρη ταῦτα κοσμικοῖς τυγχάνουσι [24] πωλείτω [25] ὡς ἔλαβε [26] παρὰ τοῦ πιστεύσαντος αὐτῷ [27] ἀπὸ [28] δεκατριῶν ἀρταβῶν [29] καὶ οὐ καθὼς ἐστιν ἡ σπάνη [30] τῆς πράσεως [31]. Καὶ μετὰ τὸ πωλῆσαι αὐτόν, τὸ χρυσίον λαβὼν ἀποκομιζέτω [32] αὐτὸ [33] τῷ πιστεύσαντι [34] αὐτῷ [35]· τῶν δὲ [36] ἑκατὸν νομισμάτων τῶν ἡμετέρων [37], ὡς πωλεῖται πανταχοῦ οὕτως καὶ αὐτὸς ὠνησάμενος φερέτω [38]. » Ἐποίησε δὲ οὕτως ὁ ἀδελφὸς καθὼς προσέταξεν ὁ

[2] *om.* ND. — [3] (τ. σ.) αὐτὸν D. — [4] εἰργάσατο *add.* D. — [5] (σ. αὐ.) αὐ. σ. D. — [6] (π. αὐ.) αὐ. π. D. — [7] τοῦτο ἐποίησε *add.* N. — [8] ἀγαπήσας N. — [9] (τῷ ἰδίῳ - πυρ.) τῷ τῆς πλεονεξίας γὰρ πάθει καὶ φιλοκ. ἁλοὺς καὶ τῷ ἰδίῳ φρον. ὑπηρ. D. — [10] (π. ὑ.) ὑ. π. D. — [11] τὴν φιλανθρωπίαν P. — [12] προσελθεῖν PN ; (καὶ ἀκορ. - προσ.) τῇ γὰρ φιλ. τοῦ δεδ. ἀκορ. προσιὼν καὶ καταχρησάμενος D. — [13] *suppl. ex Λ.* — [14] πλ. δὲ τρ. ἐ. *om.* D. — [15] δὲ *add.* N. — [16] (κ. σ.) ἤνεγκε σ. ὥσπερ D. — [17] (π. ἀ.) ὅθεν ἐπανασῶσαι D. — [18] συνέβαινεν D. — [19] αὐ. ἐ. *om.* D. — [20] *om.* P. — [21] παθεῖν αὐτὸν ἐρχόμενον D. — [22] ἄρα *add.* D. — [23] ταῦτα N ; (κ. τ.) τοῖς D. — [24] (κ. τ.) τ. κ. N. — [25] πωλησάτω N. — [26] ἐξωνήσατο αὐτὸς N. — [27] (παρὰ - αὐ.) *om.* N ; (ὡς ἔλ. - αὐ.) *om.* D. — [28] ἀνὰ ND. — [29] τοῦ νομίσματος ὡς καὶ αὐτὸς ἔλαβε παρὰ τοῦ πιστευσαμένου αὐτῷ *add.* D. — [30] σπάνις N. — [31] (καὶ οὐ - πράσ.) καὶ μὴ καθὼς ἐνταῦθα πιπράσκεται πολλοῦ τιμήματος διὰ τὴν σπάνην D. — [32] ἀποκομισάτω D. — [33] *om.* ND. — [34] δεδωκότι D. — [35] τὸν σῖτον *add.* D. — [36] (τῶν δὲ) εἶτα ὠνησάσθω D. — [37] (τῶν ἡμ.) *correxi ex Λ*, τὸ ἡμέτερον PN, ἅπερ δέδωκα αὐτῷ σῖτον D. — [38] (οὕτως - φερ.) καὶ πρὸς ἡμᾶς ἐπικομισάτω D.

μέγας · καὶ ἤνεγκε τὸν σῖτον κατὰ πέντε ἥμισυ ἀρταβῶν τοῦ νομίσματος ἀγοράσας, ἀποδοὺς τῷ πολιτευομένῳ [39] τὰ ἑκατὸν νομίσματα · ὅστις [40] μετὰ πολλῆς ἀθυμίας δεξάμενος διὰ τὴν τοῦ ἀδελφοῦ λύπην, ἐθαύμασε τὴν ἀγγελικὴν πολιτείαν τοῦ ἁγίου πατρὸς ἡμῶν Παχωμίου [41]. Ἀπὸ τότε οὖν [42] οὐκ ἀφῆκε [43] τὸν ἀδελφὸν τοῦτον ἐκβῆναι τῆς μονῆς εἰς διακονίαν, ὡς φιλαργυρίαν [44] νοσήσαντα, ἀλλ' εἴασεν αὐτὸν ἡσυχάζειν, τάξας ἄλλον [45] εἰς [46] διακονίαν τῶν ἀδελφῶν.

Λ 23. **112.** Οὗτος τοίνυν ὁ προχειρισθεὶς διακονεῖν τοῖς ἀδελφοῖς, λαβὼν [1] παρὰ τοῦ σκυτέως σανδάλια καὶ ἕτερα εἴδη ἐπὶ [2] τὸ πωλῆσαι, πλέον [3] τῆς τιμῆς ἧς εἶπεν αὐτῷ ὁ σκυτεύς, ἐνήνοχεν. Ἄτινα δεξάμενος ὁ σκυτεὺς καὶ ἀριθμήσας [4], εὗρε τετραπλῆν τὴν τιμὴν ὑπὲρ ἧς ἐνετείλατο αὐτῷ διαπωλῆσαι [5]. Καὶ εὐθὺς ἀνελθὼν πρὸς τὸν μέγαν [6] εἶπεν αὐτῷ · « Ἀληθῶς, ὦ πάτερ, οὐ καλῶς ἐποίησας τάξας τὸν ἀδελφὸν τοῦτον διακονεῖν τὰς ἀποκρίσεις ἡμῶν καὶ τῆς μονῆς [7], ἔτι ἔχων [8] ἐν ἑαυτῷ τὸ κοσμικὸν φρόνημα. » Εἰπόντος δὲ τοῦ μεγάλου [9] · « Τί ἐστι τὸ πρᾶγμα ὃ διεπράξατο κακῶς ; » εἶπεν [10] αὐτῷ ὁ σκυτεύς · « Ἔδωκα [11] αὐτῷ σανδάλια καὶ ἕτερα εἴδη ἐπὶ τὸ διαπωλῆσαι, εἰρηκὼς αὐτῷ [12] τὴν ποσότητα τῆς τιμῆς. Ὁ δὲ πωλήσας αὐτὰ πλειόνως [13], ἤνεγκέ μοι [14] τὴν τιμὴν ὑπὲρ ἣν [15] εἶπον αὐτῷ [16]. » Ἀκούσας δὲ ὁ μέγας ταῦτα [17] καὶ καλέσας τὸν ἀδελφὸν εἶπεν [18] αὐτῷ · « Διὰ τί οὕτως ἐποίησας τὸ πλέον ἀγαπήσας ; » Ὁ δὲ πρὸς αὐτὸν εἶπεν · « Ἐπ' ἀληθείας, ὦ πάτερ, τὴν τιμὴν ἣν εἶπέ [19] μοι ὁ ἀδελφός, εἶπον τοῖς ἀγοράζουσιν. Οἱ

[39] πωλήσαντι N. — [40] καὶ add. N. — [41] (ἐποίησε δὲ - παχ.) ἀπελθὼν οὖν ὁ ἀδ. καθὰ προσετάγη ὑπὸ τοῦ μεγάλου δέδωκε τὸ χρυσίον καὶ τὰ ἑκατὸν νομ. τῷ τὴν διοίκησιν πεπιστευμένῳ θαυμάζοντι καὶ λυπουμένῳ τὸ μὲν διὰ τὴν ἀγγ. πολ. τοῦ ἁγ. πατρὸς ἡμ. παχ., τὸ δὲ διὰ τὰ συμβεβηκότα τῷ ἀδελφῷ · εἶτα λαβὼν τὸν ἑκ. νομισμάτων σῖτον ἀνὰ πέντε πρὸς τῇ ἡμίσεια (sic) ἀρτάβων τοῦ νομ. ἀγοράσας πρὸς τὴν μονὴν ἐπανῆκε D. — [42] (ἀπὸ τ. οὖν) τὸ ἀπεκείνου δὲ D. — [43] ὁ ἀοίδιμος add. N, ὁ πατὴρ add. D. — [44] πλεονεξίαν D. — [45] ἕτερον D. — [46] τὴν add. D.

112. — [1] ποτε add. D. — [2] πρὸς ND. — [3] πλείω N, πλείονα D. — [4] μετρήσας N, ἀναμετρήσας D. — [5] (ὑπὲρ - διαπ.) ἣν αὐτῷ ἐνετ. λαβεῖν D. — [6] καὶ εὐθέως προσελθὼν τῷ μεγάλῳ D. — [7] (τὰς ἀποκρ. - μον.) ταῖς χρείαις τῆς μον. καὶ ἡμ. D. — [8] sic P ; γὰρ ἔχει D, γὰρ εἶχεν N. — [9] τοῦ δὲ μεγ. εἰπ. N, ἐρομένου δὲ τοῦ πατρὸς D. — [10] ἔφη D. — [11] δέδωκα D. — [12] καὶ add. D. — [13] πλείονα N, πλείονος D. — [14] om. N. — [15] (ὑπὲρ ἣν) ἢ καθὼς N. — [16] ἐγώ N. — [17] (ὁ μ. τ.) τ. ὁ μ. ND. — [18] λέγει D. — [19] εἴρηκέ D.

δὲ λέγουσί μοι · « Ἀδελφέ, ἐὰν μὴ κλεψιμαῖά εἰσι, περισσοτέρου ἄξιά εἰσιν [20]. » Ἐγὼ δὲ ἐρυθριάσας ἐπὶ τῷ λόγῳ εἶπον αὐτοῖς · « Κλεψιμαῖα μὲν οὐκ εἰσί · τοσούτου δὲ ἐκελεύσθην πωλῆσαι αὐτά. Ὅσον δὲ βούλεσθε, δότε. » Οἱ δὲ ὅσον ἤρεσκεν αὐτοῖς ἐδίδουν, ἐμοῦ μὴ μετροῦντος τὸ παρ' αὐτοῖς [21] διδόμενον κέρμα. » Ἀκούσας δὲ ταῦτα ὁ μέγας [22] εἶπεν αὐτῷ · « Ἥμαρτες μεγάλως τὸ πλέον ἀγαπήσας. Ἀλλὰ ταχέως δραμὼν [23] τὸ περισσὸν τῆς τιμῆς ἀνάδος [24] τοῖς δεδωκόσι. Καὶ ἐλθὼν [25] μετανόησον ὑπὲρ τοῦ πταίσματός σου, καὶ ἡσύχαζε εἰς τὴν μονὴν ἐργαζόμενος τὸ ἴδιον ἐργόχειρον · οὐ συμφέρει γάρ σοι τοῦτο τὸ ἔργον [26] ποιεῖν. » Ἐποίησε δὲ ὁ ἀδελφὸς [27] οὕτως [28] καθὼς εἶπεν αὐτῷ ὁ ἄνθρωπος τοῦ Θεοῦ [29]. Ἔταξε δὲ [30] εἰς τὴν διακονίαν πασῶν τῶν ἀποκρίσεων τὸν ἅγιον Ζακχαῖον, ἄνδρα ἀγαθὸν ἐν πᾶσι καὶ τέλειον [31] καὶ πάντα ἔπαινον ἀνθρώπων τὸν [32] τῶν ἀγαθῶν πράξεων ἐν ἑαυτῷ δεικνύντα [33].

Λ 8. **113.** Ἦν τις ἀδελφὸς ἀσκητὴς [1] ἀσκήσας καθ' ἑαυτὸν [2] τῶν πάνυ ἐπισήμων [3]. Οὗτος, ἀκούσας τὸν θεῖον καὶ ἀγγελικὸν βίον [4] τοῦ ἁγίου [5] πατρὸς ἡμῶν Παχωμίου, παρεκάλεσεν [6] αὐτὸν δεχθῆναι εἰς τὸ κοινόβιον αὐτοῦ. Δεξαμένου δὲ αὐτὸν τοῦ μεγάλου, ὀλίγον χρόνον ποιήσας [7] μετὰ τῶν ἀδελφῶν ἐπεθύμει [8] μαρτυρῆσαι, τοῦ κόσμου εἰρηνεύοντος καὶ τῆς ἐκκλησίας προκοπτούσης, Κωνσταντίνου τοῦ [9] ἀοιδίμου καὶ χριστοφόρου [10] τότε [11] βασιλεύοντος. Οὗτος συνεχῶς παρεκάλει [12] τὸν μακάριον λέγων · « Εὔξαι, κῦρι ἀββᾶ, ἵνα γένωμαι μάρτυς. » Ὁ δὲ μέγας ἐπετίμα αὐτῷ μὴ συγχωρῆσαι [13] ἔτι [14] τὸν λογισμὸν τοῦτον ἐμμεῖναι [15] ἐν τῇ καρδίᾳ [16] αὐτοῦ [17] · καὶ [18] νουθετῶν ἔλεγεν αὐτῷ · « Ἀδελφέ, ὑπόμεινον τὸν ἀγῶνα τῆς ἀσκήσεως τὸν μοναχικὸν γενναίως καὶ ἀμώμως [19]

[20] εἰσὶν ἄξια D. — [21] παρ' αὐτῶν ND. — [22] τούτων ἀκούσας ὁ πατὴρ D. — [23] ἀπελθὼν D. — [24] ἀπόδος ND. — [25] ἐλθέ N, ἐπαναστρέψας D. — [26] (τ. τὸ ἔ.) τὴν διακονίαν ταύτην D. — [27] ἐκεῖνος add. ND. — [28] om. D. — [29] καθὼς ἐπετράπη καὶ ἦν ἐν τῇ μονῇ D. — [30] (ἔ. δὲ) μετὰ δὲ ταῦτα ἔ. ὁ ἄνθρωπος τοῦ θεοῦ D. — [31] καὶ τέλ. ἐν π. D. — [32] om. ND. — [33] (τῶν - δεικν.) ταῖς ἀγαθοεργίαις ὑπερβαίνοντα D ; cf. Λ : τῇ τῶν ἀγ. πράξ. ἀποδείξει νικῶντα.

113. — [1] τῶν πάνυ ἐπισήμων add. N. — [2] (ἀ. καθ' ἑ.) καθ' ἑ. ἀσκούμενος D. — [3] τῶν π. ἐ. om. N. — [4] περὶ τοῦ θείου καὶ ἀγγελικοῦ βίου D. — [5] ὁσίου D. — [6] ἐλθὼν παρεκάλει D. — [7] διαβιβάσας D. — [8] ἐπιθυμίαν ἔσχε τοῦ D. — [9] μεγάλου καὶ add. D. — [10] φιλοχρίστου N ; καὶ χρ. om. D. — [11] τηνικαῦτα D. — [12] (οὕτ. σ. π.) π. οὖν σ. D. — [13] (μὴ σ.) καὶ μηδόλως συγχωρεῖν D. — [14] om. D. — [15] ἐμβῆναι N, ἐμβαίνειν D. — [16] εἰς τὴν καρδίαν N. — [17] προετρέπετο add. D. — [18] εἶτα D. — [19] γ. κ. ἀ. om. D.

κατὰ τὴν τοῦ Χριστοῦ [20] εὐαρέστησιν · καὶ ἕξεις ἐν οὐρανοῖς τὴν μετὰ τῶν ἁγίων μαρτύρων κοινωνίαν. » Ἐκείνου δὲ καθ' ἑκάστην ἐκ σατανικῆς ἐνεργείας [21] ἐπιμένοντος καὶ διενοχλοῦντος [22] τῷ ἁγίῳ ἵνα εὔξηται περὶ αὐτοῦ ἕνεκεν τῆς ἀκαίρου αὐτοῦ [23] ἐπιθυμίας, βουλόμενος δὲ [24] ὁ μέγας [25] ἀποσείσασθαι τὴν τοιαύτην [26] αὐτοῦ ὄχλησιν, εἶπεν αὐτῷ · « Ἔστω, εὔχομαι. Πλὴν εἰ τοῦτο θέλεις, καταλήψεταί σε διὰ τάχους. Ἀσφαλίζου [27] δὲ ἑαυτόν [28], μή πως, ἐλθούσης τῆς ὥρας, ἀντὶ τοῦ μαρτυρῆσαι ἀρνούμενος εὑρεθῇς τὸν Χριστόν. Ἀληθῶς γάρ [29], ἀδελφέ, μεγάλως σφάλλει αὐτομολεῖν βουλόμενος εἰς τὸν πειρασμόν. »

Λ 9. **114.** Ἐγένετο δὲ [1] μετὰ δύο ἡμέρας [2] ἀποσταλῆναί τινας τῶν ἀδελφῶν ὑπὸ [3] τοῦ μεγάλου εἰς ἀνωτέραν αὐτῶν κώμην [4] συλλέξαι [5] θρύα εἰς λόγον ψιαθίων τῆς μονῆς. Αὕτη δὲ ἡ κώμη πρόσκειται [6] τοῖς βαρβάροις τοῖς λεγομένοις Βλεμμύοις [7]. Καὶ χρονιζόντων [8] ἐκεῖσε τῶν ἀδελφῶν [9] περὶ νῆσόν τινα [10] ἐν ᾗ πολλὰ θρύα ὑπῆρχον, ἀπέστειλε πρὸς αὐτοὺς ὁ μακάριος τὸν ἀδελφὸν [11] τὸν ἐπιθυμοῦντα μαρτυρῆσαι, δαπάνας ὀλίγας [12] ἀπενεγκεῖν τοῖς ἀδελφοῖς [13], παραγγείλας αὐτῷ ἀσφαλίσασθαι ἑαυτόν, εἰπὼν τὸ γεγραμμένον ὅτι · « Νῦν [14] καιρὸς εὐπρόσδεκτος, νῦν [15] ἡμέρα σωτηρίας, μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία [16]. » Ὁ δὲ λαβὼν ὄνον γεγομωσμένον [17] δαπανῶν [18], ἐπορεύετο πρὸς τοὺς ἀδελφούς. Γενομένου δὲ αὐτοῦ περὶ τὴν ἔρημον [19], κατελθόντες ἀπὸ τοῦ ὄρους οἱ βάρβαροι ἐπὶ τὸ ὑδρεύσασθαι ἀπαντῶσιν [20] αὐτῷ · καὶ κατενέγκαντες [21] αὐτὸν ἀπὸ τοῦ ὄνου ἔδησαν τὰς χεῖρας αὐτοῦ, καὶ λαβόντες τὸν ὄνον πεφορτωμένον [22] ἀνήνεγκαν αὐτὸν εἰς τὸ ὄρος [23] πρὸς τοὺς ἄλλους βαρβάρους. Ἰδόντες

II Cor. 6, 2-3.

[20] κυρίου N. — [21] τυχὸν add. D. — [22] διοχλοῦντος D. — [23] om. D. — [24] om. N, οὖν D. — [25] ἅγιος D. — [26] om. D. — [27] ἀσφάλισαι N. — [28] σεαυτὸν D. — [29] om. ND.

114. — [1] (ἐγ. δὲ) καὶ ἐγ. ND. — [2] sic PND ; ἔτη ΛΣ. — [3] παρὰ N. — [4] εἰς τινα κώμην ἐν τοῖς ἀνωτερικοῖς μέρεσιν αὐτῶν κειμένην D. — [5] συλλέξασθαι N. — [6] (αὕτη - πρόσκειται) γειτνιάζει δὲ αὕτη ἡ κώμη D. — [7] βλεμμύδαις N, βλεμμύαις D. — [8] (καὶ χρ.) χρ. οὖν D. — [9] (ἐ. τῶν ἀδ.) τῶν ἀδ. ἐ. N. — [10] περὶ τὴν νῆσον N. — [11] τοῦτον add. ND. — [12] αὐτοῖς add. D. — [13] (τοῖς ἀδ.) αὐτοῖς N, om. D. — [14] ἰδοὺ D. — [15] ἰδοὺ νῦν D. — [16] ὑμῶν add. D. — [17] πεφορτισμένον N. — [18] δαπάνων P ; ὁ δὲ τὰς δαπάνας ὄνῳ ἐπιθεὶς D. — [19] ἐν τῇ ἐρήμῳ D. — [20] συναντῶσιν D. — [21] κατενεγκόντες D, καταβιβάσαντες N. — [22] πεφορτισμένον N ; λαβόντες τὸν ὄνον πεφορτωμένον om. D. — [23] ἅμα τῷ ὄνῳ πεφορτισμένῳ add. D.

δὲ οἱ βάρβαροι [24] ἐρχόμενον αὐτόν [25], ἔγνωσαν ὅτι μονάζων ἐστίν. Εἶτα [26] ἤρξαντο λέγειν αὐτῷ · « Μονάζον [27], ἐλθὲ [28] προσκύνησον τοῖς θεοῖς ἡμῶν. » Σφαξάντων δὲ ζῷα [29], σπονδὰς ἐποίησαν [30] τοῖς εἰδώλοις [31] αὐτῶν. Καὶ ἀγαγόντες τὸν μονάζοντα, ἠνάγκαζον αὐτὸν [32] συνσπεῖσαι αὐτοῖς [33]. Μὴ βουλομένου δὲ αὐτοῦ τοῦτο ποιῆσαι, κατέχοντες [34] γυμνὰ τὰ ξίφη αὐτῶν [35] μετὰ θυμοῦ ἠπείλουν [36] αὐτῷ [37] λέγοντες ὡς, εἰ μὴ βούλοιτο [38] θῦσαι τοῖς θεοῖς αὐτῶν [39] καὶ σπεῖσαι αὐτοῖς σπονδὰς ὃν τρόπον κἀκεῖνοι, εὐθὺς ἀνελεῖν αὐτόν [40]. Ὁ δὲ ἰδὼν γυμνὰ τὰ ξίφη αὐτῶν [41] καὶ τὸ ἦθος αὐτῶν ἄγριον [42] δειλιάσας [43], λαβὼν τὸν οἶνον ἔσπεισε τοῖς εἰδώλοις αὐτῶν καὶ ἔφαγε μετ' αὐτῶν ἐκ τῶν κρεῶν τῶν εἰδωλοθύτων · καὶ φοβηθεὶς τὸν τοῦ σώματος ἀποθανεῖν θάνατον, τὴν ἀθάνατον ἀπέκτεινε ψυχήν [44], τὸν δεσπότην ἀρνησάμενος [45] Χριστόν. Ποιήσαντος δὲ αὐτοῦ τοῦτο [46], λοιπὸν ὡς ἴδιον [47] ὄντα [48] ἤθελον αὐτὸν [49] κατέχειν [50] · μὴ βουληθέντος δέ [51], ἀπέλυσαν αὐτόν.

Λ 10. **115.** Ὁ δὲ [1] κατελθὼν ἐκ τοῦ ὄρους καὶ ἐλθὼν εἰς ἑαυτὸν ἔγνω τὴν ἀνομίαν, μᾶλλον δὲ [2] τὴν ἀσέβειαν ἣν ἐποίησε · καὶ σχίσας αὐτοῦ τὰ ἱμάτια [3] καὶ τύψας πολλὰ τὸ πρόσωπον αὐτοῦ [4], ἔρχεται εἰς τὴν μονήν. Γνοὺς δὲ τῷ πνεύματι ὁ μακάριος [5] τὸ συμβὰν [6] αὐτῷ, ἐξῆλθεν εἰς ἀπάντησιν [7] αὐτοῦ πάνυ λυπούμενος ἐπ' αὐτῷ. Ὁ δὲ ἰδὼν αὐτὸν [8] ἐρχόμενον, βάλλει ἑαυτὸν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν [9] καὶ ἔκραξε [10] μετὰ κλαυθμοῦ [11] · « Ἥμαρτον τῷ Θεῷ καὶ σοί, πάτερ, ὅτι οὐκ ἤκουσά σου τῆς ἀγαθῆς συμβουλίας · εἰ γὰρ ἤκουόν σου, οὐκ ἂν ταῦτα ὑπέστην. » Ὁ δὲ μακάριος Παχώμιος εἶπεν αὐτῷ · « Ἀνάστα, ἄθλιε [12], σεαυτὸν ἀπέκλεισας ἀπὸ τῶν [13] τοσούτων

Cf. Lc. 15, 21.

[24] οἱ δὲ βάρβ. ἰδ. N. — [25] (αὐ.) μετ' αὐτοῦ καὶ τὸν ὄνον N ; μετὰ τοῦ ὄνου add. D. — [26] εἶθ' οὕτως N, καὶ D. — [27] μοναχέ N. — [28] καὶ add. ND. — [29] εἶτα σφαξ. αὐτῶν ζ. D. — [30] (σπ. ἐ.) καὶ θυσίας καὶ σπ. ποιουμένων D. — [31] θεοῖς N. — [32] om. N. — [33] (καὶ ἀγ. - αὐτ.) ἤγαγον καὶ τὸν μον. θῦσαι καὶ συνσπ. αὐτοῖς D. — [34] om. D. — [35] ἀνέτεινον add. D. — [36] ἀπειλοῦντες D. — [37] αὐτὸν N, αὐτὸν καὶ D. — [38] βουληθείη D. — [39] τοῖς θεοῖς αὐτῶν θῦσαι D. — [40] αὐτ. ἀν. D. — [41] τὰ ξ. αὐτ. γ. D. — [42] καὶ add. N. — [43] ἐδειλίασε καὶ D. — [44] φοβηθεὶς ἀποθ. τὸν σωματικὸν θάν., τὸν ψυχικὸν θάν. ἀπέθανε D. — [45] ἀθετήσας D. — [46] οὕτως οὖν αὐτοῦ ποιήσ. D. — [47] αὐτῶν add. ND. — [48] γεγονότα D. — [49] om. ND. — [50] μεθ' ἑαυτῶν add. D. — [51] αὐτοῦ add. ND.

115. — [1] (ὁ δὲ) καὶ D. — [2] τὴν ἀν. μᾶλλον δὲ om. N. — [3] τὰ ἱμ. ἑαυτοῦ N. — [4] om. P, ἑαυτοῦ N. — [5] παχώμιος N, ἅγιος D. — [6] τὰ συμβάντα D. — [7] συνάντησιν D. — [8] τὸν μέγαν N. — [9] κατὰ γῆς D. — [10] (καὶ ἔ.) κράζων D. — [11] καὶ λέγων add. D. — [12] ὦ πῶς add. D. — [13] om. N.

ἀγαθῶν. Ἀληθῶς [14] ἐπετέθη σοι στέφανος [15] καὶ ἀπέρριψας αὐτὸν ἀπὸ σοῦ [16]. Ἕτοιμος [17] ὑπῆρχες συγκαταριθμηθῆναι τοῖς ἁγίοις [18] μάρτυσι, καὶ ἑαυτὸν [19] ἀπεσχοίνισας τῆς μακαρίας αὐτῶν κοινωνίας. Ὁ δεσπότης Χριστὸς παρῆν μετὰ τῶν ἁγίων ἀγγέλων τὸ διάδημα τῆς νίκης ἐπὶ τῆς κεφαλῆς σου βουλόμενος ἐπιθεῖναι, καὶ [20] τοῦτον [21] ἠρνήσω [22] διὰ ῥοπὴν ὥρας [23]. Καὶ δν θάνατον [24] μέλλεις ὑφίστασθαι [25] καὶ μὴ βουλόμενος, τοῦτον [26] φοβηθεὶς ἐξέπεσας [27] τοῦ Θεοῦ σου, τὴν αἰώνιον ζωὴν ἀπολέσας [28]. Ποῦ οἱ πρώην [29] σου [30] λόγοι τῆς ἀκαίρου [31] ὀρέξεως [32]; » Εἰπόντος δὲ τοῦ μεγάλου ταῦτα [33], ἤρξατο πάλιν ἀναβοᾶν, καὶ [34] ὀλοφυρόμενος [35] ἔλεγεν [36] · « Ἥμαρτον κατὰ πάντα, ὦ πάτερ, καὶ οὐ δύναμαι ἔτι ἐπᾶραι εἰς τὸν οὐρανὸν τὸ πρόσωπόν μου. Ἀπωλόμην, ὦ πάτερ. Οὐκ ἔστι μοι ἀπὸ τοῦ νῦν ἐλπὶς σωτηρίας οὔτε ὑπόστασις τοῦ μετανοῆσαι [37]. Τί οὖν ποιήσω, ὦ [38] πάτερ ; Οὐ προσεδόκουν [39] οὕτως γενέσθαι. »

Cf. Luc. 18, 13.

Λ 11. **116.** Ταῦτα λέγοντος [1] αὐτοῦ μετὰ κλαυθμοῦ [2], ἔφη [3] πρὸς αὐτὸν ὁ μέγας · « Σὺ μέν, ἄθλιε, παντελῶς [4] σεαυτὸν ἀλλότριον [5] τοῦ Κυρίου ἐποίησας [6]. Ὁ δὲ Κύριος ἀγαθός ἐστι [7] καὶ οὐδέποτε συνέσχεν ὀργὴν αὐτοῦ εἰς μαρτύριον · ὅτι θελητὴς ἐλέους ἐστί, καὶ τὰς ἁμαρτίας ἡμῶν δύναται καταποντίσαι εἰς τὴν [8] θάλασσαν [9]. Οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, καὶ τὸν πεσόντα μὴ ἐμμένειν τῷ παραπτώματι, ἀλλὰ ἀναστῆναι [10], καὶ τὸν ἀποστρέφοντα μὴ μακρυνθῆναι [11], ἀλλὰ διὰ τάχους ἐπιστρέψαι πρὸς αὐτόν. Διὰ τοῦτο μὴ ἀπογνῷς σεαυτοῦ · ἔστι γὰρ [12] ἐλπὶς σωτηρίας [13]. Ἐὰν γάρ, φησίν, ἐκκοπῇ δένδρον, πάλιν ἐπαν-

Cf. Ez. 33, 11.

Cf. Mich. 7, 18-19.

Cf. Iob 14, 7.

[14] ὡσανεὶ D. — [15] στέφ. ἐπετέθη σοι D. — [16] οὕτω πεποίηκας add. D. — [17] ἐγγὺς D. — [18] om. D. — [19] σεαυτὸν D. — [20] σὺ add. ND. — [21] ὥσπερ add. D. — [22] τῇ τῶν εἰδώλων λατρεία add. D. — [23] (διὰ ῥ. ὥρ.) μὴ ὑπομείνας ῥοπὴν καὶ στιγμὴν τῆς ὥρας D. — [24] (καὶ δν θ.) θ. γὰρ ὃν D. — [25] μετὰ βραχὺ add. D. — [26] om. D. — [27] ἐξέπεσες ND. — [28] (ζ. ἀ.) ἀ. ζ. D. — [29] πρῶτοι ND. — [30] λογισμοὶ καὶ add. D. — [31] ἐκείνης add. N. — [32] καὶ ἐπιθυμίας add. D. — [33] ταῦτα εἰπ. τοῦ μεγ. D. — [34] om. N. — [35] ὀλυφύρεσθαι D. — [36] λέγων D, καὶ λέγων N. — [37] (οὐκ ἔστι - μεταν.) ἀπώλεσα τὴν ἐλπίδα τῆς ἐμῆς σωτηρίας ἀπώλεσα τὴν μετάνοιαν D. — [38] om. ND. — [39] προσεδόκων ND.

116. — [1] ἀποδυρομένου D. — [2] (μ. κλ.) καὶ ἐλεεινολογουμένου D. — [3] φησὶ D. — [4] ὅσον τὸ κατὰ σὲ D. — [5] (σ. ἀ.) ἀ. σ. D. — [6] πεποίηκας D. — [7] ἀγ. δέ ἐστιν ὁ κ. ND. — [8] om. N. — [9] τῆς εὐσπλαγχνίας αὐτοῦ add. D. — [10] ἀλλὰ ἀν. om. D. — [11] μακρύνεσθαι D. — [12] σοι D. — [13] (ἐ. σ.) σ. ἐ. D.

θήσει [14]. Ἐὰν γὰρ [15] θελήσῃς μου ἀκοῦσαι [16] κατὰ [17] πάντα ὅσα ἂν εἴπω σοι, ἕξεις τὴν συγχώρησιν παρὰ τῷ Θεῷ [18]. » Ὁ δὲ φωνῇ μεγάλῃ κλαίων ἔλεγεν · « Ἀκούσω [19] σου, πάτερ, ἀπὸ τοῦ νῦν ἐν πᾶσιν οἷς ἐὰν [20] εἴπῃς [21] μοι. » Καὶ ἐκέλευσεν αὐτὸν ἀναχωρήσαντα [22] εἰς ἥσυχον κελλίον [23] ἀποκλεῖσαι ἑαυτὸν [24] καὶ μηδενὶ συντυχεῖν [25] ἕως θανάτου [26], καὶ ὑπὲρ [27] μίαν ἡμέραν ἐσθίειν αὐτὸν ἄλας καὶ ἄρτον ξηρὸν καὶ ὕδωρ μόνον εἰς ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ [28], δύο δὲ ψιαθία [29] ποιεῖν αὐτὸν τῆς ἡμέρας [30], καὶ ἀγρυπνεῖν μὲν ὅσον δύναται, εὔχεσθαι δὲ ὅσον ἰσχύει, μὴ ἀπολείπεσθαι κλαυθμοῦ [31] πᾶσαν ὥραν [32]. Ὁ δὲ ἐποίει [33] καθὼς προσέταξεν αὐτῷ ὁ μέγας · καὶ καθείρξας [34] ἑαυτὸν ἐδιπλασίασε πάντα τὰ ἐνταλθέντα αὐτῷ. Οὐδενὶ δὲ συνετύγχανεν εἰ μὴ τῷ μεγάλῳ καὶ Θεοδώρῳ [35] καὶ ὀλίγοις [36] τῶν πνευματικῶν γερόντων · καὶ τοῦτο ἵνα μὴ βλαβῇ τὴν φρέναν [37]. Ποιήσας δὲ δωδεκαετῆ χρόνον οὕτως καλῶς ἀγωνισάμενος [38] τῇ τοῦ Χριστοῦ [39] χάριτι ἐκοιμήθη ἐν καλοῖς [40], μαρτυρήσαντος αὐτὸν [41] τοῦ μεγάλου [42].

Λ 24. **117.** Ἐγένετό ποτε τὸν μακάριον Παχώμιον καὶ Θεόδωρον τὸν ποθούμενον αὐτῷ περιπατοῦντας [1] ἐν τῇ μονῇ τὴν νύκτα [2], ἄφνω ἰδεῖν αὐτοὺς ἀπὸ [3] μήκοθεν φαντασίαν τινὰ μεγάλην καὶ ἀπάτης γέμουσαν πολλῆς. Ἦν δὲ τὸ φαινόμενον γυναικὸς [4] σχῆμα κάλλος ἔχουσα [5] ἀνεκλάλητον [6], ὡς μὴ δύνασθαί τινα μήτε τὸ κάλλος [7] μήτε τὸ σχῆμα μήτε τὴν [8] θέαν τῆς προσούσης αὐτῇ [9] φαντασίας διηγήσασθαι · ὡς [10] τὸν Θεόδωρον, τὴν φαντασίαν ἐκείνην [11] ἰ-

[14] ἐξανθήσει D. — [15] om. ND. — [16] (μ. ἀ.) ἀ. μ. D. — [17] om. N, εἰς D. — [18] παρὰ τῷ θεῷ τὴν συγχ. D. — [19] ἀκούω ND. — [20] ἂν ND. — [21] ἐντέλλῃ N, ἐπιτρέψῃ D. — [22] ἀναχωρῆσαι N. — [23] καὶ add. N. — [24] (καὶ ἐκέλ. - ἑαυτ.) τότε ἐκέλ. ὁ πατὴρ εἰς ἥσ. κελλίον ἑαυτ. ἐγκλεῖσαι D. — [25] (καὶ μ. σ.) μ. ὁμιλῶν N. — [26] αὐτοῦ add. D. — [27] παρὰ N. — [28] (καὶ ὑπὲρ - αὐτοῦ) ἐσθίειν δὲ ἅπαξ ταῖς δυσὶν ἡμέραις ἄρτον ξηρὸν καὶ ἅλας καὶ ὕδατος μόνου μεταλαμβάνειν παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον D. — [29] καθ' ἑκάστην ἡμέραν add. D. — [30] αὐτ. τ. ἡμ. om. D. — [31] κλαυθμῷ N. — [32] (μὴ ἀπολ.- ὥρ.) κλαυθμοῦ καὶ δακρύων κατὰ πᾶσ. ὥρ. μὴ λείπεσθαι D. — [33] (ὁ δὲ ἐ.) ἐποίησεν οὖν ὁ ἀδελφὸς D. — [34] ἐγκλείσας D. — [35] οὐδενὶ συντυχὼν τὸ παράπαν εἰ μὴ τῷ ἡγιασμένῳ θεοδ. D. — [36] τισὶ add. D. — [37] φρένα N ; ἵνα μὴ ἔκστασιν φρενῶν ὑποσταίη (prius ἀποσταίη) D. — [38] (ποιήσας - ἀγων.) οὕτως οὖν καλ. ἀγων. δωδ. χρ. D. — [39] θεοῦ N. — [40] ἐν εἰρήνῃ D. — [41] αὐτῷ N, αὐτῷ τὰ χρηστὰ D. — [42] πατρός add. D.

117. — [1] νυκτὸς add. D. — [2] τ. ν. om. D. — [3] om. D. — [4] γυναικεῖον N. — [5] ἔχον N. — [6] (ἔχ. ἀν.) ἀν. ἔχ. D. — [7] αὐτὸ add. D. — [8] λοιπὴν add. D. — [9] αὐτῷ N. — [10] ὥστε ND. — [11] ταύτην D.

δόντα, πάνυ ταραχθῆναι καὶ ἀλλοιοῦσθαι τῷ προσώπῳ [12]. Ὃν θεασάμενος ὁ μέγας οὕτως δειλιάσαντα, ἔλεγεν αὐτῷ· « Θάρσει ἐν Κυρίῳ, Θεόδωρε, καὶ μὴ ἀγωνιάσῃς [13]. » Καὶ ἤρξαντο ἀμφότεροι εὔχεσθαι πρὸς τὸ ἀπελαθῆναι ἀπ' αὐτῶν τὴν ἔκπληκτον φαντασίαν ἐκείνην. Εὐχομένων δὲ αὐτῶν, μᾶλλον [14] θαρσαλεώτερον [15] προσῄει αὐτοῖς ἀναιδευομένη. Ἐγγιζούσης δὲ αὐτῆς καὶ τοῦ πλήθους [16] τῶν δαιμόνων προτρεχόντων ἔμπροσθεν αὐτῆς, καὶ τῆς εὐχῆς αὐτῶν μὴ ἀποστρεψάσης αὐτήν, ἐλθοῦσα πρὸς αὐτοὺς λέγει αὐτοῖς· « Τί μάτην κοπιᾶτε; Οὐ δύνασθε ἄρτι κατ' ἐμοῦ ποιεῖν οὐδέν, διότι ἐξουσίαν ἔλαβον παρὰ τοῦ παντοκράτορος Θεοῦ πειράσαι οὓς θέλω. Πολὺν γὰρ ἔχω χρόνον αἰτουμένη τοῦτο παρ' αὐτοῦ. » Εἶπε δὲ ὁ ἅγιος Παχώμιος· « Σὺ γὰρ τίς εἶ καὶ πόθεν καὶ τίνα ἦλθες πειράσαι; » Ἀπεκρίθη [17] ἐκείνη καὶ [18] εἶπεν· « Ἐγώ εἰμι ἡ θυγάτηρ τοῦ διαβόλου, ἡ πᾶσα δύναμις αὐτοῦ ὑπάρχουσα· ἐμοὶ γὰρ πᾶσα φάλαξ [19] δαιμονικὴ δουλεύει· ἐγὼ γάρ εἰμι ἡ τοὺς ἁγίους φωστῆρας [20] εἰς γῆν καταφέρουσα· ἐγώ εἰμι ἡ σκυλεύσασα τὸν Ἰούδαν [21] ἐκ τῆς ἀποστολικῆς περιβολῆς [22]. Πρὸς σὲ [23] οὖν, Παχώμιε, ἔλαβον [24] ἐξουσίαν τοῦ πολεμῆσαί σε· οὐκ ἠδυνήθην γὰρ [25] στέρξαι [26] τῶν δαιμόνων τὸν ὀνειδισμόν, ὅτι οὐδεὶς οὕτως ἐξενεύρωσέ [27] μέ ποτε [28] ὥσπερ σύ. Παιδίοις γὰρ καὶ γηραιοῦσι καὶ τοῖς νέοις [29] πάντας μοι [30] παρεσκεύασας [31]· συνάξας [32] γὰρ [33] κατ' ἐμοῦ τοσοῦτον πλῆθος καὶ πολίσας τὴν ἔρημον [34], τεῖχος ἀρραγὲς [35] τὸν φόβον τοῦ Θεοῦ [36] περιέθηκας [37] αὐτοῖς κύκλῳ, ὡς μὴ δύνασθαι λοιπὸν τοὺς ἡμετέρους ὑπουργοὺς [38] ἐγγίζειν τινὶ [39] ὑμῶν. Πάντα δὲ ταῦτα συνέβη μοι διὰ τὸν ἐνανθρωπήσαντα Κύριον· αὐτὸς γὰρ δέδωκεν ὑμῖν ἐξουσίαν καταπατεῖν τὴν δύναμιν ἡμῶν καὶ ἐμπαίζειν ἡμῖν [40]. »

Cf. Luc. 10, 19.

Λ 25.

118. Λέγει αὐτῇ ὁ ἅγιος Παχώμιος· « Ἐμὲ οὖν μόνον ἦλθες

[12] ἀλλοιωθῆναι τὸ πρόσωπον D. — [13] μὴ ἀγωνία D. — [14] om. N. — [15] (μ. θ.) θ. μ. D. — [16] τὸ πλῆθος N. — [17] ἀποκριθεῖσα D. — [18] om. D. — [19] φάλαγξ N. — [20] τοὺς φωστ. τοὺς ἁγ. ND. — [21] Ἰούδα P. — [22] συναυλίας N, χορείας D. — [23] κατὰ σοῦ D. — [24] ἤδη add. D. — [25] ἔτι add. N. — [26] στέξαι D. — [27] prius ἐξενεύρησέ N. — [28] om. ND. — [29] παιδία γὰρ καὶ γηραιοὺς καὶ τοὺς νέους ND. — [30] πάντας μοι PD, πάντας N, recte πατεῖσθαί με ΛΣ. — [31] καὶ ὥπλισας add. D. — [32] (παρ. συν.) συν. παρ. N. — [33] om. ND. — [34] τὴν ἔρ. ἐπόλισας N ; καὶ add. D. — [35] τ. ἀ. om. N. — [36] τοῦ θ. om. P ; τὸν τοῦ θ. φόβον D ; ὡσεὶ τεῖχος ἀρραγὲς add. N. — [37] περιθεὶς ND. — [38] ὑπηρέτας ND. — [39] ἐξ add. D. — [40] ἡμᾶς ND.

πειράσαι, ὡς λέγεις, ἢ καὶ ἄλλους; » Εἶπεν δὲ αὐτῷ ἐκείνη ὅτι [1]· « Καὶ σὲ καὶ τοὺς κατὰ σὲ πάντας. » Εἶπεν αὐτῇ ὁ Παχώμιος [2]· « Οὐκοῦν καὶ Θεόδωρον καὶ τοὺς λοιπούς; » — « Καὶ πρὸς Θεόδωρον καὶ τοὺς λοιποὺς [3] ἔλαβον τὴν ἐξουσίαν· ἀλλ' οὐ δύναμαι ὑμῖν ἐγγίζειν [4] τὸ σύνολον. » Εἶπεν αὐτῇ [5]· « Διὰ τί οὐ δύῃ ἐγγίζειν [6] ἡμῖν, εἰ ἔλαβες τὴν [7] ἐξουσίαν ὡς λέγεις; » Εἶπεν [8] ἐκείνη· « Τὴν μὲν ἐξουσίαν ἔλαβον· ἐὰν δὲ πολεμήσω ὑμᾶς, αἰτία ὑμῖν γένωμαι [9] ὠφελείας μᾶλλον [10] ἤπερ [11] βλάβης· καὶ μάλιστα σοί, Παχώμιε, ὅτι κατηξιώθης [12] τοῖς σωματικοῖς ὀφθαλμοῖς θεατὴς γενέσθαι τῆς δόξης τοῦ Θεοῦ. Ἀλλ' οὐκ εἰς τὸν αἰῶνα ζήσεσθε [13] τοῖς [14] ὑφ' ὑμῶν νῦν διὰ τῶν εὐχῶν φυλαττομένοις [15]. Ἔσται γὰρ καιρὸς [16] μετὰ τὸν [17] θάνατον ὑμῶν τῶν νῦν φρουρούντων αὐτοὺς ἀπ' ἐμοῦ [18], ἐν ᾧ μέλλω χορεύειν ἐπ' αὐτούς. Ὑμεῖς γὰρ ἐποιήσατε καταπατεῖσθαί με νῦν ὑπ' αὐτῶν. » Λέγει αὐτῇ ὁ μέγας· « Πόθεν γὰρ [19] σὺ οἶδας ὅτι οἱ [20] μεθ' ἡμᾶς οὐκ ἔσονται μᾶλλον γνησίως ὑπὲρ ἡμᾶς δουλεύοντες τῷ Κυρίῳ πρὸς τὸ δύνασθαι αὐτοὺς [21] ἀσφαλίσασθαι τοὺς τότε [22] τῷ τοῦ Θεοῦ [23] φόβῳ [24]; » Ἡ δὲ εἶπεν· « Γινώσκω [25] ὅτι ῥᾴθυμοι ἔσονται καὶ καταφρονηταί. Καὶ τότε [26] καιρὸν ἕξω ἐγὼ ἐν αὐτοῖς. » Λέγει αὐτῇ ὁ μέγας [27] Παχώμιος [28]· « Ψεύδῃ κατὰ τῆς ἀνοσίας σου κεφαλῆς, μήτε ὅλως [29] προγνωστικὸν ἔχουσα· Θεῷ γὰρ μόνῳ τὸ προγνωστικὸν ἔπεται· σὺ δὲ τοῦ ψεύδους ἄρχεις. » Ἡ δὲ [30] ἀποκριθεῖσα εἶπεν αὐτῷ [31]· « Κατὰ τὸν σὸν λόγον, κατὰ πρόγνωσιν οὐδὲν [32] ἐπίσταμαι· Θεοῦ γὰρ μόνου [33] ἴδιον τὸ προγνῶναι [34]. Κατὰ στοχασμὸν δέ [35] τινα εἰπόν σοι ὅτι οἶδα. » Λέγει αὐτῇ [36]· « Πᾶς στοχασμὸς ἀβέβαιος· σὺ οὖν πῶς στοχάζῃ; » Εἶπεν [37] αὐτῷ ἐκείνη· « Ἐκ τῶν ἤδη

Cf. II Petr. 1, 16.

Cf. Ioh. 8,44.

118. — [1] (εἶπεν - ὅτι) ἡ δὲ ἔφη N, ἡ δὲ εἶπε D. — [2] (εἶπεν αὐτῇ ὁ π.) καὶ ὁ ἅγιος D, καὶ ὁ ἅγιος εἶπεν αὐτῇ N. — [3] ἐκείνη ἔφη add. N ; καὶ κατὰ θεοδώρου, εἶπεν αὐτή, καὶ τῶν λοιπῶν D. — [4] προσεγγίζειν D. — [5] (εἶπ. αὐτῇ) καὶ ἀπεκρίθη ὁ ἅγιος N, ὁ ὅσιος ἔφη D. — [6] προσεγγίζειν D. — [7] om. D. — [8] ὅτι φησὶν D. — [9] γίνομαι ND. — [10] om. N. — [11] ἢ N. — [12] καὶ add. D. — [13] ἔσεσθαι τοῦτο N, παραμενεῖτε D. — [14] τοὺς P. — [15] φυλαττομένους P. — [16] κλῆρος N, μοι κλῆρος ἐν αὐτοῖς D. — [17] om. D. — [18] ἀπ' ἐ. om. D. — [19] δὲ N. — [20] om. PN. — [21] om. D. — [22] τοὺς τ. om. D. — [23] (τοῦ θ.) θείῳ ND. — [24] τοὺς τότε ὄντας add. D. — [25] γίνωσκε ND. — [26] τηνικαῦτα D. — [27] μακάριος N. — [28] ὁ μακάριος παχ. λέγει αὐτῇ D. — [29] (μ. ὅλ.) μηδόλως D, μηδόλως τὸ N. — [30] ἡ δὲ om. D. — [31] αὐτή D. — [32] οὐδὲν κατὰ πρόγν. D. — [33] μόνον N. — [34] προγινώσκειν D. — [35] κατὰ δὲ στοχ. N. — [36] ὁ ἅγιος add. N ; (λέγ. αὐ.) καὶ ὁ ἅγιος D. — [37] λέγει D.

προβάντων τὰ μηδέπω γενόμενα [38] στοχάζομαι. » Εἶπεν αὐτῇ ὁ μακάριος [39] · « Πῶς δύναται τοῦτο γενέσθαι [40], τὸ μηδέπω ἐνθυμηθὲν ἢ λεχθὲν ἢ πραχθέν [41] ; » Ἡ δὲ εἶπεν · « Ἔγνων ὅτι ἐπὶ [42] παντὸς πράγματος ἡ ἀρχὴ [43] διατεταμένῳ πόθῳ πρὸς τὰ σπουδαζόμενα ἔχει τὴν ἕδραν [44], μάλιστα ἐπὶ θείας φυτείας καὶ οὐρανίου κλήσεως, ἥτις θελήματι Θεοῦ βεβαιοῦται, τέρασί τε καὶ σημείοις καὶ ποικίλαις δυνάμεσι τοὺς μετερχομένους αὐτὴν ἀσφαλιζομένη · παλαιουμένη δὲ καὶ γηράσκουσα ἡ ἀρχὴ τῆς μὲν αὐξήσεως ἀποπίπτει, ἀποπίπτουσα δὲ τῆς αὐξήσεως ἢ χρόνῳ ἀναλίσκεται ἢ νόσῳ [45] μαραίνεται ἢ καταφρονήσει ἀμβλύνεται. »

Λ 26. **119.** Εἶπεν δὲ αὐτῇ [1] Παχώμιος [2] · « Τί οὖν, ὡς σὺ φής, τοὺς μεγάλους ἦλθες πειράσαι [3] καὶ οὐχὶ πάντας τοὺς ἀδελφούς [4], εἶπερ, ὡς λέγεις, ἴδιόν σου ἔργον ἐστὶν ἀπώλεια ψυχῆς [5] καὶ ὑπερβάλλεις πάντας εἰς κακίαν τοὺς δαίμονας καὶ τοσοῦτον ἰσχύεις [6] ὥστε [7] δύνασθαί σε... [8] ; » Ἀποκριθεῖσα δὲ [9] εἶπεν αὐτῷ [10] · « Φθάσασα εἶπόν σοι [11] · ἀφ' οὗ ἡ παντοκρατορικὴ δύναμις τοῦ σωτῆρος
Cf. Iob 40,24. ἐπὶ γῆς ἐφάνη, ἐξενευρώθημεν ἡμεῖς, ὥστε ἡμᾶς ὡς στρουθίον ἐμπαίζεσθαι [12] παρὰ τῶν θελόντων δουλεύειν τῷ Κυρίῳ καὶ καταπατεῖσθαι ὑπὸ τῶν πνευματοφόρων ἀνδρῶν. Ἀλλ' εἰ καὶ ἄτονοι γεγόναμεν παρ' αὐτοῦ [13], οὐκ ἀργοῦμεν τῆς ἐνεργείας ἡμῶν · ἀλλ' [14] οὔτε ἡσυχάζομεν τοῦ [15] ἀντικεῖσθαι ὑμῖν, διότι ἡ φύσις ἡμῶν ἄϋπνός ἐστι. Σπείρομεν οὖν τὴν ἰδίαν κακίαν εἰς τὴν ψυχὴν τοῦ ἀνταγωνιστοῦ. Μάλιστα [16] ἐὰν ἴδωμεν ὅτι ὑποδέχεται [17], πλέον ὑποκαίομεν [18] αὐτῷ τὰς ἰδίας ἐπιθυμίας [19], καὶ λοιπὸν ὡς δυνατοὶ καὶ παλαμναῖοι ἐπιβαίνομεν αὐτῷ [20]. Ἐὰν δὲ μὴ θελήσῃ ὑποδέξασθαι ἡμῶν τὸν σπόρον μηδὲ τὰ παρ' ἡμῶν ὑποβαλλόμενα αὐτῷ ἡδέως καταδέξασθαι τῇ πρὸς τὸν [21] Θεὸν πίστει αὐτοῦ καὶ τῷ [22] νηφαλέῳ [23] τοῦ νοὸς αὐτοῦ [24], ὡς καπνὸς εἰς ἀέρα διαλυό-

[38] γινόμενα P. — [39] ὁ μακ. εἶπεν αὐτῇ D. — [40] πῶς ἐστι τοῦτο δυνατόν D. — [41] τῷ στοχασμῷ γινώσκειν σε add. D. — [42] om. N. — [43] ἐν add. N. — [44] καὶ add. D. — [45] χρόνῳ P.

119. — [1] ὁ add. N. — [2] ὁ ἱερὸς παχ. λέγει αὐτῇ D. — [3] ὡς σὺ φής hoc loco D. — [4] μοναχοὺς N. — [5] ψυχῶν D. — [6] ἰσχύσεις P. — [7] corr. P, ὡς D. — [8] <πρὸς τηλικούτους ἄνδρας ἀντιτάττεσθαι> ex Λ supplendum; ἀνύειν ἅπερ ἐθέλεις add. D ; (καὶ τοσοῦτον - σε) om. N. — [9] (ἀπ. δὲ) ἡ δὲ ἀπ. N. — [10] ἀπερκίθη αὐτῷ ἐκείνη D. — [11] ἔφθην εἰποῦσά σοι D ; ὅτι add. ND. — [12] ὥστε ἐμπ. ὡς στρ. ἡμ. D. — [13] ὅμως add. D. — [14] om. D. — [15] μὴ add. D. — [16] καὶ D. — [17] μάλιστα add. D. — [18] ὑπεκκαίομεν D. — [19] (τὰς ἰδ. ἐπ.) τὰ τῆς ἐπ. N, τὴν ἐπιθυμίαν D. — [20] αὐτοῦ D. — [21] om. ND. — [22] τῇ N. — [23] νηφαλείῳ D. — [24] om. N.

μενος [25] οὕτως ἐσόμεθα αὐτῷ [26]. Διὰ τοῦτο πρὸς πάντας οὐ δύναμαι πολεμῆσαι διὰ τὸ μὴ πάντας τὴν τελειότητα ἔχειν. Εἰ γὰρ συνεχωρούμην πρὸς πάντας πολεμῆσαι, πολλοὺς ἐπερειδομένους τῇ σῇ σκέπῃ [27] ἐξηπάτησα ἄν. » Τότε ὁ μακάριος [28] ἐνεφύσησεν αὐτῇ εἰπών · « Ὦ τῆς ἀκοιμήτου ὑμῶν κακίας · οὐ παύεσθε [29] γὰρ [30] κατὰ τοῦ γένους [31] τῶν ἀνθρώπων μαινόμενοι, ἕως ἂν ἡ θεία καὶ ἄχραντος χάρις [32] τοῦ Θεοῦ ἀναλώσῃ ὑμᾶς. » Ταῦτα [33] εἰπὼν αὐτῇ [34] ὁ ἅγιος γέρων Παχώμιος [35] ἐπέτρεψεν ἀπελθεῖν αὐτήν, ἐπιτιμήσας καὶ [36] παραγγείλας αὐτῇ μηδ' ὅλως ἐγγίσαι [37] τῇ μονῇ αὐτοῦ. Πρωΐας δὲ γενομένης [38] καλέσας πάντας τοὺς μεγάλους γέροντας, ἀπήγγειλεν αὐτοῖς πάντα ὅσα ἤκουσε καὶ εἶδε [39] παρὰ τοῦ ὀλεθρίου δαίμονος. Ἀπέστειλε δὲ καὶ πρὸς τοὺς ἐν ταῖς ἄλλαις μοναῖς μεγάλους ὑπάρχοντας [40] γέροντας, ἀσφαλιζόμενος αὐτοὺς δι' ὧν ἀπέστειλε γραμμάτων προσμένειν τῷ φόβῳ τοῦ Θεοῦ καὶ τὴν ὑπόθεσιν τῆς ὀπτασίας γνωρίσας αὐτοῖς [41].

Λ 27. **120.** Ἐγένετο δὲ [1] τὸν μακάριον ἄνδρα τοῦτον [2] Παχώμιον ἐν τοῖς κελλίοις τῆς μονῆς περιερχόμενον [3] ἐπισκέπτεσθαι [4] τοὺς ἀδελφοὺς καὶ ἐπανορθοῦσθαι [5] ἑκάστου τὰ νοήματα [6]. Παρέβαλε δὲ [7] καὶ πρός τινα ἀδελφὸν Ῥωμαῖον τῷ γένει ἀπὸ μεγάλου ἀξιώματος τυγχάνοντα, εἰδότα δὲ καὶ τὴν ἑλληνικὴν διάλεκτον καλῶς. Ἐλθὼν οὖν ἐπὶ τὸ νουθετῆσαι αὐτὸν τὰ πρὸς ὠφέλειαν καὶ γνῶναι τῆς καρδίας αὐτοῦ τὰ κινήματα [8], αἰγυπτιστὶ ἐλάλει αὐτῷ. Οὐκ ἐγίνωσκε δὲ ὁ ἀδελφὸς τί ἐλάλει [9] ὁ μέγας, διὰ τὸ Ῥωμαῖον αὐτὸν ὑπάρχειν · οὐδὲ ὁ μέγας πάλιν ᾔδει τί ἔλεγεν ὁ Ῥωμαῖος, διὰ τὸ μὴ ἑλληνιστὶ εἰδέναι τὸν μακάριον Παχώμιον [10]. Ἠναγκάσθη

[25] διαλυόμεθα N. — [26] οὕτ. ἐσ. αὐ. om. N. — [27] ἐπερ. τῇ σῇ σκ. om. N. — [28] παχώμιος add. D. — [29] παύσεσθε D. — [30] om. D. — [31] ἡμῶν add. N. — [32] αὐτοῦ add. N. — [33] καὶ τοῦτο D. — [34] om. ND. — [35] ὁ ἅγ. γ. π. om. D. — [36] (ἐπέτρ. - καὶ) ἐπετίμησεν αὐτῇ καὶ ἐπέτρ. ἀποστῆναι D. — [37] προσεγγίσαι D. — [38] γενομένης ND. — [39] ὅσα εἶδε καὶ ἤκ. D. — [40] om. D. — [41] (ἀσφαλ. κτλ.) δηλῶν αὐτοῖς διὰ γραμμ. τὴν ὀπτασίαν ἣν ἑώρακε καὶ ἤκουσεν ἅμα δὲ καὶ ἀσφαλ. αὐτοὺς ἐμμένειν τῷ φόβῳ τοῦ θ. καὶ τῇ τηρήσει τῶν θείων ἐντολῶν D.

120. — [1] ποτε D, δέ ποτε N. — [2] ἄ. τ. om. ND. — [3] (ἐν - περι.) διερχόμενον τὰ κελλία τῆς μ. D. — [4] ἐπισκεπτόμενον D. — [5] ἐπανορθούμενον D. — [6] τοὺς λογισμοὺς D. — [7] (π. δὲ) παραβάλλειν D. — [8] νοήματα corr. in marg. N ; ἐπὶ τὸ γν. τῆς καρδ. αὐτοῦ τὰ κιν. καὶ νουθ. αὐτὸν τὰ πρὸς ὠφ. D. — [9] αὐτῷ add. D. — [10] (διὰ τὸ ῥωμ. - παχ.) διὰ τὸ μὴ εἰδέναι αὐτὸν αἰγυπτιστί · οὔτε πάλιν ὁ ὅσιος ᾔδει τί ἔλεγεν αὐτῷ ὁ ῥωμαῖος διὰ τὸ μὴ γινώσκειν αὐτὸν ἑλληνιστὶ φθέγγεσθαι D.

ο ὖν [11] ὁ μέγας καλέσαι ἀδελφὸν τὸν δυνάμενον ἑρμηνεῦσαι τὰ παρ' ἀμφοτέρων λεγόμενα. Ἐλθόντος οὖν τοῦ ἀδελφοῦ ἐπὶ τὸ ἑρμηνεῦσαι, οὐκ ἐβούλετο ὁ Ῥωμαῖος δι' ἑτέρου ἐξειπεῖν τὰ τῆς καρδίας αὐτοῦ πλημμελήματα, καὶ εἶπε· « Τῷ μεγάλῳ [12] τὰ τῆς καρδίας μου δι' ἐμαυτοῦ καὶ οὐ δι' ἑτέρου ἐξειπεῖν [13] βούλομαι πλημμελήματα [14], ἀλλ' οὔτε [15] ἀκοῦσαι αὐτά τινα [16] εἰ μὴ τὸν μέγαν [17]. » Ἀκούσας δὲ ταῦτα [18], ἐκέλευσεν ἀναχωρῆσαι τὸν ἑρμηνεύοντα ἀδελφόν. Μὴ δυνάμενος δὲ [19] ὁ ἅγιος γέρων [20] διαλεχθῆναι αὐτῷ [21] διὰ τὸ μὴ εἰδέναι [22] παντελῶς [23] αὐτὸν [24] ἑλληνιστί, νεύει αὐτῷ [25] τῇ χειρὶ προσμεῖναι ἕως οὗ ἔλθῃ [26] πρὸς αὐτόν. Καταλείψας οὖν αὐτὸν ὁ μακάριος ἀπῆλθε [27] προσεύξασθαι καθ' ἑαυτόν. Καὶ ἐκτείνας τὰς χεῖρας [28] εἰς τὸν οὐρανὸν προσηύξατο [29] πρὸς τὸν Θεὸν λέγων· « Κύριε παντοκράτωρ, εἰ οὐ δύναμαι ὠφελῆσαι τοὺς ἀνθρώπους οὓς ἀποστέλλεις πρός με ἀπὸ τῶν περάτων τῆς γῆς διὰ τὸ ἀγνοεῖν με τὰς γλώσσας αὐτῶν, τίς χρεία παραγίνεσθαι αὐτοὺς [30] ἐνταῦθα [31] διὰ τῆς χάριτός σου καὶ τῆς νουθεσίας [32] ἐμοῦ τοῦ ἁμαρτωλοῦ [33]; Δός [34] μοι, δέσποτα παντοκράτωρ ἀγαθέ, πρὸς διόρθωσιν τῶν ψυχῶν αὐτῶν εἰδέναι με [35] τὰς γλώσσας αὐτῶν. » Ἐγένετο δὲ [36] ἐπὶ ὥρας τρεῖς προσευχομένου αὐτοῦ καὶ πολλὰ παρακαλέσαντος τὸν Θεὸν περὶ τούτου [37], ἄφνω ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐν τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ [38] ὡς ἐπιστόλιον χαρτίον γεγραμμένον· καὶ ἀναγνοὺς αὐτὸ ἔμαθε παραχρῆμα πασῶν τῶν γλωσσῶν τὰς λαλιάς [39]. Καὶ δόξαν ἀναπέμψας τῷ Κυρίῳ, ἔρχεται πρὸς τὸν ἀδελφὸν ἐκεῖνον τὸν Ῥωμαῖον. Καὶ ἤρξατο αὐτῷ διαλέγεσθαι καὶ [40] ἑλληνιστὶ καὶ ῥωμαϊστὶ ἀπταίστως, ὡς ἀκούσαντα τὸν ἀδελφὸν [41] λέ-

[11] (ἦν. οὖν) οὕτως οὖν ἐχόντων αὐτῶν ἠναγκ. D. — [12] διὰ τοῦ ἑρμηνέω- add. N. — [13] σοι add. D. — [14] om. ND. — [15] (ἀλλ' οὔτε) οὐ γὰρ N. — [16] βούλομαι add. N. — [17] (ἀλλ' οὔτε - μέγ.) καὶ σὲ μόνον ἀκοῦσαι αὐτὰ καὶ οὐχ ἕτερόν τινα θέλω D. — [18] ὁ μέγας add. N ; τούτων ἀκ. ὁ πατὴρ D. — [19] (μὴ δυν. δὲ) καὶ μὴ δυν. D. — [20] (ὁ ἅγ. γέρ.) αὐτὸς D. — [21] τῷ ῥωμαίῳ D. — [22] ἐπίστασθαι D. — [23] τὸ σύνολον D. — [24] om. D. — [25] αὐτὸν D. — [26] ἕως ἂν αὖθις παραγένηται D. — [27] (καταλ. - ἀπ.) καὶ καταλιπὼν αὐτ. ἀπ. N, ἀπ. οὖν ὁ μακ. D. — [28] αὐτοῦ add. D. — [29] προσηύχετο D. — [30] aliquid deesse videtur in P ; supple ex ΛΣ: <Εἰ θέλεις σῶσαι αὐτοὺς>. — [31] μὴ ὠφελουμένους add. N. — [32] διὰ τὴν χάριν σου καὶ τὴν νουθεσίαν D. — [33] εἶτα μὴ ὠφελῆσθαι add. D. — [34] ἀλλὰ δός D, δὸς δέ N. — [35] om. D. — [36] (ἐγ. δὲ) καὶ ἐγ. N. — [37] (ἐγένετο - τούτου) ταῦτα καὶ ἕτερα τοιαῦτα προσευχ. αὐτοῦ ἐπὶ ὥρ. τρ. καὶ θερμότατα περὶ τούτου τὸν θ. παρακαλοῦντος D. — [38] ἐν τῇ δεξ. χ. αὐτοῦ ND. — [39] διαλέκτους D. — [40] om. N. — [41] ἐκεῖνον τὸν ῥωμαῖον add. N ; ὥστε τὸν ῥωμαῖον ἀκούσ. D.

γειν τῷ μεγάλῳ ὅτι· « Πάντας ὑπερβάλλεις τῇ διαλέκτῳ [42]. » Διορθωσάμενος οὖν αὐτὸν ὡς ἔδει καὶ ὑπὲρ τῶν πλημμεληθέντων αὐτῷ προσευξάμενος καὶ μετάνοιαν τὴν προσήκουσαν αὐτῷ ὁρίσας [43], παραθέμενος αὐτὸν τῷ Κυρίῳ ἐξῆλθεν ἀπ' αὐτοῦ. Cf. Act. 20, 32.

121. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον ἐξελθεῖν [1] εἰς ἐπίσκεψιν τὸν μακάριον [2] τῶν λοιπῶν μονῶν. Καὶ παραβαλὼν [3] ἐν τῇ μονῇ τῇ λεγομένῃ Μουνχούσεως [4], εἰσῆλθεν ἐν αὐτῇ [5]. Ἐν δὲ τῷ μέσῳ τῆς μονῆς [6] ἵστατο συκῆ μεγάλη [7], ἐν ᾗ συκῇ [8] τινα [9] τῶν παιδίων εἰώθει λαθραίως ἀνέρχεσθαι καὶ [10] τίλλειν ἐξ αὐτῆς σῦκα καὶ ἐσθίειν. Εἰσελθὼν οὖν ὁ μέγας καὶ ἐγγίσας [11] τῇ συκῇ ὁρᾷ ἐν αὐτῇ ἀκάθαρτον πνεῦμα καθήμενον [12]· καὶ εὐθέως ἔγνω τῷ πνεύματι ὅτι τῆς γαστριμαργίας ἐστὶν ὁ δαίμων καὶ ὅτι αὐτός ἐστιν ὁ ἀπατῶν [13] τὰ παιδία [14]. Καλεῖ [15] οὖν τὸν κηπουρὸν [16] καὶ [17] λέγει αὐτῷ· « Ἀδελφέ, κόψον τὴν συκῆν ταύτην, ὅτι σκάνδαλόν ἐστι τοῖς τὴν γνώμην μὴ ἔχουσιν ἑδραίαν καὶ ὅτι ἀπρεπὲς πρᾶγμά ἐστιν ἵνα αὕτη ἵσταται ἐν μέσῳ τῆς μονῆς. » Ὁ δὲ κηπουρὸς [18] ἀκούσας ἐλυπήθη σφόδρα. Λ 28.

122. Ἰωνᾶς δὲ ἐλέγετο ὁ κηπουρός [1], ὀγδοηκοστὸν πέμπτον ἄγων ἔτος [2] ἐν τῷ μοναστηρίῳ πάνυ σεμνὸν βίον ἀσκήσας [3]. Καὶ μόνος ἔχων πασῶν τῶν ὀπωρῶν [4] τὴν ἐξουσίαν [5] καὶ αὐτὸς [6] μόνος τὰ κάρπιμα δένδρα φυτεύσας τῆς μονῆς [7], οὐδέποτε ἐν τοῖς τοσούτοις ἔτεσιν ἕως τῆς τελευτῆς αὐτοῦ ἐγεύσατο ὀπώρας οἱασδήποτε τὸ καθόλου [8], πάντων τῶν ἀδελφῶν καὶ ξένων καὶ τῶν πέριξ οἰκούντων [9] εἰς πλησμονὴν ἐσθιόντων [10] τῷ καιρῷ τῆς ὀπώρας. Εἶχε δὲ ὁ Λ 29.

[42] ταῖς διαλέκτοις ταύταις D. — [43] (αὐ. ὁρ.) ὁρ. αὐ. D.

121. — [1] τὸν μακάριον παχώμιον add. D. — [2] τὸν μακ. om. D. — [3] (καὶ π.) π. οὖν N, παρέβαλεν οὖν D. — [4] μονχωσέος N, μονχωσέως D. — [5] εἰσ. ἐν αὐ. om. D. — [6] (ἐν δὲ τῶ μ. τῆς μ.) ἧς ἐν τῷ μέσω N. — [7] (ἐν δὲ - μεγ.) ἦν δὲ ἐν τῷ μέσω τῆς μον. ταύτης συκῆ μεγ. ἱσταμένη D. — [8] om. ND. — [9] τινὶ P. — [10] (ἀν. καὶ) ἀνιόντα ND. — [11] (εἰσ. - ἐγγ.) ὁ δὲ μέγ. ἐγγ. N, ὁπηνίκα οὖν εἰσήει ὁ μέγ. καὶ προσήγγισε D. — [12] ὁρᾷ πν. ἀκάθ. καθήμ. ἐπ' αὐτήν D. — [13] καὶ θέλγων add. D. — [14] εἰς τὸ ἀνιέναι add. D. — [15] καλέσας D. — [16] κηπωρὸν ND hic et deinceps. — [17] om. D. — [18] ἰωνᾶς τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα add. D.

122. — [1] (ἰων. - κηπ.) ἦν γὰρ αὐτὸς ὁ θεῖος ἰων. D. — [2] ἔτος ἄγ. ND. — [3] καὶ ὑψηλὸν ἀσκούμενος D. — [4] ὁπωρῶν P hic et deinceps. — [5] (καὶ μόνος - ἐξ.) om. ND. — [6] (καὶ αὐτ.) αὐτ. γὰρ D. — [7] (φ. τ. μ.) τ. μ. φ. ND. — [8] (τὸ κ.) κ. N, τοσύνολον D. — [9] (π. οἰκ.) οἰκείων N. — [10] ταύτας add. D.

ἀδελφὸς ἐκεῖνος τὸ ἔνδυμα τοιοῦτον [11] · τρεῖς [12] μηλωτὰς συνάψας [13], εἰς πᾶσαν τοῦ σώματος περιβολὴν [14] αὐταῖς ἠρκεῖτο [15]. Οὔποτε δὲ [16] περιεβάλλετο στρῶμα χειμῶνος ὥρας [17] ἢ θέρους [18]. Οὐδὲ ἤδει τί ἐστιν [26] ἀνάπαυσις σώματος ἀπὸ τῆς συνεχοῦς ἐργασίας αὐτοῦ, διὰ τὸ προθύμως ἑαυτῷ ἐπιτάττειν [19] εἰς τὸ ἔργον. Ἀλλ' οὔτε ἐψημένου [20] ἤσθιέν ποτε οὔτε ὀσπρέου οὔτε [21] λαχάνου οὔτε ἄλλου τινὸς ἐψητοῦ, πλὴν [22] ἄρτου καὶ ὄξους μετὰ λαχάνων λεπτῶν ὠμῶν εἰς ὅλην τὴν ζωὴν αὐτοῦ. Καὶ οἱ ἀδελφοὶ πάντες διεβεβαιοῦντο περὶ αὐτοῦ λέγοντες ὅτι οὐδὲ [23] τὸν οἶκον τοῦ νοσοκομείου ἤδει ὁποῖός ἐστιν οὐδὲ [24] τί ἐσθίουσιν οἱ κακούμενοι [25] ἀδελφοί. Πρὸς δὲ τούτοις πᾶσιν [26] οὐδέποτε [27] ἐπὶ νώτου [28] ἐκοιμήθη [29] ἕως βίου [30] ζωῆς αὐτοῦ [31] · ἀλλ' ἡμέρας μὲν [32] ἠργάζετο [33] εἰς [34] τοὺς κήπους, περὶ δὲ τὴν δύσιν τοῦ ἡλίου [35] μεταλαβὼν τροφῆς εἰσῄει εἰς τὸ κελλίον αὐτοῦ καὶ καθήμενος ἐπὶ δίφρου εἰς μέσην [36] τῆς κέλλης αὐτοῦ ἔπλεκε σχοινία, ἕως ὅτου [37] ἔκρουσεν [38] εἰς τὴν νυκτερινὴν [39] σύναξιν. Καὶ οὕτως εἰ συνέβη αὐτὸν ἁρπάσαι ὀλίγου ὕπνου [40] διὰ τὴν τῆς φύσεως ἀνάγκην [41], καθήμενος [42] καὶ ἐν χερσὶν ἔχων τὰ πλεκόμενα σχοινία [43] οὕτως ἐκοιμᾶτο [44]. Οὐχ ἅπτων δὲ φῶς [45] ἔπλεκεν ταῦτα [46], ἀλλ' ἐν τῇ σκοτίᾳ καθήμενος καὶ ἀποστηθίζων τὰς

ε

[11] (εἶχε - τοιοῦτον) τὸ δὲ ἔνδυμα αὐτοῦ ὁ καλὸς οὗτος ἰωνᾶς εἶχ τοιοῦτον D. — [12] γὰρ add. D. — [13] ὁμοῦ add. D. — [14] (τοῦ σώμ. π. π. τοῦ σώμ. N. — [15] (εἰς πᾶσαν - ἠρκεῖτο) ταύταις μόναις ἐκέχρητο καὶ ἠρκεῖτο ἡμέρας τε καὶ νυκτὸς ἀντὶ πάσης περιβολῆς τοῦ σώματος D. — [16] (οὔποτε δὲ) οὐδέποτε N. — [17] χειμώνας ὥρα (sic) N. — [18] (οὔποτε - θέρους) μήτε χειμῶνος ἢ θέρους ἐπὶ στρώματος ἀνακλιθείς ποτε D. — [19] ἑαυτὸν ἐπιτείνειν N. — [20] ἐψημένα P, ἐψήμενον N ; correxi ex A. — [21] (οὔτε ὀσπρεέου οὔτε) οὐκ ὀσπρίου ἢ N. — [22] εἰ μὴ N. — [23] οὔτε P. — [24] ἢ N. — [25] κακουχούμενοι N. — [26] (οὐδὲ ἤδει τί ἐστιν - πᾶσιν) om. D ; sed cf. p. 329, annot. 47. — [27] ὅτι οὐδέποτε N, ἀλλ' οὔτε D. — [28] (ἐπὶ νώτου) ἐπὶ ψιλοῦ τοῦ ἐδάφους ὕπτιος D. — [29] κατέκλινεν ἑαυτὸν κοιμηθῆναι N ; τὸ σύνολον add. D. — [30] sic PN ; an ἕως τέλους ? — [31] (ἕως βίου ζωῆς αὐτοῦ) μέχρις ἂν τῶν ἐνθένδε ἀπῆρεν D. — [32] ἀλλὰ τὴν μὲν ἡμέραν N. — [33] εἰργάσατο N, ἦν ἐργαζόμενος D. — [34] om. D. — [35] περὶ δὲ ἡλίου δυσμὰς D. — [36] (εἰς μέσην) ἐν μέσῳ ND. — [37] ὅτε N. — [38] ἔκρουσαν N, ἔκρουον D. — [39] ὀρθρινὴν D. — [40] ὀλίγον ὕπνον N ; (καὶ οὕτως - ὕπνου) ὅτε δὲ συνέβαινεν αὐτὸν ἐπινυστάξαι μικρὸν ἀπεγεύετο τοῦ ὕπνου D. — [41] διὰ τὴν ἀνάγκην τῆς φύσεως D. — [42] γὰρ add. P. — [43] καὶ τὰ σχοινία ἔχων ἐν χερσὶν D. — [44] οὕτως ἐκοιμᾶτο om. D. — [45] ἐκοιμᾶτο ἢ add. P. — [46] om. P.

γραφάς [47]. Ἕνα δὲ λεβίτωνα εἶχε μόνον [48] ὃν ἐφόρει ὅταν ἤμελλε [49] μεταλαμβάνειν [50] τῶν θείων μυστηρίων [51], καὶ [52] εὐθέως ἀπετίθετο αὐτόν [53], καθαρὸν αὐτὸν διατηρήσας [54] ἐν [55] τοῖς ὀγδοηκονταπέντε ἔτεσι [56]. Καὶ ἄλλα δὲ πολλὰ ἦν τὰ ἐπαίνων ἄξια ἃ ἐποίει ὁ μακάριος γέρων ἐκεῖνος [57], ἅπερ οὐ κατετάξαμεν [58] τῇδε τῇ διηγήσει, ἵνα μὴ εἰς μῆκος ἄπειρον τὸν λόγον ἐκτείνωμεν.

123. Τοῦτον κατελάβομεν ζῶντα ἡμεῖς οἱ συγγραψάμενοι ταῦτα πρὸς οἰκοδομὴν τῶν ἐντυγχανόντων καὶ ἔγνωμεν [1] αὐτὸν καινοτέρῳ τρόπῳ κοιμηθέντα ἐν Χριστῷ. Καθήμενος γὰρ ἐπὶ τοῦ δίφρου αὐτοῦ καὶ πλέκων τὰ σχοινία κατὰ τὸ ἔθος τετελεύτηκεν [2], ὡς εὑρεθῆναι [3] τὰ σχοινία [4] ἐν ταῖς χερσὶν αὐτοῦ [5]. Οὐκ ἄφνω δὲ ἐτελεύτησεν ὁ ἅγιος οὗτος ἀνήρ, ἀλλὰ [6] τοῦ Θεοῦ οἰκονομήσαντος οὕτως [7] · ἐνόσησεν καθὼς πάντες οἱ ἄνθρωποι [8] καὶ οὐκ ἐπείσθη ἀπελθεῖν εἰς τὸν τῶν νοσερῶν [9] τόπον [10], διὰ τὸ μὴ θέλειν [17] αὐτὸν ὑπηρετεῖσθαι παρά τινος καθὼς [12] καὶ οἱ λοιποὶ [13] μηδὲ γεύσασθαί τι [14] τῶν βρωμάτων [15] ὧν ἤσθιον οἱ κακούμενοι ἀδελφοί. Οὔτε μὴν ἐπὶ τοῦ νώτου ἐκοιμήθη κακούμενος [16], οὔτε δὲ [17] συνεχώρησε καθημένου αὐτοῦ συνήθως ἐπὶ τοῦ δίφρου [18] ὑποβληθῆναί τι ὑποκάτω αὐτοῦ τὸ δυνάμενον ἐν [19] τῇ ἀπαλότητι ἀναπαῦσαι αὐτόν,

Λ 30.

I Cor. 15,18.

[47] (οὐχ ἅπτων - γρ.) ἦν δὲ ταῦτα τὰ σχοινία καθήμενος καὶ πλέκων καὶ ἀποστηθ. τὰς θείας γρ. ἐν τῇ σκ. δίχα λυχνιαίου φωτός · ἡ δὲ τροφὴ αὐτοῦ ἦν παρ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἄρτος καὶ ὄξος μετὰ λαχάνων λεπτῶν ὠμῶν, μηδόλως ἐσθίων ποτὲ ἔψημα ὀσπρίου ἢ λαχάνου ἢ ἄλλου τινός · διεβεβαιοῦντο γὰρ καὶ τοῦτο περὶ αὐτοῦ οἱ ἀδελφοὶ πάντες ὅτι οὐδέποτε ἠσθένησεν ὥστε κατακλιθῆναι αὐτὸν ἐν τῷ νοσοκομίῳ καὶ τροφῶν μετασχεῖν τοιούτων οἵων οἱ ἀσθενεῖς D. — [48] εἶχε δὲ καὶ ἕνα λεβ. μόν. D. — [49] ἔμελλε N. — [50] ὃν ὁπηνίκα μεταλ. αὐτὸν ἔδει D. — [51] τῶν θ. μετ. μυστ. N ; ἐνεδύετο add. D. — [52] μετὰ δὲ τὸ μεταλαβεῖν D. — [53] ἀποδυόμενος add. D. — [54] διατηρῶν D. — [55] ὅλοις add. D. — [56] οὕτως ὁ γενναῖος ἰωνᾶς πᾶσαν σωματικὴν ἀνάπαυσιν ἀπετάξατο καὶ τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τῶν θείων μελέτῃ διηνεκῶς ἐσχόλαζε προθυμότατα add. D. — [57] καὶ ἄλλα δὲ πλεῖστα ἐπαίνων ἄξια ὁ μακ. ἐκ. πεποίηκεν D. — [58] συνετάξαμεν D.

123. — [1] εἴδομεν corr. N. — [2] ἐτελεύτησεν D, εὑρέθη τελευτήσας N. — [3] ὡς εὑρ. om. N. — [4] κατέχων add. N. — [5] μετὰ τελευτήν add. D. — [6] οὕτω add. D. — [7] om. D ; (οἰκ. οὕτ.) οὕτ. οἰκ. N. — [8] καθὼς οἱ πολλοὶ τῶν ἀνθρώπων ἢ μᾶλλον ἅπαντες D. — [9] νοσούντων N. — [10] εἰς τὸ νοσοκομεῖον D. — [11] ἐθέλειν D. — [12] καθάπερ D. — [13] νοσοῦντες ὑπηρετοῦνται add. N. — [14] τινος D. — [15] βρωσίμων N. — [16] οὔτε μὴν ἐπὶ τὰ μετάφρενα ἀσθενῶν καὶ κακ. ἀνεκλίθη D. — [17] ἀλλ' οὔτε N. — [18] καθήμενος ἐπὶ τοῦ δ. αὐτοῦ συνήθως D ; τοῦ add. sup. l. N. — [19] om. D.

ἀλλ' οὐδὲ παραστῆναί τινα [20] εἴασε τελευτῶντος αὐτοῦ [21] · ἀμέλει καὶ [22] κατέχων τὸ ἔργον τῶν σχοινίων ὧνπερ ἔπλεκεν, οὕτως ἀνεπαύσατο [23]. Θαυμαστὸν [24] δέ ἐστιν [25] ἀκοῦσαι πῶς [26] ἐθάψαμεν [27] αὐτόν · τῶν γὰρ ποδῶν αὐτοῦ μὴ δυνηθέντων ἁπλωθῆναι διὰ τὸ ἀποξυλωθῆναι αὐτούς [28], μηδὲ τῶν χειρῶν αὐτοῦ [29] δυναμένων προσκολληθῆναι τῷ σώματι αὐτοῦ, μήτε δύνασθαι αὐτὸν ἀποδυθῆναι τοῦ δερματίνου χιτῶνος [30], ἕνεκεν τούτου [31] ἠναγκάσθημεν ἐντυλίξαι [32] αὐτὸν ὡς [33] φορτίον καὶ οὕτως θάψαι.

Λ 31. **124.** Πρὸς τοῦτον παραγενόμενος [1] ὁ ἅγιος Παχώμιος [2], ἔτι ζῶντος αὐτοῦ [3], εἶπεν αὐτῷ [4] · « Κόψον [5] τὴν συκῆν [6] » περὶ [7] ἧς ἀνωτέρω ἐμνημονεύσαμεν [8]. Ἀκούσας δὲ [9] εἶπεν τῷ μεγάλῳ [10] · « Μηδαμῶς, ὦ πάτερ, ὅτι πλῆθος καρπῶν εἰώθαμεν ἐκ τῆς συκῆς ταύτης ἐκλέγεσθαι [11] τοῖς ἀδελφοῖς. » Ἰδὼν δὲ ὁ μακάριος ὅτι ἐλυπήθη [12] ἐπὶ τούτῳ, οὐκ ἠβουλήθη ἀναγκάσαι αὐτὸν ἐπὶ πλεῖον [13], ἵνα μὴ περισσοτέρως λυπηθῇ · ἤδει γὰρ τὸν ἄνδρα [14] καὶ τὸν βίον αὐτοῦ μέγαν [15] καὶ θαυμαστὸν ὑπάρχοντα μικροῖς τε καὶ μεγάλοις [16]. Ἐγένετο δὲ τῇ ἐπαύριον καὶ ἰδοὺ ἡ συκῆ ἐκείνη ἐξηράνθη [17], ὡς [18] μήτε φύλλον εὐθαλὲς μήτε καρπὸν εὑρεθῆναι ἐν αὐτῇ [19]. Τοῦτο οὖν [18] ἑωρακὼς ὁ μακάριος Ἰωνᾶς ἐλυπήθη μεγάλως, οὐ διὰ τὴν συκῆν, ἀλλὰ διὰ τὴν παρακοήν, ὅτι εἰπόντος [20] τοῦ μεγάλου, εὐθέως οὐκ [21] ἔκοψεν [22] αὐτήν.

Cf. Matth. 21, 19.

Λ 32. **125.** Ὡκοδόμησεν [1] ὁ μακάριος [2] Παχώμιος εὐκτήριον [3] ἐν τῷ μοναστηρίῳ αὐτοῦ [4] καὶ ἐποίησεν [5] αὐτῷ στοὰς καὶ στύλους διὰ

[20] αὐτῶ add. N. — [21] τελευτῶντα αὐτόν D. — [22] om. N. — [23] ἐν κυρίω add. D. — [24] ἄξιον D. — [25] om. D. — [26] καὶ ὅπως D. — [27] ἔθαψαν PN. — [28] διὰ τὸ παγῆναι αὐτοὺς καὶ οἷον ἀποξυλ. D. — [29] μὴ add. N. — [30] (μήτε δύνασθαι - χιτ.) μήτε μὴν τοῦ δερμ. χιτ. αὐτοῦ εὐχερῶς ἔχοντος ἀποδυθῆναι D. — [31] (ἕν. τ.) τ. ἕν. D. — [32] ἐνειλίξαι D. — [33] ὥσπερ τι D.

124. — [1] (πρ. τ. π.) τούτω τῶ μακαρίω καθὼς ἔφθημεν εἰπόντες εἰρηκὼς D. — [2] (πρὸς - παχ.) om. N. — [3] τούτου τοῦ θαυμαστοῦ ἀνδρός N$_1$. — [4] ὁ ἅγ. παχ. add. N ; (ἔτι - αὐτῶ) om. D. — [5] ἔκκοψον D. — [6] ἐκείνην add. N. — [7] om. D. — [8] μνείαν πεποιήμεθα D. — [9] ἐκεῖνος add. N. — [10] (ἀκ. - μεγ.) ἐλυπήθη καὶ εἶπεν αὐτῶ D. — [11] συλλέγειν D, συλλέγεσθαι N. — [12] ἰδὼν δὲ ὁ πατὴρ αὐτὸν λυπηθέντα D. — [13] πλέον D. — [14] οἷος τὴν ἀρετὴν add. D. — [15] μέγα PN. — [16] (τὸν βίον - μεγ.) ὡς ὁ βίος αὐτοῦ μέγας καὶ θαυμαστὸς τοῖς πᾶσι καὶ ἔστι καὶ λέγεται D. — [17] (ἐγένετο - ἐξ.) τῇ δὲ ἐπαύριον ἐξηρ. (ὤφθη D) ἡ συκῆ ἐκείνη (ξηρὰ add. D) ND. — [18] om. D. — [19] (εὑρ. ἐν αὐ.) ἔχουσα D. — [20] ἐπιτάξαντος αὐτῶ N. — [21] (εὐ. οὐκ) οὐκ εὐ. ND. — [22] ἀπέκοψεν D.

125. — [1] ποτε add. D. — [2] θεῖος D. — [3] om. D. — [4] εὐκτήριον οἶκον add. D. — [5] ἐν add. N ; (καὶ ἐπ.) ποιήσας D.

πλίνθων, καὶ πάνυ ἐφιλοκάλησεν [6] αὐτόν. Ἐτέρφθη δὲ ἐπὶ τῷ ἔργῳ αὐτοῦ ὅτι καλῶς ᾠκοδόμησεν αὐτό [7]. Εἰς ἑαυτὸν δὲ γενόμενος διελογίσατο [8] ὅτι ἐκ διαβολικῆς ἐνεργείας γέγονε τὸ θαυμάσαι αὐτὸν [9] ἐπὶ τῇ ὡραιότητι αὐτοῦ [10]. Λαβὼν οὖν [11] σχοινία καὶ δήσας τοὺς στύλους, ἐποίησεν εὐχὴν παρ' ἑαυτῷ [12] καὶ καλέσας [13] τοῖς ἀδελφοῖς ἐκέλευσεν [14] ἕλκειν τὰ σχοινία · καὶ [15] ἕκλινε πάντας τοὺς στύλους ὥστε σκαμβοὺς αὐτοὺς ἀπομεῖναι [16]. Καὶ [17] λέγει πρὸς τοὺς ἀδελφούς [18] · « Δέομαι ὑμῶν, ἀδελφοί, μὴ βιάζεσθε [19] ἐπὶ τὸ καλλωπίζειν τὸ ἔργον τῶν χειρῶν ὑμῶν, ἀλλὰ μᾶλλον σπουδάσατε ἵνα, εἴ τι ἐκ τῆς χάριτος τοῦ Χριστοῦ καὶ τῆς δωρεᾶς αὐτοῦ γέννηται ἐν τῷ ἔργῳ ἑνὸς ἑκάστου ὑμῶν [20], μὴ [21] πρὸς τοῦ ἔργου τὸν ἔπαινον [22] ὁ νοῦς ὀλισθήσας [23] θήραμα γένηται τῷ διαβόλῳ. Ὅλως γὰρ οὐ δεῖ προσέχειν ἡμᾶς ὡραιότητι καὶ κάλλει τοῦ αἰῶνος τούτου [24], ἀλλὰ ἀσφαλίζεσθαι τοὺς ὀφθαλμοὺς [25] περιορᾶν [26] καὶ βρώματος καλοῦ καὶ ἐνδύματος καὶ κελλίου χρησίμου καὶ ἕως βιβλίου τερπνοῦ ἔξωθεν. Τὸ γὰρ κάλλος τοῦ πιστοῦ αἱ ἐντολαὶ τοῦ Θεοῦ εἰσιν, ὡς ἐν τῷ ψαλμῷ λέγει · « Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν [27]. » Καὶ γὰρ ὁ Ἰωσήφ, κἂν [28] ἦν ὡραῖος [29] τῷ εἴδει σφόδρα καὶ μετῆλθεν εἰς βασιλείαν Αἰγύπτου [30], ἀλλ' οὐ προσεῖχε τούτοις ἀπολλυμένοις οὖσι καὶ ῥευστοῖς, τὴν ἁγνείαν [1] ἔχων εἰς ὡραιότητα ἥπερ τὴν βασιλείαν [32]. Ἕτεροι δὲ ἐν ταῖς [33] ὡραιότησιν ἔχοντες [34] τὴν τέρψιν [35] ἀπώλοντο θανάτῳ πονηρῷ, ὃν τρόπον Ἀμνὼν καὶ Ἀβεσαλώμ. »

Φ 63.

Ps. 29,7. Gen. 39, 6 ; 41, 40.

II Reg. 1 3, 29 ; 19, 1 5.

126. Αἱρετικοί τινες μονάζοντες τριχινοφόροι, ἀκούσαντες τὰ περὶ [1] τοῦ ἁγίου [2] Παχωμίου, παραγενόμενοι [3] ἐν τῷ μοναστηρίῳ

Λ 33.

[6] φιλοκαλήσας D. — [7] (ὠκοδ. αὐ.) αὐτὸ εἰργάσατο D. — [8] (εἰς ἑαυτ. δὲ γεν. διελ.) εἶτα ὥσπερ εἰς ἑαυτ. γεν. καὶ διαλογισάμενος D. — [9] καὶ τερφθῆναι add. N. — [10] ἐπὶ τῇ εὐστοχία καὶ ὡρ. τοῦ ἔργου αὐτοῦ D. — [11] om. D. — [12] καθ' ἑαυτὸν D. — [13] om. D, κελεύσας N. — [14] om. N ; ἐκέλ. τοῖς ἀδ. D. — [15] om. N. — [16] γενέσθαι N ; (καὶ ἔκλινε - ἀπ.) ἕως οὗ ἐκλίθησαν οἱ στύλοι καὶ ἐγένοντο σκαμβοὶ καὶ οὕτω διέμειναν εἰς τοεξῆς D. — [17] εἶτα D, εἶθ' οὕτως N. — [18] λέγει τοῖς ἀδελφοῖς D. — [19] ἀγωνίζεσθε D. — [20] ἀρκεῖσθαι τούτω καὶ μὴ προστιθέναι κόσμον περιττὸν καὶ ἀνόνητον αὐτῶ φροντίζειν add. D. — [21] ἵνα μὴ ND. — [22] πρὸς τὸν τοῦ ἔργου ἔπ. D, πρὸ τοῦ ἔργου εἰς τὸν ἔπ. N. — [23] ὁλ. ὁ νοῦς D. — [24] κάλλει τῶν συγκαταλυομένων τῶ αἰῶνι τούτω D. — [25] καὶ add. D, τοῦ add. N. — [26] παρορᾶν N. — [27] (ὡς ἐν τῶ ψ. - δύν.) om. D. — [28] om. P. — [29] ὡραιότατος ND. — [30] εἰς βασ. αἰγ. μετ. D. — [31] καὶ σωφροσύνην add. D. — [32] καὶ τὴν ἀνθηρότητα τῶν ἄλλων φθαρτῶν add. D. — [33] σωματικαῖς add. D. — [34] τὴν ἔφεσιν καὶ add. D. — [35] ὄψιν N.

126. — [1] παρὰ P. — [2] μεγάλου N. — [3] (ἀκούσ. - παρ.) παρ. ποτε D.

αὐτοῦ [6], εἶπον πρός τινας τῶν ἀδελφῶν ὅτι· « Ὁ πατὴρ ἡμῶν ἀπέστειλεν ἡμᾶς πρὸς τὸν μέγαν [5] λέγων· Εἰ ἀληθῶς, καθὼς ἀκούω, ἄνθρωπος εἶ τοῦ Θεοῦ καὶ ὁ Θεός σοι ὑπακούει [6], δεῦρο κοινῶς διαβῶμεν τὸν ποταμὸν [7] τοῖς ποσὶν ἡμῶν, ἵνα γνῶσι πάντες πό-
I Ioh. 3, 21. τερος ἡμῶν μᾶλλον παρρησίαν ἔχει πρὸς τὸν Θεόν. » Ἀνήγγειλαν οὖν οἱ ἀδελφοὶ τῷ μεγάλῳ ταῦτα. Ὁ δὲ ἠγανάκτησε κατὰ τῶν ἀδελφῶν λέγων· « Ὅλως γὰρ διὰ τί [8] κατεδέξασθε καὶ ἀκοῦσαι αὐτῶν φθεγγομένων ταῦτα; Οὐκ οἴδατε ὅτι τὰ τοιαῦτα προβλήματα ἀλλότριά εἰσι τοῦ Θεοῦ καὶ ξένα παντελῶς [9] τῆς ὀρθῆς πίστεως καὶ τῆς ἡμετέρας πολιτείας; Ἀλλ' οὐδὲ κοσμικοῖς τοῖς εὖ φρονοῦ-
Matth. 6, 3. σιν ἴδια ταῦτα καθέστηκε. Ποῖος γὰρ νόμος Θεοῦ ἐπιτρέπει ἡμῖν ταῦτα λέγειν ἢ [10] ποιεῖν; Τοὐναντίον δὲ διὰ τῶν εὐαγγελίων ἐντέλλεται ὁ Σωτὴρ ὅτι· « Μὴ γνώτω ἡ ἀριστερά [11] τί ποιεῖ ἡ δεξιά σου. » Οὐδὲν γὰρ ἀθλιώτερον τῆς ἀνοίας ταύτης καθέστηκε τὸ καταλεῖψαί με τὰς ἁμαρτίας μου πενθεῖν [12] καὶ [13] πῶς ὀφείλω φυγεῖν
Cf. I Cor. 14, 20. τὴν αἰώνιον κόλασιν [14], ἢ νηπιάζοντα τὰς φρένας [15] ἐπὶ τὰ τοιαῦτα [16] προβλήματα [17] ἐλθεῖν [18]. » Ἀποκριθέντες δὲ οἱ ἀδελφοὶ εἶπον αὐτῷ· « Πῶς οὖν, αἱρετικὸς ὢν καὶ ἀλλότριος τοῦ Θεοῦ ὑπάρχων, προσκαλέσασθαί σε εἰς τοιοῦτον [19] ἐθάρσησεν [20]; » Ὁ δὲ μακάριος εἶπεν αὐτοῖς· « Ἠδύνατο περᾶσαι τὸν ποταμὸν ὡς ἐπὶ ξηρᾶς πεζεύων κατὰ συγχώρησιν τοῦ Θεοῦ, συνεργοῦντος αὐτῷ τοῦ διαβόλου, πρὸς τὸ τὴν αἵρεσιν τῆς ἀσεβείας αὐτῶν μὴ διαλυθῆναι τῷ δράματι τῆς ἐπιχειρήσεως [21] πίστιν [22] τοῖς παρ' αὐτοῦ ἀπατηθεῖσιν ἐμβάλλοντος [23]. Ἐξελθόντες [24] οὖν εἴπατε αὐτοῖς τοῖς τὴν τοιαύτην ἀγγελίαν ἡμῖν κομίσασιν, ὅτι· Τάδε λέγει ὁ ἄνθρωπος τοῦ Θεοῦ Παχώμιος· Ὁ ἐμὸς ἀγὼν καὶ πᾶσά μου ἡ σπουδὴ αὕτη ἐστίν, οὐ τὸ περᾶσαι [25] τὸν ποταμὸν πεζοποροῦντα [26], ἀλλὰ πῶς μέλλω διαφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ καὶ διελθεῖν τὸν ποταμὸν ἐκεῖνον τοῦ πυρὸς τὸν ἕλκοντα ἔμπροσθεν τοῦ βήματος αὐτοῦ, ὑπερπηδᾶν

[4] τοῦ ἁγίου παχωμίου D. — [5] πατέρα ὑμῶν παχώμιον D. — [6] καὶ ὑπ. σου ὁ θ. D. — [7] πεζῇ add. D. — [8] διὰ τί γὰρ ὅλως D. — [9] om. N. — [10] λέγ. ἢ om. ND. — [11] σου add. D. — [12] πενθ. τὰς ἁμ. μου ND. — [13] φροντίζειν add. D. — [14] πῶς μέλλω τῆς αἰωνίου κολάσεως ἀπαλλαγῆναι D. — [15] ἢ ν. τὰς φρ. om. ND. — [16] νηπιώδη add. D. — [17] καὶ ἀτοπήματα add. D. — [18] ἔρχεσθαι νηπιάζοντα τὰς φρένας N. — [19] τοῦτο D. — [20] ἐθάρρησεν ND. — [21] ταύτης add. D. — [22] πλείονα πρὸς τὴν αἵρεσιν
Prov. 21, 8. add. D. — [23] αὐτοῖς· γέγραπται γάρ· πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστελεῖ κύριος add. D. — [24] ἀπελθόντες D. — [25] με add. D. — [26] πεζοποντοποροῦντα N.

δὲ [27] τὰς τοιαύτας σατανικὰς ἐνεργείας τῇ τοῦ Κυρίου δυνάμει [28]. » Καὶ [29] εἰπὼν ταῦτα παρήγγειλε [30] τοῖς ἀδελφοῖς μὴ [31] ἐπὶ τοῖς ἰδίοις κατορθώμασι μέγα φρονεῖν, μήτε ἐπιθυμεῖν ὀπτασίαν [32] ἰδεῖν μήτε δαίμονας θεάσασθαι, μήτε [33] αὐτομολεῖν τοῖς τοιούτοις
5 πράγμασιν μηδὲ πειράζειν διὰ τῶν [34] τοιούτων αἰτήσεων [35] τὸ θεῖον, καθὼς λέγει ἡ γραφή· « Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν Deut. 6, 16.
σου. »

127. Ἠρωτήθη ποτὲ ὁ ἅγιος Παχώμιος παρά τινος ἀδελφοῦ· *Λ 12.*
« Διὰ τί πρὸ μὲν τῆς ἐπιστάσεως [1] τοῦ ἐνοχλοῦντος δαίμονος, σῶον
10 ἔχοντες τὸ τῆς διανοίας φρόνημα, περὶ ἐγκρατείας τε καὶ σωφροσύνης καὶ τῆς λοιπῆς ἀρετῆς [2] φιλοσοφοῦμεν· γεναμένης [3] δὲ τῆς ὥρας τοῦ ἐπιδείξασθαι τὰ φιλοσοφούμενα, οἷον μακροθυμίαν ἐν τῇ ὥρᾳ τοῦ θυμοῦ καὶ ἀμνησικακίαν ἐν [4] τῇ ὥρᾳ τῆς ὀργῆς καὶ ἀκενόδοξον φρόνημα ἐν καιρῷ ἐπαίνου καὶ ἄλλα ἱκανὰ [5] τοιαῦτα,
15 οὐχ ἱκανοῦμεν; » Πρὸς ὃν ἀποκριθεὶς ὁ μέγας εἶπεν· « Ἐπειδὴ τελείως τὴν πρακτικὴν [6] οὐ μετερχόμεθα, διὰ τοῦτο πᾶσαν τὴν τῶν δαιμόνων ἕξιν τε [7] καὶ μετεμπλοκὴν οὐκ ἐπιστάμεθα [8] πρὸς τὸ δύνασθαι ἡμᾶς, τοῦ ἐνοχλοῦντος τὴν παρουσίαν ἑαυτοῦ [9] σημαίνοντος [10], ὀξυτέρᾳ τῇ θεωρητικῇ δυνάμει τῆς ψυχῆς [11] ἀποκι-
20 νῆσαι τὴν περικειμένην σύγχυσιν τῶν τοιούτων λογισμῶν [12]. Διὰ τοῦτο γάρ, φησί [13], καθ' ἑκάστην ἡμέραν τε [14] καὶ ὥραν τῷ θεωρητικῷ μέρει τῆς ψυχῆς καθάπερ ἔλαιον ἐπιχέοντες τὸν πρὸς Θεὸν φόβον [15], ὃς [16] τῆς πρακτικῆς ὢν ποιητὴς [17] καὶ λύχνος πρὸς τὴν θεωρίαν τῶν ἐπιβαλλομένων ἡμῖν τυγχάνων, ἄσειστον μὲν τὸν
25 νοῦν ἀπεργάζεται πρὸς ὀργὴν καὶ θυμόν, μνησικακίαν τε καὶ κενοδοξίαν καὶ εἰς [18] κακίαν τῶν λοιπῶν [19] αἰχμαλωτευόντων [20] πα-

[27] (ὑπερπ. δὲ) καὶ ὑπερπ. D. — [28] ἃς ὑμεῖς προβάλλεσθε add. D. — [29] om. D. — [30] ταῦτα εἰπὼν παρήγγελλε D. — [31] μηδέποτε D. — [32] τινὰ καὶ ἀποκάλυψιν add. D. — [33] μηδὲ D. — [34] (διὰ τῶν) ὑπὲρ D. — [35] αἰτήσεσι D.

127. — [1] *corr., prius* ἐπιτάσεως N. — [2] καὶ τῶν λοιπῶν ἀρετῶν D. — [3] γενομένης N, ἐθλούσης D. — [4] om. N. — [5] πολλὰ D. — [6] καὶ τὴν θεωρητικὴν add. D. — [7] καὶ ἐνέργειαν add. N. — [8] (διὰ τοῦτο - ἐπιστάμ.) om. D. — [9] om. PN. — [10] σημαίνοντες P. — [11] διὰ τῆς πρὸς θεὸν ὁλοτελοῦς συννεύσεως add. D. — [12] ἀποκιν. καὶ ἀποσκευάσασθαι τὴν κατασχεθεῖσαν ἡμῶν ἀχλὺν τῶν ἀτόπων λογ. τοῦ πειραστοῦ D. — [13] δέον add. D. — [14] om. N. — [15] ἐπιχέειν τὸν τοῦ θεοῦ φόβον D. — [16] ὡς PD. — [17] ὅς ἐστι τῆς πρακτ. ποιητικὸς N. — [18] τὴν πᾶσαν add. N. — [19] om. N. — [20] λοιπῶν add. sup. lin. N.

Luc. 10, 19. θῶν [21], πατεῖν δὲ παρασκευάσει [22] ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

Λ 34. **128.** Ἐγένετό ποτε, καθημένου τοῦ μακαρίου Παχωμίου ἅμα [1] καὶ ἄλλοις τῶν μεγάλων ἀδελφῶν [2] ἐν τόπῳ τινὶ τῆς μονῆς [3], ἀδελφόν τινα ἐν αὐτῇ τῇ ἡμέρᾳ δύο ψιαθία [4] ὑφάναντα, προθεῖναι αὐτὰ ἔμπροσθεν τοῦ κελλίου αὐτοῦ ἄντικρυς τοῦ τόπου εἰς ὃν [5] μετὰ τῶν ἀδελφῶν ὁ μέγας ἐκάθητο [6]. Τοῦτο δὲ ἐποίησε τῷ τῆς κενοδοξίας ἐπαιρόμενος [7] λογισμῷ [8], οἰόμενος ἐν τούτῳ ἐπαινεθῆναι ὑπὸ τοῦ μεγάλου ἢ καὶ τῶν παριόντων [9] ἀδελφῶν [10]· τοῦ κανόνος ἔχοντος [11] ἓν [12] ψιαθίον ποιεῖν τῆς ἡμέρας [13], οὗτος [14] σπουδὴν τοιαύτην ἐνεδείξατο [15]. Γνοὺς δὲ [16] ὁ μακάριος Παχώμιος ὅτι τῆς κενοδοξίας ὁ δαίμων [17] τὸν ἀδελφὸν ἐκίνησε [18] πρὸς ἔνδειξιν ποιῆσαι [19], στενάξας μέγα εἶπε τοῖς καθημένοις σὺν αὐτῷ [20] ἀδελφοῖς· « Βλέπετε τὸν ἀδελφὸν τοῦτον, ἐργασάμενον μὲν ὅλην τὴν ἡμέραν, ὅλον δὲ τὸν κόπον αὐτοῦ τῷ διαβόλῳ χαρισάμενον [21], μηδὲν τοῦ κόπου αὐτοῦ εἰς παραμυθίαν τῆς ἰδίας ψυχῆς αὐτοῦ [22] ἐάσαντα, ὅτι τὴν δόξαν τῶν ἀνθρώπων ἧπερ [23] τοῦ Θεοῦ ἠγάπησε· καὶ τῷ μὲν καμάτῳ τὸ ἄθλιον σῶμα συνέτριψε [24], κενὴν δὲ τὴν ψυχὴν αὐτοῦ τοῦ ἀπὸ τοῦ ἔργου μισθοῦ καθίστησιν [25]. » Καλέσας οὖν [26] τὸν ἀδελφὸν ἐκεῖνον [27] ἐπετίμησε καὶ [28] παρῄνεσε καὶ προσέταξεν αὐτῷ ἵνα, εὐχομένων τῶν ἀδελφῶν, κατέχων [29] τὰ δύο ψιαθία, στὰς [30] ὄπισθεν αὐτῶν, λέγῃ [31]· « Δέομαι ὑμῶν, ἀδελφοί, εὔχεσθε ὑπὲρ τῆς ἀθλίας μου ψυχῆς, ἵνα ὁ πανοικτίρμων Θεὸς ταῖς ὑμετέραις εὐχαῖς [32] ἐλεήσῃ αὐτήν, προκρίνασαν [33] τὰ δύο ψιαθία ταῦτα τῆς βασιλείας αὐτοῦ. » Καὶ πάλιν γενομένων [34] τῶν ἀδελφῶν, τὸν αὐτὸν τρόπον [35] ἱστάμενον ἐν τῷ [36] μέσῳ πάντων μετὰ τῶν ψιαθίων [37], τὰ αὐτὰ ῥήματα λέγειν ἕως ἂν ἀναστῶσιν ἐκ τῶν τραπεζῶν [38] οἱ ἀδελφοί. Καὶ μετὰ [39] τὸ ποιῆσαι αὐτὸν [40] ἕκαστα [41], ἐκέλευσεν [42] αὐτὸν ἐγκλεισθῆναι κατὰ μόνας ἐν κελλίῳ [43] καὶ ἐπὶ ἑξαμηνιαίου χρόνου [44] καθ' ἑκάστην ἡμέραν [45] δύο ψιαθία ποιεῖν αὐτὸν [46] καὶ ἐσθίειν ἄρτον ξηρὸν [47] μετὰ ἅλατος, καὶ μηδένα [48] τῶν ἀδελφῶν συντυγχάνειν αὐτῷ [49] τὸ σύνολον, πλὴν τοῦ κομίζοντος αὐτῷ τὸν ἄρτον. Καὶ οὕτως διορθωθεὶς ὁ ἀδελφὸς ηὐχαρίστησε [50] τῷ Κυρίῳ.

Λ 35. **129.** Ἀναγκαῖον δέ ἐστι μνημονεῦσαι ἡμᾶς [1] ἄλλου τινὸς ἁγίου ἀδελφοῦ εἰς ἄκρον τὴν ἀρετὴν πολιτευσαμένου [2] καὶ [3] πρὸς οἰκοδομὴν [4] ὀλίγα τῶν [5] αὐτοῦ διηγήσασθαι. Οὗτος ὁ μακάριος ἀδελφὸς [6] ἀνακεχωρισμένον [7] εἶχε τῶν [8] ἀδελφῶν [9] τὸ κελλίον αὐτοῦ [10], ἅλατι καὶ ἄρτῳ μόνῳ [11] τὸν ἅπαντα βίον [12] αὐτοῦ διαρκέσας [13]. Ἓν καθ' ἑκάστην ἡμέραν ἐποίει ψιαθίον [14], ὡς [15] πολλάκις, πλέκοντος αὐτοῦ τὰ σχοινία τὰ προχωροῦντα εἰς τὰ ψιαθία, ὑπὸ τῶν θρύων [16] κεντούμενος [17] τὰς χεῖρας αὐτοῦ [18] αἱμάσσειν [19], ὥστε καὶ αὐτὰ τὰ ψιαθία ἁ [20] ἐποίει τῷ αἵματι τῶν χειρῶν αὐτοῦ μολύνεσθαι. Ἐν τοιαύτῃ δὲ ἀσθενείᾳ δυσιάτῳ [21] τυγχάνων [22] οὐκ ἀπελείφθη ποτὲ τῆς συνάξεως τῶν ἀδελφῶν ἢ συνεχώρει πρὸ

[21] (ὃς - παθῶν) ὡς τῆς πρακτικῆς μὲν ὄντα ποιητικὸν καὶ συντηρητικόν, λύχνον δὲ καὶ ὁδηγὸν πρὸς τὴν θεωρίαν τῶν ὑψηλοτέρων καὶ θειοτέρων, καὶ τὸν ἡμέτερον νοῦν ἀκίνητον οἷον εἰπεῖν καὶ ἀνενέργητον ἀπεργαζόμενον πρὸς ὀργὴν καὶ θυμὸν καὶ μνησικακίαν κενοδοξίαν τε καὶ τὰ λοιπὰ πάθη τὰ αἰχμαλωτίζοντα αὐτὸν D. — [22] παρασκευάζοντα D.

128. — [1] συνάμα N. — [2] (ἅμα - ἀδ.) om. D. — [3] συνάμα καὶ ἄλλοις ἀδελφοῖς τῶν μεγ. add. D. — [4] ψιάθια D passim. — [5] ἀντικρὺ τοῦ τόπου οὗ ἐκάθητο D. — [6] om. D. — [7] κατεχόμενος D. — [8] καὶ add. D. — [9] περιόντων N. — [10] καὶ γὰρ add. N. — [11] (ἢ καὶ - ἔχ.) ὡς τῶν ἀδ. ὑπὸ κανόνος ἐχόντων D. — [12] ἕνα N. — [13] τῇ ἡμέρα N, ἑκάστης ἡμέρας D. — [14] δὲ add. D. — [15] σπ. ἐνδειξάμενος πλείονα πάντας ὑπερηκόντισε D. — [16] τοίνυν D. — [17] παρώτρυνε add. D. — [18] om. D. — [19] τοῦτο add. D. — [20] τοῖς συγκαθημένοις αὐτῷ D. — [21] καὶ add. D. — [22] om. ND. — [23] τὴν δόξαν add. ND. — [24] κατέτριψε D. — [25] κατέστησε D. — [26] (καλ. οὖν) τότε καλ. D. — [27] ὁ πατὴρ add. D. — [28] εἶτα D. — [29] αὐτὸς add. D. — [30] σταθεὶς N, ἵστασθαι D. — [31] λέγειν N, καὶ λέγειν D.

[32] ταῖς ὑμ. εὐ. om. D ; ἐπικαμφθεὶς add. N. — [33] προκρίναντα N. — [34] ἐσθιόντων D. — [35] om. PN ; ποιεῖν add. D. — [36] om. D. — [37] καὶ add. D. — [38] ἕως ἂν ἐκ τῆς τραπέζης ἀναστ. N. — [39] (καὶ μ.) μετὰ δὲ D. — [40] om. N, τὸν ἀδελφὸν D. — [41] ταῦτα D, ταῦτα τὰ ἐνταλθέντα αὐτῷ N. — [42] πάλιν ὁ μέγας add. D. — [43] ἐγκλεισθ. αὐτὸν ἐν κελλ. καταμόνας D. — [44] ἐπὶ ἑξαμηνιαῖον χρόνον ND. — [45] καθ' ἑ. ἡμ. om. D. — [46] ἑκάστης ἡμέρας D. — [47] βραχὺν ND. — [48] μηδενὶ D. — [49] αὐτὸν D. — [50] (καὶ οὕτ. - ηὐχ.) οὕτ. οὖν ποιήσας ὁ ἀδ. καὶ διορθ. ἦν εὐχαριστῶν D.

129. — [1] καὶ add. N. — [2] μετελθόντος D. — [3] om. P. — [4] τῶν πολλῶν add. N, τῶν ἀκουόντων add. D. — [5] τινὰ D. — [6] ὁ ἐν μακαρίᾳ τῇ μνήμῃ ἀδ. D ; ὁ τῆς μακαρίας μνήμης ἐπάξιος add. N ; <κελεφὸς ὢν τὸ σῶμα> supplendum ex Λ. — [7] ἀνακεχωρημένον ND. — [8] λοιπῶν add. D. — [9] τῶν ἀδ. om. N. — [10] ἑαυτοῦ D. — [11] ἄρτῳ καὶ ἅλ. μόνῳ N, ἄρ. μόνῳ καὶ ἅλ. D. — [12] παρὰ πάντα τὸν β. D. — [13] εἰς βρῶσιν ἀρκούμενος D. — [14] ἓν ψιάθιον καθ' ἑκ. ποιῶν ἡμ. D. — [15] καὶ D. — [16] θρυῶν PD. — [17] sic PND ; cf. Λ : κεντουμένας. — [18] om. D. — [19] ἡμάσσετο corr. in marg., prius αἱμάσσετο D. — [20] om. P. — [21] ἢ μᾶλλον ἀνιάτῳ add. D. — [22] τῆς λώβης add. D.

αὐτοῦ ἄλλον [23] εὑρίσκεσθαι ἐκεῖ [24]. Ἀλλ' οὐδὲ [25] ἐκοιμήθη ποτὲ τὴν ἡμέραν [26] ἕως τῆς [27] ἐξόδου αὐτοῦ διὰ τὸ ἐργάζεσθαι αὐτόν [28]. Ἔθος δὲ ἦν αὐτῷ κατὰ νύκτα [29] πρὸ τοῦ κοιμηθῆναι ἐκστηθίζειν [30] ἐκ τῶν γραφῶν τινα [31] · καὶ οὕτως ἐκοιμᾶτο [32] ἕως οὗ ἔκρουσεν [33] εἰς τὴν σύναξιν τὴν νυκτερινήν [34]. Εἰσελθόντος [35] δὲ [36] ἀδελφοῦ [37] πρὸς αὐτὸν καὶ ἰδόντος αὐτοῦ [38] τὰς χεῖρας [39] ἀπὸ τῶν ψιαθίων ὧν ἐποίει ἡμαγμένας [40], λέγει αὐτῷ · « Ἀδελφέ, τί κοπιᾷς οὕτως ἐργαζόμενος ἐν τῇ [41] τοιαύτῃ ὑπάρχων νόσῳ [42] ; Μὴ [43] ἐὰν μὴ ἐργάζῃ ἀργίας ἔγκλημα ἕξεις [44] παρὰ τῷ Θεῷ ; Οἶδε γὰρ ὁ Κύριος ὅτι θλίβῃ [45]. Καὶ [46] οὐδεὶς οὐδέποτε ἔχων τὴν [47] τοιαύτην νόσον [48] ἥψατο ἔργου, καὶ μάλιστα μηδενός σε [49] ἀναγκάζοντος [50] τοῦ ἐργάζεσθαι [51] · ἄλλους τρέφομεν πτωχοὺς καὶ ξένους [52] διὰ τοῦ Θεοῦ [53] · καὶ σοὶ τῷ ἰδίῳ [54] καὶ τηλικούτῳ [55] ἐκ ψυχῆς ἐν ὑπομονῇ καὶ [56] μετὰ πολλῆς χαρᾶς οὐκ ὀφείλομεν δουλεύειν [57] ; » Ἀπεκρίθη [58] αὐτῷ [59] λέγων · « Ἀδύνατόν μοί [60] ἐστι τοῦ μὴ ἐργαζεσθαι, μάλιστα διὰ τὸ εἰρηκέναι τὸν Κύριον διὰ τοῦ ἀποστόλου τὸν ἀργὸν μηδὲ ἐσθίειν [61]. » Ὁ δὲ πάλιν [62] ἀπεκρίθη αὐτῷ [63] · « Οὐ περὶ τῆς φθαρτῆς ταύτης βρώσεως λέλεκται τοῦτο ὑπὸ τοῦ ἀποστόλου, ἀλλὰ περὶ τῆς πνευματικῆς ἐργασίας. Ὁ αὐτὸς γὰρ ἀπόστολος ἐν ἄλλῳ κεφαλαίῳ λέγει · Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, οὐ διὰ τὴν ἀξίαν [64], ἀλλ' ὡς [65] κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. Ὁμοίως καὶ ἐν ἑτέρῳ λέγει · Βοῦν ἀλοῶντα οὐ φιμώσεις · καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ [66]. » Καὶ

Cf. II Thess. 3, 10.

I Tim. 5, 17.

Ibid. 18.

[23] ἀλλ. πρὸ αὐτ. N. — [24] (ἢ συνεχ. - ἐκεῖ) ἀλλὰ πρὸ πάντων αὐτὸς παρεγίνετο D. — [25] (ἀλλ' οὐδὲ) οὔτε μὴν D. — [26] (τὴν ἡμ.) ἡμέρας D. — [27] ἀπὸ τοῦ βίου add. D. — [28] (διὰ τὸ ἐργ. αὐ.) ἀλλ' ἀεὶ εἰργάζετο D. — [29] ἦν δὲ αὐτῷ ἔθος τῷ μακαρίῳ καθ' ἑκάστην νύκτα D. — [30] ἀποστηθίζειν ND. — [31] τινὰ ἀπὸ τῶν θείων γρ. D. — [32] κοιμᾶσθαι D. — [33] ἕως ὅτου ἔκρουον D. — [34] ὀρθρινήν D. — [35] ἐλθόντος D. — [36] ποτε add. N, ποτέ τινος add. D. — [37] τινος add. N. — [38] om. D. — [39] αὐτοῦ ἡμαγμένας add. D. — [40] om. D. — [41] om. ND. — [42] νόσ. ὑπάρχ. D. — [43] γὰρ add. D. — [44] ἀργίαν ἐγκληθήσῃ D. — [45] ἀσθενὴς εἶ καὶ οὐ δύνασαι ἐργάζεσθαι D. — [46] ὅτι add. D. — [47] om. ND. — [48] τοι. ἔχ. νόσ. D. — [49] om. N. — [50] (καὶ μάλ. - ἀναγκ.) τίς γάρ σε ἀναγκάζει D. — [51] καὶ add. N. — [52] ξέν. καὶ πτ. D. — [53] διὰ τὸν θεὸν ND. — [54] ἡμετέρῳ ἀδελφῷ D. — [55] οὐκ ὀφείλομεν δουλεύειν add. D. — [56] ἐν ὑπ. καὶ om. D. — [57] οὐκ ὀφ. δουλ. om. D. — [58] ὁ δὲ ἀπεκρ. D, ἐκεῖνος δὲ ἀπεκρ. N. — [59] οὕτω N. — [60] με P. — [61] (τὸν ἀργὸν μηδὲ ἐσθίειν) ὅτι ὁ ἀργὸς μηδὲ ἐσθιέτω D ; quae sequuntur prorsus diversa sunt in cod. D : vid. annot. 70. — [62] om. N. — [63] πάλιν add. N. — [64] μόνον add. N. — [65] οἱ N. — [66] ἐστι add. N.

ἐπήγαγε · « Μὴ γὰρ περὶ [67] τῶν βοῶν μέλει τῷ Θεῷ ; Δι' ἡμᾶς γὰρ πάντως λέγει. Καὶ ὁ Κύριος [68] ἐν τοῖς εὐαγγελίοις λέγει · Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ [69] τὴν μένουσαν εἰς ζωὴν αἰώνιον [70]. Παρακαλῶ οὖν [71] σε ἐν Κυρίῳ [72], κἂν ἄλειφε ἐλαίῳ τὰς χεῖράς σου καθ' ἑσπέραν, ἵνα μὴ κοπιᾷς οὕτως καὶ αἱμάσσῃς [73]. » Καὶ [74] ἀσπασάμενος αὐτὸν ἐξῆλθεν [75]. Ὁ δὲ μακάριος ἐκεῖνος, ἀκούσας [76] τοῦ ἀδελφοῦ, ἠλείψατο [77] τὰς χεῖρας αὐτοῦ [78]. Καὶ πλέον [79] ἐβλάβησαν ἁπαλυνθεῖσαι [80] · καὶ ὑπὸ τῶν θρύων [81] κεντούμεναι ἐν τῷ ἐργάζεσθαι πλέον ἡμάσσοντο.

I Cor. 9, 9.

Ioh. 6, 27.

130. Πρὸς τοῦτον [1] παραγενόμενος ὁ ἅγιος [2] πατὴρ ἡμῶν Παχώμιος πρὸς τὸ [3] ἐπισκέψασθαι αὐτὸν ἐν τῷ κελλίῳ αὐτοῦ [4], προφθάσας [5] λέγει αὐτῷ · « Νομίζεις, ἀδελφὲ [6] Ἀθηνόδωρε [7], ὅτι τὸ ἔλαιόν σε ὠφελεῖ ; Τίς γάρ σε ἠνάγκασεν ἐργάζεσθαι, ἵνα προφάσει τοῦ ἔργου τῷ ἐλαίῳ μᾶλλον καὶ οὐχὶ τῷ Θεῷ ἀναθήσῃς [8] τὰς ἐλπίδας τῆς ὑγείας [9] ; Μὴ γὰρ ἀδύνατον ἦν τῷ Θεῷ θεραπεῦσαί σε [10] ; Ἀλλὰ τὴν ὠφέλειαν τῆς ψυχῆς σου οἰκονομῶν συνεχώρησεν εἶναί σε [11] ἐν τῷ πάθει [12]. » Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ μεγάλῳ · « Ἥμαρτον, ὦ πάτερ, καὶ τὸ σφάλμα μου ἐπιγινώσκω, ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ, παρακαλῶ σε [13], ἵνα μοι ὁ Θεὸς συγχωρήσῃ [14] τὴν ἁμαρ-

Λ 36.

Cf. II Thess. 3, 11.

[67] γὰρ περὶ om. N. — [68] ἡμῶν ἰησοῦς χριστὸς add. N. — [69] τὴν βρῶσιν add. N. — [70] (ὁ δὲ πάλιν - ζ. αἰώνιον) εἶπεν οὖν αὐτῷ ὁ ἀδελφός · τοῦτο λέλεκται τῷ ἀποστόλῳ διὰ τὸ μήτε σωματικὰ μήτε πνευματικὰ ἐργάζεσθαί τινας ἀλλ' ἀργῶς καὶ ἀτάκτως περιπατεῖν καὶ περιεργάζεσθαι μᾶλλον · θέλων οὖν ὁ ἀπόστολος τῆς τοιαύτης ματαιότητος καὶ πλάνης ἀπαγαγεῖν αὐτούς, καὶ αὐτῆς τῆς τροφῆς ὡς ἀναξίους ἐκώλυε καὶ τὴν ἐργασίαν τῶν χειρῶν αὐτοῖς ἐπέταττεν · ὁ δὲ κατὰ σὲ ἀσθενὴς ἢ καὶ ἀργῶν ἀπὸ τῶν σωματικῶν διὰ τὸ σχολάζειν αὐτὸν ἀδιαλείπτως ἐν τοῖς πνευματικοῖς καὶ τὸ τοῦ νοὸς αὐτοῦ καθαρὸν ἀνεπιθόλωτον ἀπὸ τῶν ἔξω περισπασμῶν βούλεσθαι διατηρεῖν, οὐδέποτε ἀργίαν ὁ τοιοῦτος ἐγκληθήσεται οὔτε παρὰ τῷ θεῷ οὔτε παρὰ τοῖς εὖ φρονοῦσι τῶν ἀνθρώπων · πλὴν ἀλλ' εἴ γε μὴ πείθῃ παύσασθαι τοῦ ἐργοχείρου D. — [71] om. ND. — [72] ἀδελφὲ add. D. — [73] ἵνα ἁπαλώτεραι γινόμεναι μὴ αἱμάσσωνται οὕτως D. — [74] ταῦτα εἰπὼν ὁ ἀδελφὸς καὶ D. — [75] ἀπῆλθεν D. — [76] πεισθεὶς τῇ παραινέσει D. — [77] ἤλειψεν ἐλαίῳ N, καὶ ἀλειψάμενος D. — [78] ἐλαίῳ add. D. — [79] (καὶ πλ.) μᾶλλον D. — [80] γὰρ add. D. — [81] θρυῶν P.

130. — [1] τοῦτο N. — [2] ὅσιος D. — [3] (πρὸς τὸ) τοῦ N, om. D. — [4] ἐν τῷ κ. αὐ. om. D. — [5] καὶ μαθὼν ὅπως τὰς χεῖρας αὐτοῦ ἠλείψατο ἐλαίῳ καὶ ἀντὶ τοῦ ὠφεληθῆναι χεῖρον μᾶλλον διετέθησαν D. — [6] om. ND. — [7] τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ add. N, τοῦτο γὰρ ἐκαλεῖτο add. D. — [8] ἀναθεῖναι D. — [9] ἰάσεως D. — [10] οὔμενουν add. D. — [11] σε εἶ. N. — [12] ἐν τῇ νόσῳ ταύτῃ D. — [13] om. D. — [14] μοι συγχ. ὁ θ. N, συγχ. μοι ὁ θ. D.

τίαν ταύτην. » Καὶ ὡς ἐπ' ἀληθείας διεβεβαιοῦντο οἱ συνόντες αὐτῷ πατέρες, ὅτι ἐνιαυτὸν ὁλόκληρον ἐπένθει ἑαυτὸν ὑπὲρ τοῦ σφάλματος τούτου, διὰ δύο ἡμερῶν ἐσθίων ἐν τοιούτῳ πάθει ὑπάρχων δεινῷ [15]. Εἰώθει δὲ ὁ μακάριος Παχώμιος τοῦτον τὸν ἀδελφὸν ἐν ταῖς ἀρχαῖς [16], πρὸ τοῦ σφοδρῶς [17] αὐτὸν κατακυριευθῆναι ὑπὸ τοῦ πάθους [18], ἀποστέλλειν ἐν ἑκάστῃ μονῇ [19] ὡς τύπον καὶ θεμέλιον [20] πᾶσι τοῖς ἀδελφοῖς γινόμενον [21], διὰ τὸ εὐχαρίστως αὐτὸν [22] φέρειν τὴν ἀπευκταίαν [23] ἐκείνου [24] τοῦ πάθους ἀσθένειαν [25] καὶ
II Tim.4,18. τοσαύτην ἐγκράτειαν ἀπὸ παντὸς ἔργου πονηροῦ ἐπιδείκνυσθαι καὶ ἐπιμονὴν τοῦ ἔργου [26] τῶν χειρῶν [27] εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Φ 80. **131.** Ἦν τις [1] ἐν τῇ μονῇ ἀδελφὸς [2] Πετρώνιος ὀνόματι, ὅστις ἀφ' οὗ ἐξῆλθε τῆς οἰκίας τῶν γονέων [3], οὐχ ὑπέστρεψεν ἐκεῖσε, ἕως παρέθετο τὴν ψυχὴν αὐτοῦ τῷ Κυρίῳ · οὐ μήν, ἀλλὰ καὶ [4] διὰ τῆς ἐναρέτου αὐτοῦ πολιτείας [5], ἔτι ζῶν ἐποίησε [6] τοὺς κατὰ σάρκα γονεῖς αὐτοῦ καὶ [7] συγγενεῖς καὶ [8] δούλους [9] καταλιπεῖν τὸν κόσμον καὶ ἐλθόντας [10] γενέσθαι μοναχούς. Ὅσα δὲ ἐκέκτητο ὁ πατὴρ αὐτοῦ, ὃν ἐπαινέσαι ἀξίως οὐκ ἔχω, ἤνεγκεν εἰς τὴν μονήν, ἤτοι [11] βόας καὶ πᾶσαν ἁπλῶς τὴν κατασκευὴν [12] τοῦ οἴκου αὐτοῦ. Δέδωκε δὲ καὶ μονὴν [13] αὐτοῦ παριδίως [14], εἰς ἣν [15] ὑπῆρχον μοναχοὶ τῶν ἄλλων μονῶν [16] τὸν τύπον ἔχοντες [17].

Φ 81. **132.** Ἐπίσκοπος δέ τις τῆς πόλεως Πανός [1], Ἄρειος λεγόμενος, ἀσκητής, ὀρθόδοξος [2] καὶ θεράπων τοῦ Χριστοῦ, ὀσμησάμενος [3] τὴν συμφωνίαν τῶν ἀδελφῶν καὶ τὴν ἀγγελικὴν αὐτῶν διαγωγήν [4],

[15] (διὰ δύο ἡμ. - δεινῷ) ἅπαξ ἐσθίων τὰς δύο ἡμέρας καὶ ταῦτα ἐν νόσῳ τοιαύτῃ χαλεπωτάτῃ ὑπάρχων D. — [16] ἐν ταῖς ἀρχαῖς om. D. — [17] τελείως D. — [18] ὑπὸ τῆς νόσου ἐν ταῖς ἀρχαῖς D. — [19] πρὸς ὠφέλειαν add. D. — [20] παράδειγμα D. — [21] γινόμ. πᾶσι τοῖς ἁδ. εὐχαριστίας καὶ ὑπομονῆς D. — [22] καὶ γενναίως add. D. — [23] καὶ δεινὴν add. D. — [24] ἐκείνην ND. — [25] (τοῦ π. ἀσθ.) νόσον D. — [26] τῶν ἔργων N. — [27] (τοσαύτην ἐγκρ. - χειρ.) μὴ μόνον ἀπέχεσθαι παντὸς πονηροῦ πράγματος ἀλλὰ καὶ κατάκομον εἶναι ταῖς ἀρεταῖς καὶ ἐπιμονὴν οὔτι μικρὰν ἐπιδεικνύμενον ἐν τῷ ἔργῳ τῶν χειρ. D.

131. — [1] ἦν δέ τις D, ἕτερος δέ τις ἦν N. — [2] om. ND. — [3] αὐτοῦ add. N, ἐπὶ τὸ μονάσαι add. D. — [4] om. N. — [5] πολ. αὐτοῦ D. — [6] παρεσκεύασε D ; πάντας add. ND. — [7] λοιποὺς add. N. — [8] τοὺς add. N. — [9] αὐτῶν add. N. — [10] καὶ ἐλθεῖν καὶ ND. — [11] οἷον N. — [12] περιουσίαν D. — [13] μονύδριον ἴδιον D. — [14] om. D. — [15] ἐν ᾧ D. — [16] μοναχῶν PN. — [17] κρατοῦντες D.

132. — [1] πανώς P. — [2] ὀρθ. ἀσκ. ND. — [3] ὃς μιμησάμενος P, *correxi ex* F. — [4] (ὀσμησ. - διαγ.) ὃς καὶ ἀποδεξάμενος λίαν τὴν ἐνάρετον διαγ.

μετεπέμψατο [5] πρὸς ἑαυτὸν τὸν μέγαν Παχώμιον · ὃν [6] καὶ ἠξίωσε [7] διὰ [8] συνεργίας Θεοῦ ποιῆσαι περὶ τὴν πόλιν [9] μοναστήριον [10], ὅπως [11] κἀκεῖ ὁ Θεὸς δοξάζεται [12] καὶ οἱ ἄνθρωποι οἰκοδομοῦνται [13]. Καὶ [14] συνθέμενος [15] ἀπελθὼν ἔλαβεν ἀδελφοὺς οὓς [16] ἤδει. Καὶ ἐλθὼν μετ' αὐτῶν, ἔδωκεν [17] αὐτοῖς τόπον ἐπιτήδειον [18]. Καὶ οὕτως οἰκοδομούντων [19] φραγμὸν καὶ [20] τὰ λοιπὰ [21] κελλία [22], τινὲς [23] τὴν οἰκονομίαν τοῦ Θεοῦ ἀγνοοῦντες ἐάλωσαν φθόνῳ καὶ ἤρχοντο [24] νυκτὸς καὶ [25] κατέστρεφον τὸ οἰκοδομούμενον τὴν ἡμέραν [26]. Τῇ δὲ [27] μακροθυμίᾳ τοῦ ἁγίου συμβιβασθέντες [28] παρὰ Κυρίου, ἑστηκότος καὶ ἀγγέλου ὡς δακτύλῳ πυρὸς [29] τὸ τεῖχος περιχαράσσοντος [30], ᾠκοδομήθη τὸ τοιοῦτον μοναστήριον. Καὶ ἔταξεν [31] ἐκεῖ τινα οἰκονόμον Σαμουὴλ λεγόμενον, ἄνθρωπον ἱλαρὸν [32] τῷ πνεύματι καὶ ἐγκρατῆ, καὶ ἄλλους σὺν αὐτῷ ἱκανούς [33], καθότι ἐγγὺς [34] πόλεως ἦσαν [35]. Καὶ οὕτως παρέμεινεν αὐτοῖς ὁ πατὴρ ἕως ἐδραιωθῶσι καὶ ἀποκατασταθῶσι [36].

Φ 82. **133.** Φιλόσοφος [1] δὲ [2] ἀνὴρ [3] τῆς πόλεως ταύτης [4] ἦλθεν εἰς τὸ μοναστήριον [5] δοκιμάσαι [6] αὐτοὺς [7] ὁποῖοί εἰσιν ἄνθρωποι [8]. Καὶ

καὶ συμφ. τῶν ὑπὸ τὸν μέγαν ὄντων μοναχῶν · ἀγγελ. γὰρ ἦνυον πολιτείαν οἱ ἐπίγειοι ἐκεῖνοι N, τὴν ὁμόνοιαν καὶ τὴν συμφ. τῶν ἁδ. καὶ τὴν ἀγγελ. πολιτείαν αὐτῶν θεασάμενος καὶ πάνυ ἀρεσθεὶς καὶ ἀποδεξάμενος ἠγάπησε τὴν τοιαύτην φιλοσοφίαν καὶ θεοφιλῆ διαγ. συστῆναι καὶ ἐν τῇ κατ' αὐτὸν πόλει D. — [5] γοῦν ἐπὶ τοῦτο add. D. — [6] om. D. — [7] αὐτὸν add. D. — [8] μετὰ D. — [9] αὐτοῦ add. D. — [10] μοναστήρια ND. — [11] ἵνα D. — [12] δοξάζηται ND ; δοξ. ὁ θ. D. — [13] οἰκοδομῶνται ND. — [14] δὴ add. N. — [15] ὁ μέγας οὕτω ποιῆσαι add. D ; ὁ μέγας add. N. — — [16] αὐτὸς add. D. — [17] δέδωκεν D. — [18] εἰς οἰκοδομήν add. D. — [19] ᾠκοδόμουν οἱ ἀδελφοὶ D, ᾠκοδόμουν τὸν N. — [20] φρ. καὶ om. D. — [21] om. ND. — [22] καὶ τὸ θριγγίον ἤτοι τὸ περίφραγμα add. D. — [23] καί τινες N, τινὲς δὲ D. — [24] ἐρχόμενοι D. — [25] om. D. — [26] τῇ ἡμέρα N, κατὰ τὴν ἡμ. D. — [27] (τῇ δὲ) ὅμως τῇ D. — [28] συμβιβασθέντος N. — [29] συμβιβῶντος τοῦ κυρ. καὶ συνεργοῦντος αὐτὸν ἔτι δὲ καὶ θείου ἀγγ. ἐπιφαινομένου καὶ οἷα δακτύλῳ πυρίνῳ D. — [30] τῶν φθονερῶν οἱμαι τὴν λύμην ἐκφράττοντος καὶ οἷον ἀποτειχίζοντος add. D. — [31] ὁ πατὴρ add. D. — [32] πρᾶον D. — [33] συνεργοῦντας add. D. — [34] τῆς add. ND. — [35] ἦν τὸ μοναστήριον D. — [36] (καὶ οὕτως κτλ.) παρ. δὲ αὐτοῖς ὁ μέγας ἄχρι καιροῦ ἕως ἂν ἀποκατ. καὶ ἑδρ. D.

133. — [1] ἔτι τοῦ ἁγίου προσμένοντος ἐν τῷδε τῷ μοναστηρίῳ *praemittit* D. — [2] τις D. — [3] τις N. — [4] ἐκ τῆς ἐγγυτάτω πόλ. ταυτησὶ D. — [5] (ἦλθεν εἰς τὸ μ.) παρεγένετο πρὸς αὐτοὺς D. — [6] θέλων add. D. — [7] θέλων ἵνα γνῶ add. N ; καὶ γνῶναι add. D. — [8] om. N ; ὁποῖοι τῷ λόγῳ καὶ τῇ γνώσει τυγχάνουσιν D.

λέγει [9] · « Καλέσατέ μοι τὸν πατέρα ὑμῶν [10], λαλήσω [11] αὐτῷ [12]. » Ἀκούσας δὲ ὁ πατὴρ [13] ἔπεμψε πρὸς αὐτὸν [14] Κορνήλιον ἀπολογήσασθαι [15] αὐτῷ. Καὶ ἀπελθόντος [16] τοῦ Κορνηλίου, λέγει αὐτῷ [17] ὁ φιλόσοφος · « Φημίζεσθε ὡς μονάζοντες συνετοὶ καὶ σοφὰ λαλοῦντες. Ἐλαίας τίς ἔφερέ [18] ποτε [19] ἐν τῇ πόλει ἡμῶν [20] Πανὸς [21] διαπράσαι [22], τῆς πόλεως ἡμῶν ἔνδον πολλὰς ἐχούσης ; » Ἀπεκρίθη δὲ [23] αὐτῷ [24] Κορνήλιος λέγων · « Ἠκούσθη ποτὲ ὅτι αἱ ἐλαῖαι τῆς πόλεως Πανὸς [25] ποιοῦσιν ἔλαιον ἄνευ ἁλός. Ἡμεῖς γάρ ἐσμεν τὸ ἅλας καὶ ἤλθομεν ἁλίσαι [26] ὑμᾶς. » Ἀκούσας δὲ ταῦτα [27] ὁ φιλόσοφος [28] ὑπέστρεψε καὶ ἀπήγγειλε τοῖς λοιποῖς αὐτοῦ [29] φίλοις [30]. Εἶτα λέγει ἄλλος φιλόσοφος · « Ἕως τούτου ἐστὶ [31] τὸ ζήτημά σου πρὸς αὐτούς ; Ἐγὼ ἀπελθὼν δοκιμάσω αὐτοὺς ἀπὸ τῶν γραφῶν εἰ νοοῦσι [32]. » Καὶ ἐλθόντος αὐτοῦ, καλεῖ [33] ὁ μέγας πατὴρ [34] Θεόδωρον καὶ πέμπει [35] αὐτὸν [36] πρὸς αὐτόν. Καὶ ὡς ἐσχάτως [37] εἴρηκεν ἡμῖν [38] Θεόδωρος ὅτι · « Πεμπόμενος πρὸς αὐτὸν ἐφοβήθην [39] πῶς [40] ἀπολογήσασθαι τῷ φιλοσόφῳ [41] · Κορνήλιος γὰρ [42] σοφώτερος ἦν [43] πλέον [44] ἐμοῦ. » Ἀπελθόντος οὖν ὡς εἴρηται [45] τοῦ Θεοδώρου, ἠρώτησεν αὐτὸν [46] ὁ φιλόσοφος ζήτημα οὐ [47] δυσεύρετον [48], λέγων · « Τίς ὁ [49] μὴ γεννηθεὶς ἀπέθανε ; τίς δὲ ὁ [50] γεννηθεὶς οὐκ ἀπέθανε ; καὶ τίς [51] ἀποθανὼν οὐκ ἐπώζεσεν ; » Εἰ- 5 10 15 20
Cf. Matth. 5, 13.

πόντος δὲ τοῦ Θεοδώρου [52] τὸν μὲν [53] μὴ γεννηθέντα καὶ ἀποθανόντα εἶναι τὸν Ἀδάμ, τὸν δὲ γεννηθέντα καὶ μὴ ἀποθανόντα εἶναι [54] τὸν Ἐνώχ, τὴν δὲ γυναῖκα τοῦ Λὼτ θανοῦσαν καὶ μὴ ἐποζέσα-
Gen. 5, 24 ; 19, 26.

[9] (καὶ λέγει) ἐντυχὼν δέ τισι τῶν μοναχῶν λέγει αὐτοῖς D. — [10] ἵνα add. N ; ὅτι add. D. — [11] χρήζω εἰπεῖν D. — [12] πρὸς αὐτόν N ; λόγον add. D. — [13] (ἀκ. - π.) ὁ δὲ π. ἀκ. N, ἀπήγγειλαν τοῦτο οἱ ἀδελφοὶ τῷ μεγάλῳ καὶ D. — [14] τὸν add. D. — [15] ἀποκριθῆναι D. — [16] (καὶ ἀπ.) ἐλθόντος οὖν D. — [17] om. N. — [18] φέρων N. — [19] (ἐλαίας - ποτε) ἀλλὰ τίς ποτε ἤνεγκεν ἐλ. D. — [20] corr., prius ἡ τῶν P. — [21] πανώς corr., prius πανῶ P ; πανὼ N. — [22] ἠβούλετο add. N. — [23] om. D. — [24] ὁ add. ND. — [25] πανώς P, πανώ N. — [26] ἁλατίσαι N. — [27] τοῦτο ἀκ. D. — [28] ὁ φιλ. ταῦτα N. — [29] φιλοσόφοις καὶ N. — [30] αὐτοῦ add. N, καὶ φιλοσόφοις add. D. — [31] ἦν D. — [32] αὐτάς add. D ; (ἀπὸ - νοοῦσι) εἰ νοοῦσιν ἀπὸ τῶν ἁγίων γρ. N. — [33] ἐκάλεσεν D. — [34] τὸν add. ND. — [35] ἀπέστειλε D. — [36] τοῦτον D. — [37] ὕστερον ND. — [38] ὁ add. N. — [39] ἐφοβήθη P, ἐφοβούμην N. — [40] ἔχω add. N. — [41] (εἴρηκεν - φιλ.) ἡμῖν ὁ θεόδ. εἴρ. πεμπόμ. πρὸς τοῦ πατρὸς ἐδίσταζε τῷ λογισμῷ πῶς ἀρα τῷ φιλ. ἀποκριθήσεται D. — [42] λέγων add. D. — [43] ἐστιν D. — [44] om. ND. — [45] ὡς εἴ. om. D. — [46] om. N. — [47] πάνυ add. D. — [48] οὐ δυσ. om. N. — [49] om. ND. — [50] om. D. — [51] ὁ add. N. — [52] καὶ ἀποκριθεὶς ὁ θεόδωρος εἶπε D. — [53] om. P. — [54] om. N.

σαν [55], ἀλλὰ στήλην γεναμένην ἁλός [56], ἀποδεξάμενος [57] ὁ φιλόσοφος [58] ἀνεχώρησεν. — Ἦν δέ τις ἐν τῇ μονῇ ἅγιος καὶ δυνατὸς τῷ πνεύματι καὶ τῷ σώματι πεπυρωμένος [59], τοὔνομα Τολμᾶς [60], τὴν ἄσκησιν καὶ τὴν ἀγρυπνίαν [61] ἀνενδότως κατέχων [62] ἕως θανάτου [63].

134. Ἔλαβε δὲ [1] πρὸς τούτοις [2] ὁ πατὴρ ἡμῶν [3] καὶ ἄλλα [4] μοναστήρια πέντε, εἰς ἃ [5] ᾤκησαν [6] ἐκεῖ [7] ἀδελφοὶ [8] τὴν τάξιν καὶ τὴν διαγωγὴν ἔχοντες τῶν λοιπῶν πατέρων [9], δεδωκὼς αὐτοῖς καὶ χρείας σωματικὰς [10] ἀπὸ τῆς μεγάλης μονῆς Παβώ, ἔνθα ἀπέκειτο πᾶσα ἡ χρεία τῶν μοναχῶν, λαμβάνων [11] ὁ οἰκονόμος τὸ ἐργόχειρον αὐτῶν [12]. Δὶς δὲ τοῦ ἐνιαυτοῦ παρεγένοντο [13] ἐν τῇ μονῇ, ὅπου ὁ πνευματικὸς ἡμῶν πατὴρ [14] Παχώμιος ἦν, δηλονότι τὸ [15] πάσχα καὶ τὸ φθινόπωρον · καὶ [16] τὸ μὲν πάσχα ἔτασσεν [17] αὐτοὺς καθ' ἕνα [18] ἕκαστον [19] εἰς [20] τόπον καὶ ἐποίουν μετ' ἀλλήλων τὸ πάσχα [21] ἑορτάζοντες [22] λόγοις Θεοῦ [23] καὶ ἀγάπῃ [24] · τὸ δὲ φθινόπωρον, ὡς [25] ἔθος εἶχον [26], ἤρχοντο [27] ἀποδιδόντες [28] τῷ μεγάλῳ οἰκονόμῳ τοὺς λόγους τῶν ἔργων αὐτῶν κατὰ μέρος γράφοντες αὐτούς [29]. Καὶ εἴ τινα διαταγὴν ἑκάστης μονῆς ὁ πατὴρ ἔχρῃζεν, ἔλεγε · καὶ ἔτασσεν ἢ οἰκιακὸν καλὸν καὶ ἐπιτήδειον, ἢ μᾶλλον αὐτὸς ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐφρόντιζε πρὸ πάντων περιέρχεσθαι τὰς
Φ 83.

[55] (τὴν δὲ - ἐποζέσασαν) τὸν δὲ ἀποθανόντα καὶ μὴ ἐποζέσαντα (εἶναι add. D) τὴν γυναῖκα τοῦ λὼτ ND. — [56] στήλη γὰρ ἁλὸς γενομένη οὐκ ἐπώζεσε N ; τὴν στήλην ἁλὸς γενομένην μετὰ τὸ θανεῖν D. — [57] ταῦτα ἀποδεξ. N ; οὖν add. D. — [58] τὴν τοῦ προβλήματος λύσιν add. D. — [59] πεπηρωμένος N. — [60] (ἦν - τολμᾶς) ἐν ταύτῃ τῇ μονῇ ἦν καί τις ἀδελφὸς τοὔνομα τολ. ἅγιος ἀνὴρ καὶ δυνατὸς τῷ πν. τὸ σῶμα ἔχων πεπηρωμένον D. — [61] τῇ ἀσκήσει καὶ τῇ ἀγρυπνίᾳ N ; καὶ τῇ ἀσκ. καὶ ἀγρ. καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἕως θανάτου D. — [62] προσκαρτερῶν D ; ἑαυτὸν add. N. — [63] ἕως θ. om. D.

134. — [1] οὖν D. — [2] μετὰ ταῦτα D. — [3] παχώμιος add. D. — [4] ἕτερα D. — [5] (εἰς ἃ) ἐν οἷς ND. — [6] κατώκησαν D. — [7] om. ND. — [8] μοναχοὶ D. — [9] μοναστηρίων D. — [10] (δεδωκὼς - σωμ.) παρεῖχεν οὖν αὐτοῖς ὁ πατὴρ καὶ χρειώδη τινὰ τῶν σωματικῶν D. — [11] ἅπερ ἐρχόμενος D. — [12] (τὸ ἐργ. αὐ.) ἐλάμβανε D. — [13] παρεγένετο N, παρεγίνοντο οἱ μοναχοὶ ἀπὸ τῶν λοιπῶν μονῶν D. — [14] πατ. ἡμ. ND. — [15] ἐν ἔαρι add. D. — [16] om. N. — [17] ὁ πατὴρ add. D. — [18] om. D. — [19] om. N. — [20] τὸν ἴδιον add. D. — [21] τὸ π. μετ' ἀλλ. D. — [22] καὶ συνευφραινόμενοι add. D. — [23] θείοις D. — [24] πνευματικῇ add. D. — [25] om. D. — [26] εἶχον ἔθος N. — [27] παραγίνεσθαι D. — [28] καὶ ἀποδιδόναι D. — [29] κατὰ μέρος αὐτ, γράφ. N, γράφ. αὐτ. καὶ κατὰ μέρος D.

μονὰς [31] καὶ στηρίζειν [32] τοὺς ὀχλουμένους ὑπὸ λογισμῶν ποικίλων [33]. Ἐδίδασκε δὲ [34] αὐτοὺς τῇ μνήμῃ τοῦ Θεοῦ καὶ τῷ φόβῳ νικᾶν τὰς ἐπινοίας τοῦ ἀντικειμένου [35], καὶ ἁπλῶς εἰπεῖν εἰς [36] πάντα τὰ συντείνοντα πρὸς ὠφέλειαν τῶν ψυχῶν [37] ὑπεστήριζε [38] καὶ ἐστερέωνεν [39] αὐτούς [40].

Φ 84. **135.** Ἦν δὲ [1] ἄλλος τις [2] ἀθλητὴς καὶ ἀνταγωνιστὴς πρὸς τὴν ἁμαρτίαν μέχρις αἵματος, Τιθόης [3] λεγόμενος [4], ταχθεὶς οἰκιακὸς τοῦ νοσοκομείου τῆς μεγάλης μονῆς Παβὼ εἰς τὸ ἀναπαῦσαι [5] τοὺς κακουμένους ἀδελφούς [6]. Καὶ ἐν μιᾷ τῶν ἡμερῶν ἑτοιμάζοντος αὐτοῦ τὴν χρείαν τῶν ἀρρώστων, ἦλθε [7] πνεῦμα πονηρὸν πειράσαι [8] αὐτὸν τῇ ἀπάτῃ τῆς ἁμαρτίας [9]. Καὶ πρῶτα [10] μὲν ὑπέβαλεν αὐτῷ ὅπως μεταλάβῃ [11] ἐκ τῶν βρωμάτων τῶν νοσούντων, καὶ [12] ἐὰν αὐτὸν ἴδῃ [13] ἠττηθέντα ἐν τῷ βρώματι [14], ἐπιρρίψῃ αὐτῷ τὸ πάθος [15] τῆς πορνείας· αὐτοῦ δὲ μὴ παραδεξαμένου [16], κατῃσχύνθη ὁ ἐχθρός [17]. Καὶ γὰρ διὰ τοῦ ἀγῶνος [18] δοκιμάζονται [19] οἱ πιστοὶ εἰς δόξαν Θεοῦ [20]. Καὶ οὗτος [21], ὑπὲρ οὗ καὶ [22] εἰς ἐνθύμησιν ἦλθεν [23], εἰσελθόντων ὀψὲ τῶν ἀδελφῶν εἰς τὴν τράπεζαν φαγεῖν [24], οὐκ ἀπῆλθε, βουλόμενος καὶ τὴν αὔριον συνάψαι [25] νηστεύων. Καὶ ἔλεγε κλαίων· « Κύριε, οὐ μόνον νηστεύειν ἕως κτήσωμαι τὴν πρὸς σὲ [26] ἀγάπην ἕτοιμός εἰμι, ἀλλὰ κἂν καταλάβῃ με μαρτύριον [27]

[31] (καὶ εἴ τινα - μονὰς) ἔταττε δὲ ὁ πατὴρ ἐν ἑκάστῃ μονῇ ο ς ἑώρα ἐπιτηδίους ἐν ταῖς διακονίαις εἴπερ ἦν χρεία· οὐ μὴν δὲ ἀλλὰ καὶ τῆς σωτηρίας τῶν ἀδελφῶν κηδόμενος καὶ φροντίζων ὁ τοῦ θεοῦ ἄνθρ. περιήρχετο τὰς μονάς D. — [32] (καὶ στ.) ἐπιστηρίζων D. — [33] καὶ παθῶν add. D. — [34] (ἐδ. δὲ) καὶ διδάσκων D. — [35] καὶ τὰ τῆς σαρκὸς σκιρτήματα καταστέλλειν add. D. — [36] om. D. — [37] αὐτῶν add. ND. — [38] ὑπετίθετο αὐτοῖς D. — [39] ἐστερέου N, παρεμυθεῖτο καὶ ἠσφαλίζετο D. — [40] om. D.

135. — [1] καὶ add. N ; ἦν ἐν τοῖς ἀδελφοῖς καὶ D. — [2] ἐκεῖσε N. — [3] τιθώης ND. — [4] ὀνόματι N, καλούμενος D. — [5] ἀναπαύειν D. — [6] τῶν ἀδελφῶν D. — [7] ἐπέστη D. — [8] βουλόμενον ἀπατῆσαι D. — [9] (τῇ ἀπ. τῆς ἁμ.) καὶ ἑλκύσαι πρὸς τὴν ἁμαρτίαν D. — [10] πρῶτον D. — [11] ὑπέβαλεν αὐτὸν μεταλαβεῖν D. — [12] ἵνα D. — [13] ἴδῃ αὐτὸν D. — [14] (ἐν τῷ βρ.) τοῦ βρώματος καὶ γευσάμενον D. — [15] ἐπιρρ. αὐτὸν καὶ ἐν τῷ πάθει D. — [16] τὴν τοιαύτην ὑποβολὴν add. D. — [17] πονηρός D. — [18] καὶ τῆς πάλης add. D. — [19] καὶ ἀναδείκνυνται add. D. — [20] (εἰς δόξαν θεοῦ) ὅπως ἔχουσι διαθέσεως πρὸς θεόν D. — [21] (καὶ οὗτ.) οὗτος δὲ N, om. D. — [22] γοῦν ὅλως D. — [23] γαστριμαργίας ἐξ ὑποβολῆς τοῦ ἐχθροῦ add. D. — [24] ἑστιαθῆναι αὐτὸς D. — [25] ἐπισυνάψαι D. — [26] τελείαν add. D. — [27] ἀλλὰ καὶ μαρτύριον εἰ καταλάβει με N, ἀλλὰ κἂν διωγμὸς καταλάβοι D.

καὶ καύσωσί με [28], οὐκ ἐγκαταλείψω [29] τὴν σωφροσύνην [30], τὸ [31] καύχημα πάντων [32] τῶν ἁγίων [33]. Δέομαί σου, τελείωσόν με [34] ἐν τῷ φόβῳ σου [35]. » Καὶ οὕτως ἀγωνισάμενος [36], καθαρὸς καὶ [37] γνήσιος μαθητὴς [38] γενόμενος, ἐτελεύτησε.

Φ 86. **136.** Ποτὲ ὑφαίνοντος [1] τοῦ μεγάλου Παχωμίου ψιαθίον ἐν Ταβεννήσει [2], ἦλθε παιδίον τὴν διακονίαν τῆς ἑβδομάδος ποιοῦν ἐν τῇ μονῇ. Καὶ ἰδὼν αὐτὸν ὑφαίνοντα λέγει αὐτῷ· « Οὐχ οὕτως [3], πάτερ, μὴ στρέφε τὸ λῶμα οὕτως [4], ἐπειδὴ ὁ ἀββᾶς Θεόδωρος παρέδωκεν ἡμῖν ἄλλον τύπον ὑφαίνειν. » Καὶ εὐθὺς ἀναστὰς λέγει αὐτῷ· « Ναί [5], δίδαξόν με [6] τὸν τύπον. » Καὶ μετὰ τὸ διδάξαι αὐτόν [7], ἐκαθέσθη [8] μετὰ χαρᾶς [9], καταβαλὼν ἐν [10] τούτῳ τὸ πνεῦμα τῆς ὑπερηφανίας. Εἰ γὰρ ἦν ἔχων φρόνημα τῆς σαρκός, οὐκ ἂν ἐμέλετο αὐτῷ [11], ἀλλ' ἐπετίμα [12] τὸ παιδίον [13] ὡς παρὰ [14] τὰ μέτρα [15] λαλήσαντα [16]. Rom. 8, 6.

Φ 87. **137.** Ἄλλοτε δὲ [1] πάλιν ὑφαίνων ψιαθίον [2] ὁ μακάριος πατὴρ ἡμῶν, ὤφθη αὐτῷ δαίμων φάσκων εἶναι αὐτὸν [3] τὸν Χριστόν. Οὐκ ἔχουσι δὲ ἐξουσίαν οἱ δαίμονες οὐ μόνον ὀφθῆναί τινι, ἀλλ' οὐδὲ λογισμὸν κακὸν [4] ὑποβάλλειν ἄνευ συγχωρήσεως Θεοῦ· συγχωροῦνται δὲ ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. Ἐπεὶ οὖν εἶχεν ὁ ἅγιος [5] τὴν διάκρισιν τοῦ πνεύματος [6], ὥστε διακρίνειν τὰ πονηρὰ πνεύματα ἀπὸ τῶν ἁγίων, εὐθὺς [7] ἐλογίσατο τοῦτο ὅτι· « Τῇ ὀπτασίᾳ τῶν ἁγίων, τοῦ θεωροῦντος οἱ λογισμοὶ ἐκλείπουσι [8] τέλεον [9], καὶ οὐδὲν [10] σκοποῦσιν εἰ μὴ τὴν ἁγιότητα τοῦ ὀπτανομένου. Ἰδοὺ βλέπω ἐγὼ [11] τοῦτο ὅτι φρονῶ καὶ λογίζομαι· δῆλόν [12] I Cor. 11,19.

[28] (καὶ κ. με) καὶ μυρία δεινὰ πείσομαι D. — [29] οὐ καταλείψω N, οὐκ ἄν ποτε καταλείψω D. — [30] καὶ ἁγνείαν add. D. — [31] στέφος καὶ add. N. — [32] om. D. — [33] τῶν ἁγ. πάντων N ; διὸ add. ND. — [34] δέσποτα add. D. — [35] ἐν τῷ σῷ φ. καὶ τῇ ἀγάπῃ D. — [36] (καὶ οὕτ. ἀγ.) οὕτ. οὖν ἀγων ὁ γενναῖος τιθώης D. — [37] (καθ. καὶ) καὶ ἀληθὴς D. — [38] ἰησοῦ χριστοῦ add. D.

136. — [1] ὑφ. ποτε ND. — [2] ταβέννη N. — [3] οὐχ οὕτ. om. N. — [4] μὴ στρέφε ὦ πάτερ οὕτω τὸ λῶμα N. — [5] καὶ ND. — [6] τέκνον add. D. — [7] τὸ παιδίον add. D. — [8] ἐκάθισε πάλιν ὁ πατὴρ D. — [9] εἰς τὸ ἔργον add. D. — [10] κἂν D. — [11] (ἐμέλετο αὐτῷ) ἤκουεν αὐτοῦ N, ἤκουσεν τοῦ παιδίου D. — [12] ἐπετίμησεν ἂν μᾶλλον D. — [13] (τὸ π.) τῷ παιδίῳ N, αὐτῷ D. — [14] ὑπὲρ ND. — [15] αὐτοῦ add. D. — [16] λαλήσαντι ND.

137. — [1] om. ND. — [2] οὗτος add. D. — [3] ἑαυτὸν N ; ἑαυτὸν εἶναι D. — [4] λογισμοὺς κακοὺς D. — [5] πατὴρ D. — [6] τοῦ ἁγίου add. D ; τὴν πνευματικὴν διάκρισιν N. — [7] εὐθέως D. — [8] ἡσυχάζουσι D. — [9] καὶ γαληνιῶσι add. D. — [10] ἄλλο add. ND. — [11] (ἰδοὺ βλ. ἐγὼ) ἀλλ' ἐγὼ βλ. N. — [12] οὖν add. N.

ἐστιν ὅτι ψεύδεται [13] · οὐκ ἔστι τῶν ἁγίων. » Ἰδὼν δὲ ταῦτα αὐτὸν ἐνθυμούμενον ὁ δαίμων [14] ἤρξατο περιαίρειν [15] τοὺς λογισμοὺς αὐτοῦ [16]. Καὶ [17] ἀναστὰς τῇ πίστει τοῦ Χριστοῦ [18] ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὡς [19] ἵνα κρατήσῃ [20] αὐτόν, ἅμα καὶ ἐκφυσῶν [21] εἰς τὸ πρόσωπον αὐτοῦ. Καὶ εὐθὺς [22] ὡσεὶ καπνὸς ἐξέλιπεν ἐκεῖνος [23].

Φ 88. **138.** Εἶχε δὲ [1] συνήθειαν τοιαύτην ὁ Θεόδωρος [2] ἔρχεσθαι καθ' ἡμέραν τὰ πρὸς ὀψὲ [3] εἰς Παβώ, μετὰ τὸ ἔργον αὐτοῦ τὸ ἐν Ταβεννήσει [4], ὅπως ἀκούσας [5] τὰ λεγόμενα λόγια τῶν γραφῶν [6] παρὰ [7] τοῦ ἀββᾶ [8] Παχωμίου [9], ἀνακάμψῃ διηγήσασθαι [10] αὐτὰ τοῖς ἀδελφοῖς πρὶν [11] κοιμηθῶσι · καὶ τοῦτο ἐποίει ἐπὶ πολὺν χρόνον [12]. Ἐγένετο δὲ ἅπαξ ἐλθόντα αὐτὸν μὴ εὑρεῖν [13] τὸν μέγαν · καὶ [14] ἀναβὰς εἰς τὸ δῶμα ἐμελέτα τὰ ἐκμαθήματα [15] τῆς συνάξεως [16] αὐτοῦ τὰ ἀπὸ τῶν θείων γραφῶν · καὶ μελετῶντος, ἐσείσθη ὁ τόπος ὅπου ἦν. Καὶ διαλογιζόμενος τί ἂν εἴη τοῦτο, κατέβη εἰς τὴν σύναξιν [17] εὔξασθαι · καὶ εἰσελθὼν οὐκ ἠδυνήθη μεῖναι [18] ἀπὸ τοῦ φόβου τοῦ γενομένου [19] ἐκεῖσε · καὶ ἔφριξεν ἐκ τούτου οὐκ ὀλίγα [20]. Ἰδὼν δὲ ὅτι πλεῖον περιττεύει κατ' αὐτοῦ ὁ φόβος [21], ἐξεπήδησεν ἔξω τῆς θύρας, καὶ οὐκ ᾔδει [22] τί ἦν [23]. Πρωΐ [24] δὲ μετὰ τὴν σύναξιν εὗρε τὸν ἀββᾶν [25] Παχώμιον ἐξηγούμενον [26] ἀρχαίοις πατράσι κατ' ἰδίαν τάδε [27] ὅτι · « Παρ' ὀλίγον ἀπέδωκα ἂν τὴν ψυχήν μου · νυκτὸς γὰρ ἐν τῇ συνάξει [28] εὐχόμενος εὐχήν [29], πα-

[12] (ἰδοὺ - ψ.) ἐγὼ δὲ βλέπων τοῦτο ταράττονται οἱ λογισμοὶ καὶ διστάζουσι καὶ οὐκ ἠρεμοῦσιν ὥστε ἐκ τούτου δῆλον ὅτι ψευδές ἐστι τὸ φαινόμενον καὶ D. — [14] (Ἰδὼν - δαίμ.) γνοὺς δὲ ὁ δαίμ. τοιαῦτα διαλογιζόμενον τὸν ἅγιον D. — [15] om. D. — [16] καταστέλλειν καὶ οἱονεὶ καταπραΰνειν add. D. — [17] ὁ δὲ ND. — [18] τῇ πρὸς χριστὸν πίστει πεποιθὼς ἀναστὰς D. — [19] om. N. — [20] (ὡς ἵνα κρατ.) εἰς τὸ κατασχεῖν D. — [21] ἅμα ἐμφυσσῶν N, ἅμα δὲ καὶ ἐμφυσῶν D. — [22] εὐθέως ND. — [23] τὸ δαιμόνιον ἐκεῖνο D.

138. — [1] om. D. — [2] ὁ ἀββᾶς θ. εἶχε ταύτην συνήθειαν N. — [3] (ἔρχ. - ὀψὲ) παραγίνεσθαι καθ' ἑκάστην πρὸς ἑσπέραν D. — [4] ταβέννη N. — [5] ἀκούων N. — [6] λόγ. τῶν γρ. om. D. — [7] ὑπὸ D. — [8] πατρὸς ἡμῶν D. — [9] ἐκ τῆς θείας γραφῆς add. D. — [10] καὶ ἀπαγγείλη D. — [11] ἢ add. N. — [12] (ἐπὶ πολὺν χρ.) χρ. οὐκ ὀλίγον D. — [13] ἐγένετο δὲ ἐλθεῖν αὐτὸν ποτὲ κατὰ τὸ ἔθος καὶ μὴ εὑρὼν D. — [14] om. D. — [15] μαθήματα N. — [16] ἀκολουθίας D. — [17] ἐκκλησίαν D. — [18] οὐκ ἠδύνατο μένειν D. — [19] αὐτῷ add. D. — [20] ὀλίγον N ; (καὶ ἔφριξεν - ὀλ.) πάνυ ἐκδειματούμενος καὶ φρίττων D. — [21] ὅτι μᾶλλον πλεονάζει ὁ φόβος αὐτῷ D. — [22] εἰ add. N. — [23] (καὶ οὐκ ᾔδει τί ἦν) μὴ εἰδὼς τὸ αἴτιον τοῦ τοσούτου φόβου D. — [24] πρωΐας D. — [25] πατέρα ἡμῶν D. — [26] διηγούμενον τοῖς D. — [27] ταῦτα N. — [28] νυκτὸς γὰρ εὐχόμενος ἐν τῇ ἐκκλησίᾳ D. — [29] om. D.

ραχρῆμα [30] εἶδον ὀπτασίαν φοβεράν [31] · καὶ τῷ πολλῷ φόβῳ ἐγενόμην ὡς [32] μὴ ὤν. Καὶ ἐδεήθην τοῦ Κυρίου ἵνα μείνῃ ἐν ἐμοὶ καὶ ἐν τοῖς ἀδελφοῖς ὁ φόβος οὗτος ἕως τέλους, μνησθεὶς τῶν περὶ Μωϋσέος [33] πατέρων [34] ὑπὸ τὸ ὄρος Σινᾶ, ὅτε ἦν [35] τὸ πῦρ καὶ τὰ Cf. Ex. 19, 16 ; 20, 18.
ἄλλα τὰ [36] φοβερά. Καὶ ἔτι μου ὄντος ἐν [37] τῇ ἀνάγκῃ, ἦλθέ τις ἔσω τολμηρῶς · καὶ ἔτυχεν [38] ἐλέους ταχέως ἐξελθών. » Ἀπεκρίθη Θεόδωρος καὶ εἶπεν αὐτῷ · « Ἐγὼ ἤμην [39]. Μὴ εὑρίσκων γάρ σε ὀψέ, ἐμελέτων ἐπὶ δώματος · καὶ αὐτοῦ σαλευομένου κατέβην εὔξασθαι · καὶ μὴ δυνηθεὶς [40] ἔφυγον [41] ἔξω. » Καὶ ἐθαύμασαν ἀκούσαντες ταῦτα, καὶ μάλιστα ὅτι, τοῦ Κυρίου θέλοντος, ὅταν εἶδε κρυπτόν τι, οὐκ ἐδήλου αὐτοῖς, εἰ μή τί γε εἶδε [42] φθάνοντάς τινας εἰς πίστιν, καὶ ταῦτα τοῖς δοκιμωτέροις [43] εἰς [44] οἰκοδομήν. Οἱ γὰρ ἅγιοι, καὶ ὄντες ἐπὶ τῆς γῆς [45], ἐν οὐρανοῖς [46] ἔχουσι [47] τὸ Phil. 3, 20.
πολίτευμα, καθὼς φησιν ὁ ἀπόστολος [48].

139. Ἐπειδὴ δὲ ἦν παραδεδωκὼς παραδόσεις [1] εἰς σύστασιν Φ 89.
τοῦ κανόνος ἐν Ταβεννήσει , ποτὲ [2] ἐν τῷ ἀρτοκοπείῳ ἐλάλησάν τινες, καίπερ παράδοσιν εἶχον τοῦ μὴ λαλεῖν ὅτε ἐργάζονται, ἀλλὰ μελετᾶν κατὰ τὴν ὀφείλουσαν ἐντολὴν τοῦ πατρός [3]. Συνῆκε [4] δὲ τοῦτο [5] ὁ πρεσβύτης [6] τῷ πνεύματι [7], μακρὰν ὤν, ὅτι παρέβησαν τὴν ἐντολήν [8]. Καὶ [9] παραυτίκα καλεῖ [10] τὸν [9] Θεόδωρον — αὐτὸς γὰρ ἦν τότε [11] πατὴρ [12] τῆς [13] μονῆς — καὶ λέγει αὐτῷ ·

[30] om. D. — [31] παραχρῆμα add. D. — [32] ὡσεὶ D. — [33] μωσέα ND. — [34] om. ND. — [35] ὤφθη αὐτοῖς D. — [36] om. N. — [37] ταύτῃ add. D. — [38] (καὶ ἔτυχεν) ἔτυχε δὲ D. — [39] εἰμι N. — [40] προσμένειν ἀπὸ τοῦ φόβου add. D. — [41] ἔφυγα N. — [42] ἐθεώρει N. — [43] (καὶ ἐθαύμασαν - δοκιμ.) ἀκούσαντες δὲ ταῦτα οἱ πατέρες ἐθαύμ. ἅπαντες · ὅτε γὰρ ἦν ὁ θεῖος παχώμιος ἑωρακώς τι τῶν κεκρυμμένων τῇ τοῦ θεοῦ βουλήσει ἐν ἀποκαλύψει, οὐκ ἐδήλου τοῦτο ἁπλῶς πᾶσι τοῖς ἀδελφοῖς ἀλλὰ τοῖς δοκιμ. καὶ οὓς ἔβλεπε πρὸς πίστιν ἥκοντας τῶν λεχθησομένων ἐξήγγελλε D. — [44] πρὸς ND. — [45] (καὶ ὄντες ἐπὶ τ. γῆς) εἰ καὶ ἐπὶ γῆς διατρίβουσιν ἀλλ' ὅμως D. — [46] ἐν οὐρανῷ N. — [47] ἔχοντες D. — [48] πάντα πνευματικῶς καὶ φρονοῦσι καὶ λέγουσιν add. D.

139. — [1] (ἐπειδὴ - παραδόσεις) παραδόσεις ἦν παραδεδωκὼς ὁ μέγας N. — [2] δὲ add. N. — [3] (ἐπειδὴ - πατρός) ἦν ὁ τοῦ θεοῦ ἄνθρωπος παχώμιος παραδεδ. τοῖς ἀδελφοῖς ἐν ταβ. κανόνα τοῦ μὴ ὁμιλεῖν ἀλλήλοις παρὰ τὴν χρείαν ἐν τῷ ἀρτοκοπίῳ καὶ ὅπου ἂν ἐργάζωνται ἀλλὰ μελετᾶν ἕκαστον τὰ θεῖα καὶ προσέχειν ἑαυτῷ · τινὲς δὲ τούτων ὀλίγα τοῦ κανόνος καὶ τῆς ἐντολῆς φροντίσαντες ἀνυποστόλως ἀλλήλοις διωμιλοῦντο D. — [4] γνοὺς D. — [5] om. D. — [6] πατὴρ D. — [7] ἔνθα ἐτύγχανε add. D. — [8] (τὴν ἐντ.) τινες τὸν περὶ σιωπῆς κανόνα D. — [9] om. D. — [10] μετακαλεῖται D. — [11] τηνικαῦτα D. — [12] καὶ καθηγεμὼν add. D. — [13] ἐν ταβεννήσει ταύτης add. D.

« Ἀπελθὼν εὐκαίρως ἐρεύνησον καὶ ἴδε εἰ [14] ὡμίλησάν [15] τινες [16] ἐν τῷ ἀρτοκοπείῳ παρὰ τὴν ἐντολὴν ὀψέ [17].» Καὶ ἀνακρίνας εὗρε πολλούς [18], καὶ εἶπεν [19] αὐτῷ. Ὁ δὲ σεβάσμιος γέρων λέγει [20] ὅτι [21] · « Νομίζουσιν ἐκεῖνοι [22] ἀνθρώπινα εἶναι [23] ταῦτα [24] · κἂν περὶ ἐλα-
Ios. 6, 10, 16. χίστου δοθῇ ἐντολή, μέγα [25] ἐστίν. Ἑπτὰ ἡμέρας σιωπῶντες τοσοῦτον πλῆθος ἐν τῇ Ἰεριχὼ κυκλεύοντες ὑπήκουσαν τῇ ἐντολῇ · καὶ ὅτε πάλιν ἔλαβον ἐντολὴν τοῦ κράζειν, πάλιν ὑπακούσαντες ἐπλήρωσαν διὰ τοῦ ἐντειλαμένου αὐτοῖς τὰ τοῦ πνεύματος. Ὅμως καὶ οὗτοι τηρείτωσαν ἐπὶ τὰ ἔμπροσθεν [26], καὶ συγχωρηθήσεται αὐτοῖς τὸ γενόμενον [27]. Εἰ γὰρ μὴ [28] ἦν ὠφέλιμος ἐκείνη [29] ἡ ἐντολή [30], οὐκ ἂν παρηγγείλαμεν δι' [31] αὐτῆς [32]. »

Φ 90. **140.** Ἐξήτησεν οὖν αὐτὸν Θεόδωρος [1] διὰ πάθος τῆς κεφαλῆς αὐτοῦ διὰ τὸ ἀλγεῖν αὐτήν [2]. Καὶ ἀποκριθεὶς λέγει αὐτῷ [3] · « Νομίζεις [4] ὅτι συμβαίνει πάθος [5] ἢ ἕτερόν τι τοιοῦτον ἄνευ τοῦ Θεοῦ [6] ; Διὸ βάσταζε, καὶ ὅτε θέλει [7], ἰᾶταί σε. Ἴδε [8] τέως δοκιμάζει σε [9], ὅπως [10] εὑρεθῇς εὐχαριστῶν [11] αὐτῷ, ὡς ὁ τέλειος τοῦ Θεοῦ ἄνθρωπος [12] Ἰὼβ ὑπομένων πάντα τὰ ἐπελθόντα [13] αὐτῷ [14] εὐλό-
Iob 1, 21. γει [15] τὸν Θεὸν λέγων · « Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.» Καὶ γὰρ ὁ σταυροφόρος [16], κἂν μηδὲν ᾖ πάσχων, ἀρκεῖ αὐτῷ ὁ σταυρὸς καὶ ἡ ἄσκησις · καὶ ὁ πάσχων δύναται κατακείμενος εὐχαριστεῖν

[14] *om.* P. — [15] *ὀψὲ add.* D. — [16] *ἀλλήλοις add.* D. — [17] *ὀψὲ π. τ. ἐντ.* N ; (*ὀψέ*) *ἀπελθὼν οὖν* D. — [18] *τοῦτο πεποιηκότας add.* D. — [19] *ἀπήγγειλεν* ND. — [20] (*ὁ δὲ σ. γ. λέγ.*) *καὶ εἶπεν ὁ σεβάσμιος γέρων* N, *καὶ εἶπεν ὁ σεβασμιώτατος πατὴρ* D. — [21] *om.* D. — [22] *ὅτι add.* D. — [23] *εἰσι* D. — [24] *καὶ οὐδαμινά · οὐκ ἔστι δὲ ἀλλὰ add.* D. — [25] *μεγάλη* ND. — [26] *ἑπταήμερον σιωπὴν ἠσκοῦντο τοσ. πλῆθος οἱ περικυκλοῦντες τὴν ἱερ. ὑπακούσαντες τῇ δεδομένῃ αὐτοῖς ἐντολῇ παρὰ Ἰησοῦ τοῦ ναυῆ καὶ ὅτε ἐπετράπησαν ἀνακράξαι ἀνέκραξαν πάλιν ὑπακούσαντες · τὸν αὐτὸν ἔδει τρόπον καὶ τούτους ποιεῖν · ἀλλ' εἰ καὶ μὴ πρότερον κἂν ἀπό γε τοῦ νῦν τηρήτωσαν τὴν ἐντολὴν* D. — [27] *τὸ γιν.* P, *τὸ γεγονὸς παράπτωμα* D. — [28] *εἰ μὴ γὰρ* D. — [29] *om.* ND. — [30] *ἐκείνη add.* N. — [31] *περὶ* N. — [32] *οὐκ ἂν αὐτὴν δεδώκαμεν αὐτοῖς καὶ περὶ τὴν φυλακὴν αὐτῆς πολλὰ παρηγγέλλομεν* D.

140. — [1] *ὁ θεόδ. αὐτόν* N. — [2] *ὅπως ἰαθῇ add.* N. — [3] (*ἐζήτησεν - αὐτῷ*) *ἤλγει ποτὲ ὁ θεόδωρος τὴν κεφαλὴν αὐτοῦ καὶ πονήρως εἶχεν · ἐπισκεπτόμενος οὖν αὐτὸν ὁ πατὴρ καὶ παραμυθούμενος ἔλεγεν αὐτῷ* D. — [4] *θεόδωρε add.* D. — [5] *ἀσθενείας add.* D. — [6] *οὔμενουν add.* D. — [7] *καὶ συμφέρει add.* D. — [8] *ἰδὲ* N, *ἰδοὺ* D. — [9] *ὁ θεὸς add.* D. — [10] *εἴ γε* D. — [11] (*εὐρ. εὐχ.*) *εὐχ. εἴης* D. — [12] *om.* P ; *τοῦ θεοῦ ἄνθρ. om.* D. — [13] *ἐπερχόμενα* D. — [14] *δεινὰ add.* D. — [15] *ηὐλόγει* N. — [16] *καὶ γὰρ ὁ σταυροφόρος ἀνὴρ ὀφείλει πάσχειν ἀεὶ καὶ ὑπομένειν τοῦτο μὲν ἑκουσίως τοῦτο δὲ ἀκουσίως · καὶ ἑκουσίως μὲν ὅταν ἑαυτὸν ὑποπιάζῃ*
Cor. 9, 27.

καὶ ἀγωνίζεσθαι καρτερίᾳ ψυχῆς καὶ ὑπομονῇ καὶ μακροθυμίᾳ · ἐπεὶ καὶ διπλοῦν ἔχει τὸν στέφανον ὁ τοιοῦτος. Καλὸν γὰρ τὸν πάσχοντα ποιῆσαι ὡς δέκα ἔτη ὑπομένοντα τὸ πάθος [16] καὶ μὴ [17] λέγειν ὅτι · Κεχρόνικα [18]. » Ταῦτα οὖν [19] ἀκούσας ὁ Θεόδωρος μᾶλλον [20] ἐνισχύθη [21].

Φ 91. **141.** Ἔπεμπε δὲ αὐτὸν [1] πολλάκις διέρχεσθαι [2] τὰς μονὰς ἐπισκεπτόμενον [3]. Καὶ διελάλησεν [4] ἐν μέσῳ τῶν ἀδελφῶν [5] λέγων [6] ὅτι · « Ἐγὼ καὶ [7] Θεόδωρος τὴν αὐτὴν δουλείαν τῷ Θεῷ [8] λειτουργοῦμεν [9] · καὶ ἔχει τὴν ἐξουσίαν καὶ αὐτὸς διατάξασθαι ὡς πατήρ. Ὑπακούετε οὖν αὐτῷ [10] ἐν φόβῳ Θεοῦ. » Διερχομένου δὲ [11] αὐτοῦ εἰς [12] τὰς μονάς, οἱ ἀδελφοὶ ὁρῶντες αὐτὸν ἠγαλλιῶντο τῷ πνεύματι. Εἶχε γὰρ παρὰ Κυρίου [13] χάριν [14] πολλήν, ὡς προείπαμεν [15]. Ὁ δὲ πατὴρ ἡμῶν Παχώμιος τέλειος κατὰ πάντα ἦν [16], ἀλλὰ [17] φοβερὸς [18] καὶ πενθήρης [19], ἀεὶ μνημονεύων τῶν ἐν βασάνοις ψυχῶν, ὡς περὶ τοῦ πλουσίου ἠκούσαμεν. Luc.16,23.

Φ 92. **142.** Ποτὲ [1] δὲ τοῦ Θεοδώρου εἰς [2] τὴν μονὴν ὄντος [3], ἤνεγκαν [4] αὐτῷ ἀδελφόν [5], διαβάλλοντες αὐτὸν [6] ὡς κλέπτην, ὡς ἵνα βάλῃ αὐτὸν ἔξω [7]. Οὐκ ἦν δὲ αὐτὸς ποιήσας τὸ κλέμμα [8], ἀλλ' ἕτερος ἀνύποπτος καὶ παρὰ ἀνθρώποις πιστὸς [9] λογιζόμενος. Θεωρή-

καὶ δουλαγωγῇ κατὰ τὸν ἀπόστολον · ἀκουσίως δὲ ὅταν τὰ ἐπιόντα δεινὰ φέρῃ γενναίως · ἀλλὰ γὰρ δυνατόν ἐστι τὸν πάσχοντα ἀκουσίως καὶ κατακείμενον καὶ ἀσθενοῦντα τῇ εὐχαριστίᾳ καὶ τῇ ὑπομονῇ τῶν ὀδυνῶν καὶ καρτερίᾳ λογισθῆναι αὐτῷ τὴν κάκωσιν ταύτην εἰς ἑκούσιον ἀγῶνα καὶ κατόρθωμα καὶ διπλοῦν ἀναδήσασθαι τὸν στέφανον · ὀφείλει γὰρ ὁ ἀγωνιστὴς κἂν πολλὰ ἔτη πάσχῃ ὑπό τινος παθήματος καὶ νοσήματος μηδόλως ἐνδιδόναι D. — [17] (*καὶ μὴ*) *μηδὲ* D. — [18] *ἐν τῷ δεινῷ add.* D. — [19] *om.* D. — [20] *οὐ μικρῶς* D. — [21] *ἐνίσχυεν* N, *παρεκλήθη καὶ ἐνεδυναμώθη* D.

141. — [1] *τοῦτον τὸν θεόδωρον ἔπεμπεν ὁ πατὴρ* D. — [2] *περιέρχεσθαι* D. — [3] *καὶ ἐπισκέπτεσθαι* D ; *τοὺς ἀδελφούς add.* ND. — [4] *ποτε* D. — [5] (*τῶν ἀδ.*) *αὐτῶν* N ; *συνεστήσατο τοῦτον αὐτοῖς add.* D. — [6] *εἰπὼν* D. — [7] *ὁ add.* N. — [8] *τοῦ θεοῦ* N. — [9] *τὴν αὐτὴν τῷ θεῷ λειτουργείαν λειτουργοῦμεν* D. — [10] *διὸ καὶ ἐξουσίαν ἔχει ὡς πατὴρ διατάσσεσθαι καὶ αὐτός · ὀφείλετε τοιγαροῦν ὑπακούειν αὐτοῦ* D. — [11] *οὖν* N. — [12] *om.* D. — [13] *ὡς προείπομεν add.* N. — [14] *χάρ. παρὰ κυρ.* D. — [15] *ὡς προείπ. om.* N, *ὡς φθάσαντες εἴπομεν* D. — [16] *ἦν κατὰ πάντα* D. — [17] *ἀλλὰ καὶ* N, *ποθεινὸς τοῖς κατορθοῦσι* D. — [18] *τοῖς πταίουσι add.* D. — [19] *πένθιμος* N, *συμπαθὴς* D.

142. — [1] *διατρίβοντος* D. — [2] *παρὰ* D. — [3] *ἧς ἐτάχθη ἐπιστατεῖν* D. — [4] *προσήνεγκαν* D. — [5] *τινα add.* D. — [6] *ἐξ ὑπονοίας add.* D. — [7] (*ὡς - ἔξω*) *ὅπως ἐξελάσῃ αὐτὸν τοῦ μοναστηρίου* D. — [8] *ὁ ποιήσας τὴν κλοπήν* N, *ὁ τὴν κλοπὴν ἐργασάμενος* D. — [9] *εὐλαβὴς* D.

σας [10] δὲ ὁ κλέφας [11] ὅτι οὐ μόνον ἐποίησε τὸ πρῶτον ἁμάρτημα [12], ἀλλὰ καὶ ἄλλου δι' αὐτὸν κινδυνεύοντος ἐπ' αὐτὸν φθάνει [13] ἡ ἁμαρτία [14], παραλαβὼν [15] Θεόδωρον κατ' ἰδίαν λέγει αὐτῷ · « Ἐγώ εἰμι ὁ τοῦτο ποιήσας. » Ἀπεκρίθη αὐτῷ [16] Θεόδωρος λέγων · « Ἐποίησας μὲν τὸ [17] ἓν πλημμέλημα. Ἐπεὶ δὲ ὡμολόγησας [18] εἰς τὸ ἀθρῶσαι τὸν ἀναίτιον, λέλυταί σου [19] ἡ ἁμαρτία. » Καὶ λοιπὸν [20] καλεῖ τὸν ἄλλον [21] καὶ λέγει αὐτῷ · « Ἔγνων [22] ὅτι σὺ [23] οὐκ [24] ἐποίησας τοῦτο [25]. Ὅμως κἂν ἔθλιψάν σε οἱ ἀδελφοὶ μὴ ὄντα ὑπεύθυνον [26], χρεωστεῖς τῷ Κυρίῳ ἐν ἑτέροις σου πταίσμασι [27]. Διὸ εὐχαρίστει αὐτῷ φοβούμενος αὐτόν. » Εἶτα [28] λέγει τοῖς ἀδελφοῖς · « Οὐκ ἠνέγκατέ μοι [29] τὸ κρίμα τοῦτο [30] ; Κἀγὼ [31] ἔγνων ὅτι θέλημα Κυρίου ἐστὶ συγχωρῆσαι [32] αὐτῷ καὶ μηκέτι μνημονεύειν [33]. Πάντες γὰρ ἐλέους χρείαν ἔχομεν [34] ὡς ὄντες ἐν ἁμαρτίαις. »

Cf. Is. 40, 2.

Cf. Rom. 3,23.

Φ 93.

143. Ποτὲ δὲ ἀκούσας ὁ Θεόδωρος μέλος τερπνὸν ὡς ψαλλόντων λίαν ἡδὺ καὶ αἰσθητόν, ἐξετάζει [1] περὶ τούτου τὸν ἅγιον [2] Παχώμιον [3] · « Ἀκούεις, ἀββᾶ ; » Λέγει αὐτῷ [4] · « Ναί [5]. » — « Τί ἐστι ; » φησὶν ὁ Θεόδωρος [6]. Καὶ ὁ πατήρ [7] · « Συνέβη τινὰ ψυχὴν [8] καλὴν [9] αἱρομένην εἰς τὸν οὐρανὸν παρελθεῖν ἡμᾶς ἐπάνωθεν [10]

[10] ἰδὼν D. — [11] κλέπτης ND. — [12] (τὸ πρ. ἁμ.) τὴν κλοπὴν D. — [13] ἔσται καὶ αὕτη N. — [14] ἀλλὰ καὶ ἄλλον δι' αὐτοῦ κινδυνεύοντα κἀντεῦθεν διττὸν αὐτῷ γινόμενον τὸ ἁμάρτημα, κατενύγη καὶ D. — [15] τὸν add. D. — [16] ὁ add. ND. — [17] μὲν τὸ om. D. — [18] τοῦτο add. D. — [19] ἤδη add. D. — [20] (καὶ λοιπὸν) εἶτα D. — [21] συκοφαντηθέντα D. — [22] ἔγνωκα N. — [23] om. N. — [24] (σὺ οὐκ) οὐ σὺ D. — [25] συ add. N. — [26] ἀλλ' οὐ add. N, ἀλλ' οὖν add. D. — [27] (χρεωστ. - πταίσ.) δι' ἕτερά σου πταίσματα ὤφελες δοῦναι δίκην τῷ θεῷ καὶ ἤδη δέδωκας D. — [28] μετὰ δὲ ταῦτα D. — [29] om. D. — [30] τὴν κρίσιν ταύτην ἐπ' ἐμοί D. — [31] ἐγὼ δὲ ἀνακρίνας D. — [32] συγχωρεῖν N. — [33] μνησικακεῖν D. — [34] (χρείαν ἔχ.) χρήζομεν N.

143. — [1] Ἀκούσας ποτὲ ὁ θεόδ. ψαλλόντων τινῶν μέλος τερπνὸν καὶ ἡδὺ λίαν ἠρώτησε D. — [2] θεῖον D. — [3] λέγων add. N, σὺν αὐτῷ ὄντα λέγων add. D. — [4] ἐκεῖνος add. N ; (λέγ. αὐ.) ὁ δέ φησι D. — [5] ἀκούω add. D. — [6] (τί ἐστι φησὶν ὁ θ.) καὶ ὁ θεόδωρος αὖθις · καὶ τί ἐστι τοῦτο D. — [7] (καὶ ὁ πατήρ) ὁ πατὴρ ἔφη D. — [8] ψυχήν τινα συνέβη D. — [9] καλῶς πολιτευσαμένην T ; *hinc usque ad pag. 351, lin. 2 (cap. 146, annot. 16), cum unius folii (174v-175) codicis* D *imago photographica mihi praesto non esset, codicis* T (*Athonensis monasterii Hiberorum 678*), *qui cum eodem* D *vix non ubique congruit, lectiones enotavi.* — [10] (ἡμᾶς ἐπάνωθεν) ἐπάνω ἡμῶν N ; (αἱρομένην - ἐπάνωθεν) ἀπαίρειν τῶν ἐντεῦθεν πρὸς τὰ ἐπουράνια καὶ παρερχομένην αὐτὴν ἄνωθεν ἡμῶν T.

καὶ [11] χαρισθῆναι ἡμῖν τέως τὸ [12] ἀκοῦσαι τῶν [13] ψαλλόντων καὶ αἰνούντων τὸν Θεὸν ἔμπροσθεν [14]. »

144. Ἐν [1] ἄλλοτε δὲ ἀμφοτέρων [2] καθημένων [3] περὶ ἀδελφὸν [4] ὀχλούμενον [5] ἤδη ἀποθανεῖν [6], ὤφθη αὐτοῖς παρὰ Κυρίου ὁ τρόπος τῆς ἐξόδου τῆς ψυχῆς [7] ἀπὸ τοῦ σώματος. Καὶ οὐκ εἰρήκασι ταῦτά [8] τινι, μυστήρια τυγχάνοντα [9]. Οἱ συνόντες [10] οὖν μεγάλοι ἀδελφοὶ ἠσθάνθησαν [16] αὐτοὺς ὡς ἀτενίζοντας πῶς μετὰ θαύματος ἡσύχως ἁγίους ἐθεώρουν παρόντας τινὰς [11] τῇ ὥρᾳ [12] ἐν ᾗ ἀπέδωκε τὴν ψυχὴν ὁ ἀνακείμενος. Ὅταν [13] δὲ ἠναγκάζοντο οἱ τοιοῦτοι παρά τινων [14] ἀδελφῶν, ἐνίοτε [15] μέρος τι ὧν ἔβλεπον κατὰ τὸ θέλημα τοῦ Κυρίου ἐξηγοῦντο προβλέποντες τὴν μέλλουσαν ὠφέλειαν [16]. Πολλάκις δὲ ὁ ἅγιος Παχώμιος ἐρωτώμενος [17] λέγειν αὐτοῖς τὰ δεικνύμενα αὐτῷ [18], ἐδίδασκεν αὐτοὺς [19] μὴ [20] ἀνέχεσθαι [21] ὅλως [22] τοιούτου λογισμοῦ, ὥστε θέλειν τι [23] τῶν ἀοράτων [24] βλέπειν [25] · καὶ γὰρ τὰ ἀόρατα φόβου καὶ θαύματος πλήρη [26] τῷ ἐρευνῶντι ταῦτα [27].

145. Ἀκούσας δὲ ἄλλος τις [1] ὀνόματι Θεόδωρος [2], τῆς Ἀλεξανδρέων ἐκκλησίας ἀναγνώστης [3] καὶ ἀσκητής [4], περὶ [5] τοῦ

Φ 94.

[11] om. T. — [12] om. T. — [13] θείων ἀγγέλων add. T. — [14] αὐτῆς add. T ; (τὸν θ. ἔμπρ.) ἔμπρ. αὐτῆς τὸν θεόν N.

144. — [1] om. NT. — [2] πάλιν τῶν ὁσίων τούτων παχωμίου τέ φημι καὶ θεοδώρου T. — [3] παρακαθημ. T. — [4] (περὶ ἀδ.) παρὰ ἀδελφῷ N, ἀδελφῷ T. — [5] om. N. — [6] μέλλοντι ἀποθνήσκειν N ; (ὀχλ. ἤδη ἀπ.) ψυχορραγοῦντι καὶ ἤδη ἐκλείποντι T. — [7] αὐτοῦ add. N. — [8] τοῦτο T. — [9] μυστήριον τυγχάνον T. — [10] συμπαρόντες T. — [11] om. N. — [12] τὴν ὥραν N. — [13] ὁπόταν N. — [14] τινος ante corr. P. — [15] λέγειν αὐτοῖς N. — [16] (ἠσθάνθησαν - ὠφέλειαν) ἡνίκα ἀπεδίδου τὴν ψυχὴν ὁ κατακείμενος ἤσθοντο τούτους ἀπό τε τῆς ὄψεως καὶ τοῦ ἀτενῶς ὁρᾶν μετὰ θαύματος ὡσανεί τινας ἁγίους θεωρεῖν παραγενομένους · οὐ πάντα τοίνυν τὰ ἀποκαλυπτόμενα τοῖς ὁσίοις τούτοις ἐξήγγελλον τοῖς ἀδελφοῖς ἀλλ' ὅταν παρά τινων ἀδελφῶν ἠξιοῦντο καὶ πρὸς ὠφέλειαν ἔσεσθαι τὰ λεχθησόμενα αὐτοῖς ὑπελάμβανον, τηνικαῦτα μέρος τι ἐνίοτε παρ' ὧν ἐθεώρουν διηγοῦντο αὐτοῖς κατὰ τὸ θέλημα κυρίου T. — [17] ὑπό τινων καὶ παρακαλούμενος add. T. — [18] παρὰ κυρίου add. T. — [19] αὐτοῖς N. — [20] μηδόλως T. — [21] αὐτοὺς add. N. — [22] τοῦ T. — [23] om. T. — [24] τὰ ἀόρατα T. — [25] καὶ τὰ κεκρυμμένα μανθάνειν add. T. — [26] πληροῖ P ; *correxi ex* F. — [27] καὶ γὰρ τὰ ἀόρατα εἰς φόβον καὶ ἔκπληξιν ἄγει τοὺς ἐρευνῶντας ταῦτα N, φόβον γὰρ καὶ ἀγωνίαν καὶ ἔκπληξιν τῷ ἐρευν. ταῦτα ἐμβάλλει πρὸς τῷ μὴ συμφέρειν T.

145. — [1] Ἄλλος δέ τις T. — [2] (ὀν. θ.) θ. ὀνόματι καὶ αὐτὸς N, θεόδ. καὶ οὗτος καλούμενος T. — [3] ἀναγν. ὢν τῆς ἁλ. ἐκκλ. T. — [4] ἀρετὴν ἀσκούμενος T. — [5] ἀκούσας περὶ τῆς πολιτείας T.

ἀββᾶ [6] Παχωμίου καὶ τῶν [7] ἀδελφῶν, ἐπεθύμησεν αὐτοὺς ἰδεῖν · καὶ ἐμβὰς εἰς πλοῖον ἦλθεν εἰς [8] Θηβαΐδα. Καὶ οὕτως [9] ἀποδεξάμενος [10] αὐτὸν ὁ ἀββᾶς [11] ἐποίησε [12] μεῖναι [13] ἐν οἰκίᾳ [14] παρά τινι ἀρχαίῳ ἀδελφῷ εἰδότι τὴν ἑλληνικὴν γλῶσσαν [15], εἰς παραμυθίαν [16], ἕως ἂν [17] μάθῃ καὶ [18] τὴν θηβαϊκήν · ᾔρησατο [19] γὰρ διὰ παντὸς συνεῖναι αὐτοῖς. Ἦν γὰρ [20] εὐλαβὴς καὶ ὑπήκοος ὡς εἷς [21] τῶν προβάτων τοῦ [22] Κυρίου [23] καὶ ὑπὲρ δύναμιν προκόπτων [24] ἐν ἀσκήσει [25]. Περὶ γὰρ ὀρθοδοξίας [30] ἱκανὸς ἦν καὶ περιβόητος, καθότι
Ioh. 4, 14. ἐγγὺς γέγονε τῆς ἁλλομένης [26] πηγῆς εἰς ζωὴν αἰώνιον [27], δηλαδὴ τοῦ ἀρχιεπισκόπου Ἀθανασίου, ἀφ' οὗ ποτιζόμενος ἔφθασεν εἰς καρποφορίαν τῶν μεγίστων ἀρετῶν. Ἐπὶ γὰρ τοῦ ἀρχιερατικοῦ
Matth.18,20 ; θρόνου οὐκ αὐτὸς ἐκάθητο ὁ ἄνθρωπος, ἀλλ' ὁ λέγων · « Ὅπου εἰσὶ δύο ἢ τρεῖς [28] εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν », ὁ
16, 16. Χριστὸς [29] ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τῆς ἐκκλησίας θεμέλιος, ὁ καὶ θεμελιώσας αὐτὴν ἐπὶ τὴν πέτραν τῆς πίστεως, Θεὸς καὶ ἄνθρωπος [30].

Φ 95. **146.** Οὕτως οὖν τὸν εἰρημένον Θεόδωρον ἰδὼν ὁ ἀββᾶς Παχώμιος [1] καλῶς ἀγωνιζόμενον καὶ ὑπομένοντα [2], ἠγάπησε [3] πολλά [4]. Καὶ ἐσπούδασε [5] θηβαϊστὶ [6] μαθεῖν αὐτὸν [7] τῇ χάριτι τοῦ Χριστοῦ [8]. Καὶ λοιπὸν [9] ἔταξεν αὐτὸν [10] οἰκιακόν · καὶ ἦν ἡ τάξις [11] αὐτοῦ [12]

[6] πατρὸς ἡμῶν T. — [7] λοιπῶν add. NT. — [8] τὴν add. N. — [9] om. T. — [10] ὑποδεξάμενος T. — [11] πατὴρ T. — [12] ἔταξε T. — [13] μένειν αὐτὸν T. — [14] ἐν οἰ. om. T. — [15] γλῶτταν N, διάλεκτον T. — [16] ἑαυτοῦ add. T. — [17] οὗ N. — [18] om. T. — [19] ἠρετίσατο NT. — [20] καὶ γὰρ ἦν N, ἦν μέντοι T. — [21] ἓν N. — [22] om. N. — [23] (ὡς εἷς - κυρ.) καὶ γνήσιος μαθητὴς καὶ μιμητὴς τοῦ σωτῆρος χριστοῦ T. — [24] (καὶ ὑπὲρ δύν. προκ.) ὁσημέραι προκ. καθόσον ἐφικτὸν ἀνθρώπῳ T. — [25] καὶ τοῖς λοιποῖς ἀγαθοῖς add. T. — [26] ἀειρρύτου καὶ ζωηρᾶς N. — [27] εἰς ζ. αἰών. om. N. — [28] συνηγμένοι add. N. — [29] δηλαδὴ add. N. — [30] (περὶ γὰρ ὀρθοδ. - ἄνθρ.) πρὸς δὲ καὶ διαβόητος ἐτύγχανεν ἐπὶ ὀρθοδοξίᾳ ὡς ἐξ ἀεννάου καὶ θείας πηγῆς ἀπαρυσάμενος τὰ σωτήρια δόγματα, ἀθανασίου φημὶ τοῦ πάνυ τοῦ μέγα καὶ λαμπρὸν ἐν πατριάρχαις λάμψαντος κατὰ ἀλεξάνδρειαν, τοῦ τὸν χριστὸν ἔχοντος ἐν ἑαυτῷ λαλοῦντα κατὰ τὸν θεῖον ἀπόστολον, τοῦ στύλου τῆς ἐκκλησίας, τοῦ πύργου τῆς εὐσεβείας, τοῦ ἐπιγείου ἀγγέλου καὶ οὐρανίου ἀνθρώπου · ὑφ' οὗ ποτισθεὶς οὗτος ὁ θεόδωρος εἰς τηλικαύτην ἀρετῶν καρποφορίαν ἔφθασεν T.

146. — [1] (τὸν εἰρημ. - παχ.) om. T. — [2] προκόπτοντα βλέπων ὁ θεῖος παχ. τουτονὶ τὸν θεόδωρον T. — [3] ἠγάπα T. — [4] αὐτὸν σφόδρα N, λίαν T. — [5] ἐσπούδαζε T. — [6] ἑλληνιστὶ N, τὴν ἑλλάδα γλῶτταν T. — [7] om. P ; ὁμιλεῖν ὃ δὴ καὶ ἐγένετο add. N. — [8] τῇ χ. τοῦ χρ. om. T. — [9] (κ. λ.) μετὰ δὲ ταῦτα T. — [10] εἶναι add. T. — [11] διαγωγὴ T. — [12] καὶ οἰκονομία add. T.

εὐλαβείας πλήρης [13]. Πολλὰ οὖν παρεκάλει αὐτὸν ὁ ὅσιος [14] πατὴρ συμβιβάζων καὶ διδάσκων τὸ πῶς ὀφείλει [15] κυβερνᾶν [16] ἀνθρώπους [17] · « Μέγα γάρ ἐστι τὸ κατόρθωμα τοῦτο [18], ἵνα [19], ἐπὰν ἴδῃς [20] τινὰ ἀμελοῦντα τῆς ἰδίας σωτηρίας, νουθετεῖς [21] αὐτὸν κατ' ἰδίαν καὶ διορθοῦσαι [22]. Ἐὰν δὲ ἅπαξ [23] ἀγανακτήσῃ, ἄφες [24] ἕως [25] ὁ Θεὸς κατανύξῃ αὐτόν. Ὥσπερ γὰρ ἐάν τις θέλῃ σκόλοπα ἐξενεγκεῖν ἀπὸ ποδός τινος, περιορύσσοντος [26] αὐτοῦ [27] ἐὰν αἱμορροήσῃ καὶ ὀδυνηθῇ [28], ἀφίεται [29], καὶ [30] ἐμπλάστρου μᾶλλον ἀπαλλακτικοῦ [31] ἐπιθέντος ἢ ἑτέρου τινὸς ὁμοίου [32], μεθ' ἡμέρας [33] αὐτομάτως ὁ σκόλοψ ἐξέρχεται · οὕτως δεῖ καὶ ἐπὶ τῶν [34] παθῶν ποιεῖν. Καὶ [35] γὰρ [36] μὴ ὀργιζόμενός τις [37] κερδαίνει ψυχήν · μὴ [38] ἀντιλεγόμενος πάλιν [39] τῇ μακροθυμίᾳ πλέον [40] αἰδεσιμώτερος οὖν [41] καὶ ὠφελιμώτερος ἔσται [42] ὁ [43] διδάσκων [44] οὕτως [45] τὸν θεῖον νόμον τῷ ὑπηκόῳ [46]. Ἐὰν δὲ σφάλμα μέγα ἐστί [47], δήλωσον ἡμῖν [48], καὶ ὡς θέλει ὁ ἐλεήμων Θεός, ποιοῦμεν [49]. Ὁμοίως δὲ φρόντιζε τῶν ἀσθενῶν ὡς ἑαυτοῦ [50], καὶ γίνου [51] ἐγκρατευόμενος καὶ τὸν σταυρὸν φέρων πλεῖον αὐτῶν [52], ὡς τάξιν ἔχων [53] πατρός. Τοὺς δὲ κανόνας τῶν ἀδελφῶν τήρησον σὺ πρῶτος [54], ἵνα καὶ αὐτοὶ [55] τηρήσωσι. Καὶ εἴ τι ἕτερον διακρῖναι θέλων [56] μὴ δυνηθῇς, δήλωσον ἡμῖν [57], καὶ ἑκάστου τῶν ζητουμένων εὑρήσομεν [58] τὴν ἀκρί-

[13] πλήρ. εὐλ. T. — [14] om. T. — [15] (συμβιβάζων - ὀφείλει) ἅμα δὲ καὶ ἐδίδασκε περὶ τοῦ πῶς δεῖ T. — [16] hinc rursus D ; καὶ ὁδηγεῖν add D. — [17] πρὸς τὰ κρείττονα καὶ σωτηρίας ἐχόμενα add. D. — [18] λέγω δὴ τὸ μὴ μόνον ἑαυτὸν ὠφελεῖν ἀλλὰ καὶ ἑτέρους add. D. — [19] om. D. — [20] λέγων add. D. — [21] νουθέτει D. — [22] (i. e. διορθοῖ) ita PN ; διορθοῦται D. — [23] ποτε D. — [24] ἔασον D. — [25] οὗ add. D. — [26] περιορύσσων N, καὶ περιορύσσων D. — [27] τὸν πόδα N, αὐτὸν κύκλῳ D. — [28] ὁ ποὺς add. D. — [29] ἀφίησι N, ἀφίησιν αὐτόν D. — [30] om. D ; λοιπὸν add. N. — [31] μαλακτικοῦ N. — [32] ἔμπλαστρον δὲ μαλακτικὸν ἐπιθεὶς ἢ ἕτερόν τι τοιοῦτον μᾶλλον ὠφέλησε τὸν πάσχοντα D. — [33] γὰρ add. D. — [34] λοιπῶν ἀνθρωπίνων add. D. — [35] μᾶλλον D. — [36] τις add. D. — [37] μηδὲ ἐπιτιμῶν ἀλλὰ μακροθυμῶν D. — [38] om. N. — [39] δὲ καὶ φέρων N. — [40] om. N ; (μὴ ἀντιλ. - πλ.) καὶ D. — [41] om. ND. — [42] τῷ ὑπηκόῳ add. D. — [43] om. N. — [44] αὐτὸν add. D. — [45] μετὰ πραότητος add. D. — [46] (τῷ ὑπ.) τοῦ μὴ οὕτω ποιοῦντος D. — [47] (μέγα ἐ.) ἢ N, ἢ φησὶ D. — [48] τοῦτο add. D. — [49] ποιῶμεν N ; ἡμεῖς ἐπ' αὐτό add. D. — [50] σεαυτοῦ D. — [51] ἔσο πλέον αὐτῶν D. — [52] (πλ. αὐ.) τὰς θλίψεις δηλαδὴ καὶ τὴν ἑκούσιον νέκρωσιν D. — [53] ἐπέχων D. — [54] πρῶτον N ; (τοὺς δὲ - πρῶτ.) πρῶτος αὐτὸς ἴσθι τοὺς κειμένους νόμους τηρῶν καὶ φυλάττων D. — [55] οἱ ἀδελφοὶ πρὸς σὲ ὁρῶντες ὡς εἰς παράδειγμα D. — [56] θέλ. διακρ. D. — [57] περὶ τούτου add. D. — [58] καὶ εὑρήσ. ἑκάστου τῶν ζητ. N.

βειαν [59]. » — Καὶ οὕτως ἦν ἑρμηνεύων ὁ Θεόδωρος [60], ὅτε ἐξηγεῖτο τοῖς ἀδελφοῖς, διὰ τοὺς μὴ ἀκούοντας αἰγυπτιστί [63]. Ἐποίησε δὲ [64] οἰκιακὸς [65] πρὸ τοῦ τελευτῆσαι τὸν ἀββᾶν [66] Παχώμιον ἔτη [67] δεκατρία [68]. Τῆς μὲν οὖν οἰκίας πρωτότοκος μὲν τῶν ἀπὸ [69] Ἀλεξανδρέων οὗτος [70] · καρποφορία [71] δὲ Ἀὐξώνιος [72] ὁ μέγας καὶ ἕτερος Ἀὐξώνιος [73] παιδίον καὶ [74] Νέων ὀνόματι [75] · καὶ Ῥωμαίων [76] θεοφόροι Φύρμος καὶ Ῥώμυλος [77], καὶ Δόμνος [78] Ἀρμένιος, καὶ οἱ [79] λοιποὶ [80] ἅγιοι. Καὶ [81] οἱ μὲν κατέλαβον τὸν ἅγιον ἐν σώματι, ἄλλοι δὲ οὐ κατέλαβον [82].

Φ 96. **147.** Ποτὲ δὲ ἀπῆλθεν [1] ὁ πατὴρ ἐν Ταβεννήσει [2] ἕνεκεν ἀναγκαίου πράγματος ψυχῆς [3]. Καὶ ἀσπασάμενος αὐτοὺς [4] ἐκαθέσθη, ὡς ἔθος ἦν αὐτῷ [5], ἐξηγήσασθαι πᾶσαν τὴν ἀσφάλειαν τῆς σωτηρίας [6] τῶν ψυχῶν καὶ τὴν τῶν ἀντικειμένων πανουργίαν [7]. Ἔλεγε δὲ [8] ὅτι · « Δεῖ, φησί [9], τὸν μοναχὸν μὴ τῇ φαινομένῃ μόνον τοῦ σώματος ἀσκήσει ἀρκεῖσθαι [10], νηστείᾳ τυχὸν [11] ἢ [12] ἀγρυπνίᾳ ἢ τινι τοιούτῳ [13], ἀλλ' ὀφείλει ἀγωνίζεσθαι καὶ περὶ λογισμῶν διαφόρων · φιλαρχίας, μίσους τε καὶ καταλαλιᾶς [14], τύφου καὶ τῶν τοιούτων [15]. Ἐξαιρέτως δὲ σπουδάζειν ὀφείλει [16] τὸν φόβον

[59] (ἑκάστου - ἀκρίβ.) ἀκριβῶς ἑρευνήσαντες εὑρήσομεν τὸ ζητούμενον · ταῦτα τοῦ πατρὸς πρὸς τὸν θεόδωρον D. — [60] καὶ οὗτος ἦν ὁ ἑρμ. θεόδ. N. — [63] (καὶ οὕτως - αἰγυπτιστί) ὅτε γοῦν θεόδωρος οὗτος διελέγετο τοῖς ἀδ. τοῖς τὴν ἑλλάδα γλῶτταν ἐπισταμένοις, δι' ἑρμηνέως αὐτοῖς διελέγετο αἰγυπτιστί D. — [64] καὶ ἑτέρους τρισκαίδεκα add. D. — [65] οἰκειακοὺς ND ; ὁ ἀββᾶς παχώμιος ἔτι ζῶν δεκατρεῖς add. dein del. man. post. N ; οὗτος add. D. — [66] ἱερὸν D. — [67] ἔτι N, om. D. — [68] ιγ' N, om. D. — [69] om. N. — [70] (τῆς μὲν - οὗτος) πρώτη μὲν οὖν καρποφορία θεῶ τῆς ἁλεξ. πόλεως ὁ ῥηθεὶς οὗτος θεόδωρος ἐχρημάτισεν ἐν ταβεννήσει δηλαδὴ τὸ πρῶτος παραγεγονέναι ἐν αὐτῇ D. — [71] δευτέρα D. — [72] αὐξόνιος ND. — [73] (ὁ μέγας - αὐξώνιος) om. N. — [74] ἄλλος add. D. — [75] καλούμενος D. — [76] (καὶ ῥωμ.) ἐκ δὲ τῆς μεγαλοπόλεως ῥώμης οἵδε οἱ D. — [77] ῥωμύλος N. — [78] καὶ add. D. — [79] om. ND. — [80] ἕτεροι D. — [81] om. D. — [82] οἱ μὲν καταλαβόντες ἐν σώμ. τὸν θεῖον παχώμιον οἱ δὲ οὐ καταλαβόντες D.

147. — [1] (ποτὲ δὲ ἀπ.) ἀπ. ποτε D. — [2] ταβέννη N. — [3] om. D. — [4] τοὺς ἀδελφοὺς D. — [5] ὡς εἶχεν ἔθος N. — [6] τῆς σωτ. om. N. — [7] ἐκαθέσθη κατὰ τὸ ἔθος τοῦ διδάξαι αὐτοὺς καὶ ἀσφαλίσασθαι πρὸς τὰς πανουργίας τοῦ ἀντικειμένου D. — [8] οὖν αὐτοῖς ἐν διδαχῇ D. — [9] om. ND. — [10] κεχρῆσθαι N. — [11] λέγω D. — [12] καὶ D. — [13] (ἢ τ. τοι.) καὶ ἑτέρω τοι. τινί D. — [14] καὶ add. N. — [15] (περὶ λογ. - τοιούτων) πρὸς τοὺς ποικίλους πονηροὺς λογισμοὺς τοὺς εἰς φιλαρχίαν καὶ τύφον καὶ κενοδοξίαν καὶ μῖσος καὶ καταλαλιὰν καὶ εἰς ἕτερα τοιαῦτα ἡμᾶς ἐμβάλλοντας · καὶ καθαιρεῖν αὐτοὺς καὶ ἀφανίζειν ὅση δύναμις διὰ ταπεινοφροσύνης καὶ τῆς πρὸς θεὸν ἐντεύξεως D. — [16] ὁ μοναχὸς add. D.

τοῦ Θεοῦ [17] ἔνοικον ἔχειν [18]. Ὥσπερ γὰρ τὸ πῦρ καθαρίζει πάντα ἰὸν [19] τοῦ σιδήρου [20] καὶ κατασκευάζει [21] τὰ εἴδη λαμπρά [22], οὕτως [23] ὁ φόβος τοῦ Θεοῦ ἀναλίσκει [24] πᾶσαν κακίαν [25] ἀπὸ τοῦ ἀνθρώπου καὶ κατασκευάζει αὐτὸν σκεῦος εἰς τιμὴν [26] εὔχρηστον τῷ Θεῷ [27] II Tim. 2,2. καὶ ἔντιμον [28] εἰς πᾶν ἔργον ἀγαθόν [29]. Ἡ δὲ τῆς βλασφημίας ὑποβολὴ τοῦ ἐχθροῦ, ἐὰν εὕρῃ τινὰ μὴ [30] νηφάλεον [31], κἂν ᾖ ἀγαπῶν τὸν Θεόν [32], ἐὰν μὴ [33] νήψῃ τελείως [34] ἢ ἐξετάσῃ [35] τινὰ ἐπιστήμονα καὶ [36] μάθῃ [37] τὸ [38] πῶς ὀφείλει νικῆσαι αὐτόν [39], ἀλλὰ παραδέξηται [40] καὶ συμπεισθῇ τῇ καρδίᾳ [41], δολία οὖσα [42] τοῦτον ἀπολέσει [43]. Πολλοὶ γὰρ οὕτως [44] ἐθανάτωσαν ἑαυτούς [45], ὁ μὲν ἀπάνωθεν [46] ὕψους ἑαυτὸν [47] ῥίψας [48] ὡς ἐκστατικός, ὁ δὲ μαχαίρᾳ ἑαυτὸν ἀναρρήξας ἀνέπτυξε τὴν κοιλίαν αὐτοῦ [49] καὶ ἀπέθανεν [50], ἄλλος εἰς πῦρ ἔρριψεν ἑαυτὸν καὶ ὁλόκαυστος γέγονε [51], καὶ ἄλλοι ἄλλως [52]. Μέγα γὰρ κακὸν [53] τὸ μὴ ἀναγγεῖλαι τοῦτο [54] ταχέως τῷ ἔχοντι γνῶσιν [55] πρὸ τοῦ χρονίσαι τὸ πάθος [56]. Αὕτη δὲ [57] ἡ θεραπεία, ἣν ἐδίδαξεν ἡμᾶς ὁ Κύριος διακρίσει πνεύματος · λέγειν ὀφεί-

[17] τὸν τοῦ θεοῦ φόβον D. — [18] ἀεὶ add. D. — [19] πάντα ἰὸν om. D. — [20] τὸν σίδηρον D. — [21] τῶν σκευῶν add. N. — [22] om. N ; (τὰ εἴδη λαμπρά) τοῦτον σκεῦος εὔχρηστον ἀφανίζον πάντα ἰὸν αὐτοῦ καὶ καταναλίσκον D. — [23] καὶ add. D. — [24] om. D. — [25] ἀφανίζει καὶ καταναλίσκει add. D. — [26] εἰς τιμὴν om. ND. — [27] κυρίω D. — [28] ἕτοιμον N ; καὶ ἔντιμον om. D. — [29] ἐπιτήδειον add. D. — [30] om. N. — [31] (ἡ δὲ - νηφάλεον) περὶ δὲ τοῦ τῆς βλασφημίας λογισμοῦ τοῦτο ἐστὲ γινώσκοντες ὅτι ἐὰν ὑποβάλῃ ὁ πονηρὸς τινὶ τοιοῦτον λογισμὸν D. — [32] οὗτος καὶ ἀρετὴν μετερχόμενος add. D. — [33] συνιεὶς add. D. — [34] καὶ καταφύγῃ πρὸς θεὸν ἐν ταπεινώσει καρδίας καὶ ἐξομολογήσει add. D. — [35] ζητήσῃ D. — [36] ὥστε D. — [37] μαθεῖν παρ' αὐτοῦ D. — [38] om. D. — [39] πῶς αὐτὸν ὀφείλει νικῆσαι N, πῶς ὀφ. τοῦτον νικῆσαι καὶ ἀπελάσαι ἢ συγγράμματι τινὸς ἐντυχεῖν περὶ τοῦ λογισμοῦ τούτου διαγορεύοντι D. — [40] παραδέξεται P. — [41] (ἀλλὰ παραδέξηται - καρδίᾳ) ἀλλ' ἁπλῶς οὕτω καὶ ἀφελῶς παραδεξάμενος ἐάσῃ αὐτὸν διαμένοντα καὶ μὴ σπεύσῃ πρὸς ἀπαλλαγὴν τούτου καθ' οὓς ἔφημεν τρόπους D. — [42] οὖσα N ; δολία οὖσα om. D. — [43] (τοῦτον ἀπολέσει) οὐ χρονίσει ὁ τοιοῦτος λογισμὸς ἀφανία παραδοῦναι τὸν ὑποδεξάμενον παντελεῖ D. — [44] (πολλοὶ γὰρ οὕτως) ταύτῃ τοι πολλοὶ D. — [45] ἑαυτοὺς ἔθαν. D. — [46] ἐπάνωθεν N, ἄνωθεν ἐξ D. — [47] κάτω add. D. — [48] ῥίψας ἑαυτὸν κάτωθεν N. — [49] (ἀνέπτυξε τὴν κ. αὐ.) διέρρηξε τὴν ἑαυτοῦ κοιλίαν N. — [50] ὁ δὲ μαχαίρα τὴν κοιλίαν ἑαυτοῦ διαρρήξας ἀπέθανε D. — [51] καὶ ὁλοκαυτώθη D. — [52] ἀπώλοντο add. D. — [53] ἐστι add. D. — [54] τὸ μὴ ἐξαγγεῖλαι τοῦτον D. — [55] καὶ ἐπιστήμην ἐν τοῖς τοιούτοις add. D. — [56] (πρὸ τοῦ χρονίσαι τὸ πάθος) ἀλλὰ καταλεῖψαι αὐτὸν διαμένειν ἐπιπολὺ ἐν ἑαυτῷ D. — [57] ἐστιν add. D.

λομεν [58] ὅτι [59] · « Εἰ, ὅτε τὸν πλησίον λόγῳ ἐλύπουν [60], συνετρίβετό [62] μου ἡ καρδία [63], λόγῳ Θεοῦ [64] ἐλεγχομένου μου, καὶ ἐὰν μὴ ταχέως πείσω [65] αὐτόν [66], οὐκ ἀναπαύομαι · πόσῳ γε μᾶλλον [67], δαίμονες ἀκάθαρτοι, εἰ λογίσομαι [68] σὺν ὑμῖν τοῖς [69] ἀποστάταις [70] βλασφημίαν εἰς [71] τὸν ποιήσαντά με Θεόν ; Ὅμως κἂν ὑποβάλλετέ [72] μοι ταῦτα, οὐχ ἡττῶμαι · οὐ γὰρ ἐμὰ ταῦτά εἰσιν [73], ἀλλ' ὑμῶν τῶν μελλόντων κολασθῆναι [74] αἰωνίῳ πυρὶ εἰς αἰῶνα αἰῶνος [75] · ἐγὼ δὲ οὐ παύομαι εὐλογῶν καὶ ὑμνῶν καὶ εὐχαριστῶν τῷ [76] ποιήσαντί με μὴ ὄντα [77] Κυρίῳ Θεῷ μου [78] καὶ [79] διατηροῦντί με ἀπὸ τῆς ἐπιβουλῆς ὑμῶν [80] · ἀπόστητε [81] ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν [82] · Κύριος γὰρ [83] ἐμοὶ βοηθὸς καὶ οὐ [84] παύσομαι ὑμῶν [85] καταρώμενος [86] · ἐπικατάρατοι γάρ ἐστε ἀπὸ Κυρίου Θεοῦ παντοκράτορος [87]. » Καὶ οὕτως [88] μετὰ πίστεως ἡ-

Cf. Matth. 7, 23.

Ps. 117,7.

Ps. 7, 17.

[58] (ἣν ἐδίδαξεν - ὀφείλ.) ἣν ἐδιδάχθημεν ἐν διακρ. πν. ἁγίου πρὸς τὸν τοιοῦτον λογισμὸν τὸ ἀποστρέφεσθαι αὐτὸν τελείως καὶ μὴ ἡγεῖσθαι αὐτὸν ἴδιον ἡμῶν ἢ οἰκεῖον ἀλλὰ τοῦ πονηροῦ γέννημα καὶ σπέρμα αὐτὸν ὅλον νομίζειν, καὶ τοιαῦτα πρὸς τοὺς ὑποβάλλοντας λέγειν D. — [59] om. D. — [60] εἰ ὅτε συμβαίη λυπῆσαι μὲ τὸν πλ. ἐν οἱωδήποτε πράγματι D. — [62] συντρίβεταί D. — [63] καὶ μεταμέλομαι πῶς τοῦτο πέπραχα add. D. — [64] (λόγω θ.) ὑπὸ τῆς θείας γραφῆς καὶ ὑπὸ τῆς συνειδήσεως D. — [65] πληροφορήσω D. — [66] καὶ καταλλάξω ἐμαυτῷ add. D. — [67] (πόσω γε μ.) πῶς ἂν D. — [68] (εἰ λογ.) αὐθαδῶς οὕτω καὶ θρασέως D. — [69] ἀκαθάρτοις καὶ add. N. — [70] τοιαύτην add. D. — [71] ἐτόλμησα λογίσασθαι ἢ ὅλως ἐννοῆσαι πρὸς D. — [72] ὑποβάλλητε N. — [73] ἐστιν N. — [74] τῶ add. N. — [75] (ὅμως - αἰῶνος) οὐκ ἔστι τοῦτο οὐκ ἔστιν · ἀλλ' ἡ μὲν πρὸς αὐτὸν εὐχαριστία καὶ δέησις, ἐμή · ἡ δὲ βλασφημία αὕτη ὑμῶν τῶν ἐκ τοῦ οὐρανίου χώρου ἀπορριφέντων καὶ μελλόντων πυρὶ ἀσβέστω αἰωνίως κολάζεσθαι · κἂν μυριάκις γὰρ φιλονεικήσητε καὶ ἀναισχυνθήσητε ὑποβάλλοντές μοι τὰ τοιαῦτα, ἀλλ' ἐγὼ τῇ τοῦ χριστοῦ μου χάριτι πεποιθὼς οὐχ ἡττηθήσομαι · ἀλλ' ἐπὶ τὴν κεφαλὴν ὑμῶν ὁ πόνος ὑμῶν ἐπιστρέψει καὶ ἐπὶ τὴν κορυφὴν ὑμῶν ἡ ἀδικία ὑμῶν καταβήσεται καὶ ὑμεῖς ὄψεσθε καὶ κόψεσθε ὑπὲρ ὧν ὡς ἀποστάται κατὰ θεοῦ βλασφημεῖτε D. — [76] ἐκ τοῦ μὴ ὄντος add. N. — [77] corr. ex Φ ; μὴ ὄντι P, om. N. — [78] θ. μου om. N. — [79] ἔτι add. N. — [80] ἐγὼ δὲ οὐ παύσομαι εὐχαριστῶν καὶ λατρεύων καὶ εὐλογῶν τὸν ἐκ μὴ ὄντος εἰς τὸ εἶναι ποιήσαντά με θεὸν καὶ διατηροῦντά με ἀνώτερον πάσης ἐπιβ. ὑμ. D. — [81] τοιγαροῦν add. D. — [82] (ἀπόστητε - ἀνομίαν) om. N. — [83] om. D. — [84] φοβηθήσομαι τί ποιήσετέ μοι οὐδὲ add. D. — [85] ὑμᾶς D. — [86] καταρ. καὶ καταγελῶν corr., prius καταγ. καὶ καταρ. D. — [87] (ἐπικατάρατοι - παντ.) ἐπικατ. γὰρ ὑπὸ κυρ. ἐστὲ N, καθότι ἄξιοι τούτων ἐστέ D. — [88] (καὶ οὕτ.) ταῦτα καὶ τὰ τοιαῦτα λεγόντων ἡμῶν πρὸς τοὺς δαίμονας D.

μῶν [89] σφραγιζομένων [90], ἐκλείπει τοῦτο [91] ὡσεὶ καπνός [92]. »

148. « Περὶ δὲ τῆς αἰτίας ἧς ἦλθον ὧδε πρὸς ὑμᾶς [1], τὸ ζητούμενον εὑρέθη ἐν ὀστρακίνῳ κάδῳ [2] », αἰνιγματωδῶς λαλῶν περὶ σφάλματος ψυχῆς ἄλλου. Λαλοῦντος οὖν [3] τοῦ ἀββᾶ Παχωμίου, ἦν τις ἀδελφός, Ἠλίας λεγόμενος, ἁπλοῦς τῇ καρδίᾳ [4] · πρὸ ὥρας [5] ἀναλέξας [6] σῦκα ἔκρυψεν ἐν ὀστρακίνῳ κάδῳ, ὅπως μετὰ τὴν νηστείαν φάγῃ αὐτά. Καὶ [7] ἀκούσας [8] περὶ τούτου [9], εὐθὺς ἀπῆλθε [10] καὶ [11] ἤνεγκε τὸν κάδον ἐκεῖνον ἐπὶ τῶν ἀδελφῶν καὶ λέγει τῷ πατρί [12] · « Λέγω σοι, ἀββᾶ [13], εἰ μὴ ταῦτα ἦν [14], οὐκ [15] ἤρχου ἐνταῦθα. » Καὶ ἐθαύμασε καὶ αὐτὸς καὶ [16] οἱ ἀδελφοὶ πάντες [17] · οὐ γὰρ περὶ αὐτοῦ ἔλεγε μόνον [18], ἀλλὰ καὶ περὶ ἄλλων πραγμάτων [19]. Εἶτα λέγει αὐτοῖς ὁ πατήρ [20] · « Οὐχ ὅτε [21] ἡμεῖς θέλομεν [22] εἰδέναι τι τῶν κρυπτῶν βλέπομεν [23], ἀλλ' ὅτε [24] ἡ πρόνοια τοῦ Θεοῦ διὰ σωτηρίαν ψυχῶν [25] ἀποκαλύψαι βούλεται [26]. Λέγω δὲ [27] περὶ τοῦ ἐλαχίστου τούτου [28] ὅτι οὐκ ἤδειν [29] οὔτε ἤκουσα [30] παρά τινος · ἀλλ' ὁ Κύριος, θέλων τὸν ἀδελφὸν τοῦτον μὴ [31] κυριευθῆναι [32] ὑπὸ βρωμάτων [33], ἀπεκάλυψεν ἡμῖν [34] πρὸς διόρθωσιν αὐτοῦ. » Ἔσπευδε δὲ ὁ σεβάσμιος γέρων ἀνακάμψαι εἰς Παβώ [35] · ἀναστὰς δὲ [36] μετὰ τῶν ἀδελφῶν ἠύξατο [37], καὶ ἀπῆλθε μὴ γευσάμενος [38].

Φ 97.

[89] om. N. — [90] (ἡμ. σφρ.) καὶ σφραγ. τῶ σταυρικῶ σημείω D — [91] ἐκλείπουσιν ἐκεῖνοι D. — [92] ἅμα τοῖς ὑποβαλλομένοις ὑπ' αὐτῶν λογισμοῖς add. D.

148. — [1] (ἧς - ὑμ.) δι' ἣν ἐνταῦθα παρεγενόμην ἴστε ὅτι D. — [2] κάδδω ND *hic et infra*. — [3] (λαλ. οὖν) καὶ ἔτι λαλ. περὶ τούτου N. — [4] ὃς add. N ; (αἰνιγμ. - καρδ.) τὸ γενόμενον σφάλμα παρά τινος ἀδελφοῦ ἠλία καλουμένου ἁπλουστάτου τῇ καρδία καὶ ἀπεριέργου εἰδὼς ὁ πατὴρ τῶ ἁγίω πνεύματι καὶ τοῦτο αἰνιγμ. ὑποδηλῶν · οὗτος γὰρ ὁ ἠλίας D. — [5] πρὸ τῆς ὡρισμένης ὥρας τῆς ἐστιάσεως D. — [6] συλλεξάμενος D. — [7] ὃς D. — [8] ταῦτα add. N ; τοῦ πατρὸς add. D. — [9] αἰνιττομένου add. D. — [10] εὐθέως ἀπελθὼν D. — [11] om. D. — [12] (ἐπὶ - πατρί) ἐνώπιον πάντων · καί φησι πρὸς τὸν μέγαν ἁπλοϊκῶς οὕτως D. — [13] ὅτι add. ND. — [14] ἦσαν N. — [15] ἂν add. D. — [16] (καὶ ἐθαύμασε - καὶ) ἐθαύμασαν οὖν D. — [17] ἅπαντες ὅπως τὰ τοιαῦτα ἤδει ὁ πατὴρ D. — [18] (οὐ γὰρ - μόν.) om. D. — [19] (ἀλλὰ - πραγμ.) καὶ γὰρ καὶ ἄλλοτε πολλάκις κεκρυμμένα τινὰ πράγματα αὐτοῖς ἀπεκάλυπτεν D. — [20] ὅτι add. N. — [21] ὅταν D. — [22] θέλωμεν D. — [23] γινώσκομεν D. — [24] ὅταν ND. — [25] διὰ σ. ψ. om. ND. — [26] βούληται N, βουληθείη πρὸς τὸ συμφέρον D. — [27] γὰρ N, γὰρ ὑμῖν ἀληθῶς D. — [28] σφάλματος add. D. — [29] (οὐκ ἤδειν) οὔτε εἶδον D. — [30] αὐτὸ add. D. — [31] (θέλων - μὴ) τὸν ἀδ. τοῦτον μὴ θέλων N. — [32] κατακυριεύεσθαι ND. — [33] ὑπὸ τῆς γαστριμαργίας D. — [34] τοῦτο add. D. — [35] (ἔσπευδε - παβώ) ταῦτα εἰπὼν ὁ μέγας D. — [36] om. D. — [37] ηὔξ. μετὰ τ. ἀδ. D. — [38] ἔσπευδε γὰρ καταλαβεῖν εἰς παβώ add. D.

Φ 100. **149.** Ἦσαν δὲ ἐν τῇ ῥηθείσῃ [1] μονῇ Παβὼ ἀδελφοὶ [2] ἀρχαῖοι, ἁγνοὶ μὲν τῷ σώματι, γογγύζοντες δὲ πολλάκις [3] διὰ τὸ μὴ ἐκ πίστεως ἀκούειν τὰ τοῦ πατρὸς λόγια [4]. Ἐπεὶ δὲ ὁ μέγας πατὴρ [5] ἄνθρωπος ἦν τοῦ Θεοῦ [6] μακρόθυμος καὶ ἀγαπητικὸς καὶ φιλόψυχος [7], μάλιστα [8] εἰς οὓς ἐκοπίασεν ἐν νουθεσίᾳ καὶ παρακλήσει χρόνον ἱκανόν, οὐκ ἠθέλησε παραβλέπειν [9] αὐτούς [10], ἀλλ' ἔδωκεν [11] ἑαυτὸν πενθεῖν πρὸς Κύριον ὑπὲρ αὐτῶν, ταπεινῶν τὴν ψυχὴν αὐτοῦ ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ ἄχρι τεσσαράκοντα ἡμέρας [12], ἄτροφος διατελῶν τὰς ἓξ ἡμέρας [13]. Ἐγένετο δὲ τὸ σῶμα αὐτοῦ [14] λεπτὸν σφόδρα καὶ ἄτονον. Ἰδὼν οὖν ὁ Κύριος [15] τὸν κόπον αὐτοῦ, εἰσήκουσεν [16] αὐτοῦ. Καὶ ἔλαβεν ἕκαστος αἴσθησιν τοῦ ἰαθῆναι ἀπὸ τοῦ ἰδίου σφάλματος· καὶ διορθωσάμενοι κατὰ δύναμιν, οὕτως ἐκοιμήθησαν [17].

Φ 101. **150.** Ἦν δέ [1] τις ἄλλος [2] ἀδελφὸς ζέων καὶ [3] δυνατὸς τῷ πνεύματι, ζηλῶν τὴν ὑπομονὴν τοῦ πατρός [4]. Αὐτὸν οὖν ποτε εὐχόμενον ἔκρουσε σκορπίος εἰς τὸν πόδα [5]. Καὶ [6] ἐπιθεὶς τὸν δεδηγμένον πόδα ἐπὶ τὸν σκορπίον, ηὔξατο λέγων [7]· « Εἰ ὁ Θεός με οὐκ ἰᾶται [8], τίς με ἰάσεται; » Καὶ [9] δοκιμάζων ἑαυτὸν εἰ ὑπομένει [10], ἤρχετο ἡ ὀδύνη τοῦ ἰοῦ [11] ἐπὶ τὴν καρδίαν αὐτοῦ βασανίζουσα αὐτόν, καὶ παρ' ὀλίγον ἔμελλε [12] καὶ τὸ πνεῦμα ἀποδοῦναι [13]. Οὕτως οὖν καρτερῶν ἐνίκησε τὴν ὀδύνην ἕως [14] τῆς συνάξεως.

Φ 102. **151.** Ἐν μιᾷ οὖν [1] τῶν ἡμερῶν ἔλεγεν [2] ὁ ἀββᾶς [3] Παχώμιος τοῖς ἀδελφοῖς, ὡς ὅραμα διηγούμενος [4]· « Εἶδόν ποτε [5] μέγαν οἶκον

149. — [1] (τῇ ῥ.) ταύτῃ τῇ D. — [2] τινες add. D. — [3] πρὸς τὰ τοῦ πατρὸς λόγια add. D. — [4] (τὰ - λόγ.) αὐτῶν D. — [5] ἡμῶν add. D. — [6] ἦν ὅλος ἄνθρωπος τοῦ θ. D. — [7] εἰ καί τις ἄλλος add. D. — [8] δὲ add. D. — [9] παριδεῖν D. — [10] ἀδιορθώτους add. D. — [11] ἐπέδωκεν D. — [12] ἡμερῶν N ; ἄχρις ἂν παρέλθοιεν ἡμέραι τεσσ. D. — [13] τὰς ἓξ ἡμ. ἑκάστης ἑβδομάδος ἄσιτος διατελῶν D. — [14] τῇ σκληραγωγίᾳ ταύτῃ add. D. — [15] (ἰδ. - κύρ.) ὁ μέντοι κύρ. ἰδ. D. — [16] τῆς δεήσεως add. D. — [17] (καὶ ἔλαβεν κτλ.) καὶ τοῖς μὴ πειθομένοις αὐτῷ αἴσθ. ἐν τοῖς ἀγαθοῖς ἐδωρήσατο, καὶ διορθωσ. ἀπὸ τῶν σφαλμάτων αὐτῶν κατὰ δύν. εὐαρεστοῦντες θεῷ ἐτελεύτησαν ἐν εἰρήνῃ D.

150. — [1] om. D. — [2] om. D. — [3] ζέων καὶ om. ND. — [4] ἡμῶν add. D. — [5] (αὐτὸν - πόδα) τοῦτον ποτὲ προσευχόμενον ἔπληξε σκορπίος κατὰ τοῦ ποδός D. — [6] ὁ δὲ D. — [7] ηὔχετο καὶ ἔλεγεν D. — [8] οὐκ ἰᾶταί με ND. — [9] ἦν add. D. — [10] ὑπομείνῃ D. — [11] ἡ δὲ ὀδ. τοῦ ἰοῦ ἤρχ. D. — [12] καὶ παρ' ὀλ. ἔμ. om. D. — [13] παρὰ βραχὺ παρασκευάζουσα add. D. — [14] τέλους add. ND.

151. — [1] om. D. — [2] διηγεῖτο D. — [3] πατὴρ ἡμῶν D. — [4] (ὡς ὅρ. διηγ.) ὀπτασίαν τινὰ λέγων οὕτως D. — [5] τὸν N.

ἔχοντα στύλους πολλοὺς τεταγμένους [6] ἐν αὐτῷ, εἰς ὃν ὑπῆρχον πολλοὶ ἄνθρωποι ἐν τῷ τόπῳ [7] καὶ [8] μὴ βλέποντες [9] ποῦ ἀπέλθωσι [10], καί τινας [11] αὐτῶν κυκλεύοντας [12] τοὺς στύλους [13], καὶ νομίζοντας πολλὴν ὁδὸν [14] ἠνυκέναι [15] ὅπως ἔλθωσιν εἰς τὸ φῶς [16]. Καὶ [17] φωνὴ πανταχόθεν [18] ἠκούετο [19] λέγουσα· « Ἰδοὺ τὸ φῶς ὧδέ [20] ἐστι. » Καὶ ἀνέκαμψαν [21] ὡς [22] ἵνα εὕρωσιν αὐτό. Εἶτα [23] πάλιν φωνῆς γεναμένης [24], ἀνακάμπτουσι [25] πάλιν [26]· καὶ ἦν [27] πολλὴ ταλαιπωρία ἐκεῖσε [28]. Ὕστερον δὲ ὁρῶ [29] λύχνον προπορευόμενον πολλῶν τινων. Τέσσαρες δὲ ἐξ αὐτῶν ἔβλεπον αὐτόν· καὶ πάντες ἀκολουθοῦντες αὐτοῖς, ἕκαστος κρατῶν [30] τὸν ὦμον τοῦ [31] πλησίον αὐτοῦ, ἵνα μὴ πλανηθῇ ἐν τῷ σκότει. Ἐὰν [32] οὖν ἐξ αὐτῶν τις [33] ἀπέλυε τὸν ἔμπροσθεν [34], σὺν τοῖς ἀκολουθοῦσιν αὐτῷ ἐπλανᾶτο [35]. Ἐπιγνοὺς οὖν ἐγὼ δύο τινὰς ἀπολύσαντας τοῦ μὴ κρατεῖν [36], ἔκραζον αὐτοῖς· « Κρατήσατε μὴ ἑαυτοὺς ἀπολέσητε. » Ἄλλους δὲ εἶδον, τοῦ λύχνου ὁδηγοῦντος αὐτοῖς [37], ὅτι ἀνέβησαν οἱ ἀκολουθοῦντες [38] διὰ θυρίδος [39] εἰς τὸ φῶς. » Τοῦτο [40] εἰπὼν ὁ πατήρ, εἴρηκέ τισι πάλιν [41] κατ' ἰδίαν [42], ἅτινα καὶ παρ' αὐτῶν [43] ἠκούσαμεν [44] μετὰ χρόνον πολύν. Καὶ τὴν σύγκρισιν εἶπον ἡμῖν ὅτι [45]· Ὁ σκοτεινὸς οἶκός [46] ἐστιν [47] ὁ κόσμος οὗτος διὰ τὴν πλάνην τῶν ἀνθρώπων, ἑκάστης αἱρέσεως δοκούσης ἔχειν τὴν εὐθεῖαν ὁδόν [48]· ὁ δὲ

[6] τεταμένους N, ἱσταμένους D. — [7] (εἰς ὃν - τόπῳ) ὑπ. δὲ καὶ ἄνθρ. πολλοὶ ἐν αὐτῷ D. — [8] om. N. — [9] μὴ ὁρῶντες N, οὐκ ἔβλεπον D. — [10] πορεύονται N ; διὰ τὸ σκότει περιέρχεσθαι αὐτούς add. D. — [11] τινες D. — [12] περιεκύκλουν D. — [13] τοῖς στύλοις N. — [14] ὁδ. πολλ. N. — [15] καὶ ἐνόμιζον μακρὰν ὁδ. διανύειν D. — [16] μὴ εἰδότες ὅτι ἐν τῷ αὐτῷ περιέρχονται τόπῳ add. D. — [17] εἶτα D. — [18] om. D. — [19] ἐγένετο D. — [20] ὧδε τὸ φ. D. — [21] ὥρμησαν πάντες πρὸς τὴν φωνὴν D. — [22] om. ND. — [23] καὶ τρεχόντων αὐτῶν D. — [24] γενομένης N ; (φ. γεν.) ἀλλαχόθεν ἐγένετο ἡ φωνὴ τὸ αὐτὸ λέγουσα D. — [25] οἱ δὲ ἀκούσαντες ἀνέκαμψαν D. — [26] αὖθις πρὸς τὴν φωνήν D. — [27] ἐν αὐτοῖς add. D. — [28] καὶ σύγχυσις διὰ τὸ πανταχόθεν τὴν φωνὴν γίνεσθαι καὶ πανταχόθεν αὐτοὺς περιέλκεσθαι D. — [29] ὁρῶσι N. — [30] ἑκράτει D. — [31] αὐτοῦ N. — [32] εἰ N. — [33] (ἐὰν - τις) καὶ ἐάν τις αὐτῶν D. — [34] αὐτοῦ add. D. — [35] ἐπλαν. σὺν τοῖς ἀκολ. αὐτῷ N. — [36] (τοῦ μὴ κρ.) καὶ μὴ κρατοῦντας D. — [37] (κρατήσατε - αὐτοῖς) om. ND. — [38] καὶ μὴ ἀπολύσαντες add. D. — [39] θυρίδων ND. — [40] ταῦτα D. — [41] πάλιν τισὶ D. — [42] τὴν σύγκρισιν τούτων add. D. — [43] (ἅτινα - αὐτ.) παρ' ὧν ἡμεῖς D. — [44] αὐτὰ καὶ τὴν σύγκρισιν αὐτῶν add. D. — [45] (καὶ τὴν - ὅτι) om. D. — [46] ὁ οἶκος ὁ σκοτ. ND. — [47] λέγοντες ὡς ἔμαθον παρὰ τοῦ πατρὸς add. D. — [48] (διὰ τὴν - ὁδόν) οἱ δὲ ἐν τῷ σκότει δηλαδὴ τῇ ἀγνοίᾳ πλανώμενοι ἄνθρωποι οἱ αἱρετικοί εἰσιν ἑκάστης αἱρέσεως D.

λύχνος [49] ἐστὶν ἡ πίστις τοῦ Χριστοῦ [50] ἡ σῴζουσα τοὺς πιστεύοντας καὶ ἄγουσα εἰς τὴν βασιλείαν τοῦ Θεοῦ · οἱ δὲ τέσσαρες οἱ ὁδηγοῦντες πρὸς αὐτήν [51], οἱ τέσσαρες εὐαγγελισταί [52].

Φ 106. **152.** Θεόδωρος [1] δέ [2], καθὼς [3] προειρήκαμεν, ταχθεὶς ἦν παρακλήτωρ τῶν [4] ἀδελφῶν. Καὶ μετὰ [5] παρέλευσιν ἑπτὰ ἐτῶν, ἐγένετο αὐτῷ ἀγὼν μέγας παρὰ Κυρίου εἰς δοκιμήν. Καὶ [6] γὰρ [7] ἀρχαῖοι πατέρες καὶ ἡγούμενοι μοναχῶν συναχθέντες ἐπὶ τὸ αὐτό [8], τοῦ πατρὸς ἡμῶν [9] κακωθέντος, εἶπον [10] · « Μή ποτε ὁ Κύριος ἐπισκέψεται [11] τὸν πατέρα ἡμῶν καὶ γενώμεθα ὀρφανοί [12].» Εἶπαν [13] δὲ [14] Θεοδώρῳ [15] · « Ἐπειδὴ οὐδεὶς ἡμῶν πᾶσαν τὴν ἀναστροφὴν [16] ἐπίσταται ὡς σύ [17], πεισθεὶς ὁμολόγησον ἡμῖν [18] ὅτι, ἐὰν γένηται τοῦτο καὶ παρέλθῃ ὁ πατήρ [19], οὐ παραβλέπομαι [20] ὑμᾶς [21], ἀλλ' ἵνα σταθῇς διάδοχος αὐτοῦ [22], μή πως διασκορπισθῶσιν οἱ ἀδελφοί [23]. » Αὐτὸς [24] δὲ [25] παραιτούμενος [26] καὶ μὴ συγχωρηθείς [27], ὀχλούμενος [28] ὑπ' αὐτῶν [29], ἔδωκεν [30] αὐτοῖς λόγον [31]. Ἀκούσας οὖν τοῦτο ὁ ἅγιος γέρων Παχώμιος [32] καὶ μὴ ἀρεσθείς [33], ἐκάλεσε [34] πάντας [35]

[49] ὁ προπορευόμενος add. D. — [50] ἡ εἰς τὸν χριστὸν πίστις D. — [51] τοὺς πιστεύοντας add. D. — [52] τυγχάνουσιν add. D.

152. — [1] ὁ μέντοι θεόδ. ὁ ἡγιασμένος D. — [2] om. D. — [3] ἤδη add. D. — [4] om. N. — [5] (καὶ μ.) μ. δὲ D. — [6] συναχθέντες D. — [7] ἐπιτοαυτὸ add. D, οἱ ἐκεῖσε add. N. — [8] συν. ἐπὶ τὸ αὐτὸ om. D. — [9] νόσω τινὶ add. D. — [10] πρὸς ἀλλήλους add. D. — [11] ἐπισκέψηται N. — [12] (μή ποτε - ὀρφ.) ἰδοὺ ὁ πατὴρ ἀσθενεῖ καὶ ἴσως ἄρτι πρὸς ἑαυτὸν ὁ κύριος λήψεται τοῦτον · σκεψώμεθα δὴ τίνα μετὰ τοῦτον ἕξομεν πατέρα καὶ διάδοχον αὐτοῦ D. — [13] εἶπον N. — [14] (εἶπαν δὲ) σκεψάμενοι οὖν καὶ τὸν θεόδωρον πάντων προκρίναντες εἶπον D. — [15] τῷ θ. N, αὐτῷ D. — [16] αὐτοῦ add. N. — [17] (ἐπειδὴ - σύ) ἐπειδὴ ἠκούσαμεν τὸν πατέρα ἡμῶν νοσηλεύεσθαι καὶ δεδοίκαμεν μή πως ἄφνω τὸ κοινὸν χρέος ἀποτίσας ἀπορφανισθῶμεν ἡμεῖς καὶ διασκορπισθῶμεν ἄλλος ἀλλαχόθι, διά τι τοῦτο σὲ πάντων προειλόμεθα ἄτε τὴν ἀναστρ. αὐτοῦ καὶ πολιτείαν ἀκριβέστερον τῶν λοιπῶν μιμησάμενόν τε καὶ ἐπιστάμενον D. — [18] (πεισθ. ὁμ. ἡμ.) τοιγαροῦν πεισθεὶς ἡμῖν παρακαλοῦσι καὶ ἀξιοῦσι δίδου ἡμῖν λόγον D. — [19] ἡμῶν add. D. — [20] παραβλέπω N, παραβλέπεις D. — [21] ἡμᾶς D. — [22] ἀλλὰ διάδοχος αὐτοῦ καθίστασαι καὶ πατὴρ μοναχῶν D. — [23] (μή πως - ἀδ.) om. D. — [24] θεόδωρος D. — [25] ὑπὲρ τὴν ἀξίαν αὐτοῦ καὶ τὴν δύναμιν εἶναι τοῦτο λέγων καὶ add. D. — [26] ἐπὶ πολὺ add. N. — [27] (καὶ μὴ συγχ.) ἐκείνων μὴ συγχωρούντων N, om. D. — [28] ὅμως μέντοι βιασθεὶς D. — [29] ὀχλ. ὑπ' αὐ. om. N. — [30] ἐδεδώκει D. — [31] τοῦ ποιῆσαι κατὰ τὸ ἀρέσκον αὐτοῖς add. D. — [32] (ἀκούσας - παχ.) ὁ δὲ πατὴρ ἡμῶν τῆς νοσηλείας ἀπαλλαγεὶς καὶ παραγενόμενος ἐν τῇ μονῇ αὐτοῦ καὶ μαθὼν τοῦτο D. — [33] ἐπ' αὐτὸ add. D. — [34] μετεστείλατο πρὸς ἑαυτὸν D. — [35] om. D.

τοὺς ἡγουμένους τῶν μοναχῶν, Σοῦρον, Ψενθαήσιον [36], Παφνούτιον, Κορνήλιον, καὶ αὐτὸν δὴ [37] τὸν Θεόδωρον. Καὶ [38] λέγει αὐτοῖς · « Ἕκαστος ὑμῶν εἴπῃ [39] τὸ ὑστέρημα αὐτοῦ καὶ τὸν λογισμόν [40]. Ἐγὼ τὸ ἐμὸν πρῶτον λέξω [41] · ἀμελῶ [42] τῶν ἀδελφῶν [43] ἐπισκέπτεσθαι καὶ παραμυθεῖσθαι αὐτοὺς [44] διὰ τὸ εἶναί με ἔξω εἰς τὴν νῆσον [45], καὶ ἐργαζόμενος [46] τὸν ἀγρὸν διὰ τὴν τροφὴν [47] τῶν ἀδελφῶν, προφάσει τοῦ λιμὸν γενέσθαι [48] τὰ νῦν [49]. Εἰπὲ οὖν καὶ σύ, Θεόδωρε, τὸ σόν. » Καὶ λέγει [50] · « Ἐγὼ ἐποίησα ἔτη ἑπτὰ ὑπὸ σοῦ πεμπόμενος [51] εἰς τὰς μονὰς ἐπισκέπτεσθαι [52] καὶ διατάσσειν πάντα [53] ὥσπερ σύ [54] · καὶ οὐδέποτε τοῦτο ἀνέβη εἰς τὴν καρδίαν μου, ὅτι ἴσος [55] μετὰ τῶν ἀδελφῶν τῇ τάξει [56] εἰμὶ ἐγώ, ἀλλ' ἐσχατώτερος. Νῦν δὲ ὀχλοῦμαι τούτῳ τῷ λογισμῷ [57] καὶ οὔπω ἠδυνήθην νικῆσαι [58]. » Λέγει αὐτῷ ὁ ἀββᾶς [59] Παχώμιος · « Καλῶς · οὐκέτι ἔχεις ἐξουσίαν οὐδενός. Ἀναχώρησον σεαυτόν πού ποτε [60] καὶ δεήθητι τοῦ Θεοῦ · ἴσως [61] συγχωρήσει σοι.» Καὶ οὕτως ἀνέστη λυπούμενος σφόδρα καὶ ἀπῆλθεν εἰς κελλίον ἡσυχον πενθεῖν ἑαυτὸν [62] μετὰ κλαυθμοῦ καὶ [63] ὀδύνης πολλῆς, φοβούμενος μὴ [64] ὁ Θεὸς ἀποστρέψῃ [65] τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, ὅτι ἐλύπησε τὸν δοῦλον [66] αὐτοῦ [67], ἐπειδὴ [68] εἶχεν αὐτὸν τέλειον καὶ ἀήττητον [69]. Ps. 26, 9.

Φ 107. **153.** Ἐποίησε δὲ δύο ἔτη ἐν τῇ ἐπιτιμίᾳ [1], τῶν μεγάλων ἀδελφῶν πολλάκις παραμυθουμένων αὐτόν · καὶ γὰρ οὐκ ἦν ἁμάρτημα τὸ γενόμενον [2], ἀλλὰ [3] μόνον φρονῆσαι αὐτὸν [4] ὅτι · « Κἀγὼ μετ' αὐτῶν ἴσος [5] εἰμί. » Θέλων δὲ αὐτὸν [6] ὁ μέγας [7] τέλειον [8] καταστῆ-

[36] ψινθαήσιον ND. — [37] om. ND. — [38] ἐλθόντων οὖν αὐτῶν D. — [39] εἰπάτω D. — [40] καὶ τὸν λογ. om. N ; τὸν λογ. αὐτοῦ καὶ τὸ ὑστ. D. — [41] πρῶτος οὖν ἐγὼ ὑμῖν τὸ ἐμὸν λέξω N, ἐγὼ γὰρ ἤδη τὸ ἐμὸν λέξω πρῶτος D. — [42] ὅτι ἠμέλησα D. — [43] τοῦ add. D. — [44] καὶ τοῦτο add. D. — [45] ἐν τῇ νήσῳ D. — [46] (καὶ ἐργ.) ἐργαζόμενον D. — [47] (διὰ τ. τρ.) χάριν τῆς διατροφῆς D. — [48] (λιμ. γεν.) εἶναι λιμὸν D. — [49] ἅμα δὲ καὶ νόσῳ τινὶ κακοῦσθαι add. D. — [50] (κ. λ.) ὁ δέ φησιν D. — [51] ἐγὼ ἑπτὰ ἔτη ἔχω πεμπ. ὑπὸ σοῦ D. — [52] τοὺς ἀδελφοὺς add. D. — [53] om. ND. — [54] ὥσπερ καὶ αὐτός D. — [55] ἴσον P. — [56] τῇ τάξει om. P. — [57] ὑπὸ τοῦ λογισμοῦ τούτου N. — [58] περιγενέσθαι αὐτοῦ N, νικ. αὐτὸν D. — [59] θεῖος D. — [60] ἀναχώρ. ἔν τινι τόπῳ ND. — [61] γὰρ add. D. — [62] καὶ κλαίειν add. D. — [63] κλ. καὶ om. D. — [64] μή ποτε D. — [65] ἀποστρ. ὁ θ. D. — [66] θεράποντα D. — [67] παχώμιον add. D. — [68] δὲ add. P. — [69] (ἐπειδὴ κτλ.) ἦν γὰρ μετὰ πίστεως τέλειον αὐτὸν καὶ ἀήττ. ἡγούμενος D.

153. — [1] διεβίβασεν οὖν ἐν τῇ ἐπ. αὕτῃ (sic) δύο ἔτη D. — [2] γινόμενον PN. — [3] (καὶ γὰρ - ἀλλὰ) τί γὰρ ἁμ. ἦν τὸ D. — [4] καὶ λογίσασθαι add. D. — [5] ἴσος P. — [6] om. N ; (θέλ. δὲ αὐ.) ἀλλ' ὅμως D. — [7] πατὴρ D. — [8] αὐτὸν add. ND.

σαι [9] καὶ ἀφίλαρχον παντελῶς, τούτου ἕνεκα ἐπετίμησεν αὐτὸν καὶ ἀφώρισε. Πρὸ δὲ [10] τοῦ ἀναχωρῆσαι [11] εἶπεν αὐτῷ [12] Θεόδωρος [13] ὅτι· « Ἔχω τι ἀπαλλάξαι [14] ἐν Μονχοσί [15]. Πέμψον [16] με, καὶ ταχέως ἔρχομαι [17]. » Καὶ ἔπεμψεν αὐτὸν μόνον. Καὶ πορευόμενος ἔκλαιε λέγων· « Κύριε, ἆρα μετάνοιαν ἔτι ἔχω [18]; » Καὶ φθάσας εἰς τὸ πορθμεῖον Χηνοβοσκείων, ἀνέβη [19]. Ἦσαν [20] δὲ δύο γέροντες [21] ἐν τῷ πλοίῳ [22]. Καὶ ὁ εἷς ἤρξατο [23] ἐγκωμιάζειν αὐτὸν [24] λέγων [25] τῷ ἄλλῳ [26]· « Μακάριος οὗτος ὁ μοναχός. » Εἶτα λέγει ὁ ἄλλος [27]· « Τί τὸν ταλαίπωρον μακαρίζεις; Οὔπω ὅλως ἔφθασεν εἰς τὸ μέτρον τοῦ μαργουνίου [28]. » Καὶ λέγει [29]· « Τί ἐστι τὸ μέτρον αὐτοῦ [30]; » Ἄρχεται οὖν [31] λέγειν παραβολήν [32]· « Γεωργός τις ἦν [33] σκληρός. Οὐ προσεκαρτέρησε δέ τις [34] μετ' αὐτοῦ ἐνιαυτὸν ὅλον. Ἐγερθεὶς [35] δέ τις πορεύεται [36] πρὸς αὐτόν, λέγων [37]· « Ἐγὼ ἐργάζομαι [38] μετὰ σοῦ [39]. » Λέγει [40] αὐτῷ [41]· « Καλῶς [42]. » Καὶ τῇ ἡμέρᾳ τοῦ [43] ποτίζειν [44] εἶπεν [45]· « Ὑδραγωγήσωμεν [46] νυκτὸς ποτίζειν τὸν ἀγρὸν καὶ μὴ ἡμέρας. » Ἀποκρίνεται οὖν ἐκεῖνος καὶ λέγει· « Σοφία ἐστὶ τοῦτο, ἵνα μή τις πίῃ μήτε κτῆνος μήτε ἄνθρωπος μήτε ἄλλο τι [47] ἐκ τοῦ ὑδραγωγοῦ ἡμῶν [48]. » Ὅτε δὲ ἤμελλεν [49] ἀροτριᾶν [50], λέγει [51] αὐτῷ [52]· « Τὸν ἀγρὸν ἡμῶν

[9] βουλόμενος add. D. — [10] om. N. — [11] καὶ add. N; αὐτὸν τὸν θεόδωρον add. D. — [12] τῷ πατρὶ D. — [13] om. D, ὁ θεόδ. N. — [14] ποιῆσαι N. — [15] μοχωσῇ N; ἔχω τι ἐν τῇ μονῇ μονχωσῇ ποιῆσαι τῶν ἀναγκαίων D. — [16] καὶ π. D. — [17] ἐπανελεύσομαι D. — [18] ἆρα ἔτι μετάν. ἔχω N; ἄρα ἔτι καιρὸν μετανοίας ἔχω καὶ συγχώρησιν τῶν ἐμῶν σφαλμάτων D. — [19] ἐνέβη εἰς αὐτό D. — [20] εὗρε D. — [21] γέροντας D. — [22] ἐν αὐτῷ D. — [23] ἤρξ. ὁ εἷς D. — [24] καὶ μακαρίζειν add. N. — [25] καὶ λέγειν N. — [26] πρὸς τὸν ἕτερον D. — [27] (ὁ ἄ.) ἐκεῖνος D. — [28] μαργωνίου ND hic et infra. — [29] ἐκεῖνος add. N; (κ. λ.) ὁ δέ φησι D. — [30] τοῦ μαργωνίου D, αὐτοῦ τοῦ μαργωνίου N. — [31] (ἄ. οὖν) ἐκεῖνος δὲ ἄ. D, καὶ ἤρξατο N. — [32] ὅτι add. N, τοιάνδε add. D. — [33] ἦν τις γ. D. — [34] (οὐ προσ. δέ τις) καὶ διὰ τὴν πολλὴν σκληρότητα αὐτοῦ οὐδεὶς ἠδυνήθη προσκαρτερῆσαι D. — [35] εἷς D. — [36] ἀναστὰς ἔρχεται D. — [37] καὶ λέγει αὐτῷ D. — [38] προσκαρτερῶ D. — [39] ἐργαζόμενος add. D. — [40] ὁ δὲ ὑπεδέξατο αὐτὸν εἰπὼν D. — [41] om. D. — [42] ποιῆσαι add. D. — [43] ἐν ᾗ ἔδει αὐτοὺς D. — [44] τὸν ἀγρὸν add. D. — [45] ἔφησεν αὐτῷ N, λέγει τῷ ὑπουργῷ αὐτοῦ D. — [46] ὑδρεύσωμεν N. — [47] (ὑδραγ. - ἄλλο τι) μὴ τῇ ἡμέρα ταύτῃ ἀλλὰ νυκτὸς ἀπελθόντες ποτίσωμεν τὸν ἀγρὸν ἡμῶν· οὐκ ἀντεῖπεν ἐκεῖνος ἀλλὰ σοφίαν τοῦτο μᾶλλον ἀπεκάλει τὸ νυκτὸς ἀπελθεῖν· ἵνα μή τις, φησίν, ἐλθὼν ἐμποδίσῃ ἡμᾶς μήτε κτήνη πίωσι τοῦ ὕδατος D. — [48] ἀπῆλθον οὖν νυκτὸς καὶ ἐπότισαν add. D. — [49] ἔμελλον D. — [50] καὶ σπείρειν add. D. — [51] πάλιν add. D. — [52] ὁ σκληρὸς ἐκεῖνος add. D.

οὕτως σπείρωμεν· αὔλακα σῖτον [53], καὶ αὔλακα κριθήν [54], καὶ ἕτερον ἄρακα [55], ὡσαύτως καὶ τὰ λοιπὰ οὕτως [56]. » Καὶ εἶπεν ἐκεῖνος [57]· « Ἡ σύνεσις αὕτη [58] μείζων [59] τῆς προτέρας ἐστίν· ὁ γὰρ σπόρος ἡμῶν ὡραῖος εὑρίσκεται ὡς ἀπὸ ποικίλων ἀνθῶν [60]. » Ἀλλὰ καὶ ὁ χόρτος χωρὶς σπέρματος... [61]· λέγει [62] αὐτῷ [63]· « Ἄγωμεν θερίσαι [64]. » Καὶ ἀπεκρίθη· « Ἄγωμεν. » Ἦν δὲ ἀκμὴν χλωρόν. Καὶ λέγει· « Μέγα κέρδος ἐστὶ τοῦτο [64] τοῦ ἀχύρου· εὑρίσκεται χλωρὸν καὶ καλόν [65]. » Καὶ μετὰ τὸ ἀλοῆσαι λέγει αὐτῷ· « Ἔνεγκε τὸ μαργούνιον, καὶ μέτρῳ μεταφέρομεν αὐτό [66]. » Καὶ λέγει [67]· « Τοῦτο φρονιμώτερον τῶν ἄλλων· καὶ τὸ ἄχυρον συντηρεῖται καὶ ἡ ποσότης γνωρίζεται [68]. » Καὶ μετὰ [69] τὸ δοκιμάσαι αὐτὸν ἐν πᾶσι τούτοις [70] καὶ εὑρεῖν αὐτὸν ὑπήκοον [71] καὶ [72] ἀδιάκριτον [73],

[53] σίτου N. — [54] κριθῆς N. — [55] ἄρακος N. — [56] om. N. — [57] (τὸν ἀγρὸν ἡμῶν - ἐκεῖνος) μίξωμεν πάντα τὰ σπέρματα σῖτον κριθὴν κέχρον καὶ τὰ λοιπά· καὶ ἀπελθόντες σπείρωμεν αὐτὰ ὁμοῦ ἐν τῷ ἀγρῷ· ἐπήνεσεν ἐκεῖνος αὖθις τὸ εἰρημένον καὶ οὐκ ἀντεῖπεν D. — [58] ἡ σοφία αὕτη, λέγων, καὶ σύνεσις D. — [59] μείζω P. — [60] (ὁ γὰρ - ἀνθῶν) οὕτω γὰρ ποιησάντων ἡμῶν, φησίν, ἔσται κατὰ τὸν καιρὸν τοῦ ἔαρος καὶ τοῦ θέρους ὁ ἀγρὸς ἡμῶν ὡραιότατος καὶ ποικιλώτατος, τοῦ μὲν τῶν σπερμάτων χλοάζοντος ἤδη καὶ αὐξανομένου τοῦ δὲ ἀνθοῦντος τοῦ δὲ τὰ λήϊα προβαλλομένου· ὥστε τοὺς παροδεύοντας διὰ θαύματος ταῦτα ποιῆσθαι καὶ τῆς ἐπινοίας ταύτης τὸν ἐξευρόντα μακαρίζειν· ἀπελθόντες οὖν ἔσπειραν τὸν ἀγρὸν οὕτως D. — [61] <γέγονε· καὶ τότε> supple ex Φ; (ἀλλὰ καὶ - σπέρμ.) om. N, τοῦ δὲ θέρους οὔπω καταλαβόντος D. — [62] φησὶν D. — [63] πάλιν add. N; αὖθις πρὸς τὸν ὑπηρετούμενον D. — [64] bis P. — [65] (εὐρ. χλ. καὶ κ.) χλωρὸν γὰρ ὂν οὐκ ἀπόλυται τί ἐξ αὐτοῦ N. — [66] αὐτῷ P, αὐτά N. — [67] ἀπεκρίθη N. — [68] (ἄγωμεν θερίσαι - γνωρ.) ἴωμεν ἤδη θερίσαι τὸν ἀγρὸν ἡμῶν. Ἐν ἐπαίνου πάλιν ἐκεῖνος τὸ εἰρημένον ἐτίθετο· οὕτω γὰρ ἀμησάντων ἡμῶν, λέγων, τὸν ἀγρὸν ἔσται τὸ μὲν τοῦ ἀχύρου χλοάζον τὸ δὲ κυπρίζον. Ἀπελθόντες τοίνυν καὶ θερίσαντες καὶ ἁλοήσαντες καὶ λικμήσαντες φησὶ καὶ ἔτι τῷ μαθητευομένῳ· οὗ μοι δοκεῖ καλὸν τὸν καρπὸν διαμετρῆσαι ἀλλὰ τὸ ἄχυρον· ἔνεγκαι δὴ οὖν τὸ μαργώνιον καὶ μετρήσωμεν αὐτό. Πάλιν ἐκεῖνος τῆς ἐπινοίας αὐτὸν καὶ τῆς συνέσεως ἐθαύμαζε τοῦτο λέγων σοφώτερον καὶ συνετώτερον τῶν προγεγονότων· οὕτω γὰρ διαμετρησάντων ἡμῶν, φησί, τὸ ἄχυρον καὶ ἀποθεμένων αὐτό, ὁπηνίκα ἐλθών τις λάθρα κλέψῃ ἄχυρον, ἡμεῖς τὴν ποσότητα τοῦ ἀχύρου γινώσκοντες καὶ εὐθέως τὸ ἐναπολειφθὲν ἐκμετρήσαντες εἰσόμεθα ῥᾷστα πόσον ἡμῖν ὀφείλετο ὁ κλέπτης ἀχύρου. Καὶ δὴ πεποιήκασιν οὕτω τὸ ἄχυρον ἐκμετρήσαντες D. — [69] (καὶ μ.) μ. γοῦν D. — [70] (ἐν π. τ.) τὸν σκληρὸν ἐκεῖνον ἄνθρωπον D. — [71] δόκιμον D. — [72] om. N. — [73] ἀδιακρίτως εἰς πάντα N, εὐδιάκριτον καὶ ἀληθῆ ὑπήκοον ἐν πᾶσι D.

λέγει αὐτῷ · « Σὺ οὐκέτι γίνῃ μισθωτός [74], ἀλλὰ [75] υἱὸς καὶ κληρονόμος [76]. » Τοιγαροῦν ἐὰν καὶ οὗτος ὁ μοναχὸς [77] μετρήσῃ τὸ μαργούνιον, δύναται τυχεῖν τοῦ μακαρισμοῦ [78]. »

Φ 108. **154.** Λέγει δὲ [1] αὐτῷ ὁ ἕτερος γέρων [2] · « Ἐπειδὴ τὴν παραβολὴν εἶπας [3], εἰπὲ [4] καὶ τὴν σύγκρισιν [5]. » Εἶτα [6] ἀποκρίνεται [7] ἐκεῖνος [8] · « Ὁ [9] γεωργός ἐστιν ὁ Θεός · ὅτι δὲ ἦν σκληρός, διότι τὸν σταυρὸν
Cf.Lc.14, 27. ἐντέλλεται βαστάζειν [10] καὶ μὴ ἔχειν θέλημα καρδίας [11] τὸν θέλοντα δουλεύειν [12] αὐτόν [13]. Παχώμιος γὰρ [14] ὁ τούτου πατήρ [15], ὑπακούσας
Cf.Gen.17, 1. αὐτῷ κατὰ πάντα, ἐγένετο εὐάρεστος ἐνώπιον αὐτοῦ [16]. Ἐὰν δὲ [17] καὶ οὗτος ὑπομένῃ [18] καθ' ὁμοιότητα [19] αὐτοῦ [20], ἔσται κληρονόμος καὶ οὗτος [21]. » Ἀκούων δὲ ταῦτα [22] Θεόδωρος [23] ἀπηνεοῦτο, θαυμάζων τὰ λεγόμενα καὶ τοὺς λέγοντας. Καὶ ἐκβὰς τοῦ πλοίου [24] οὐκέτι ἑώρακεν αὐτούς · ἦσαν γὰρ [25] ἄγγελοι παρὰ Θεοῦ πεμφθέντες [26] αὐτῷ [27] εἰς διόρθωσιν αὐτοῦ, παραμυθίαν δὲ τοῦ ἀββᾶ [28] Παχωμίου μαρτυροῦντος [29] τοῦτο μετὰ ταῦτα. Ἕως δὲ [30] ἀνέκαμψεν [31] εἰς τὴν μονὴν Παβώ [32], διελογίζετο τὰ ἀκουσθέντα αὐτῷ παρὰ Θεοῦ [33]. Ἐλυπεῖτο δὲ οὐχ ὅτι [34] ἐκωλύθη [35] τῆς διακονίας, ἀλλ' ὅτι ὅλως ἐδέξατο λογισμὸν τοιοῦτον [36], μάλιστα ὅτι ἦν [37]

[74] (λέγει - μισθ.) περιλαβὼν κατησπάζετο αὐτὸν λέγων οὐκέτι σὺ μισθωτὸς οὐδὲ ὑπόδουλος ἔσῃ D. — [75] καὶ add. N. — [76] ἐμός add. D. — [77] φησι add. D. — [78] μετρήσῃ μετὰ τοῦ μαργωνίου ὅπερ ἐπιτραπείη ἄξιος ἔσται τοῦ τυχεῖν μακαρισμοῦ D.

154. — [1] om. N. — [2] ὁ δὲ ἕτερος πρεσβύτης ἔφη αὐτῷ D. — [3] ταύτην εἴρηκας D. — [4] δέον σε φράσαι D. — [5] αὐτῆς add. ND. — [6] om. D. — [7] ἀπεκρίθη D. — [8] λέγων add. D. — [9] μὲν add. D. — [10] (ὅτι δὲ - βαστ.) σκληρὸς δὲ τυγχάνει ὡς τοῦτο δοκῶν τοῖς ῥαθύμοις διὰ τὸ ἐντέλεσθαι αὐτὸν βαστ. τὸν στ. καὶ ἀκολουθεῖν αὐτῷ D. — [11] καὶ φρόνημα σαρκικὸν D. — [12] (θέλ. δ.) δουλεύοντα D. — [13] αὐτῷ ND. — [14] (παχ. γὰρ) ὧν εἷς ἐστι καὶ D. — [15] παχώμιος ὃς add. D. — [16] (ἐγένετο - αὐτοῦ) καὶ εὐαρεστήσας υἱὸς αὐτοῦ καὶ κληρονόμος κατέστη D. — [17] οὖν D. — [18] om. D. — [19] φησὶ τοῦ πατρὸς add. D. — [20] ἀκούσῃ καὶ ὑπομείνῃ add. D. — [21] (ἔσται - οὗτ.) ἔσται κλ. καὶ υἱὸς ὡς ἐκεῖνος N, οὐδὲν τὸ κωλύον γενέσθαι καὶ αὐτὸν υἱὸν καὶ κληρονόμον D. — [22] ταῦτα ἀκ. D. — [23] ὁ θεόδ. ND. — [24] (ἀπηνεοῦτο - πλοίου) ἣν θαυμάζων καὶ ἐκπληττόμενος ὅπως τοιούτοις θεοσόφοις ἀπροσδοκήτως περιέτυχε · φθάσαντες οὖν ἔνθα καταλαβεῖν ἠπείγοντο καὶ τοῦ πλ. ἀποβὰς ὁ θεόδ. εἶτα ἐπιστραφεὶς D. — [25] ἅγιοι add. D. — [26] φανέντες N, ἀποσταλέντες D. — [27] om. D. — [28] πατρὸς ἡμῶν D. — [29] καθὼς αὐτὸς ἔλεγε D. — [30] οὖν D. — [31] ἐπανέλθοι D. — [32] ὁ θεόδωρος add. D. — [33] παρὰ τῶν θείων ἀγγέλων D. — [34] (ἐλ. - ὅτι) καὶ ἦν λυπούμενος σφόδρα οὐχὸ D. — [35] ἐλυπήθη N. — [36] τοι. λογ. D ; καὶ add. N. — [37] (μάλ, ὅτι ἦν) καὶ ταῦτα D.

ἀκούσας τοῦ ἀββᾶ [38] Παχωμίου [39] λέγοντος ὅτι · « Ὥσπερ νεκρὸς ἄλλοις νεκροῖς οὐ λέγει [40] · « Κεφαλὴ ὑμῶν εἰμι », οὕτως ὀφείλει διακεῖσθαι ὁ προέχων τινῶν. Καὶ γὰρ κἀγὼ [41] οὕτως ἔχω, ὡς οὐδέποτε ἐλογισάμην ὅτι πατήρ εἰμι τῶν ἀδελφῶν, ἀλλ' Cf. Mt. 23, 9.
5 αὐτός ἐστι μόνος ὁ Θεὸς πατὴρ καὶ δεσπότης πάντων ἡμῶν. »

Φ 109. **155.** Μετὰ ταῦτα οὖν [1] Ζακχαῖός τις, ἄνθρωπος τοῦ Θεοῦ ἐνάρετος [2], ἐπιστεύθη ἐν Ταβεννήσει [3] τὴν οἰκονομίαν [4] τῶν [5] ἀδελφῶν. Καὶ ᾐτήσατο Θεόδωρον παρὰ τοῦ ἀββᾶ Παχωμίου [6], λέγων · « Οἱ ὀφθαλμοὶ Θεοδώρου ἐβλάβησαν ἀπὸ τοῦ πολλὰ [7] κλαίειν. Θέ-
10 λεις [8] λάβω [9] αὐτὸν μετ' ἐμοῦ [10] ἐν τῷ πλοίῳ εἰς Ἀλεξάνδρειαν ; » Λέγει αὐτῷ [11] · « Λάβε [12] καὶ ἐν τῷ πλοίῳ καὶ πανταχοῦ. » Καὶ ἀπῆλθε [13] σὺν αὐτῷ [14] ἐπιτραπεὶς [15] παρὰ [16] τοῦ μεγάλου πατρός [17]. Καὶ ἦν [18] ὡς [19] νεόφυτος χθὲς [20] γενόμενος μοναχός, ταπεινοφροσύνῃ πολλῇ καὶ πραότητι προσανέχων. Μετὰ ταῦτα οὖν [21] ὡμολόγησεν
15 ὁ ἅγιος Παχώμιος [22] περὶ αὐτοῦ, ὅτι ἐχαρίσατο αὐτῷ ὁ Κύριος τὴν προτέραν αὐτοῦ προκοπὴν ἐπταπλασίονα.

Φ 110. **156.** Ἦν δὲ [1] καὶ αὐτὸς ταπεινὸς ὁ [2] πατὴρ ἡμῶν Παχώμιος [3] ὑποτασσόμενος πλεῖον πάντων τῶν οἰκιακῶν [4]. Ἵστατο δὲ [5] τῇ ὥρᾳ τῆς κατηχήσεως μετὰ τῶν ἀδελφῶν [6], ἀκούων ὡς εἷς ἐξ αὐ-
20 τῶν. Τὰ δὲ λεβιτονάρια [7] αὐτοῦ ἐν τῷ κελλίῳ [8] ὑπὸ τὴν ἐξουσίαν ἦν [9] τοῦ οἰκονόμου [10] · καὶ ἁπλῶς εἰπεῖν, οὐκ εἶχεν ἐξουσίαν [11] ἑαυτῷ λαβεῖν χρείαν τινὰ [12] τοῦ σώματος, εἰ μὴ [13] παρὰ τοῦ οἰκονόμου. Πλεῖον γὰρ τῶν αἰωνίων βασάνων [14] ἠὐλαβεῖτο [15] μὴ [16]

[38] πατρὸς D. — [39] om. D. — [40] ὥσπερ ὁ νεκρὸς οὐ λέγει ἄλλοις νεκροῖς ὅτι D. — [41] ἔλεγεν add. D.

155. — [1] μετὰ δὲ ταῦτα D. — [2] πάνυ add. D. — [3] ἐν ταβέννῃ N, om. D. — [4] καὶ ἐπιστασίαν add. D. — [5] ἐν ταβεννήσει add. D. — [6] καὶ ποτε προσελθὼν τῷ μεγάλῳ πατρὶ ἠτεῖτο παρ' αὐτοῦ τὸν θεόδ. D. — [7] συνεχῶς D. — [8] εἰ κελεύεις οὖν D. — [9] προσλήψομαι D. — [10] μεθ' ἑαυτοῦ D, om. N. — [11] ὁ μέγας add. N ; (λέγ. αὐ.) ὁ δὲ ἐπέτρεψε D. — [12] λαβεῖν αὐτὸν D. — [13] (κ. ἀπ.) ἀπ. οὖν D. — [14] ὁ θεόδωρος add. D. — [15] προτραπεὶς D. — [16] ὑπὸ D. — [17] om. D. — [18] ἀκολουθῶν τῷ ζακχαίῳ add. D. — [19] οἷα D. — [20] καὶ πρότριτα add. D. — [21] (μετὰ ταῦτα οὖν) ὕστερον δὲ N, om. D. — [22] ὡμολόγ. δὲ ὁ πατὴρ ἡμῶν ὕστερον D.

156. — [1] οὖν D. — [2] (ταπ. ὁ) ὁ θεῖος D. — [3] ταπεινὸς τῷ πνεύματι add. D. — [4] ita PND ; cf. Φ : τῶν οἰκιακῶν. — [5] (ἵ. δὲ) καὶ ἱστάμενος ἐν D. — [6] καὶ add. D. — [7] λεβητωνάρια ND. — [8] ἐν τ. κ. om. D. — [9] ἦσαν D. — [10] ἐν τῷ κελλίῳ add. D. — [11] ἑκὼν add. D. — [12] τινὰ χρ. N ; τοῦ λαβ. τινὰ ἑαυ. χρ. D. — [13] (εἰ μὴ) πλὴν D. — [14] τῆς αἰωνίου κολάσεως D. — [15] ἐλογίζετο D. — [16] om. N, τὸ D.

ἀποξενωθῆναι [17] τῆς ταπεινώσεως [18] καὶ τῆς γλυκύτητος τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Φ 111. **157.** Ἐν μιᾷ οὖν [1] ἐξερχομένων τῶν ἀδελφῶν τοῦ [2] φαγεῖν καὶ λαμβανόντων ἔμπροσθεν τῆς θύρας τὸ λεγόμενον κορσελήνιον [3], ὡς ἔθος ἦν τῶν [4] ἐκεῖ, ἦλθε καὶ ὁ πατὴρ καὶ ἔλαβε τὸ [5] μέρος αὐτοῦ. Καὶ ἀναχωρήσας εἰς τὸ κελλίον αὐτοῦ, ἠκολούθησεν αὐτῷ ὁ ἀββᾶς Θεόδωρος ὁ Ἀλεξανδρεύς. Καὶ ἐλθόντων αὐτῶν ἔνθα ἦν καθήμενος [6], ἠρώτησεν αὐτὸν [7] λέγων· « Ἤκουσα περὶ [8] Κορνηλίου ὅτι ἐγκρατής ἐστι σφόδρα, καὶ ἐν ὅλῃ τῇ συνάξει μὴ ἀφιέναι [9] τὴν διάνοιαν αὐτοῦ μετεωρίζεσθαι. Κἀγὼ οὖν ταύτῃ τῇ ὥρᾳ δοκιμάσας μετὰ πολλῆς τῆς [10] νήψεως [11], μόλις ἴσχυσα ποιῆσαι τρεῖς εὐχὰς [12] κατέχων μου τὸν λογισμόν. Εἰπὲ οὖν [13] μοι [14]· Πῶς δύναμαι ἀκούων [15] λόγους Θεοῦ καὶ εὐχόμενος μὴ μετέωρον ἔχειν τὸν νοῦν [16]; » Καὶ [17] λέγει [18] αὐτῷ παραβολήν [19]· « Δοῦλος κατὰ σάρκα ὁρῶν ἐλεύθερον θέλει καὶ αὐτὸς εἶναι ἐλεύθερος [20]· κἂν ᾖ πτωχός, ἄρχων θέλει καὶ αὐτὸς εἶναι [21]· καὶ ὁ ἄρχων, βασιλεύς. Καὶ Κορνήλιος [22], ὡς πολλὰ ἀγωνισάμενος, παρὰ τῆς χάριτος τοῦ Θεοῦ ἐκτήσατο [23] ὅπερ ἔχει [24]. Καὶ σὺ καμὼν ὁμοίως πίστευε [25] καὶ [26] λήψῃ πρὸς τὴν ἀξίαν [27]. »

Angeli duo monachi funus comitantur,

158. Μιᾷ οὖν [1] τῶν ἡμερῶν νεκροῦ σκήνωμα [2] ἐξεφέρετο [3] ἐν τῇ ὁδῷ [4]. Καὶ ἀπαντήσας [5] αὐτῷ [6] ὁ μέγας πατὴρ ἡμῶν Παχώμιος [7] ὁρᾷ δύο ἀγγέλους ἀκολουθοῦντας τῷ νεκρῷ [8] ὀπίσω [9] τοῦ κραββάτου. Καὶ λογισάμενος [10] περὶ αὐτῶν [11] παρεκάλεσε τὸν Θεὸν ἀποκαλύψαι αὐτῷ [12] τὸ γεγονός [13]. Καὶ [14] ἦλθον οἱ δύο [15] ἄγγελοι πρὸς

[17] καὶ μὴ add. N. — [18] ταπεινοφροσύνης D.

157. — [1] (ἐν μιᾷ οὖν) ποτὲ γοῦν D. — [2] μετὰ τὸ D. — [3] κορσενήλιον ND. — [4] τοῖς D. — [5] om. ND. — [6] ἔνθα συνήθως ἐκαθέζετο D. — [7] ὁ θεόδωρος οὗτος add. D. — [8] τοῦ add. D. — [9] καὶ διὰ πάσης τῆς συνάξεως οὐκ ἀφίησι D. — [10] om. N. — [11] (μετὰ π. τῆς ν.) καὶ βιασάμενος εἰς νῆψιν D. — [12] τρεῖς εὐχὰς ποιῆσαι ND. — [13] δὴ D. — [14] παρακαλῶ add. D. — [15] ἀκούειν N. — [16] μὴ μετεωρίζεσθαι τῷ νοΐ D. — [17] ἀποκριθεὶς ὁ μέγας add. N. — [18] (καὶ λέγ.) ὁ δὲ ὅσιος ἔφη D. — [19] παραβολικῶς D. — [20] (θέλει - ἐλ.) om. P. — [21] ἄρχων καὶ αὐτὸς θέλει εἶναι ND. — [22] καὶ ὁ κορν. N, κορν. γὰρ D. — [23] ἐκομίσατο D. — [24] κέκτηται D. — [25] καμὼν οὖν καὶ σὺ ὁμοίως καὶ πιστεύων D. — [26] ὅτι N, om. D. — [27] (πρὸς τὴν ἀξ.) τὰ πρὸς ἀξίαν N.

158. — [1] (μ. οὖν) ἐν μ. ND. — [2] νεκρός τις D. — [3] ἐξεκομίζετο D. — [4] (ἐν τῇ ὁ.) πρὸς ταφήν D. — [5] ὑπαντήσας D. — [6] αὐτὸ N, τῇ ἐκφορᾷ D. — [7] om. D. — [8] τὸν νεκρὸν N. — [9] ὄπισθεν D. — [10] θέλων μαθεῖν D. — [11] τίνος χάριν ἀκολουθοῦσι τῷ νεκρῷ add. D. — [12] om. P. — [13] (τὸ γ.) τοῦτο D. — [14] εὐθέως add. D. — [15] om. D.

αὐτόν· καὶ εἶπεν αὐτοῖς· « Διὰ τί ὑμεῖς ἄγγελοι ὄντες [16] ἀκολουθεῖτε τῷ νεκρῷ [17]; » Καὶ λέγουσιν αὐτῷ οἱ ἄγγελοι [18]· « Ὁ [19] εἷς ἡμῶν τῆς τετράδος ἐστὶ καὶ ὁ [20] ἕτερος [21] τῆς παρασκευῆς. Καὶ ἐπειδὴ ἕως οὗ ἐτελεύτησεν [22] ἡ ψυχὴ αὕτη [23] οὐ παρέλιπε [24] νηστεύουσα τετράδα καὶ παρασκευήν, κατὰ [25] τοῦτο καὶ ἡμεῖς παρηκολουθήσαμεν τῷ σκηνώματι αὐτῆς, ὅτι ἕως [26] θανάτου ἐφύλαξε [27] τὴν νηστείαν· κατὰ τοῦτο οὖν [28] καὶ ἡμεῖς [29] ἐδοξάσαμεν αὐτὴν ἀγωνισαμένην [30] ἐν Κυρίῳ [31]. »

qui feria quarta et sexta fideliter ieiunavit.

Proprio iudicio

159. Δίκαιον δὲ [1] ἡγησάμεθα εἶναι [2] πρὸς ὠφέλειαν [3] δεῖξαι [4] ἐν ὀλίγῳ τὸ κατὰ πάντα συμβουλευτικὸν τοῦ μεγάλου [5] πατρός. Καὶ [6] τὰ μὲν ἐν τῇ διατάξει [7] τοῦ [8] ἀγγέλου [9], τὰ δὲ [10] ἐξ ἐπερωτήσεως [11] ἁγίων ἀνδρῶν, τὰ δὲ ἀπὸ τῶν θείων γραφῶν [12], πάντα ἦν πράττων καὶ μὴ οἰόμενος εἰς ἑαυτὸν φρονεῖν τι [13]. Οὐχ ὡς μὴ γινώσκων δὲ [14] τὰ τοῦ πνεύματος τοῦτο [15] ἔπραττεν [16], ἀλλὰ μιμούμενος καὶ ἐν [17] τούτῳ τοὺς πρὶν πατέρας καὶ διδασκάλους καὶ αὐτὸν τὸν [18] ἀπόστολον Παῦλον [19]. Φαίνεται γὰρ καὶ αὐτὸς μετὰ τὴν τοσαύτην γνῶσιν καὶ ἀποκάλυψιν [20] τοῦ Θεοῦ [21] περὶ τῆς διδαχῆς [22] καὶ τοῦ κηρύγματος αὐτοῦ [23] ἀνατιθέμενος [24] τοῖς περὶ Ἰάκωβον [25]· λέγει γὰρ ταπεινοφρονῶν [26]· Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω [27], μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον. »

Cf. Act. 7,53.

non fidit Pachomius.

Gal. 2, 2.

160. Παρεγένετό [1] ποτε ὁ μέγας Μακάριος πρὸς τὸν πατέρα ἡμῶν· καὶ λέγει αὐτῷ [2] Παχώμιος [3] ὅτι· « Εἰσὶν ἀδελφοὶ [4] ὧδε [5]

Macarium consulit.

[16] τοῦ θεοῦ add. D. — [17] τὸν νεκρὸν N. — [18] (καὶ λέγουσιν - ἄγγ.) ἀπεκρίθησαν ἐκεῖνοι αὐτῷ λέγοντες D. — [19] μὲν add. D. — [20] (καὶ ὁ) ὁ δὲ D. — [21] ἄλλος N. — [22] διεζεύχθη D. — [23] ἀπὸ τοῦ σώματος αὐτῆς add. D. — [24] διέλιπε N, ἐνέλιπε D. — [25] διὰ D. — [26] μέχρι D. — [27] ἐτήρησε D. — [28] (κατὰ τ. οὖν) διὸ N, καὶ ὡς ἀγωνισαμένην ἐν κυρίῳ καλῶς D. — [29] om. N. — [30] om. N. — [31] ἀγων. ἐν κ. om. D.

159. — [1] om. N; καὶ τοῦτο add. D. — [2] τὸ δεῖξαι add. D. — [3] τῶν ἀκουόντων add. N. — [4] om. D. — [5] ἁγίου sup. lin. N. — [6] ὅπως D, ὅτι N. — [7] (ἐν τῇ διατ.) ἀπὸ τῆς διατάξεως N, κατὰ τὴν διάταξιν D. — [8] θείου add. D. — [9] τὰ δὲ κατὰ τὴν ὑφήγησιν τῆς ἱερᾶς γραφῆς add. D, τὰ δὲ ἀπὸ τῶν θείων γραφῶν add. N. — [10] καὶ add. ND. — [11] ἀπὸ ἐρωτήσεως N. — [12] τὰ δὲ ἀπὸ τῶν θ. γρ. om. ND. — [13] (πάντα ἦν - τι) ἦν διαπραττόμενος καὶ μηδὲν ἐθέλων ποιεῖν ἐξ οἰήσεως καὶ δοκοφροσύνης ἀσυμβούλως D. — [14] om. ND. — [15] ταῦτα ἃ καὶ N. — [16] τ. ἔ. om. D. — [17] (καὶ ἐν) κἀν D. — [18] θεῖον add. D. — [19] αὐτοῦ τοῦ ἀποστόλου παύλου P. — [20] τῶν μυστηρίων add. D. — [21] τὰ add. D. — [22] αὐτοῦ add. D. — [23] om. D. — [24] ἀνατιθέναι N. — [25] τοῖς περὶ ἰάκ. ἀνατιθέμ. D. — [26] (λέγει γ. ταπ.) καὶ ταπ. λέγει D. — [27] (καὶ ἀνεθ. - κηρ.) om. PD.

160. — [1] γὰρ add. D. — [2] ὁ μέγας add. N. — [3] ὁ πατὴρ D. — [4] τινες add. D. — [5] ἐνταῦθα ND.

μεθ' ἡμῶν ἀτάκτως περιπατοῦντες. Καλόν ἐστι παιδεῦσαι αὐτούς ;» Καὶ [6] λέγει [7] αὐτῷ ὁ μέγας Μακάριος · « Παίδευσον καὶ κρῖνον
I Cor. 5, 12-13. δικαίως τοὺς ὑπὸ σέ, ἔξω δὲ μὴ κρίνῃς τινά. Γέγραπται γάρ · Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε ; τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ [8]. »

Φ 112. **161.** Ἐπεὶ δὲ ἡ φήμη τοῦ μεγάλου Παχωμίου ἔφθασεν ἕως εἰς [1] μακράν [2], καὶ πολλοῖς ὑπόθεσις γέγονε σωτηρίας. Πολλοὶ δὲ [3] περὶ αὐτοῦ πρὸς ἀλλήλους ἀντέβαλον [4], τινὲς μὲν ὡς ἡ ἀλήθεια ἔχει ἐπαινοῦντες αὐτόν, τινὲς δὲ [5] καὶ ὑπὲρ τὰ μέτρα ἐγκωμιάζοντες. Καὶ μεταξὺ αὐτῶν [6] γέγονεν ἀμφιβολία τὸ [7] εἶναι καὶ λέγεσθαι αὐτὸν διορατικόν [8]. Ἐν τῇ ἐκκλησίᾳ οὖν Λατῶν παρόντων ἐπισκόπων καὶ μοναχῶν, ἦλθε καὶ ὁ πατὴρ ἐκεῖ [9] μετά τινων ἀρχαίων ἀδελφῶν κληθεὶς παρ' αὐτῶν [10] γυμνάσασθαι [11] περὶ τοῦ πράγματος τούτου [12]. Καὶ βλέπων [13] τοὺς περὶ αὐτὸν [14] φιλονεικοῦντας, ἐσιώπησε [15]. Καὶ λοιπὸν ἐρωτώμενος [16] παρὰ τῶν ἐπισκόπων Φίλωνος καὶ Ἐμώη τοῦ [17] ἀπολογήσασθαι, λέγει [18] αὐτοῖς · « Οὐ σὺν ἐμοὶ ἦτε ἐν τῷ μοναστηρίῳ μοναχοὶ [19] πρὸ τῆς ἐπισκοπῆς ὑμῶν ; Οὐκ οἴδατέ με τῇ τοῦ Θεοῦ χάριτι ὡς καὶ ὑμεῖς ἀγαπῶντα τὸν Θεὸν καὶ φροντίζοντα τῶν ἀδελφῶν ; Ὅτε Μωυσῆς ὁ τοῦ μαγδόλου λεγόμενος ἐδαιμονίσθη καὶ ὑπὸ δαιμόνων θανατωθῆναι ἔμελλεν [20], οὐκ ἔγνωτε πῶς δι' ἐμοῦ ἡ χάρις τοῦ Θεοῦ ἐβοήθησεν αὐτῷ ; ἵνα μὴ εἴπω ἄλλο [21]. » Ἀποκρίνονται αὐτῷ [22] ὅτι · « Ὁμολογοῦμέν σε ἄνθρωπον τοῦ Θεοῦ εἶναι, καὶ γινώσκομεν ὅτι ἔβλεπες τοὺς δαίμονας, πολεμῶν [23] αὐτοὺς [24] ἀποστῆναι τῶν ψυχῶν [25]. Πλήν, ἐπειδὴ ἀγὼν μέγας περὶ τὸ διορατικόν ἐστιν [26], ἀπολόγησαι περὶ αὐτοῦ · καὶ πείσομεν ἡμεῖς [27] τοὺς ἀντιλέγοντας καὶ γογγύζοντας [28]. »

[6] om. ND. — [7] ἀπεκρίθη D. — [8] κρ. ὁ θ. N.

161. — [1] om. N. — [2] (ἔφθασεν ἕως εἰς μακράν) πανταχοῦ περιήει καὶ ἀνὰ τοῖς πάντων στόμασιν ἔκειτο ὁ ἀνὴρ D. — [3] om. ND. — [4] ἀντέβαλλον ND. — [5] ὑπερβολικῶς add. D. — [6] (καὶ μεταξὺ αὐτῶν) μεταξὺ δὲ τούτων D. — [7] τοῦ N, περὶ τοῦ D. — [8] εἶναι αὐτὸν διορατικὸν καὶ λέγεσθαι D. — [9] (ἦλθε - ἐκεῖ) προσκληθεὶς ὑπ' αὐτῶν ὁ πατὴρ ἦκε D. — [10] (κληθεὶς παρ' αὐτῶν) ὥστε D. — [11] ἀκριβῶς add. D. — [12] καὶ γνῶναι αὐτοὺς τὸ ἀληθές add. D. — [13] (καὶ βλ.) βλέπων οὖν ὁ μέγας D. — [14] αὐτοῦ N. — [15] ἐσιώπα D. — [16] (καὶ λοιπὸν ἐρωτώμενος) εἶτα D. — [17] προτραπεὶς D. — [18] ἔφη D. — [19] μοναχοὶ ἐν τῷ μοναστηρίῳ ND. — [20] ἔμελλε θανατωθ. N ; καὶ ἔμελλεν ὑπὸ δαιμόνων θανατωθῆναι D. — [21] ἄλλον D. — [22] ἐκεῖνοι λέγοντες add. D. — [23] καὶ ἐπολέμεις D. — [24] καὶ ἐπετίμας add. D. — [25] καὶ τῶν σωμάτων add. D. — [26] ἐστὶ περὶ τὸ διορατικὸν D. — [27] ἡμεῖς πείσομεν D. — [28] παύσασθαι add. D.

162. Καὶ λέγει αὐτοῖς [1] · « Οὐκ ἠκούσατέ μου πολλάκις λέγοντος ὅτι [2] ἤμην παιδίον [3] μὴ εἰδὸς [4] τί ἐστι Θεὸς [5] καὶ ὅτι ἐξ ἑλλήνων ἤμην γονέων [6] ; Τίς οὖν ἐχαρίσατό μοι τὸ χριστιανὸν γενέσθαι [7] ; οὐκ αὐτὸς ὁ φιλάνθρωπος Θεός, ὁ καὶ μετὰ ταῦτα δοὺς [8] βοήθειαν εἰς τὸ ὁδηγεῖν καὶ φροντίζειν [9] πολλῶν ψυχῶν μοναχῶν πρὸς [10] σωτηρίαν ; Πολλάκις κατ' ἰδίαν εὑρίσκονται [11] δύο ἢ ἕνδεκα [12], καὶ μετὰ πολλοῦ κόπου κυβερνῶσιν ἐν φόβῳ Θεοῦ ἀλλήλους. Ἡμεῖς δὲ τοσοῦτον πλῆθος ὄντες ἐννέα μοναστηρίων οἱ νύκτα καὶ ἡμέραν σπουδάζοντες τηρῆσαι [13] τὰς ἑαυτῶν ψυχὰς ἀμέμπτους διὰ τοῦ ἐλέους τοῦ [14] Θεοῦ, οὐ πρόδηλόν ὅτι ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ διοικούμεθα καὶ κυβερνώμεθα, καὶ γινώσκειν [15] τὰς πανουργίας τῶν ἀκαθάρτων πνευμάτων ὡς [16] καὶ αὐτοὶ ὁμολογεῖτε ; Ἐχαρίσατο δὲ ἡμῖν [17] καὶ τοῦτο [18], οὐ δι' ἑαυτοὺς ἀλλὰ διὰ τοὺς δούλους αὐτοῦ, ὅτι οὕτως βούλεται ὁ Κύριος, γνῶναι [19] ἡμᾶς, τίς ὁ πορευόμενος καλῶς καὶ τίς ὁ ἐν ὑποκρίσει ὢν μοναχός. Ἀφῶμεν δὲ πρόλογον [20] τὸ χάρισμα τοῦ Θεοῦ · οἱ κατὰ κόσμον φρόνιμοι καὶ νοήμονες, ἐὰν ποιήσωσιν ὀλίγας ἡμέρας ἐν μέσῳ [21] ἀνθρώπων, ἑνὸς ἑκάστου διακρίνοντες [22] οὐκ ἐπιγινώσκουσι τὴν διάθεσιν τῶν ἀνθρώπων [23] ; Ὁ δὲ [24] ἀγαθὸς καὶ φιλάνθρωπος Κύριος, ὁ τὸ ἴδιον αἷμα δι' ἡμᾶς ἐκχέας, ἐὰν ἴδῃ τινὰ [25] ἐξ ὅλης καρδίας [26] μὴ θέλοντα τὴν ἀπώλειαν τοῦ πλησίον [27] ἀλλὰ μᾶλλον πολλῶν ψυχῶν σωτηρίαν [28], οὐ χαρίζεται [29] αὐτῷ χάρισμα διακρίσεως, τὸ πῶς σώσει αὐτοὺς ἀμέμπτους [30] ἤτοι διακρίσει πνεύματος ἁγίου ἤτοι ὀπτασίᾳ καὶ ἀποκαλύψει, ὅτε βούλεται ὁ Κύριος [31] ; Μὴ γὰρ ὅτε βου-

162. — [1] (καὶ λ. αὐ.) ὁ δὲ πατὴρ αὖθις πρὸς αὐτούς D. — [2] ὅτε add. N. — [3] ὅτι ἐξ ἑλλήνων ἤμην γονέων καὶ ὅτι ὑπῆρχον παιδ. D. — [4] μὴ εἰδὼς D, οὐκ ἤδειν N. — [5] (τί ἐστι θ.) ὅλως τὸν θεόν D. — [6] (καὶ ὅτι - γον.) om. D. — [7] τὸ γεν. χρ. D, τὰ χριστιανῶν γεν. P, τὸ χριστιανικὸν γεν. N. — [8] μοι add. ND. — [9] καὶ φρ. om. P. — [10] εἰς N. — [11] (πολλ. - εὑρ.) εὑρ. δὲ N. — [12] (δύο ἢ ἕνδ.) τινες εὐάριθμοι N, τινες εὐαρίθμητοι D ; recte Φ : δύο ἢ πέντε ἢ δέκα. — [13] τηρεῖν D. — [14] om. D. — [15] γινώσκομεν D. — [16] ἃς PN. — [17] ὁ θεὸς add. N. — [18] ὁ θεὸς add. D. — [19] γινώσκειν D. — [20] (ἀφ. δὲ πρ.) καὶ τί λέγω D. — [21] τινῶν add. D. — [22] γνώμην add. N. — [23] (τῶν ἀνθρ.) αὐτῶν N ; (ἑνὸς - ἀνθρ.) οὐκ ἐπιγιν. καὶ διακρίνουσιν ἑνὸς ἑκ. αὐτῶν τὴν διάθ. τῇ φυσικῇ γνώσει D. — [24] (ὁ δὲ) εἰ δὲ οὗτοι ἐπιγινώσκουσι καὶ διακρίνουσι πῶς οὐ μᾶλλον ἐπιγνώσεται καὶ διακρινεῖ ἐν οἷς οὗτος ἐστὶ καὶ ἐν οἷς ἐκεῖνος ὢν ὁ D. — [25] (ἐὰν ἴ. τ.) ἰδὼν D. — [26] αὐτοῦ τὸν πλησίον ἀγαπῶντα καὶ add. D. — [27] (τοῦ πλ.) αὐτοῦ D. — [28] (πολλ. ψ. σ.) τὴν σ. τῆς ψυχῆς αὐτοῦ D. — [29] (οὐ χ.) ἐδωρήσατο D. — [30] ἀμέμπτως N. — [31] (τὸ πῶς σώσει - κύρ.) om. D.

λόμεθα, βλέπομεν τὰ πρὸς σωτηρίαν ἡμῶν [32], ἀλλ' ὅταν [33] θελήσῃ
Ps. 143, 4. ὁ πᾶσαν κυβέρνησιν τῆς κτίσεως ἔχων [34]. Ἄνθρωπος γὰρ καθ'
ἑαυτὸν ματαιότητι ὡμοιώθη [35] · γενόμενος δὲ ὑπὸ Θεὸν γνησίως,
οὐκέτι ματαιότης ἐστίν, ἀλλὰ ναὸς Θεοῦ, καθὼς λέγει αὐτός [36] ·
II Cor. 6, 16. Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω · οὐ πᾶσιν, ἀλλὰ μόνοις [37]
τοῖς ἁγίοις τοῖς ποιήσασι [38] τὸ θέλημα αὐτοῦ λέγει · ὡς καὶ ἐν
ὑμῖν καὶ [39] τοῖς καθ' ὑμᾶς πᾶσιν, οὐ μὴν ἀλλὰ [40] καὶ ἐν ἐμοὶ Παχω-
μίῳ, ἐὰν ποιήσω [41] τὸ θέλημα αὐτοῦ. »

163. Ταῦτα οὖν [1] ἀκούσαντες [2] ἐθαύμασαν τὴν παρρησίαν [3] καὶ τὴν ταπεινοφροσύνην τοῦ ἀνδρός. Καί τινες ἐξ αὐτῶν ἐξ ἐνεργείας τοῦ ἐχθροῦ φθονήσαντες, τῷ λόγῳ [4] μὴ πεισθέντες [5], ἤθελον ἀποκτεῖναι αὐτόν [6]. Ἦλθε γάρ τις [7] ἐνεργούμενος [8] ὑπὸ δαίμονος, ἔχων [9] μάχαιραν τοῦ σφάξαι αὐτόν · ἀλλὰ διὰ τῶν συνόντων αὐτῷ ἀδελφῶν ἔσωσεν αὐτὸν ὁ Κύριος · καὶ διασωθεὶς τῇ χάριτι τοῦ Κυρίου, ἦλθε μετὰ τῶν ἀδελφῶν εἰς τὴν μονὴν αὐτῶν τὴν ἐσχάτην [10] τὴν λεγομένην Παχνοῦν [11], οὖσαν [12] ἐν τῇ ἐνορίᾳ τῆς αὐτῆς πόλεως.

Φ 113. **164.** Μετὰ [1] τὸ ἐξελθεῖν τὸ πλοῖον ἀπὸ Ἀλεξανδρείας — δύο γὰρ μόνα ἦσαν ὅλα [2] τοῦ κοινοβίου, τὸ μὲν ἓν εἰς τὸ πωλῆσαι τὰ ψιαθία διὰ τὴν τροφὴν καὶ τὰς ἄλλας χρείας, τὸ δὲ ἄλλο διὰ τοὺς λεβίτονας αὐτῶν [3] — Ζακχαῖος δὲ [4] καὶ Θεόδωρος [5] ἐλθόντες ἀπὸ Ἀλεξανδρείας ἠσπάσαντο [6] τὸν πατέρα αὐτῶν [7] καὶ τοὺς ἀδελφούς. Καὶ λέγει αὐτοῖς · « Πῶς ἔχει ἡ ἐκκλησία [8] ; » Ἐλυπεῖτο γὰρ [9] τότε δι' αὐτήν [10], ἐπειδὴ μετὰ βίας οἱ βλάσφημοι Ἀρειανοὶ μετὰ Γρηγορίου τινὸς ὡς λῃσταί τινες [11] ἐπανέστησαν αὐτῇ [12] · περὶ [13] ἧς καὶ [14] ηὔχετο τῷ Θεῷ, σφόδρα ὀδυνώμενος [15] τὴν καρδίαν διὰ τὸν λαὸν τοῦ Θεοῦ οὕτως [16] ἀδικούμενον καὶ μὴ ἔχοντα τὸν ἀρχιεπίσκοπον Ἀθανάσιον τὸν χριστοφόρον ἄνδρα. Καὶ [17] εἰπόντων ὅτι · « Ἀκμὴν ἐν σάλῳ ἐστίν, » ἔλεγεν [18] αὐτοῖς [19] · « Πιστεύομεν τῷ συγχωρήσαντι ταῦτα γενέσθαι Κυρίῳ πρὸς δοκιμὴν τῶν πιστῶν, ὅτι ἔσται [20] ἐκδίκησις. » Καὶ μετὰ ταῦτα λέγει [21] αὐτοῖς τὴν θλῖψιν τὴν γενομένην αὐτῷ ἐν τῇ Λατῶν ἐκκλησίᾳ, εὐχαριστῶν [22] καὶ λέγων ὅτι · « Ὀφείλομεν ὑπομένειν πάντα πειρασμόν · οὐ γὰρ βλάπτει ὁ πειρασμός, ἀλλὰ καὶ [23] ὠφελεῖ τὸν εὐχαρίστως δεχόμενον [24]. Οὗτοι μὲν [25] ὀρθόδοξοι πατέρες καὶ ἀδελφοί εἰσιν [26] οἱ ἐξετάζοντες τὰ καθ' ἡμᾶς [27]. Καὶ εἰ ὁ ἐχθρὸς ἔν τισιν ἰδίοις ἐπονηρεύσατο καθ' ἡμῶν ἐκτὸς γενομένων πρὸς ὀλίγον τοῦ τείχους, λέγω δὴ τοῦ νόμου [28], ἀλλ' ὁ Θεὸς καὶ τούτους καὶ [29] ἡμᾶς ἔσωσεν. Αὐτὸς δὲ ὁ ἁγιώτατος πάπας [30] Ἀθανάσιος, τοσοῦτον χρόνον ὑπὸ [31] ἐχθρῶν πολεμούμενος, μακάριός ἐστιν ὡς ἀληθῶς · καὶ οὐ δύνανται πρὸς αὐτὸν [32] ἔχοντα [33] τὸν Θεὸν βοηθὸν τῆς πίστεως [34] αὐτοῦ. Καὶ πληρωθήσεται εἰς αὐτὸν τὸ γεγραμμένον · Πᾶσα φωνὴ ἐπαναστήσεταί σοι εἰς κρίσιν, καὶ πάντας αὐτοὺς ἡττήσεις. » Καθὼς καὶ ἐγένετο · ἀπεκατεστάθη γὰρ ταχέως ὁ πάπας [35] μετὰ δόξης εἰς τὴν ἑαυτοῦ ἐκκλησίαν [36].

Cf. Ps. 73,3.

Is. 54, 17.

165. Μετὰ δὲ τὸ πάσχα νόσος κατέλαβε τοὺς ἀδελφοὺς παρὰ *Φ 114.*

[32] (μὴ γὰρ - ἡμ.) οὐχ ὅταν ἡμεῖς βουλώμεθα θεωροῦμεν τί τῶν κεκρυμμένων καὶ γινώσκομεν D. — [33] ὁ κύριος add. D. — [34] ὁ πᾶσαν τὴν κτίσιν διακυβερνῶν ἀποκαλύπτει ἡμῖν περὶ ὧν βούλεται εἴτε ἐν ὕπνοις εἴτε ἐν ἐγρηγόρσει εἴτε ἐν ἐκστάσει D. — [35] ὡμοίωται D. — [36] αὐ. λέγ. D. — [37] οὐκ ἐν πᾶσιν ἀλλ' ἐν μόνοις D. — [38] ποιοῦσι D. — [39] ἐν add. D. — [40] (οὐ μὴν ἀ.) ἀλλαμὴν D. — [41] (ἐὰν π.) εἴ γε ποιῶ D.

163. — [1] om. D. — [2] οἱ παρόντες add. D. — [3] ἅμα δὲ add. D. — [4] (τῷ λ.) καὶ τοῖς λόγοις αὐτοῦ N. — [5] (καί τινες - πεισθ.) τινὲς δὲ αὐτῶν μὴ πεισθ. τῷ λόγῳ αὐτοῦ ἀλλὰ μᾶλλον φθον. ἐξ ἐνεργ. τοῦ ἐχθροῦ D. — [6] αὐ. ἀποκτ. D. — [7] καὶ γὰρ ἦλθέ τις D. — [8] ὁρμηθεὶς D. — [9] κατέχων D. — [10] τὴν ἐ. om. D. — [11] παχνῶν N. — [12] τὴν οὖσαν N.

164. — [1] δὲ add. N. — [2] om. N. — [3] (μετὰ τὸ ἐξ. - αὐτῶν) om. D. — [4] om. N. — [5] καθὼς ἔφθημεν εἰπόντες εἰς ἀλεξάνδρειαν παραγενόμενοι μετὰ πλοίου · καὶ γὰρ δύο μόνον πλοῖα ἐκέκτητο τὸ κοινόβιον τὸ μὲν ἓν εἰς τὸ πωλεῖν τὰ ψιάθια διὰ τὴν τροφὴν καὶ τὰς ἄλλας χρείας τῶν ἀδελφῶν τὸ δὲ ἕτερον διὰ τοὺς λεβήτωνας αὐτῶν add. D. — [6] (ἐλθόντες - ἠσπάσ.) κἀκεῖθεν ἐπαναστρέψαντες οὗτοι εἰς τὴν μονὴν καὶ ἀσπασάμενοι D. — [7] om. D.

[8] (καὶ λέγει - ἐκκλ.) ἠρώτα αὐτοὺς ὁ πατὴρ περὶ τῆς ἐκκλησίας ὅπως ἔχει D. — [9] ἦν γὰρ λυπούμενος D. — [10] δι' αὐτὴν τότε ND. — [11] ὡς λησταί τινες om. N. — [12] ἐπειδὴ μετά τινος γρηγορίου οἱ βέβηλοι ἀρειανοὶ ἐπανέστ. αὐτῇ βιαίως καθάπερ λησταί D. — [13] ὑπὲρ N. — [14] om. D. — [15] λίαν add. N. — [16] ὡς D. — [17] τῶν δὲ D. — [18] ἐκεῖνος αὖθις φησί D. — [19] om. D. — [20] ταχέως add. D. — [21] (καὶ μ. τ. λ.) εἶτα διηγήσατο D. — [22] τῷ κυρίῳ add. D. — [23] μᾶλλον D. — [24] ὑπομένοντα D. — [25] γὰρ add. D. — [26] εἰσὶ καὶ ἀδ. ND. — [27] περὶ τῶν ἐπισκόπων λέγων add. D. — [28] τῆς χάριτος add. D ; (ἐκτὸς - νόμου) om. N. — [29] (καὶ τούτους καί) om. N, κἀκείνους καὶ D. — [30] πάππας N *hic et passim.* — [31] τῶν add. D. — [32] οἱ ἐχθροὶ add. N ; καὶ οὐ μὴ δυνήσονται κατ' αὐτοῦ οἱ ἀντικείμενοι D. — [33] ἔχοντος corr. D. — [34] (βοηθὸν τ. πίστεως) ὑπερασπίζοντα αὐτὸν διὰ τὸ καθαρὸν τῆς ὀρθοδοξίας N. — [35] ὁ π. om. N. — [36] καὶ ἀπεκατέστη εἰς τὴν ἐκκλ. αὐτοῦ ὁ πάπας ἀθανάσιος μετὰ δόξ. D.

Κυρίου [1], καὶ κατεκλίθησαν ἐν πάσαις ταῖς μοναῖς ἀδελφοὶ ὡς ἑκατὸν ἢ καὶ πλεῖον [2]. Ἐκακώθη δὲ καὶ ὁ πατήρ [3]. Ἡ δὲ νόσος ἦν ἡ λεγομένη λοιμική· καὶ ὅτε ἐλάμβανέ τινα [4] ὁ πυρετός, εὐθὺς [5] ἠλλάσσετο τῷ χρώματι, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ αἱματώδεις ἐγίνοντο [6], καὶ ἦν ὡς [7] πνιγόμενος ἕως οὗ ἀπεδίδου τὸ πνεῦμα. Τότε καὶ [8] Σοῦρος ἀπέθανεν ὁ ἡγούμενος τῆς μονῆς Παχνῶν, καὶ Κορνήλιος ὁ [9] ἡγούμενος τῆς μονῆς Μονχόσεως [10], καὶ Παφνούτιος ὁ οἰκονόμος [11] πασῶν [12] τῶν μοναστηρίων, ὁ μένων ἐν Παβώ, καὶ ἄλλοι πολλοὶ τῶν μεγάλων ἀδελφῶν. Θεόδωρος δὲ διηκόνει τῷ ἀββᾷ [13] Παχωμίῳ. Τὸ δὲ σῶμα αὐτοῦ [14], ἀπὸ τοῦ χρονίσαι αὐτὸν ἐν τῇ νόσῳ, ἐγένετο λεπτὸν σφόδρα· ἡ δὲ καρδία αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ ἦν [15] ὡς πῦρ καιόμενον.

166. Πρὸ οὖν [1] δύο ἡμερῶν τοῦ τελευτῆσαι αὐτόν, συγκαλεῖ [2] τοὺς ἄλλους πατέρας τῶν μονῶν καὶ τοὺς ἡγουμένους αὐτῶν· καὶ λέγει αὐτοῖς· « Βλέπετε ὅτι ἤδη ἐπισκέπτεταί με ὁ Κύριος ἐξελθεῖν τοῦ βίου [3]. Ἐκλέξασθε οὖν ἑαυτοῖς τὸν δυνάμενον ἐν Κυρίῳ κυβερνῆσαι ὑμᾶς [4]. » Καὶ [5] λυπούμενοι σφόδρα οὐκ ἴσχυσαν δοῦναι αὐτῷ ἀπόκρισιν. Καλεῖ οὖν [6] τινα τῶν τῆς μονῆς Χηνοβοσκείων, Ὡρσίσιον λεγόμενον, ὃς καὶ ἦν δυνατὸς τῇ πίστει, ταπεινόφρων τε καὶ ἀγαθός· καὶ λέγει αὐτῷ· « Περιελθὼν ἅπαντας τοὺς ἀδελφοὺς ἐξέτασον τίνα αἱροῦνται. » Καὶ περιελθὼν ἠρώτησε πάντας [7]. Οἱ [8] δὲ μετὰ κλαυθμοῦ εἶπον [9]· « Ἀφ' οὗ παρέδωκεν ἡμᾶς [10] Κύριος εἰς τὰς χεῖράς σου, οὐδένα οἴδαμεν εἰ μὴ σέ. Καὶ νῦν ὃ βούλει ποίει. » Λέγει δὲ [11] αὐτοῖς· « Εἰ πιστεύετέ μοι, Πετρώνιος οὗτος δύναται φροντίζειν ὑμῶν [12]. » Ἦν γὰρ καὶ αὐτὸς τότε ἀσθενῶν ἐν τῇ μονῇ αὐτοῦ [13] τῇ λεγομένῃ Πανός [14].

Φ 115. **167.** Μετὰ ταῦτα οὖν εὐξάμενοι [1] ἀνεχώρησαν. Καὶ λέγει [2] ὁ

165. — [1] παρὰ κ. om. N. — [2] πλέον ND. — [3] (ἐκακ. - π.) ὅτε καὶ ὁ π. ἡμῶν ἐνόσησεν D. — [4] ὅτε ἥπτετό τινος D. — [5] εὐθέως D. — [6] ἐγένοντο N. — [7] om. D. — [8] ὁ add. N. — [9] om. ND. — [10] μονχώσεως N, μονχωσέως D. — [11] ἡγούμενος PD. — [12] πάντων ND. — [13] πατρὶ ἡμῶν D. — [14] (τὸ δὲ σ. αὐ.) οὕτινος τὸ σῶμα D. — [15] ἦσαν N, ὑπῆρχον D.

166. — [1] δὲ D. — [2] καὶ add. D. — [3] τοῦ ἐξ. ἀπὸ τοῦ β. τούτου D. — [4] μετὰ τὴν ἐμὴν τελευτήν add. D. — [5] οἱ δὲ D. — [6] τότε καλεῖ ὁ πατὴρ D. — [7] (καὶ περ. ἠρ. π.) ὁ δὲ ἐποίησεν οὕτως καὶ ἠρ. αὐτούς D, ὁ δὲ κατὰ τὸν λόγον τοῦ πατρὸς περιελθὼν ἅπαντας καὶ ἐξετάσας ἠρώτησεν N. — [8] ἐκεῖνοι D. — [9] πρὸς τὸν πατέρα add. D. — [10] ὁ add. ND. — [11] om. N ; ὁ δὲ λέγ. D. — [12] ἐὰν ζήσῃ supplendum ex Φ. — [13] om. D. — [14] πανώς P.

167. — [1] (μετὰ - εὐξ.) καὶ εὐξαμένου αὐτοῦ N. — [2] (καὶ λ.) εἶπε δὲ N.

ἀββᾶς Παχώμιός [3] τινι ἀδελφῷ· « Ποίησον ἀγάπην καὶ ἔνεγκέ μοι στρῶμα, ὅτι τοῦτο βαρύ ἐστι καὶ τὸ σῶμά μου οὐ φέρει [4]. Ἔχω γὰρ ἤδη τεσσαράκοντα ἡμέρας νοσῶν. Ὅμως εὐχαριστῶ τῷ Κυρίῳ. » Ἀπελθὼν οὖν ἐκεῖνος εἰς τὸ οἰκονομεῖον, ἔλαβε στρῶμα καλὸν καὶ ἐλαφρόν [5], καὶ ἐπέβαλεν αὐτῷ [6]. Καὶ [7] ἰδὼν τὴν διαφορὰν τοῦ στρώματος λέγει αὐτῷ· « Ἆρον αὐτὸ ἀπ' ἐμοῦ· οὐ γὰρ ὀφείλω διαφορὰν κεκτῆσθαι ἐν οὐδενὶ τῶν ἀδελφῶν· ὁπωσδήποτε γὰρ τὰς ἡμέρας μου παρέρχομαι [8] ἕως [9] ἐξέλθω [10] τοῦ σώματος. »

168. Καὶ λοιπὸν ἤδη ἦν πρὸς τὸ ἀποδοῦναι τὸ πνεῦμα. Κρατεῖ οὖν [1] τὸν πώγωνα Θεοδώρου καὶ [2] λέγει αὐτῷ· « Τὰ ὀστᾶ μου ἐὰν μὴ [3] κρύψωσιν [4], ἐξένεγκε αὐτὰ ἐκεῖθεν. » Θεοδώρου [5] δὲ νομίσαντος [6] ὅτι παραγγέλλει αὐτῷ μὴ ἀφιέναι [7] τὸ σῶμα αὐτοῦ ὅπου [8] θάπτουσιν [9], ἀλλὰ μετατιθέναι [10] αὐτὸ ἀλλαχοῦ [11] λάθρα, λέγει αὐτῷ· « Οὕτως κελεύεις ὥστε μὴ πρόδηλον εἶναι τὸν τόπον [12] πᾶσι; » Καὶ λέγει αὐτῷ [13]· « Οὐ μόνον τοῦτο λέγω σοι, ἀλλὰ καὶ τοῦτο [14]. » Καὶ τρὶς παρήγγειλεν αὐτῷ [15]· ἔλεγε δὲ καὶ τῶν ἀδελφῶν τῶν ἀμελούντων μὴ ἀμελεῖν, ἀλλὰ διεγείρειν αὐτοὺς [16] τῷ νόμῳ τοῦ Θεοῦ [17]. Εἶτα λέγει [18] αὐτῷ [19] Θεόδωρος· « Καλῶς [20]. » Καὶ οὕτως ἀπέδωκε τὴν ψυχὴν αὐτοῦ τὴν ἁγίαν [21] τῇ ιδ' [22] τοῦ παχὼν [23] μηνός [24]. Ὅλην δὲ τὴν νύκτα ἀγρυπνούντων [25] περὶ αὐτὸν [26] ἀναγνώσεσι καὶ ψαλμῳδίαις καὶ εὐχαῖς [27], καὶ κηδευθὲν [28] τὸ ἅγιον αὐτοῦ σῶμα ἀπηνέχθη [29] εἰς τὸ ὄρος μετὰ ψαλμῶν [30] καὶ

Φ 116.

[3] (καὶ λ. - παχ.) ὁ δὲ πατὴρ ἡμῶν παχ. λέγει D. — [4] καὶ οὐ φέρει αὐτὸ τὸ σῶμα μου D. — [5] σκέπασμα δηλαδή add. D. — [6] ἐπ' αὐτῷ D, ἐπ' αὐτόν N. — [7] ὁ δέ N. — [8] παρέρχ. τὰς ἡμ. μου ND. — [9] ἂν add. D. — [10] ἐκ add. ND.

168. — [1] (κρ. οὖν) καὶ κρατήσας D. — [2] om. D. — [3] om. Φ, haud scio an recte. — [4] ἐὰν μὴ κρ. τὰ ὀστᾶ μου D. — [5] τοῦ θ. D. — [6] κατανοήσαντος D. — [7] ἀφεῖναι ND. — [8] ἔνθα αὐτὸ D. — [9] θάψουσιν D. — [10] μεταθεῖναι D. — [11] in marg. D. — [12] τὸν τόπον om. N ; τοῖς add. D. — [13] (καὶ λ. αὐ.) ὁ δὲ φησιν D. — [14] τὸ μὴ ἀμελεῖν τῶν ῥαθυμούντων ἀδελφῶν ἀλλὰ διεγείρειν αὐτοὺς τῷ νόμῳ τοῦ θεοῦ add. D. — [15] περὶ τούτων add. D. — [16] om. N. — [17] αὐτοὺς add. N ; (ἔλεγε δὲ - θεοῦ) om. D. — [18] (εἶτα λ.) λ. οὖν D. — [19] ὁ add. D. — [20] ἔσονται ταῦτα add. D. — [21] τὴν ἁγίαν αὐτοῦ ψ. ND. — [22] τεσσαρεσκαιδεκάτη N. — [23] ἰουνίου N. — [24] (τῇ ιδ' - μηνός) μαΐου μηνὸς πεντεκαιδεκάτη D. — [25] ἀγρυπνησάντων N. — [26] τῶν πατέρων ἐν add. N ; (ὅλην - αὐτὸν) οἱ δὲ ἀδελφοὶ πᾶσαν τὴν ν. περὶ αὐ. ἦσαν ἀγρυπνοῦντες D. — [27] ἐν ψαλμ. καὶ εὐχ. καὶ ἀναγν. D. — [28] κηδευσάντων N, κηδεύσαντες D. — [29] ἀπήνεγκαν ND. — [30] καὶ ὕμνων add. D.

ἐτάφη [31]. Καὶ καταβάντων αὐτῶν [32], μετεβίβασαν [33] αὐτὸν [34] Θεόδωρος καὶ ἄλλοι τρεῖς ἀδελφοὶ εἰς ἕτερον τόπον [35], καὶ ἔστιν ἐκεῖ [36] ἕως ἄρτι.

Φ 117. **169.** Οἱ δὲ ἀποσταλέντες ἐπὶ [1] τὸν ἀββᾶν Πετρώνιον ἤνεγκαν [2] αὐτὸν νοσοῦντα. Καὶ ἐν αὐτῇ ὢν τῇ νόσῳ ἦν ἀνδρεῖος [3] καὶ νηφάλεος [4]. Καὶ ποιήσας ὀλίγας ἡμέρας κυβερνῶν τοὺς ἀδελφοὺς λόγῳ Θεοῦ κατὰ τὴν διάταξιν [5] τοῦ μεγάλου πατρὸς αὐτῶν [6], ἐτελεύτησε. Μέλλων δὲ [7] ἀποδοῦναι τὸ πνεῦμα ἐξήτασε [8] τοὺς ἀδελφοὺς τίνα βούλονται διάδοχον πατέρα ἔχειν ἀντ' αὐτοῦ. Εἰπόντων δὲ πάλιν τῶν ἀδελφῶν τὴν μέριμναν ταύτην αὐτοῦ εἶναι [9], ἔταξεν αὐτοῖς [10] τὸν ἀββᾶν Ὡρσίσιον, περὶ οὗ καὶ πρότερον ἐμνημονεύσαμεν . Καὶ ἀκούσας [11] Ὡρσίσιος ἔκλαυσε [12] λέγων· « Οὐκ ἔστι τῆς ἐμῆς δυνάμεως τοῦτο. » Καὶ οὕτως κηδεύσαντες [13] τὸν ἅγιον Πετρώνιον ἔθαψαν αὐτὸν εἰς τὸ ὄρος.

Φ 118. **170.** Ἦν δὲ ὁ ἀββᾶς Ὡρσίσιος λίαν ἀγαθὸς καὶ ταπεινός [1]. Καὶ περιήρχετο τὰ μοναστήρια ἐπισκεπτόμενος τοὺς ἀδελφοὺς νηφαλέως [2]· ὃς [3] ἐσπούδαζε φυλάττειν [4] τὰς παραδόσεις τοῦ ἁγίου πατρὸς [5] Παχωμίου. Καὶ στήκων [6] καὶ καθήμενος, συνεχῶς ἐλάλει τὸν λόγον αὐτοῖς [7] τοῦ Θεοῦ, ὠφελῶν αὐτοὺς μεγάλως. Ἐμνημόνευε δὲ πολλάκις τοῦ λόγου [8] τοῦ ἀββᾶ [9] Παχωμίου λέγοντος [10] αὐτῷ [11], ὅτε ἦν κεφαλὴ [12] εἰς τὴν μονὴν τὴν λεγομένην Χηνοβοσκεῖον [13], ὅτι· « Κἂν οὔπω ἔλαβες πολλὴν τὴν γνῶσιν παρὰ Θεοῦ, ἀλλ' εἰπὲ αὐτοῖς παραβολήν· καὶ ὁ Θεὸς ἐνεργεῖ αὐτήν. » Καὶ οὕτως λαλῶν αὐτοῖς τὰς παραβολὰς ἀπέλυεν αὐτούς [14]· καὶ ἐθαύμαζον ἀκούοντες οἱ ἀδελφοί.

Ἐν μιᾷ δὲ τῶν ἡμερῶν λέγει τοῖς ἀδελφοῖς· « Οἴδαμεν ὅτι

[31] ἔθαψαν αὐτό ND. — [32] αὐτῶν δὲ καταβάντων ἀπὸ τοῦ ὄρους D. — [33] μετεκόμισαν D, μετέθηκεν N. — [34] αὐτὸ ND ; ὁ add. N. — [35] ἔνθα add. D. — [36] om. D.

169. — [1] εἰς N. — [2] ἤγαγον D. — [3] τῷ πνεύματι add. D. — [4] νηφάλιος D. — [5] τάξιν N. — [6] ἡμῶν D. — [7] (μ. δὲ) ὅτε γοῦν ἤγγιζεν D. — [8] ἠρώτησε D. — [9] (εἶπ. - εἶναι) τῶν δὲ τὴν διάκρισιν ταύτην καὶ ἐκλογὴν ἐπ' αὐτὸν εἶπ. εἶναι D. — [10] πατέρα καὶ διάδοχον αὐτοῦ add. D. — [11] ὁ add. N. — [12] (καὶ ἀκ. ὠ. ἔ.) ἐκεῖνος δὲ παρητεῖτο τὴν προστασίαν μετὰ δακρύων D. — [13] τελευτήσαντα D.

170. — [1] τῷ πνεύματι add. D. — [2] νηφαλίως D. — [3] καὶ add. D. — [4] φυλάσσειν N. — [5] om. ND. — [6] ἱστάμενος ND. — [7] (τὸν λόγ. αὐτ.) αὐτ. τὸν λ. ND. — [8] τὸν λόγον N. — [9] πατρὸς ἡμῶν D. — [10] εἰπόντος ND. — [11] αὐτοῦ P. — [12] ἐπιστατῶν D. — [13] χηνοβοσκίον PN, χηνοβοσκίων D. — [14] ita PND ; cf. Φ : ἔλυεν αὐτάς.

ἀπὸ τῶν θείων γραφῶν ὁ ὅσιος πατὴρ ἡμῶν [15] ἐν τελείᾳ γνώσει ἐστήριξεν [16] ἡμᾶς. Ἀλλὰ κατὰ τὴν πτωχείαν μου λέγω κἀγὼ ὅτι ἐὰν μὴ ὁ [17] ἄνθρωπος φυλάξῃ [18] τὴν ἑαυτοῦ καρδίαν καλῶς διὰ παντὸς νήφων [19], ἐπιλανθάνεται πάντα ὅσα λόγια Θεοῦ ἤκουσε [20] καὶ ἀμελεῖ [21] τῆς ἑαυτοῦ σωτηρίας· καὶ οὕτως ὁ ἐχθρὸς εὑρὼν ἐν αὐτῷ τόπον, ἐκ τοῦ [22] κατὰ μικρὸν [23] καταβάλλει αὐτόν. Ὥσπερ γὰρ λύχνος σκευασθεὶς καὶ φαίνων, ἐὰν ἀμεληθῇ λαβεῖν [24] ἔλαιον, σβέννυται κατ' ὀλίγον, καὶ λοιπὸν ἐνδυναμοῦται [25] τὸ σκότος κατ' αὐτοῦ [26]· οὐ μόνον δὲ τοῦτο [27], ἀλλ' ἐνίοτε [28] μῦς [29] περιερχόμενος ζητήσει [30] τὸ ἐλλύχνιον [31] καταφαγεῖν· πρὸ τοῦ οὖν [32] σβεσθῆναι [33] οὐ δυνήσηται [34] τέλεον [35] καταφαγεῖν αὐτό [36]· ἐὰν δὲ ἴδῃ ὅτι οὐ μόνον φῶς οὐκ ἔχει, ἀλλ' οὔτε θέρμην πυρός [37], τότε τὸ [38] ἐλλύχνιον [39] ἀνασπάσας θέλων [40] φαγεῖν [41], καταβάλλει καὶ [42] τὸν λύχνον εἰς τὸ συντριβῆναι [43]· καὶ ἐὰν μὲν ᾖ ὀστράκινος, ταχέως [44] ἀπόλλυται· ἐὰν δὲ χαλκοῦς [45] εὑρεθῇ [46], ὑπὸ τοῦ οἰκοδεσπότου ἄνωθεν σκευάζεται [47]. Οὕτω καὶ ψυχῆς ἀμελούσης [48] ὅσον ὅσον [49] τὸ πνεῦμα τὸ ἅγιον ἀναχωρεῖ, ἕως [50] τέλεον [51] ἀποσβεσθῇ [52] τῆς θέρμης αὐτῆς [53]· καὶ λοιπὸν ὁ ἐχθρὸς καταφαγὼν τὴν προθυμίαν τῆς ψυχῆς καὶ τὸ σῶμα ἀφανίζει κακίᾳ, καὶ συντρίβεται τέλεον [54]. Ἐὰν δὲ μείνῃ [55] ἐκεῖνος καλῶς [56] τῇ διαθέσει [57] πρὸς τὸν Θεόν, ἡρπάγη [58] δὲ ἐν ἀμελείᾳ πολλάκις [59] ὡς ἄνθρωπος [60], ὁ Θεὸς ὁ [61] οἰκτίρμων [62] βάλλει εἰς αὐτὸν τὸν φόβον αὐτοῦ καὶ

[15] παχώμιος add. D. — [16] ἐστήριζεν D. — [17] om. N. — [18] ἐὰν ἄνθρ. μὴ φυλ. D. — [19] νήφ. διαπαντὸς D. — [20] ὅσα ἤκ. λόγ. θεοῦ D. — [21] περὶ add. ND. — [22] ἐκ τοῦ om. N. — [23] bis scriptum in N. — [24] καὶ οὐκ ἐπιχεθῇ αὐτῷ D. — [25] κατισχύει αὐτοῦ D. — [26] κατ' αὐ. om. D. — [27] (οὐ μ. δὲ τ.) οὐ μὴν δὲ D. — [28] ἀλλ' ἐν. corr. P ; καὶ add. N. — [29] ἀλλὰ καὶ μῦς ἐνίοτε D. — [30] ζητῆσαι P, καὶ ζητῶν D, ζητεῖ N ; correxi ex Φ. — [31] τὸν λύχνον N. — [32] om. D. — [33] αὐτὸν add. D. — [34] δυνήσεται D. — [35] ὅλως λαβεῖν αὐτὸ καὶ D. — [36] om. D. — [37] ἐὰν δὲ ἴδῃ αὐτὸν ἐσβεσμένον καὶ οὔτε φῶς οὔτε θέρμην. πυρὸς ἔχοντα D. — [38] om. D. — [39] ἐνλύχνιον N. — [40] εἰς τὸ D. — [41] αὐτό add. ND. — [42] om. N. — [43] εἰς τὸ σ. om. D. — [44] εὐθέως συντρίβεται καὶ D. — [45] χαλκὸς P. — [46] εἴῃ D. — [47] πάλιν ἐπισκευάζεται D. — [48] ἀμελῶς διακειμένης D. — [49] (ὅ. ὅ.) καταβραχὺ D. — [50] ὡς εἰς N, ἕως ἂν D. — [51] om. D. — [52] καὶ ψυχρανθῇ add. D. — [53] αὐτοῦ N. — [54] (λοιπὸν - τέλ.) τηνικαῦτα εὑρὼν ὁ πονηρὸς χώραν κατεσθίει τὴν ἐν τοῖς ἀγαθοῖς προθ. αὐτῆς ἅπασαν τὸ δὲ σῶμα αὐτῆς συντρίβει καὶ ἀπόλλυσι τῇ κακίᾳ D. — [55] καὶ μένῃ N. — [56] καλὸς corr. N. — [57] ἐὰν δέ τις καλῶς ἔχῃ διαθέσεως τὰ D. — [58] συνηρπάγη D. — [59] om. N ; πολλ. ἐν ἀμ. D. — [60] ὅμως add. D. — [61] om. D. — [62] καὶ ἐλεήμων ὑπάρχων add. D.

τῶν κολάσεων τὴν μνήμην [63] · καὶ [64] νήψαντος αὐτοῦ, διατηρεῖ αὐτὸν εἰς τὰ ἔμπροσθεν [65]. Διὰ τοῦτο [66] καλῶς ὁ ἀπόστολος λέ-
I Thess. 5,19. γει [67] · « Τὸ πνεῦμα μὴ σβέννυτε. » Τηρῶμεν οὖν νηφαλέως [68] τὸν φόβον τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς [69] ἕως τῆς ἐπισκοπῆς αὐτοῦ. » Καὶ ταῦτα λαλήσας [70] ἀνέστη εὔξασθαι, οἰκοδομήσας αὐτοὺς τῇ παραβολῇ [71].

Φ 119. **171.** Οὗτος ὁ ἀββᾶς Ὡρσίσιος [1], καὶ ὅτε περιῆν ὁ ἀββᾶς [2] Παχώμιος, ἦν ἐν μέσῳ τῶν ἀδελφῶν ζηλῶν τὸν βίον αὐτοῦ · κατέλαβε γὰρ αὐτὸν χρόνον ἱκανὸν συνδιάγων [3]. Ὅτε δὲ [4] ἔταξεν αὐτὸν [5] εἰς Χηνοβοσκεῖον [6] ἡγούμενον [7], γογγυσάντων τινῶν [8] περὶ αὐτοῦ ὡς ὄντος [9] νεοφύτου πρὸς τὴν τάξιν [10], ἀκούσας [11] ὁ ἀββᾶς [12] Παχώμιος [13] ἔλεγε [14] περὶ αὐτοῦ [15] ἐκείνοις [16] ὅτι · « Μὴ νομίσητε τῶν ἀρχαιοτέρων εἶναι μόνων [17] τὴν βασιλείαν τοῦ Θεοῦ. Καίτοι ἀρχαῖος [18] γογγύζων περὶ τοῦ ἀδελφοῦ αὐτοῦ, οὐκ ἔστιν ἀρχαῖος [19], ἀλλ' οὔτε [20] ἀρχὴν ἔβαλε τοῦ μοναχοῦ, ταπείνωσιν καὶ ἀγάπην μὴ κτησάμενος. Ὁ γὰρ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς ἄλλο τι οὐ θέλει [21] παρὰ τοῦ ἀνθρώπου, εἰ μὴ φόβον καὶ ἀγάπην [22]. Ἡ
Rom. 13, 10. δὲ [23] ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. Λέγω δὲ ὑμῖν ὅτι οὕτως προκόπτων Ὡρσίσιος λυχνία χρυσῆ ἐστιν ἐν [24] οἴκῳ Κυρίου.
II Cor. 11,2. Καὶ τὸ γεγραμμένον καταλήψεται αὐτὸν τό · Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Κυρίῳ. »

Φ 120. **172.** Ἐγένετο δὲ ὅτε ὁ ἁγιώτατος Ἀθανάσιος ὁ ἀρχιεπίσκοπος ἀνέκαμψε μετὰ δόξης ἀπὸ Κωνσταντινουπόλεως, ἦλθον [1] πολλοὶ τῶν [2] πατέρων [3] εἰς συντυχίαν αὐτοῦ. Καὶ ἀπερχόμενοι οἱ ἀδελφοὶ [4]

[63] καὶ τὴν μν. τῆς ἀτελευτήτου κολάσεως D. — [64] οὕτω add. D. — [65] διατηρεῖ ἑαυτὸν τῇ τοῦ θεοῦ χάριτι ἐν τοῖς ἑξῆς D. — [66] γὰρ παραγγέλλει add. D. — [67] λέγων D. — [68] ἐν ἑαυτοῖς νηφαλίως D. — [69] αὐτοῦ add. D. — [70] (καὶ τ. λαλ.) τ. εἰπὼν τοῖς ἀδελφοῖς D. — [71] (ἀν. - παρ.) καὶ οἰκοδ. αὐτοὺς τῇ παρ. ἀνέστη προσεύξασθαι D.

171. — [1] ὡρσίσιος N *hic et deinceps*. — [2] πατὴρ ἡμῶν D. — [3] αὐτῷ add. N ; (κατέλ. - συνδ.) καὶ συνδ. αὐτῷ χρ. οὐκ ὀλίγον D. — [4] (ὅτε δὲ) καὶ ὅτε D. — [5] ἡγούμενον add. N. — [6] εἰς τὴν μονὴν τῶν χηνοβοσκίων ND. — [7] om. N. — [8] (γογγ. τιν.) καὶ ἤκουσεν ὅτι ἐγόγγυσαν τινὲς N. — [9] om. ND. — [10] ὄντος add. N, ὄντος ταύτην καὶ μὴ ἁρμοδίου add. D. — [11] οὗτος add. D. — [12] πατὴρ ἡμῶν D. — [13] (ἀκ. - παχ.) om. N. — [14] εἶπε D. — [15] π. αὐ. om. N. — [16] πρὸς ἐκείνους ND. — [17] μόνον εἶναι N ; μόνων εἶναι τὴν ἀρετὴν καὶ D. — [18] ἐστιν ὁ add. D. — [19] (αὐτοῦ - ἀρχ.) om. D. — [20] οὔπω D. — [21] (ἄλλο τι οὐ θ.) οὐδὲν οὕτω ζητεῖ D. — [22] (εἰ μὴ - ἀγ.) ὡς ἀγ. καὶ ταπείνωσιν καὶ φ. D. — [23] γὰρ D. — [24] τῷ add. D.

172. — [1] ἠθέλησαν D. — [2] εἰς ἡμᾶς add. D. — [3] ἀπελθεῖν add. D. — [4] οἱ ἀδ. om. D.

μετὰ τοῦ πλοίου εἰς Ἀλεξάνδρειαν [5], ἤκουσαν [6] τὸν μακάριον [7] πατέρα ἡμῶν [8] Ἀντώνιον ἐν τῷ ὄρει τῷ ἔξω εἶναι [9] · καὶ ὁρμίσαντες [10] ἀνέβησαν ἰδεῖν αὐτὸν καὶ εὐλογηθῆναι παρ' αὐτοῦ [11] ὡς ὄντος [12] ἀνθρώπου τοῦ Θεοῦ. Καὶ αὐτὸς ἀκούσας ἐληλυθέναι τοὺς ἀδελφούς [13], βιασάμενος ἑαυτὸν [14] ἀνέστη · ἦν γὰρ πρεσβύτης σφόδρα · καὶ ἐξελθὼν ἠσπάσατο αὐτούς. Καὶ [15] λοιπὸν ἐρωτᾷ τούτους · « Πῶς ὁ ἀββᾶς Παχώμιος [16] ; » Αὐτῶν δὲ κλαιόντων, συνῆκεν ὅτι ἀπέθανε · καὶ λέγει αὐτοῖς · « Μὴ κλαίετε · πάντες [17] ὑμεῖς ἐγένεσθε [18] ὁ Παχώμιος [19]. Λέγω γὰρ ὑμῖν [20], μεγάλην ἀνεδέξατο διακονίαν τὴν συναγωγὴν [21] τοσούτων ἀδελφῶν, καὶ τῇ τῶν ἀποστόλων ὁδῷ πεπόρευται. » Ἀποκρίνεται [22] ὁ ἀββᾶς Ζακχαῖος καὶ [23] λέγει αὐτῷ · « Σὺ μᾶλλον, πάτερ ἅγιε [24], παντὸς τοῦ κόσμου ἐν τῇ γενεᾷ ταύτῃ φῶς τυγχάνεις, καὶ ἡ φήμη σου ἕως Cf. Mt. 5, 14.
τοῖς οἴκοις [25] τῶν βασιλέων [26] ἀπῆλθε, καὶ δοξάζουσι τὸν Θεὸν διὰ σοῦ. » Καὶ λέγει αὐτῷ [27] · « Ἀδελφὲ Ζακχαῖε, ἀποπείθω σε [28]. Κατὰ τὴν ἀρχὴν ὅτε γέγονα μοναχός, οὐκ ἦν κοινόβιον θρέψαι ἢ ἄλλας [29] ψυχὰς συναθροῖσαι [30], ἀλλ' ἕκαστος τῶν ἀρχαίων μοναχῶν μετὰ τὸν διωγμὸν κατὰ μόνας ἠσκεῖτο. Μετὰ ταῦτα δὲ [31] ὁ πατὴρ ὑμῶν [32] Παχώμιος ἐποίησε τοῦτο τὸ ἀγαθὸν παρὰ Θεοῦ. Ἄλλος μὲν [33] πρὸ αὐτοῦ Ἀωτᾶς [34] ὀνόματι ἠθέλησε τὴν διακονίαν ταύτην κτήσασθαι · καὶ ἐπειδὴ ἐξ ὅλης καρδίας οὐκ ἐσπούδασε, διὰ τοῦτο οὐκ ἐπέτυχεν αὐτῆς [35]. Περὶ δὲ τοῦ πατρὸς ὑμῶν ἤκουσα πολλάκις καλῶς ἀναστρεφομένου κατὰ τὰς γραφάς. Καὶ ἐν ἀληθείᾳ ἠβουλήθην πολλάκις ἰδεῖν αὐτὸν καὶ ἐν σώματι · τάχα δὲ ἄξιος οὐκ ἦμην [36] · ὅμως ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ χάριτι Χριστοῦ [37] βλέπομεν [38] ἀλλήλους καὶ πάντας τοὺς ἁγίους πατέρας. Στῆτε οὖν καὶ στηρίχθητε καὶ τελειώθητε [39]. Εἴπατε δέ μοι [40] · τίνα κατέστησε

[5] εἰς ἀλεξ. μετὰ τοῦ πλοίου D. — [6] ἔμαθον D. — [7] om. D. — [8] τὸν μέγαν add. D. — [9] ἤκουσαν περὶ τοῦ μεγάλου πατρὸς ἡμῶν τοῦ μακαρίου ἀντωνίου ὡς ἔστιν ἐν τῷ ἔξω ὄρει N. — [10] ὁρμήσαντες D. — [11] ὑπ' αὐτοῦ D. — [12] ἀληθῶς add. D. — [13] (τοὺς ἀδ.) αὐτοὺς D. — [14] ἑαυτ. βιασ. ND. — [15] εἶτα D. — [16] ἔχει add. D. — [17] γὰρ add. D. — [18] γενέσθαι ὡς N. — [19] (ἐγ. ὁ π.) παχ. ἐγ. D. — [20] ὅτι add. N. — [21] τῶν add. D. — [22] ἀποκριθεὶς δὲ D. — [23] om. D. — [24] om. ND. — [25] τ. οἴκ. om. D. — [26] βασιλείων οἴκων D. — [27] (καὶ λέγ. αὐτῷ) ὁ δὲ ἔφη N, καὶ ὁ μέγας ἀντώνιος πρὸς αὐτόν D. — [28] (ἀπ. σε) πείσθητί μοι φησὶν ὅτι D. — [29] θρ. ἢ ἄλλ. om. D. — [30] καὶ ὠφελῆσαι add. D ; οὐκ ἦν κοιν. ἢ ἄλλως ψυχαὶ συναθροισθεῖσαι N. — [31] μετὰ δὲ ταῦτα ND. — [32] ἡμῶν PN. — [33] γάρ τις D. — [34] ταωτᾶς N. — [35] ταύτης D. — [36] (τάχα - ἦμ.) καὶ ἴσως οὐκ ἦμ. ἄξ. D. — [37] χάρ. χρ. om. ND. — [38] ὀψόμεθα D. — [39] στῆτε οὖν ἐστηριγμένοι καὶ τετελειωμένοι D. — [40] καὶ add. D.

διάδοχον αὐτοῦ ; » Αὐτῶν δὲ εἰπόντων · « Τὸν ἀββᾶν Πετρώνιον · κἀκεῖνος ἀποθνῄσκων τὸν ἀββᾶν Ὡρσίσιον, » λέγει [41] · « Μὴ καλεῖτε αὐτὸν Ὡρσίσιον, ἀλλ' Ἰσραηλίτην. Καὶ ἐὰν ἀπέλθητε πρὸς τὸν ἐπίσκοπον [42] Ἀθανάσιον, τὸν ἄξιον ἀληθῶς τῆς ἐπισκοπῆς [43], εἴπατε αὐτῷ · Τάδε λέγει ὁ [44] Ἀντώνιος · Πρόσεχε τοῖς τέκνοις τοῦ Ἰσραηλίτου [45]. » Καὶ οὕτως εὐξάμενος καὶ εὐλογήσας αὐτούς, ἀπέστειλεν [46] αὐτούς, γράψας [47] ἐπιστολὴν αὐτῷ δι' αὐτῶν [48]. Καὶ λοιπὸν [49] ἐλθόντες [50] εἰς Ἀλεξάνδρειαν ὑπεδέξατο αὐτοὺς ὁ πάπας [51] ἀγαπῶν αὐτούς [52], μάλιστα διὰ τὸν λόγον τοῦ μακαρίου Ἀντωνίου, γινώσκων αὐτὸν ὁποῖος ἦν.

Φ 121. **173.** Μετὰ ταῦτα δὲ [1] ὁ ἀββᾶς Ὡρσίσιος ἔταξε πρὸς καιρὸν [2] Θεόδωρον [3] οἰκιακὸν γενέσθαι [4] τῶν τεκτόνων τῆς μονῆς Παβώ. Ἄλλος [5] δέ τις [6], πατὴρ [7] τῆς μονῆς Παχνῶν [8], Μακάριος ὀνόματι [9], μετὰ [10] ἀββᾶν Σοῦρον [11], ᾐτήσατο τὸν ἀββᾶν Θεόδωρον παρὰ τοῦ ἀββᾶ Ὡρσισίου, ὅπως μετ' αὐτοῦ πέμψῃ αὐτὸν [12] εἰς τὴν μονὴν αὐτοῦ, ὡς ἵνα ποιήσῃ [13] τοὺς ἄρτους αὐτῶν. Ἤδει γὰρ ὅτι εἰς παραμυθίαν γενήσεται τοῦτο [14]. Καὶ [15] μετὰ τὸ πάσχα [16] ἀπῆλθε μετ' αὐτοῦ εἰς τὴν μονήν [17] Καὶ [18] ἔτι ἐν τῷ πλοίῳ ὄντων αὐτῶν [19], προσῆλθε τῷ Θεοδώρῳ ἀδελφός τις καθημένῳ, καὶ βλέπων ὡς νεόφυτον [20] ταπεινὸν καὶ ἡσύχιον [21], λέγει αὐτῷ · « Πόσον χρόνον ἐποίησας [22] ἐν τοῖς ἀδελφοῖς ; ». Ὁ δὲ εἶπεν [23] · « Ὀλιγον. » Καὶ λέγει αὐτῷ [24] · « Οἶδας πρὸ τοῦ σε ἐλθεῖν ἀρτοκόπος ; » Καὶ λέγει αὐτῷ · « Ἁπλῶς. » Πάλιν εἶπε τῷ Θεοδώρῳ [25] · « Ἐὰν ἐλθὼν εἰς

[41] αὐτοῖς *add.* ND. — [42] ἀρχιεπίσκοπον D. — [43] ἀρχιεπισκοπῆς D. — [44] *om.* ND. — [45] ἔγραψε δὲ καὶ ἐπιστολὴν αὐτῷ δι' αὐτῶν *add.* D. — [46] ἐξαπέστειλεν D. — [47] καὶ *add.* N. — [48] δι' αὐ. *om.* N ; (γρ. - αὐ.) *om.* D. — [49] *om.* D. — [50] (καὶ λοιπ. ἐλθ.) οἱ δὲ παραγενόμενοι N. — [51] πάπας N *passim.* — [52] (ἀγ. αὐ.) ἀσπασίως D.

173. — [1] μετὰ δὲ τ. N. — [2] τὸν *add.* D. — [3] θεόδ. πρὸς κ. N. — [4] εἶναι D. — [5] μακάριος D. — [6] ὀνόματι *add.* D. — [7] καὶ ἡγούμενος τυγχάνων *add.* D. — [8] τῆς μ. παχνῶν πατήρ N. — [9] μακ. ὀν. *om.* D. — [10] τοῦ *add.* N, τὸν *add.* D. — [11] ἀββᾶ σούρου PN. — [12] ὅπ. πέμψῃ αὐτ. μετ' αὐτοῦ N, ὅπ. μετ' αὐτοῦ παραγένηται D. — [13] (ὡς ἵνα π.) τοῦ ποιῆσαι D. — [14] τοῖς ἀδελφοῖς *add.* D. — [15] *om.* D. — [16] οὖν *add.* D. — [17] αὐτοῦ *add.* D. — [18] πρὸ δὲ τοῦ ἀπελθεῖν αὐτοὺς D. — [19] *om.* D. — [20] αὐτὸν *add.* N. — [21] (προσῆλθε - ἡσύχ.) ἀδελφός τις ἰδὼν τὸν θεόδωρον καθήμενον ταπεινῶς οὕτω καὶ ἡσύχως καὶ νεόφ. καὶ ἀρχάριον αὐτὸν εἶναι ὑποτοπάσας D. — [22] ἔχεις D. — [23] φησιν D. — [24] καὶ αὖθις ἠρώτα αὐτὸν λέγων D. — [25] (οἶδας - θεοδ.) ἐγίνωσκες πρὸ τοῦ ἐλθ. σε ἐν τῷ μοναστηρίῳ τὴν ἀρτοκοπικήν ; ὁ θεόδωρος εἶπε · μέρος τι ταύτης ἀμυδρῶς ἤδειν · ὁ δὲ παρήνει αὐτῷ λέγων D.

τὸ ἀρτοκοπεῖον ἐργάσασθαι ἴδῃς τινὰ πλέον [26] γελῶντα ἢ ἕτερον μαχόμενον, καθὼς ἐν κοινοβίῳ διάφοροί εἰσι [27], μὴ σκανδαλισθῇς, ἀλλὰ σεαυτῷ καὶ τοῖς νηφαλέοις [28] πρόσεχε. » Καὶ ἀνταποκρίνεται αὐτῷ · « Καλῶς. » Καὶ μετὰ τὸ ὁρμίσαι τὸ πλοῖον [29] εἰς τὸ μοναστήριον [30], ἀκούσαντες οἱ ἀδελφοὶ περὶ αὐτοῦ [31] ἐξῆλθον πάντες εἰς ἀπάντησιν αὐτοῦ μετὰ χαρᾶς [32] · ἤδεισαν γὰρ αὐτὸν ἀπὸ τότε παρακλήτορα ψυχῶν εἶναι [33]. Κἀκεῖνος δὲ ὁ λαλήσας αὐτῷ ὡς νεοφύτῳ ἐν τῷ πλοίῳ, θεασάμενος τοὺς ἀδελφοὺς δοξάζοντας αὐτόν, ᾐσχύνθη καὶ ἐφοβήθη [34] ὡς τοιαῦτα τολμήσας λαλῆσαι ἀνθρώπῳ τοιούτῳ.

Φ 122. **174.** Ὁ δὲ ἀββᾶς Ὡρσίσιος ἔτρεφε [1] τοὺς ἀδελφοὺς [2] κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν αὐτῷ. Καὶ ἔτι μᾶλλον προσετέθη αὐτῷ [3] ὁ λόγος τοῦ λαλῆσαι [4] εἰς παράκλησιν τῶν ἀδελφῶν. Καὶ οὐ μόνον διὰ παραβολῶν ἐλάλει αὐτοῖς, ἀλλὰ καὶ τῶν ῥημάτων τὴν σύγκρισιν · καὶ τοὺς κανόνας τοῦ κοινοβίου, οὓς ἔδωκεν ὁ ἀββᾶς Παχώμιος εἰς σύστασιν αὐτοῦ, παρήγγελλε τηρεῖν [5], ὁμοίως καὶ τὰς διατάξεις τῶν πατέρων [6] καὶ οἰκιακῶν καὶ δευτέρων τῶν μοναστηρίων [7]. Ἔταξε δὲ αὐτοὺς [8] κατὰ τοὺς δύο καιροὺς τοῦ ἐνιαυτοῦ, τῷ τε πάσχα καὶ τῷ φθινοπώρῳ, τὸν λόγον [9] τῆς χρείας αὐτῶν τῆς σωματικῆς καὶ τοῦ ἔργου καὶ [10] τοῦ ἀναλώματος αὐτῶν εἰσκομίζειν πρὸς τὸν μέγαν οἰκονόμον [11].

Φ 123. **175.** Καὶ οὕτως [1] διάγοντες [2], διετήρει αὐτοὺς ὁ Κύριος ἐν

[26] πλεῖον N ; ἢ προσῆκε *add.* D. — [27] καθὼς ἐστιν ἐν κοιν. τοιαῦτα θεᾶσθαι D. — [28] *corr. ex* νηφαλίοις D. — [29] (ὁρμ. τὸ πλ.) ἀπελθεῖν αὐτοὺς N. — [30] (καὶ ἀνταποκρ. - μον.) καὶ ὁ θεόδωρος φησί · καλῶς, εἴη μοι ταῦτα · ὅτε γοῦν κατέλαβον τὸ μον. καὶ καθωρμίσθη τὸ πλοῖον D. — [31] τοῦ θεοδώρου D. — [32] ἐξῆλθον μετὰ χ. εἰς συνάντησιν αὐτοῦ D. — [33] ἤδεισαν γὰρ αὐτὸν ἀφοῦ ἦν παρακλήτωρ καὶ ἐπισκεπτόμενος τοὺς ἀδελφούς D. — [34] εὐλαβήθη D.

174. — [1] ἐκυβέρνα N, ἦν διακυβερνῶν D. — [2] καὶ διϊθύνων *add.* D. — [3] *om.* PN. — [4] καὶ ὁ λόγος αὐτῷ ἔτι μᾶλλον προσετίθετο τοῦ λαλεῖν D. — [5] (καὶ οὐ μόνον - τηρεῖν) καὶ ἐλάλει αὐτοῖς ἐν παραβολαῖς καὶ τὴν σύγκρισιν αὐτῶν ὑπέφαινεν · παρήγγ. δὲ αὐτοῖς τηρεῖν καὶ τοὺς καν. οὓς ὁ πατὴρ ἡμῶν παχ. παρέδωκεν εἰς σύστ. τοῦ κοιν. D. — [6] ὁμοίως δὲ καὶ τὰς διατ. αὐτοῦ τὰς περὶ τῶν πατ. ἤτοι ἡγουμένων D. — [7] *corr. ex* τοῦ μοναστηρίου P. — [8] καὶ *add.* D. — [9] τῶν λόγω (*sic*) P. — [10] *om.* PN. — [11] τό τε πάσχα καὶ τὸ μετόπωρον προσέρχεσθαι τῷ μεγάλῳ οἰκονόμῳ καὶ ἀπαγγέλλειν αὐτῷ τοὺς λόγους τῶν ἔργων αὐτῶν καὶ τὰς σωματικὰς χρείας καὶ τὰ ἀναλώματα D.

175. — [1] (καὶ οὕτ.) οὕτ. οὖν D. — [2] καὶ πολιτευόμενοι *add.* D.

ὁμονοίᾳ καὶ ἀγάπῃ καθὼς ἦσαν [3] τὸ πρότερον · οὔπω γὰρ ἦσαν [4] ἀκμὴν [5] πολλοὶ κοιμηθέντες τῶν ἀρχαίων [6] · οὗτοι δὲ ὑπῆρχον [7] Ψενθαήσιος, Σαμουήλ, Παχώμιος, Παῦλος, Ἰωάννης, καὶ Ἱερακαπόλλων [8], ὃς καὶ ὄπιθεν [9] εἴρηται [10] παραμυθησάμενος [11] ἐν Κυρίῳ τὸν πατέρα ἡμῶν Παχώμιον ἀπὸ τῶν θλίψεων τῶν ἐπελθουσῶν αὐτῷ [12] · σὺν τούτοις καὶ ὁ μέγας Τιθόης [13] καὶ Ἰωνᾶς καὶ ἄλλοι πολλοί, καὶ Θεόδωρος ὁ πολιτικός [14], ἔτι γε μὴν σὺν τούτοις [15] καὶ Θεόδωρος [16], ὃν ἐπύρωσεν ὁ Κύριος διὰ τοῦ μεγάλου
Act. 9, 15. πατρὸς ἐν πνεύματι τοῦ γενέσθαι αὐτὸν σκεῦος ἐκλογῆς [17]. Τοσούτων γὰρ λύχνων ὄντων ἐν τοῖς ἀδελφοῖς [18], σκότος οὐκ ἐφαίνετο ·
Ps. 18, 8. ἡ γὰρ ἐντολὴ [19] Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς.

Φ 124. **176.** Τοῦ δὲ ἀββᾶ Παφνουτίου τοῦ οἰκονόμου τῆς μονῆς ἀποθανόντος Παβώ [1], ὁ ἀββᾶς Ὡρσίσιος κατέστησεν ἄλλον ἀντ' αὐτοῦ οἰκονομεῖν, ὀνόματι Ψαρφθίν [2] · γενναῖος [3] καὶ ἐν πόνοις [4] καρτερικὸς [5] ὑπάρχων [6] καὶ αὐτὸς [7] ἀρχαῖος [8].

Φ 125. **177.** Τῶν δὲ ἀδελφῶν πολλάκις ἐξεταζόντων [1] τὸν [2] Θεόδωρον διὰ πνευματικὸν ῥῆμα [3] λύειν αὐτοῖς ἢ ὅραμα [4] τοῦ ἀββᾶ [5] Παχωμίου εἰπεῖν [6], ἔλεγεν οὕτως [7] · « Ἰδοὺ ὁ πατὴρ Ὡρσίσιος, ἐξετάσωμεν [8] αὐτὸν [9] εἴ τι θέλομεν, καὶ λέγει [10] ἡμῖν · καὶ γὰρ αὐτός ἐστιν ὁ πατὴρ ἡμῶν. » Καθημένου δὲ [11] τοῦ ἀββᾶ Ὡρσισίου λαλῆσαι αὐτοῖς [12] — ἔθος γὰρ ἦν [13] ἐξ ἀρχῆς κατ' [14] ὀψὲ μετὰ τὸ ἔργον καὶ [15] τὸ φαγεῖν [16] ἐπὶ τὸ αὐτὸ καθεσθέντας [17] ἐρευνᾶν τὰς [18] γρα-

[3] *καὶ add.* D. — [4] *ὑπῆρχον* D. — [5] *om.* D. — [6] *πατέρων add.* ND ; *τῶν ἀρχ. πατ. κοιμ.* D. — [7] *ἐτύγχανον* D. — [8] *ἱερακοπώλων* P, *ἱερακαπόλων* N. — [9] *πρόσθεν* D, *om.* N. — [10] *ἦν* N. — [11] *παραμυθήσασθαι* D. — [12] *ἀπὸ τῶν ἐπελθ. αὐτῶ θλίψ. καθὰ καὶ πρόσθεν εἴρηται* N. — [13] *τιθώης* ND. — [14] *καὶ θ. ὁ πολ. om.* D. — [15] *σὺν τ. om.* N. — [16] *ὁ ἡγιασμένος add.* D. — [17] *καὶ θεόδωρος ὁ πολιτικός add.* D. — [18] *ὡς κατὰ τὰς ἐντολὰς ἀκριβῶς τοῦ χριστοῦ πολιτευομένων add.* D. — [19] *φησὶ add.* D.

176. — [1] *παβὼ ἀποθ.* ND. — [2] *ψαρφθήν* ND. — [3] *γενναῖον ὄντα* N, *γενναῖον* D. — [4] *ἐν π. om.* D. — [5] *καρτερικόν* ND ; *ἐν τοῖς πόνοις add.* D. — [6] *ὑπάρχοντα* ND. — [7] *αὐτὸν* ND. — [8] *ἀρχαῖον* N ; *ἀπὸ τῶν ἀρχαίων* D.

177. — [1] *ἐπερωτώντων* D. — [2] *ἀββᾶν add.* N. — [3] *εἰς τὸ add.* N. — [4] *(διὰ - ὅρ.) καὶ παρακαλούντων ἐπιλύειν αὐτοῖς γραφικόν τι ῥῆμα ἢ ὅρ. τι* D. — [5] *πατρὸς ἡμῶν* D. — [6] *ἐξαγγέλλειν αὐτοῖς* D. — [7] *πρὸς αὐτούς* D. — [8] *ἐπερωτήσωμεν* D. — [9] *om.* N. — [10] *αὐτὸς ἀναγγελεῖ* D. — [11] *ποτε add.* D. — [12] *(λαλ. αὐτ.) καὶ ὁμιλοῦντος τοῖς ἀδελφοῖς περὶ ὠφελείας ψυχῆς* D. — [13] *αὐτοῖς* N ; *καὶ γὰρ ἔθος εἶχον* D. — [14] *om.* D. — [15] *τὸ ἔργον καὶ om.* ND. — [16] *ἑστιαθῆναι* D. — [17] *(ἐπὶ τὸ αὐ. καθ.) συναχθέντας αὐτοὺς ἐπιτοαυτὸ* D. — [18] *θείας add.* D.

φάς, καθότι ἀμέριμνοι ἦσαν κατὰ πάντα, εἰ μὴ μόνον μεριμνᾶν [91] περὶ τῆς ἑαυτῶν σωτηρίας · οἱ δὲ τεταγμένοι φροντίζειν δυνάμενοι [20] ἐφρόντιζον ὡς ὑπηρέται Θεοῦ, κατὰ τὴν ἐντολὴν τοῦ Matth.25,40.
Κυρίου τήν λέγουσαν [21] · « Ἐφ' ὅσον γὰρ [22] ἐποιήσατε ἑνὶ τούτων τῶν πιστευόντων εἰς ἐμέ [23], ἐμοὶ ἐποιήσατε » — καὶ λαλοῦντος [24] αὐτοῖς τοῦ ἀββᾶ Ὡρσισίου τὸν λόγον τοῦ Θεοῦ, ἦν καὶ αὐτὸς καθήμενος [25] Θεόδωρος [26] καὶ ἀκούων ὡς παιδίον ἄκακον, λέγων ἐν ἑαυτῷ · « Οὐδὲν οἶδα, ἐφ' ὅσον [27] ἐλύπησα τὸν Θεὸν καὶ τὸν πατέρα, ἐν ᾧ [28] ἐποίησα τότε. » Οὕτως δὲ ἦν ταπεινόφρων, ὡς καὶ ἐμαρτύρησε [29] περὶ αὐτοῦ ἀπόντος ὁ ἀββᾶς Παχώμιος [30] ὅτι · « Ἐπταπλασίονα ἐκέρδησε Θεόδωρος τῇ ἐπιτιμίᾳ ταύτῃ ὑπὲρ ὃ ἦν [31]. »

Φ 126. **178.** Ἔλεγε δὲ [1] ὁ πατὴρ [2] Ὡρσίσιος ὅτι · « Ὁρῶ [3] τινας ὑμῶν [4] θέλοντας λαβεῖν ὀνόματα [5] καὶ ἀρχὴν ἢ οἰκονομίαν ἢ ἕτερόν τι [6], οὐ δι' ἄλλο [7], εἰ μὴ δι' ὑπακοήν [8] · (ἐπεὶ οὐδεὶς ἤθελεν ὀνομασθῆναι μέγας [9], φοβούμενος μὴ [10] ἐλάχιστος εὑρεθῇ ἐν τῇ βασιλείᾳ τῶν Cf. Matth. 5, 19.
οὐρανῶν). Κἀμὲ δὲ [11] ὅτε ἔταξεν ὁ ἀββᾶς Πετρώνιος [12], ἔκλαυσα ἱκανῶς, φοβούμενος τὸν κίνδυνον τῶν ψυχῶν [13]. Οὐ μόνον δὲ ἐγὼ ὁ ἁμαρτωλός, ἀλλὰ καὶ οἱ ἅγιοι [14] · πρῶτος Μωϋσῆς πεμπόμενος Cf. Ex. 4
ὑπὸ τοῦ Θεοῦ διὰ τὸν λαὸν παρητεῖτο [15] τῇ [16] ταπεινοφροσύνῃ [17], 10, 14.
εἰ μὴ ὅτι ὠργίσθη αὐτῷ ὁ Θεὸς ἕνεκεν τούτου, καὶ τότε [18] ἀνεδέξατο τὴν διακονίαν. Καὶ ἡμεῖς οὖν, ἀδελφοί, ἀκούοντες τὸ γεγραμμένον ὅτι · « Πᾶς [19] ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, » τηρήσωμεν ἑαυτούς. Οὐ πάντων δέ [20] ἐστι τὸ κυβερνῆσαι ψυχάς, εἰ Luc. 18, 14.

[19] *(εἰ μὴ μ. μ.) μίαν μόνον μέριμναν ἔχοντες* D. — [20] *(φρ. δυν.) καὶ δυν. φροντ.* N ; *(δυν.) ἐν ταῖς διακονίαις* D. — [21] *κατὰ τὸν λόγον τοῦ κ. τὸν λέγοντα* D. — [22] *om.* ND. — [23] *(πιστ. εἰς ἐμέ) ἐλαχίστων* D. — [24] *(καὶ λ.) λ. οὖν* D. — [25] *καθήμ. ἦν καὶ αὐτ.* N. — [26] *ὁ θεόδ. καθήμ.* D. — [27] *ἀνθ' ὧν* D. — [28] *(ἐν ᾧ) εἰς ὃ* N. — [29] *(οὕτως - ἐμαρτ.) τοσοῦτον δὲ ἐγένετο ταπ. οὗτος ὁ θεόδωρος ὡς μαρτυρῆσαι* D. — [30] *τὸν πατέρα ἡμῶν παχώμιον* D. — [31] *(ὑπὲρ ὃ ἦν) ἤπερ ἦν* N, *εἴπερ ἦν* D.

178. — [1] *οὖν* D. — [2] *ἀββᾶς* D. — [3] *οὐχ ὁρῶ* D. — [4] *om.* D. — [5] *ὄνομα* D. — [6] *supple ex Φ : <ποτὲ δὲ ἐπὶ τοῦ πατρὸς ἡμῶν>.* — [7] *(ἢ ἕτ. τι οὐ δι' ἄλλο) δι' ἕτερόν τι* D. — [8] *(οὐ δι' ἄλλο - ὑπ.) ἄνευ τοῦ καλῶς ἔχοντος · ὅπερ οὐ δεῖ οὕτω γίνεσθαι εἰ μὴ δι' ὑπ. καθὰ δὴ καὶ ἐποίουν οἱ ἅγιοι* N. — [9] *ἐνταῦθα add.* D. — [10] *διὰ τοῦτο add.* D. — [11] *γὰρ* D. — [12] *ἐν ταύτῃ τῇ διακονίᾳ add.* D. — [13] *(φοβ. - ψ.) δεδοικὼς τὸ δυσεπιχείρητον καὶ δυσκατόρθωτον τοῦ πράγματος* D. — [14] *οὕτως ἐδεδοίκεσαν καὶ add.* D. — [15] *παρητήσατο* ND. — [16] *om.* PN. — [17] *καὶ add.* D. — [18] *(καὶ τότε) οὐκ ἂν* D. — [19] *om.* D. — [20] *γὰρ* D.

μὴ τελείων ἀνθρώπων [21]. » *Εἶπε* [22] *δὲ καὶ παραβολὴν τοιαύτην* · « *Πλίνθος ὠμή, βαλλομένη* [23] *εἰς θεμέλια ἐγγὺς ποταμοῦ* [24], *οὐχ ὑπομένει μίαν ἡμέραν* [25] · *ἐὰν δὲ διὰ πυρὸς ὀπτηθῇ, ὡς λίθος διαμένει. Οὕτως καὶ ἄνθρωπος* [26], *σαρκικὸν φρόνημα ἔχων καὶ μὴ πυ-*
Cf.Ps.104,19. *ρωθεὶς κατὰ τὸν Ἰωσὴφ τῷ λόγῳ τοῦ Θεοῦ, λύεται* [27] *εἰς ἀρχὴν μετελθών* [28] · *πολλοὶ γὰρ τῶν τοιούτων* [29] *οἱ πειρασμοὶ ἐν μέσῳ τῶν ἀνθρώπων. Καλὸν δέ τινα γνῶναι* [30] *τὰ ἴδια μέτρα καὶ* [31] *ἀποθέσθαι* [32] *τὸ βάρος τῆς ἀρχῆς, ἵνα μὴ κινδυνεύσῃ. Οἱ δὲ ἑδραῖοι τῇ πίστει καὶ τῇ προθέσει* [33] *τῶν ἐντολῶν τοῦ Θεοῦ* [34] *ἀμετακίνητοί εἰσι* [35]. *Περὶ γὰρ* [36] *τοῦ ἁγιωτάτου* [37] *Ἰωσήφ, ἐὰν εἴπῃ τις* [38] *ὅτι οὐκ ἦν ἐπίγειος, οὐχ ἁμαρτήσει* [39] *τὸ ὅσα* [40] *καὶ ἐν ποίᾳ χώρᾳ ἐπειράσθη, ὅπου οὐκ ἦν τότε ἴχνος θεοσεβείας. Ἀλλ' ὁ Θεὸς* [41] *τῶν πα-*
Act. 7, 9-10. *τέρων αὐτοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ* [42] *ἐξείλατο* [43] *αὐτὸν ἐκ πάσης θλίψεως, καὶ νῦν ἐστιν ἐν τοῖς πατράσιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν* [44]. *Καὶ ἡμεῖς* [45] *τὰ μέτρα ἡμῶν ἐπιγνόντες ἀγωνισώμεθα* [46] · *μόλις γὰρ οὕτως* [47] *δυνηθῶμεν* [48] *ἐκφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ* [49]. » *Καὶ πολλὰ ἕτερα* [50] *τοιαῦτα εἰπὼν ηὔξατο* [51]. *Καὶ εἶθ' οὕτως ἀνεχώρησαν οἱ ἀδελφοὶ εἰς τὰ σκηνώματα αὐτῶν.*

Φ 127. **179.** *Καὶ ἐπληθύνθησαν μετὰ ταῦτα* [1] *οἱ ἀδελφοὶ σφόδρα* · *ἕνεκεν δὲ* [2] *τῆς τροφῆς τοῦ πλήθους τῶν ἀδελφῶν* [3] *ἤρξαντο πλατύνεσθαι* [4] *καὶ ἐπικτίζεσθαι* [5] *ἀγροὺς καὶ ὕλας* [6]. *Καὶ ἑκάστη μονὴ τὰ* [7] *πρὸς ἀμέλειαν ἐχώρει* [8], *καθότι ἐπληθύνθησαν αἱ σωματικαὶ*

[21] (*εἰ μὴ τ. ἀ.*) *ἀλλὰ τῶν τελ. ἀνδρῶν* D. — [22] *ἔλεγε* D. — [23] *βληθεῖσα* D. — [24] *διαλύεται add.* D. — [25] *καὶ μίαν ἡμ. οὐχ ὑπ.* D. — [26] *ὁ add.* D. — [27] *διαλύεται* D. — [28] *ἀνελθών* N. — [29] *ὑπάρχουσιν add.* ND. — [30] *γνόντα* ND. — [31] *om.* ND. — [32] *παραιτήσασθαι* D. — [33] *τηρήσει* D ; *τῇ προθ. om.* N. — [34] *στερεοὶ τυγχάνουσι καὶ add.* D. — [35] *ἐν παντοία τάξει καὶ καταστάσει* D. — [36] *δὲ* D. — [37] *δικαίου* D. — [38] *ἐάν τις εἴπῃ* D. — [39] *καὶ γὰρ ἐπίγεια καὶ κοσμικὰ οὐκ ἐφρόνει ἀλλ' οὐράνια* · *ταύτη τοι καὶ οὐράνιος ἂν μᾶλλον καλεῖσθαι δίκαιος ἢ ἐπίγειος add.* D. — [40] (*τὸ ὅσα*) *πόσα* ND. — [41] *ἀλλ' ὅτι ἐφρόνει οὐράνια καὶ πνευματικὰ ἦν μετ' αὐτοῦ ὁ θ.* D. — [42] *καὶ add.* D. — [43] *ἐξείλετο* ND. — [44] (*ἐν τοῖς - οὐρ.*) *μετὰ τῶν πατέρων αὐτοῦ ἐν τόποις ἀναπαύσεως* D. — [45] *οὖν ἀδελφοὶ add.* N. — [46] *ἐπιγν. τοιγαροῦν καὶ ἡμεῖς τὰ μέτρα ἡμῶν ἀγων. ἐν τοῖς ἀγαθοῖς* D. — [47] *ἀγωνιζόμενοι add.* D. — [48] *δυνηθείημεν* D. — [49] (*τὴν κρ. τοῦ θ.*) *τὰς αἰωνίους βασάνους* D. — [50] *ταῦτα καὶ ἕτερα πολλὰ* D. — [51] *ἐπηύξατο* D.

179. — [1] (*καὶ ἐπλ. μ. τ.*) *μ. τ. ἐπλ.* N, *ἐπλ. δὲ μ. τ.* D. — [2] (*ἕν. δὲ*) *καὶ ἕν.* D. — [3] (*ἕνεκεν - ἀδελφῶν*) *διὰ τοῦτο καὶ* N. — [4] *ἐν τοῖς σωματικοῖς add.* D. — [5] *προσεπικτᾶσθαι* D. — [6] *ὕ. καὶ ἀγρ.* D. — [7] *om.* D. — [8] *ἐν τοῖς πνευματικοῖς add.* D.

φροντίδες [9]. *Εἷς δέ τις πατὴρ μοναστηρίου Μονχόσεως* [10], *ὀνόματι Ἀπολλώνιος, ἠθέλησεν ἑαυτῷ, παρὰ τὸν κανόνα τῆς κοινωνίας* [11] *τῶν λοιπῶν μοναστηρίων, ἀγοράσαι πλείονας χρείας. Καὶ ἀνακρινομένου* [12] *τούτου* [13] *ὑπὸ τοῦ ἀββᾶ Ὡρσισίου καὶ ἐπιτιμωμένου* [14], *ἠγανάκτησε καὶ ἠβουλήθη τὸ μοναστήριον αὐτοῦ χωρίσαι τοῦ κοινοβίου κατ' ἐπιβουλὴν τοῦ ἀντικειμένου. Συνήρπασε δὲ καὶ ἔπεισε πολλοὺς καὶ μεγάλους τοῦ μοναστηρίου τοῦτο ποιῆσαι* [15]. *Καὶ πολλὰ βλαβέντα* [16] *δι' ἐκεῖνον* [17] *τὰ μοναστήρια, ἀντιστήκοντες* [18] *καὶ* [19] *λέγοντες ὅτι* · « *Οὐκέτι ὑποφέρομεν* [20] *ἄλλο* [21] *τὴν κοινωνίαν τῶν ἀδελφῶν* », *μὴ πεισθέντος οὖν ἐκείνου τοῦ ἀποσχίστου τοῖς λόγοις τοῦ ἀββᾶ Ὡρσισίου, ἐνίσχυσεν ὁ πειρασμός.*

180. *Ἰδὼν οὖν ὁ ἀββᾶς Ὡρσίσιος ἑαυτὸν θλιβόμενον καὶ δυσφο-* *Φ 128.*
ροῦντα σφόδρα [1] *ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει* [2] — *χρόνον γὰρ εἶχεν ἤδη* [3] *ἐγκαρτερῶν ἐν ταῖς θλίψεσι μέχρι θανάτου* [4] — *ὕστερον δὲ σκεψάμενος* [5] *καὶ ἄλλον συνεργὸν* [6] *ἔχειν* [7] *πρὸς τὴν πατρικὴν αὐτοῦ τάξιν* [8], *εἰσελθὼν νυκτὸς εἰς ἥσυχον τόπον* [9] *ἔκλαυσεν ἱκανῶς* (*καὶ αὐτοστοματὶ* [10] *εἴρηκεν ἡμῖν*) *ταῦτα λέγων* [11] · « *Ὁ Θεός, τοῦτο παρέδωκέ μοι ὁ δοῦλός σου ὁ ἀββᾶς Πετρώνιος, ἵνα κερδήσω μᾶλλον καὶ σώσω πολλούς. Νῦν δὲ βλέπω ὅτι οὐ πολλοὶ* [12] *ἀκούουσιν ἡμῶν τὰ* [13] *πρὸς σωτηρίαν ἑαυτῶν* [14], *ἀλλ' ἕκαστος ἀκολουθεῖ τῇ ἑαυτοῦ καρδίᾳ* [15], *εἰ μὴ* [16] *οἱ πιστοὶ δοῦλοί σου* [17] *οἱ ἀναστραφέντες καλῶς σὺν* [18] *τῷ πατρὶ ἡμῶν* [19] *καὶ οἱ λοιποὶ οἱ ἔχοντες τὸν φόβον σου. Ἐγὼ δὲ θλίβομαι* [20] *βλέπων ὅλην τὴν μονὴν* [21] *ταραττομένην* [22] *οὐκ ἐξ ἐμοῦ* [23] · *οὐδένα γάρ, ὡς οἶδας,*

[9] *φροτίδες* D. — [10] *μονχώσεως* N, *μονχωσέως* D. — [11] *τῆς κοινων. om.* N. — [12] *ἀνακρινόμενος* ND. — [13] *om.* ND. — [14] *ἐπιτιμώμενος* ND ; *ἕνεκεν τούτου add.* D. — [15] (*τ. π.*) *εἰς τὸ π. τ.* D. — [16] *ἐβλάβησαν* D. — [17] (*καὶ πολλὰ - ἐκεῖν.*) *οἵτινες βλάβην πολλὴν ἐποίησαν εἰς* N. — [18] *ἀνθιστάμενοι* N ; *καὶ γὰρ ἀνθίσταντο* D. — [19] *om.* D. — [20] *φέρομεν* D. — [21] *om.* N ; *εἰς τὸ ἑξῆς* D.

180. — [1] *om.* N. — [2] *σφόδρα add.* N. — [3] *om.* N. — [4] (*ἰδὼν - θαν.*) *ὁ μέντοι ἀββᾶς ὡρσίσιος ἦν ἐπὶ τῇ τοι. συμβάσει θλιβόμενος λίαν καὶ δυσφορῶν ἐπὶ ἐνιαυτὸν ἕνα ἀπορούμενος ὅ τι καὶ δράσειεν* D. — [5] *καλῶς ἔχειν add.* D. — [6] *ὕστερον σκεψ. ὅτι δεῖ καὶ ἄλλον τινὰ συν.* N. — [7] *om.* D. — [8] *προσλαβεῖν add.* D. — [9] *ἐν ἡσύχῳ τόπῳ* D. — [10] *καὶ αὐτῷ στόματι* P, *ὡς αὐτὸς ὕστερον* N. — [11] (*καὶ αὐτοστ - λ.*) *εἶτα μετὰ δακρύων τοιαῦτα πρὸς τὸν θεὸν ἔλεγεν* D. — [12] (*οὐ π.*) *π. οὐκ* D. — [13] *ἐν τοῖς* D. — [14] *αὐτῶν* ND. — [15] (*τῇ ἑ. κ.*) *τοῖς θελήμασι τῆς ἑ. καρδίας* D. — [16] (*εἰ μὴ*) *πλὴν μόνον οὗτοι* D. — [17] *ἀκούουσιν add.* D. — [18] *ἐν* N. — [19] *παχωμίῳ add.* N. — [20] *καὶ δέδοικα add.* D. — [21] *τὴν μ. ὅλ.* D. — [22] *ταρασσομένην* N ; *ἀλλ' add.* D. — [23] *οὐκ ἐξ ἐμοῦ om.* N.

ἔθλιψα [24], *Κύριε. Οὐ μόνον δὲ ταύτην τὴν μονὴν φοβοῦμαι, ἀλλὰ καὶ τὰς λοιπάς* [25], *ἵνα μὴ λάβωσιν ἀφορμὴν οἱ ζητοῦντες ἀφορμήν, καὶ ἔκτοτε οὐκέτι ἔχωσι* [26] *τὴν ἐξ ὁμονοίας ἀγάπην. Νῦν οὖν, Κύριε, οὐκέτι δύναμαι μόνος κυβερνῆσαι αὐτούς* [27]. *Δεῖξόν* [28] *μοί τινα τὸν δυνάμενον, καὶ ὀνομάσω* [29] *αὐτὸν αὐτοῖς, ἵνα μὴ ἐγὼ* [30] *αἴτιος γένωμαι ψυχῶν* [31]. »

Φ 129. **181.** *Καὶ τῇ νυκτὶ ἐκείνῃ εἶδεν ἐνύπνιον · καὶ ὡς βλέπων ἦν* [1], *ἐθεάσατο* [2] *δύο κραββάτους* [3] *· ὁ μὲν εἷς* [4] *καλὸς ἀλλὰ* [5] *παλαιός, ὁ δὲ ἕτερος καλὸς* [6] *καὶ στερεός* [7]. *Καὶ χρηματίζεται αὐτῷ* [8] *οὕτως · « Ἀνάπαυσον σεαυτὸν ἐπὶ τῷ στερεῷ τούτῳ κραββάτῳ. » Καὶ νοήσας τῷ πνεύματι ἐκεῖνον τὸν κράββατον εἶναι Θεόδωρον τόν ποτε μετὰ τοῦ μεγάλου Παχωμίου ὁμόψυχον ὑπάρχοντα* [9], *πρωΐας* [10] *γεναμένης* [11], *ὡς* [12] *ἤδη κουφισθεὶς τῆς θλίψεως, μᾶλλον δὲ ὅτι καὶ* [13] *ἠγάπα αὐτὸν* [14] *διὰ τὴν ἐνοῦσαν αὐτῷ ταπείνωσιν καὶ εἰδότα* [15] *ὑπομένειν* [16] *ἀντιλογίας, συνήγαγε πάντας τοὺς ἡγουμένους* [17] *καὶ ἐλάλησεν αὐτοῖς, ἀπόντος τοῦ Θεοδώρου, λέγων · « Οὐκ ἀγνοεῖτε τὸν* [18] *περιόντα* [19] *πειρασμόν. Καὶ ἰδοὺ* [20] *ἔμεινα χρόνον* [21] *δοκῶν* [22] *παύεσθαι* [23] *τοῦτον, καὶ ὁρῶ* [24] *μᾶλλον ἔτι* [25] *αὐξάνοντα αὐτόν* [26], *καθὼς καὶ ὑμεῖς ὁρᾶτε* [27]. *Διὰ τοῦτο ὁμολογῶ ὑμῖν* [28] *· οὐκέτι δύναμαι* [29] *τὴν φροντίδα ταύτην* [30] *ὑποστῆναι* [31] *μόνος* [32]. *Καὶ οἶδα* [33] *ὅτι οὐδεὶς ὑμῶν ἀναγκάζει με παραιτήσασθαι*

[24] *ἠθέλησα θλίψαι καὶ ταράξαι* D. — [25] *καὶ οὐ μόνον, περὶ ταύτης τῆς μονῆς φοβ. ἀλλὰ καὶ περὶ τῶν λοιπῶν* D. — [26] *ἔχουσι* N, *ἔξουσι* D. — [27] *οὐ δύν. αὐτοὺς ἔτι μόν. κυβ.* D. — [28] *καὶ δήλωσόν* D. — [29] *ὑποδείξω* D. — [30] *om.* D. — [31] *ἀπωλείας ψ.* N, *ψ. τινῶν ἀπωλείας* D.

181. — [1] *(καὶ τῇ - ἦν) ταῦτα προσηύξατο καὶ μικρὸν ἐπινυστάξας* D. — [2] *κατ' ὄναρ add.* D. — [3] *ὧν add.* D. — [4] *om.* D. — [5] *πλὴν* D. — [6] *μὲν καὶ αὐτὸς ἀλλὰ add.* N. — [7] *στερρός* N. — [8] *om.* ND. — [9] *θεόδωρον τόν ποτε... ὁμόψυχον ὑπάρχοντα correxi ex* D ; *θεοδώρου τοῦ ποτε... ὁμοψύχου ὑπάρχοντος* PN ; *(καὶ νοήσας - ὑπάρχ.) διαλογισάμενος οὖν ἔπειτα τὸ ὁραθὲν συνῆκεν εὐθὺς ἐκεῖνον εἶναι τὸν στερρὸν κράββατον τὸν θεόδωρον τὸν γνήσιον τοῦ μεγ. παχ. φοιτητὴν καὶ ὁμόψυχον* D. — [10] *δὲ add.* D. — [11] *γενομένης* ND. — [12] *καὶ* D. — [13] *om.* N. — [14] *(μᾶλλον - αὐτὸν) ἦν γὰρ καὶ αὐτὸς ἀγαπῶν τὸν θεόδωρον* D. — [15] *δυνάμενον* N, *τὸ δύνασθαι* D. — [16] *φέρειν* N, *ὑποφέρειν* D. — [17] *τῶν μονῶν add.* D. — [18] *ἔτι add.* D. — [19] *ὡς μοι δοκεῖ add.* N. — [20] *(καὶ ἰ.) ἰ. γὰρ* D. — [21] *καιρὸν οὐκ ὀλίγον* D. — [22] *προσδοκῶν* ND. — [23] *παύσασθαι* D. — [24] *(καὶ ὁρῶ) ἐγὼ δὲ* D. — [25] *ἔτι μᾶλλον* ND. — [26] *ὁρῶ add.* D. — [27] *βλέπετε* D. — [28] *ὅτι add.* ND. — [29] *(οὐκέτι δύν.) οὐ δύν. ἀπό γε τοῦ νῦν* D. — [30] *τῆς διακονίας* D. — [31] *φέρειν* D ; *(τὴν φρ. τ. ὑπ.) ὑπ. τὴν φρ. τ.* N. — [32] *om.* ND. — [33] ***(καὶ οἶδα) οἶδα γὰρ*** D.

τοῦτο [34] *· ἀλλ' ὅτι* [35] *ἔγνων ἀσφαλῶς ὅτι οὐ δύναμαι* [36]. *Ὁ δὲ Θεὸς καὶ οἱ πατέρες μου οὐ μέμφονταί με* [37], *γνόντες* [38] *τὰ μέτρα μου* [39]. *Ὃν δὲ βλέπω* [40] *ἱκανὸν κατὰ πάντα εἰς τοῦτο* [41], *αὐτός ἐστιν ὁ τότε* [42] *καὶ* [43] *πάλιν πατὴρ ἡμῶν* [44] *Θεόδωρος. » Καὶ ταῦτα εἰπὼν ἀπῆλθε νυκτὸς εἰς τὴν μονὴν τῶν Χηνοβοσκείων, καὶ ἔμεινεν* [45] *ἐκεῖ. Οἱ δὲ ἀδελφοὶ πάντες* [46] *ἀκούσαντες μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως ἐκράτησαν* [47] *Θεόδωρον ὡς πατέρα. Αὐτὸς δὲ δέδωκε* [48] *λόγον μήτε φαγεῖν μήτε* [49] *πιεῖν, εἰ μὴ ἀπαντήσει* [50] *τῷ ἀββᾷ Ὡρσισίῳ.*

Φ 130. **182.** *Καὶ μετὰ τὸ ἐλθεῖν αὐτὸν μεταπεμφθέντα, λέγει αὐτῷ ὁ ἀββᾶς Ὡρσίσιος* [1] *ὅτι* [2] *· « Μὴ γὰρ ἡμεῖς ἐτάξαμέν σε. Ὁ πατὴρ ἡμῶν Παχώμιός ἐστιν ὁ τάξας σε, προσημαίνων τοῦτο* [3], *ὅτε ἐκράτησε τὸν πώγωνά σου τρίτον καὶ εἶπε · Μνήσθητι, Θεόδωρε, μὴ ἐάσῃς τὰ ὀστᾶ μου ὅπου ἐτάφησαν. » Καὶ ἀκούσας ταῦτα* [4] *ὁ ἀββᾶς Θεόδωρος οὐκέτι ἀντεῖπεν. Καὶ οὕτως αὐτὸν παραδοὺς τοῖς ἀδελφοῖς* [5] *οὐκέτι* [6] *ἀνέκαμψεν εἰς τὰ Χηνοβοσκεῖα* [7]. *Καὶ ἐστάθη* [8] *ὁ ἀββᾶς Θεόδωρος* [9] *ὑπεισελθὼν τὴν διακονίαν τῶν ἀδελφῶν. Καὶ ἀκούσαντες* [10] *οἱ ἀδελφοὶ πάντες τῶν μοναστηρίων ἠγαλλιάσαντο σφόδρα, μάλιστα οἱ ἀρχῆθεν ἐπιγινώσκοντες αὐτὸν τέκνον γνήσιον* [11] *ὄντα* [12] *τοῦ μακαρίου Παχωμίου καὶ ὅτι ὁ λόγος αὐτοῦ χάριν εἶχε καὶ ἴασιν ψυχῆς ἐν θλίψει* [13]. *Ὃς καὶ γέγονε θαυμαστὸς ὑπήκοος τῷ ἀββᾷ Ὡρσισίῳ, ὥστε εἰπεῖν τὸν ἀββᾶν Ὡρσίσιον* [14] *ὅτι · « Ἀληθῶς κλίνη ἐστὶ πάσης ἀναπαύσεως ὁ ἄνθρωπος οὗτος. » Οὐ γὰρ ἡγεῖτο ἑαυτόν ποτε πατέρα τινός, ἐπειδὴ ἔλαβε τὴν τάξιν καὶ ἐκοπία νυκτὸς καὶ ἡμέρας ἕνεκεν τῆς σωτηρίας τῶν ἀδελφῶν*

[34] *ταύτην* ND. — [35] *ἐγὼ* D. — [36] *(ὅτι οὐ δ.) μὴ δυνατῶς ἔχειν με πρὸς αὐτήν* D. — [37] *οὐκ ἂν μέμψαιντό μοι* D ; *ὡς add.* N. — [38] *ἐπιγνόντι τὴν ἐμαυτοῦ ἀσθένειαν καὶ* D. — [39] *om.* D. — [40] *κατανοῶ* D. — [41] *κατὰ π. εἰς τ.* N, *εἰς πάντας κατὰ τ.* P, *εἰς τὴν φροντίδα τῆς διακονίας ταύτης* D. — [42] *καὶ πρὶν* D. — [43] *om.* P. — [44] *(π. ἡ.) ἡ. π.* ND. — [45] *διέτριβεν* D. — [46] *τοῦτο add.* D. — [47] *τὸν add.* ND. — [48] *ἐδεδώκει* D. — [49] *μὴ add.* D. — [50] *ἐντύχοι* D.

182. — [1] *(καὶ μετὰ - ὡρσ.) προσκληθεὶς οὖν ὁ ἀβ. ὡρσ. καὶ παραγενόμενος λέγει τῷ θεοδώρῳ* D. — [2] *om.* D. — [3] *(προσ. τ.) τ. γὰρ προεσήμενεν* D. — [4] *τοῦτο* N ; *(καὶ ἀκ. τ.) τοῦτο ἀκ.* D. — [5] *ὁ ἀββᾶς ὡρσίσιος add.* D. — [6] *delendum videtur ; cf. Φ.* — [7] *χηνοβόσκια* D. — [8] *(καὶ ἐ.) κατέστη οὖν* D. — [9] *πατὴρ add.* D. — [10] *τοῦτο add.* D. — [11] *ποθεινὸν* D. — [12] *εἶναι* N, *om.* D. — [13] *οὔσης add.* D. — [14] *(ὃς - ὡρ.) ἦν οὖν ὁ θεόδωρος θαυμ. τοῖς πᾶσι καὶ ἐπέραστος ὑπακούων ἐν οἷς ἔδει καὶ ἀναπαύων τὸν ἀββᾶν ὡρσίσιον ὥστε αὐτὸν πολλάκις εἰπεῖν* D. — [15] *ταύτην add.* D.

ἐν Κυρίῳ, μιμνῃσκόμενος τῆς ἐπιτιμίας τοῦ μεγάλου πατρός [16], ἀλλὰ διάδοχον καὶ ὑπηρέτην τοῦ ἀββᾶ Ὡρσισίου [17]. Ἀναχωρήσας οὖν ὁ ἀββᾶς Ὡρσίσιος [18], ὅτε [19] ἔμελλε [20] ποιεῖν τι ὁ ἀββᾶς Θεόδωρος ὁ ἄνθρωπος τοῦ [21] Θεοῦ, περιπατῶν [22] ἤρχετο [23] πρὸς τὸν ἀββᾶν Ὡρσίσιον [24], ἐξετάζων αὐτὸν καὶ ἐρωτῶν [25] τό· « Τί θέλεις [26] ἵνα ποιήσω [27]; » Αὐτὸς δὲ ὁ ῥηθεὶς [28] Θεόδωρος, ἐπειδὴ τὸ φίλαρχον [29] ἐξερίζωσεν ἀφ' ἑαυτοῦ παντελῶς, παιδευθεὶς ὑπὸ τοῦ Θεοῦ [30] καὶ φθάσας [31] εἰς τελειότητα [32], διὰ τοῦτο οὐ μόνον τὸν ἀββᾶν Ὡρσίσιον τῇ πολλῇ αὐτοῦ χρηστότητι [33] ἀνέπαυεν, ἀλλὰ καὶ πάντας, ὥστε [34] λέγειν τὸν ἀββᾶν Ὡρσίσιον ὅτι· « Ἄρτίως [35] ἄρχω μᾶλλον [36] ἢ ὅτε ἤμην μόνος. »

Φ 131. **183.** Ὅτε [1] οὖν [2] συνῆγε τοὺς ἀδελφοὺς [3] λαλεῖν [4] αὐτοῖς τὴν πρώτην κατήχησιν, ἔλεγεν οὕτως· « Ποῦ εἰσιν οἱ ἀρχαῖοι; Ἐνισχύσατε [5] ἐν Κυρίῳ, καὶ ὁμονοήσωμεν [6] συμπάσχειν ἀλλήλοις, ἵνα μὴ ὁ ἐχθρὸς σκορπίσῃ τὸν κάματον τοῦ πατρὸς ἡμῶν. Οὐκ ἀγνοεῖτε γὰρ αὐτοῦ [7] τὴν ὑπομονὴν τῶν θλίψεων [8] πρὸς τοὺς δαίμονας [9]. Καὶ [10] οὔπω πέντε ἔτη γέγονε [11], καὶ ἐπελαθόμεθα τῆς τοσαύτης χαρᾶς καὶ εἰρήνης ἧς [12] εἴχομεν [13] πρὸς ἀλλήλους· καὶ οὕτως ἤμεθα ἐπὶ τοῦ πατρὸς ἡμῶν [14] μὴ [15] ἔχοντες μήτε [16] ἐν τῇ καρδίᾳ μήτε ἐν τῷ στόματι μηδὲν [17] ἕτερον [18], εἰ μὴ τὸν λόγον τοῦ
Ps. 18, 10. Θεοῦ τὸν ὑπὲρ μέλι καὶ κηρίον γλυκύτερον, καὶ οὐκ ᾐσθανόμεθα [19] ὡς [20] ἐπὶ γῆς ζῶντες ἀλλ' ἐν οὐρανοῖς ἑορτάζοντες [21]. Ἄνθρωπος γὰρ

[16] (μιμνησκ. - πατρὸς) om. D. — [17] μιμνησκόμενος ἀεὶ τῆς ἐπιτιμίας τοῦ μεγάλου πατρὸς παχωμίου add. D. — [18] (ἀναχωρ. - ὡρσ.) om. D. — [19] οὖν add. D. — [20] ἤμελλε N. — [21] bis D. — [22] om. D; (ὁ ἄνθρ. - περιπ.) om. N. — [23] ἀπήρχετο D. — [24] ἀναχωρήσαντα τῆς μονῆς add. D. — [25] (ἐξ. - ἐρ.) καὶ ἐπηρώτα αὐτὸν D. — [26] τί θέλει N, τί ἂν θέλῃ D. — [27] ποιήσῃ N; (ἵνα π.) παραγγεῖλαι αὐτὸν ποιῆσαι D. — [28] om. N. — [29] (τὸ φίλ.) τὸ τῆς φιλαρχίας ἀρρώστημα N. — [30] καὶ τοῦ μεγάλου πατρὸς add. N. — [31] ἔφθασεν N. — [32] (αὐτὸς δὲ - τελ.) ἐπεὶ γὰρ παντάπασι τὸ φιλ. τῆς ἑαυτοῦ ψυχῆς ἐξερίζ. ὁ θεόδ. καὶ εἰς μέτρα τελειότητος ἔφθασε D. — [33] ὡς ἤδη φθάσαντες ἔφημεν add. D. — [34] καὶ τοῦτο add. D. — [35] νῦν ND. — [36] (ἄ. μ.) μ. ἄ. N.

183. — [1] ὁπηνίκα D. — [2] om. D. — [3] ὁ θεόδωρος add. D. — [4] λαλῆσαι D, τοῦ λέγειν N. — [5] ἐνισχύσωμεν D. — [6] εἰς τὸ add. D. — [7] om. ND. — [8] τῶν θλ. τὴν ὑπ. ND. — [9] τοὺς τὰ πονηρὰ ὑποβάλλοντας add. D. — [10] om. D. — [11] παρῆλθον D. — [12] ἦν D. — [13] τότε add. N. — [14] (καὶ οὕτως - ἡμῶν) ἐπὶ τῶν ἡμερῶν τοῦ πατρὸς ἡμῶν ὅτε ἦμεν ἐπιτοαυτὸ D. — [15] μηδὲν ἕτερον D. — [16] om. D. — [17] om. ND. — [18] om. D. — [19] οὐκ ᾐσθ. om. D. — [20] μὴ add. D. — [21] καὶ πολιτευόμενοι οὕτω διεκείμεθα add. D.

ἐν ψύχει καὶ παγετῷ μεγάλῳ [22] ὑπάρχων, ἕως οὗ τρέχει καὶ βιάζεται [23], ἀναθερμαίνεται καὶ ἀναζωπυροῦται [24] καὶ τέρπεται καὶ ἀγάλλεται εἰς οὐδὲν λογιζόμενος τὴν ψυχρότητα [25]· ἐπὰν δὲ χαυνώσῃ [26] ἀπὸ τοῦ δρόμου [27], ξηραίνεται [28] ἡ θέρμη καὶ ἀφανίζεται, καὶ τότε [29] στένει καὶ τρέμει ἀπὸ τοῦ ψύχους [30]. Καὶ ἡμεῖς [31] καθ' ὅσον ζητοῦμεν τὸν Θεόν, κατὰ τοσοῦτον καὶ ἡ χρηστότης αὐτοῦ φαίνεται ἐφ' ἡμᾶς [32], γλυκαίνουσα τὰς ψυχὰς ἡμῶν καὶ ὑποστηρίζουσα [33]. Ἀρτίως οὖν γνῶτε [34] πῶς [35] ἐσμεν. Καὶ ἐπιστρέψωμεν πάντες πρὸς [36] τὸ θέλημα τοῦ Θεοῦ· καὶ πιστεύομεν εἰς τοὺς οἰκτιρμοὺς αὐτοῦ [37], ὅτι ἵνα [38] ἀνανεώσῃ [39] ἡμᾶς. » Ταῦτα οὖν λέγων [40] ἔκλαιε, καὶ ἡ οἰμωγὴ τοῦ κλαυθμοῦ αὐτοῦ ἐξήρχετο ἐνώπιον τῶν ἀδελφῶν [41]. Καὶ οὕτως εὐξάμενος ἀπέλυσε τοὺς ἀδελφούς. Καὶ [42] ἐμβὰς εἰς πλοῖον μετά τινων [43] ἀδελφῶν ἐπορεύθη ἐπισκέψασθαι τοὺς [44] ἀδελφοὺς τῶν μοναστηρίων [45], καὶ ἐστήριξεν αὐτοὺς καὶ ἑδραίωσε [46] τῇ παρουσίᾳ αὐτοῦ [47]. Καὶ [48] μετὰ πολλοῦ ἀγῶνος καὶ συνέσεως πνευματικῆς ἔπεισε [49] καὶ τὸν πατέρα τῆς μονῆς ἧς ἔμελλε σχισθῆναι, Ἀπολλώνιος ὀνόματι [50]· καὶ εἰρήνευσε [51] μετὰ τῶν ἀδελφῶν καὶ ἐξηκολούθησε [52] τῇ τάξει αὐτῶν καὶ τῇ κοινωνίᾳ. Καὶ τῇ χάριτι τοῦ Θεοῦ κατῃσχύνθη ὁ ἐχθρός.

184. Καὶ ἦν [1] ὁ ἀββᾶς Θεόδωρος [2] νηφάλεος [3] σφόδρα περὶ τὴν τῶν ψυχῶν σωτηρίαν, παραμυθούμενος ἕνα ἕκαστον καὶ ἀλείφων πρὸς τοὺς [4] ἀγῶνας ὡς δόκιμος ἰατρός. Οὐδεὶς γὰρ τῶν ἀδελφῶν Φ 132.

[22] (π. μ.) μ. π. N. — [23] ἕως ἂν τρέχῃ καὶ βιάζηται D. — [24] (ἀναθ. κ. ἀναζ.) ἀναζ. κ. ἀναθ. D. — [25] χρηστότητα N. — [26] χαυνωθείη D, χαυνωθῇ N. — [27] (ἀπὸ τ. δρ.) καὶ μὴ τρέχῃ D; καὶ ἀποναρκήσῃ τοῦ τρέχειν add. N. — [28] ἀφίσταται κατὰ μικρὸν D. — [29] τηνικαῦτα D. — [30] τοῦ ἐπιγενομένου αὐτῷ add. D. — [31] οὖν add. N; οὕτω καὶ ἡμ. D. — [32] διαθερμαίνουσα καὶ add. D. — [33] ὅταν δὲ ἀμελήσωμεν τοῦ ἐκζητεῖν αὐτὸν τἀναντία τούτων πάσχομεν add. D. — [34] (ἀ. οὖν γν.) γνῶμεν οὖν ἀ. D. — [35] ἐν οἷοις D. — [36] εἰς N. — [37] τοῦ θεοῦ N. — [38] om. ND. — [39] νευρώσει N, ἀνανεώσει καὶ ἀνακαινίσει D. — [40] ὁ ἀββᾶς θεόδωρος add. N. — [41] (ἐξ. ἐν. τ. ἀδ.) ἠκούετο τοῖς παροῦσιν ἅπασι D. — [42] εἶτα D. — [43] (μ. τ.) μεθ' ἑτέρων D. — [44] ἐν τοῖς λοιποῖς μοναστηρίοις add. D. — [45] τ. μ. om. D. — [46] ἠδραίωσε N, ἠσφαλίσατο D. — [47] ἑαυτοῦ D. — [48] ἔπεισε δὲ D. — [49] om. D. — [50] τῆς μονῆς ἐκείνης τῆς μελλούσης σχ. ἀπολλώνιον λεγόμενον N, τῆς μον. ἐκείνης ἀπολλώνιον τῆς μελλούσης σχ. D. — [51] (καὶ εἰρ.) εἰρηνεῦσαι N. — [52] ἐξακολουθῆσαι N.

184. — [1] (κ. ἦν) ἦν οὖν D. — [2] οὗτος add. N. — [3] νηφάλιος D. — [4] πνευματικοὺς add. D.

ὑπεστέλλετο ἢ ἐφείδετο [5] ἀποκρύπτειν [6] τοὺς λογισμοὺς αὐτοῦ [7],
II Cor. 3, 18. ἀλλὰ πάντα [8] ἀνακεκαλυμμένῳ προσώπῳ κατ' ἰδίαν αὐτῷ καθωμολόγουν [9], καὶ παρευθὺ τὴν ἴασιν ἐλάμβανον, ὁρῶντες αὐτὸν περιχαρῆ καὶ εὐπρόσιτον. Εἴωθε [10] γὰρ τοῦ διδασκάλου τὸ χρηστὸν καὶ [11] περιχαρὲς καὶ συμπαθητικὸν [12] τοῦ μαθητοῦ ἐκπομπεύειν [13] τοὺς κρυπτοὺς [14] λογισμοὺς [15] καὶ ἀποκαθαίρειν [16]. Καὶ λοιπὸν ἕνα ἕκαστον, ὡς ἐπολεμεῖτο [17] ὑπὸ τοῦ [18] ἐχθροῦ, ὡς [19] πεῖραν ἔχων [20] ἐδίδασκεν ἀντιστήκειν [21] τοῖς πονηροῖς λογισμοῖς [22] καὶ ὅτι [23] ·
II Tim. 2, 5. « Ἀθλοῦντες νομίμως [24] στεφανωθήσεσθε [25], καθὼς λέγει [26] ὁ μακάριος Παῦλος. » Ἐὰν [27] δὲ ἔβλεπέ τινα ἀμελοῦντα τὴν ἰδίαν σωτηρίαν [28] καὶ καταφρονοῦντα, μετὰ πολλῆς τῆς μακροθυμίας ἐνουθέτει αὐτὸν καὶ ἔλεγε [29] τὰ φοβερὰ κρίματα τοῦ Θεοῦ [30], τό ·
Hebr. 10, 31. « Φοβερὸν [31] ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, καὶ κολάζει ἁμαρτωλοὺς ὁ Θεός [32]. Εὐεργέτης γάρ ἐστι καὶ ἀγαθός [33], καὶ βούλεται [34]
Cf. I Tim. 2, 4. πάντας σωθῆναι καὶ εἰς τὴν αἰώνιον ἀνάπαυσιν εἰσελθεῖν [35]. » Καὶ πάλιν ἔλεγεν [36] ὅτι [37] · « Ἐάν τις σκανδαλισθῇ [38] ὑπὸ τοῦ Σατανᾶ [39], ὑπὲρ τὸ μέτρον ἐμοῦ μακροθυμοῦντος [40], ἐγὼ αἴτιος εὑρίσκομαι τούτου [41]. » Διὰ τοῦτο οὐχ ἡσύχαζεν, ἀλλὰ μετὰ σπουδῆς μεγάλης τὴν μέριμναν αὐτοῦ ἐπέρριπτεν ἐπὶ Κύριον εὐχόμενος καὶ [42] λέγων · « Κύριε, σκέπασον [43] καὶ βοήθησον τὴν ἀσθένειαν ἡμῶν. »

[5] ἠσχύνετο D ; ἢ ἐφείδ. om. N. — [6] κρύψαι N. — [7] τοὺς αὐτοῦ λογ. ἀποκρ. D ; ἀπ' αὐτοῦ add. N. — [8] πάντες D. — [9] τούτους ἐξήγγελλον D. — [10] εἰώθει P. — [11] χρηστὸν καὶ om. D. — [12] καὶ χρηστὸν add. D. — [13] om. D. — [14] om. D. — [15] ἀποκαλύπτειν ἅπαντας add. D ; (εἴωθε - λογισμοὺς) τὸ γὰρ περιχαρὲς τοῦ διδασκ. καὶ συμπαθ. καὶ χρηστὸν εἰωθεν ἐκπομπ. τοὺς λογισμοὺς τοῦ μαθητοῦ N. — [16] ἐκκαθαίρειν D. — [17] (ὡς ἐπολεμεῖτο) πολεμούμενον ποικίλως N. — [18] κοινοῦ add. N. — [19] οἷα δὴ D. — [20] πολλὴν add. N ; ἐν τοῖς τοιούτοις add. D. — [21] ἀνθίστασθαι D, ἀντιλέγειν καὶ ἀντιφέρεσθαι N. — [22] καὶ μὴ ἐνδιδόναι add. D ; καὶ μὴ καταμαλακίζεσθαι καὶ ὑποκύπτειν ταῖς προσβολαῖς αὐτῶν add. N. — [23] οἱ add. N. — [24] (ἀ. ν.) ν. ἀ. N. — [25] στεφανωθήσονται ND. — [26] (κ. λ.) καθά φησιν D. — [27] ὅτε D. — [28] τῆς ἰδίας σωτηρίας ND. — [29] ἀνεμίμνησκεν αὐτὸν D. — [30] καὶ add. D ; ἐπιφέρων ἀεὶ add. N. — [31] τὸ add. ND. — [32] (κολ. ἁμ. ὁ θ.) τὰ αἰώνια βασανιστήρια D. — [33] (εὐεργ. - ἀγ.) ἀγ. ἐστι καὶ εὐ. ὁ θεὸς D. — [34] θέλει D. — [35] μόνον ἡμεῖς μὴ ἀμελῶμεν add. D. — [36] (καὶ π. ἔ.) ἔ. οὖν καὶ τοῦτο ὁ θεόδωρος D. — [37] om. N. — [38] σκανδαλισθείη D. — [39] καὶ νεύσῃ πρὸς τὰ χείρονα add. D. — [40] εἴ γε ὑπὲρ τὸ μέτρον μακροθυμῶν εἴην καὶ μὴ ταχέως τὰ πρὸς ἐπανόρθωσιν αὐτοῦ ἐπιδεικνύμενος D. — [41] τῆς τ. ἀπωλείας D. — [42] διὰ τοῦτο οὐκ ἐπαύετο ἀλλὰ καθόσον ἦν αὐτῷ δυνατὸν ἐπεμελεῖτο τῶν ἀδελφῶν καὶ προσηύχετο πρὸς κύρ. D. — [43] ἡμᾶς add. D.

Ἔλεγε δὲ καὶ τοῦτο εὐχόμενος [44] · « Μέγας ἀγών ἐστίν [45] τινα ὑπὲρ αὐτοῦ [46] λόγον δοῦναι [47] · πόσῳ γε μᾶλλον [48] ὑπὲρ πολλῶν [49] ψυχῶν [50] ; Διὰ τοῦτο γινώσκω ὅτι [51] ὡς σκιά [52] ἐσμεν [53], καὶ φύλακες ψυχῶν οὐκ ἐσμέν [54] · οὐ γὰρ φθάνομεν εἰς τὸ μέτρον τοῦτο [55].
Ps. 32, 15. Σὺ δὲ ὁ γινώσκων [56] καὶ πλάσας [57] κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων [58], φύλαξον ἡμᾶς καὶ πάντα τὸν κόσμον [59] ἀπὸ τῶν φθονερῶν δαιμόνων [60], ὅτι οὐδεὶς δύναται σῶσαι ἡμᾶς, εἰ μὴ σύ, Κύριε, Κύριε [61] ὁ Θεὸς τῆς δόξης [62]. »

Φ 133. **185.** Ὅτε δὲ προσήρχοντό τινες [1] κοσμικοί [2], ἢ ἐν ὁδῷ ἔτυχεν ἢ ἐν μοναστηρίῳ [3], περὶ δαιμονιζομένου [4] ἢ ἄλλως πάσχοντός τινος [5], ἔλεγεν αὐτοῖς · « Μὴ νομίζητε [6] ὅτι ἱκανοί ἐσμεν πρεσβεῦσαι ὑπὲρ τούτων ἁμαρτωλοὶ τυγχάνοντες [7]. Ἐὰν δὲ θέλῃ ὁ οἰκτίρμων Θεὸς [8] τοῦ ἰδίου πλάσματος φείσασθαι [9], ἐξουσίαν ἔχει · ἀγαθὸς γὰρ ὢν [10] ἀεί ποτε [11] πρὸς πάντας τὴν ἀγαθότητα αὐτοῦ ἐπιδείκνυται [12]. » Ἐπὶ πολὺ δὲ [13] ἐνοχλούντων καὶ ἀξιούντων αὐτὸν εὔχεσθαι ὑπὲρ [14] αὐτῶν [15], ἠύχετο · « Τὸ θέλημα τοῦ Θεοῦ [16] γενέσθω [17] ». Καὶ οὕτως ἐθεράπευεν αὐτοὺς [18] ὁ Κύριος. Ταῦτα ἐποίει

[44] (ἔλεγε - εὐχ.) om. D. — [45] κύριε add. D. — [46] (τ. ὑ. αὐ.) ὑ. ἑαυτοῦ τ. ND. — [47] (λ. δ.) δ. λ. N, ἀποδοῦναι σοι λ. D. — [48] δυνήσεταί τις add. D. — [49] τοσούτων D. — [50] ἀπολογήσασθαι add. D. — [51] διὰ τ. γ. ὅ. om. D. — [52] γὰρ add. D. — [53] ἡμεῖς καὶ ὡς ἱστὸς ἀράχνης add. D. — [54] καὶ οὐχ ἱκανοῦμεν φύλ. εἶναι ψ. D. — [55] (οὐ γὰρ - τ.) om. D. — [56] τὰ πάντα add. N. — [57] ὁ πλ. N ; (σὺ δὲ - πλ.) διὰ τοῦτο δεόμεθά σου φιλάνθρωπε δέσποτα σὺ ὁ πλ. D. — [58] (τ. ἀ.) ἡμῶν ὁ τὰ πάντα εἰδὼς καὶ πρὶν γενέσεως αὐτῶν D. — [59] σου add. D. — [60] καὶ πάσης κακίας add. D. — [61] om. N. — [62] (ὅτι - δόξ.) ὅτι σὺ μόνος δυνατὸς σώζειν τοὺς ἐπικαλουμένους σε κύριε κύριε ὁ θεὸς τοῦ ἐλέους καὶ σοῦ ἐστι τὸ κράτος εἰς τοὺς αἰῶνας ἀμήν D.

185. — [1] αὐτῶ N. — [2] τῶ μακαρίω τούτω θεοδώρω add. D. — [3] ἢ ἐν μον. τυγχάνοντι ἢ ἐν ὁδῶ D. — [4] (περὶ δ.) καὶ ἐζήτουν αὐτὸν εὐχὴν ποιῆσαι ὑπὲρ δαιμ. τινὸς N. — [5] om. N ; (περὶ - τινος) ἀσθενῆ τινα ἐπαγόμενοι ἢ ἄλλως δαιμονιζόμενον καὶ ἠξίουν αὐτὸν ὑπὲρ τοῦ πάσχοντος εὔξασθαι D. — [6] νομίζετε N. — [7] (μὴ νομίζ. - τυγχ.) οὐχ ἱκανοὶ ἐσμὲν ἡμεῖς ὑπὲρ τοιούτων εὔχεσθαι καὶ αἰτεῖσθαι D. — [8] om. P ; ἀλλ' ἐὰν ὁ οἰκτ. κύριος ὁ πάντα συμφερόντως οἰκονομῶν D. — [9] ἤδη βούληται add. D. — [10] (ἐξουσίαν - ὤν) οὐδὲν τὸ κωλύον ἰάσασθαι τὸν ἀσθενοῦντα παντοδύναμος ὢν καὶ ἀγ. D. — [11] καὶ add. D. — [12] τὴν αὐ. ἀγ. βουλόμενος ἐκχέειν διηνεκῶς D. — [13] οὖν N. — [14] N ; om. P. — [15] (ἐπὶ πολὺ - αὐ.) ἐπιμενόντων δὲ αὐτῶν καὶ βιαζομένων εὔξασθαι ἐπείθετο αὐτοῖς καὶ D. — [16] (τοῦ θ.) κυρίου D. — [17] γενέσθαι ND ; ἐπὶ τὸν πάσχοντα add. D. — [18] αὐτὸν D.

ἐν τῇ μνήμῃ [19] τοῦ ἀναθρέψαντος αὐτὸν [20] πατρὸς τοῦ μακαρίου ἀββᾶ Παχωμίου [21]· τὴν γὰρ [22] ὁδὸν τῶν ἁγίων [23] ἦν ὥδευον, ἀκλινῶς καὶ αὐτὸς ἐπορεύετο [24].

Φ 134. **186.** Καὶ λοιπὸν ἐποίησεν οὕτως [1] ὁ Θεόδωρος [2] καὶ ἕτερα μοναστήρια [3] ἐπὶ [4] τοῖς γεναμένοις [5] ἐξ ἀρχῆς [6] περὶ τὴν Ἑρμούπολιν [7] δύο [8], μετὰ γνώμης τοῦ ἀββᾶ Ὡρσισίου· καὶ ἔταξεν ἐκεῖσε [9] πατέρας νηφαλέους [10] καὶ εὐλαβεῖς, πρώτους καὶ δευτέρους, καθ' ὁμοιότητα τῶν ἄλλων μοναστηρίων. Ὡσαύτως [11] καὶ περὶ Ἑρμουθὶμ [12] ἕτερον μοναστήριον, τάξας [13] ἐν αὐτῷ προεστῶτας καὶ ἀδελφούς, τυπώσας αὐτοῖς [14] τὸν κανόνα καὶ τὴν διάταξιν [15] τῶν λοιπῶν μοναστηρίων [16]. Καὶ τῶν παρθένων ἄλλην μονὴν [17] ἐν κώμῃ τῇ [18] ἐπιλεγομένῃ [19] Βιχνέ [20], μήκοθεν [21] τῆς μονῆς Παβὼ ἀπὸ μιλίου ἑνός [22]. Ἐν ἑτέρῳ δὲ τόπῳ [23] ἔτι περιὼν ἐν [24] τῷ βίῳ ὁ μακάριος Παχώμιος ἐποίησε καὶ ἄλλην μονὴν τῶν παρθένων· ἀμφότεραι δύο [25] αὗται οὖν αἱ μοναὶ ἦσαν ἐπαρκοῦσαι [26] εἰς ἱμάτια ἔρεια [27] καὶ στρώματα καὶ λεβίτονας [28] καὶ τὴν λοιπὴν χρείαν τῶν ἀδελφῶν [29], τοῦ οἰκονόμου τῆς μεγάλης μονῆς πέμποντος αὐταῖς ἔργον διὰ τοῦ πατρὸς αὐτῶν Ἐπωνύχου [30] ἁγίου ἀνδρός.

Φ 135. **187.** Ἐπεὶ δὲ [1] ὁ ἀββᾶς Θεόδωρος ἤκουσε τὸν γογγυσμὸν τὸν τότε γενόμενον περὶ τοῦ ἀββᾶ Παχωμίου ἐν Ἀλεξανδρείᾳ [2] καὶ τὴν θλίψιν [3] διὰ [4] τοῦ διορατικοῦ αὐτοῦ χαρίσματος — ἦν γὰρ καὶ

[19] καὶ μιμήσει add. N. — [20] ἁγίου add. N. — [21] καὶ ταῦτα μὲν ἐποίει θεόδωρος μεμνημένος ἀεὶ καὶ μιμούμενος τὸν ἀναθρεψάμενον πατέρα καὶ τὴν ἀρετὴν ἐκδιδάξαντα τὸν μακάριον παχώμιον D. — [22] (τ. γ.) καὶ τὴν. D. — [23] πάντων add. D. — [24] (ἦν - ἐπ.) ἦν ὁδεύων ἀκλ. N, ἀκλ. ὁδεύων καὶ ἀνεπιστρόφως D.

186. — [1] οὕτος N. — [2] (καὶ - θεόδ.) ἐποίησεν οὖν ὁ θεόδ. οὗτος D. — [3] καὶ ἕτ. μον. om. D. — [4] πρὸς D. — [5] γενομένοις ND. — [6] καὶ ἕτερα μοναστήρια δύο add. D. — [7] ἑρμουπόλιν N. — [8] om. D. — [9] ἐκεῖ D. — [10] νηφαλίους D. — [11] ἐποίησε D. — [12] ἑρμουθεὶμ D. — [13] καὶ κατώκισεν D. — [14] καὶ add. ND. — [15] καὶ τ. δ. om. ND. — [16] τῶν λ. μ. om. N. — [17] (καὶ τ. π. ἄ. μ.) ὡσαύτως πεποίηκεν D. — [18] om. ND. — [19] λεγομένῃ D. — [20] βηχλέ ND ; καὶ ἑτέραν μονὴν τῶν παρθένων add. D. — [21] ἀπέχουσαν D. — [22] (ἀ. μ. ἑ.) ὡσεὶ μίλιον ἕν D. — [23] (ἐν ἑ. δὲ τ.) ἦν δὲ καὶ ἑτέρα μονὴ τῶν παρθένων ἣν D. — [24] om. D. — [25] (καὶ ἄλλην - δύο) ἐν ἑτέρῳ τόπῳ D. — [26] αὗται οὖν αἱ δύο μοναὶ τῶν παρθένων ὑπῆρχον ἐπαρκ. τοῖς ἀδελφοῖς D. — [27] ἐρέα P, ἐρίνα D. — [28] λεβητῶνας D, τοὺς λεβίτωνας N. — [29] (τ. ἀ.) αὐτῶν D. — [30] ἐπονύχου ND.

187. — [1] γοῦν D. — [2] (τὸν τότε - ἀλεξ.) om. D. — [3] τὴν add. N ; τὴν γενομένην τῷ μακαρίῳ παχωμίῳ add. D. — [4] περὶ D.

αὐτὸς τότε ἐν τῷ πλοίῳ [5] — ἀπὸ τότε ἤρξατο κρύπτειν εἴ τι βούλημα Κυρίου ἐν ὁράματι εἶδεν ἢ ἔβλεπε [6]· συνῆκε γὰρ τοῦτο ὠφέλιμον [7]. Τοῖς δὲ ἀδελφοῖς ἔλεγεν ὅτι· « Πλέον [8] τί ἐστι τοῦ ἔχειν πνεῦμα ἅγιον, ἐὰν ὀρθῶς πιστεύῃ καὶ φυλάσσῃ [9] τὰς ἐντολὰς τοῦ Θεοῦ ; Οὗτος γὰρ [10] ναὸς [11] Θεοῦ δηλονότι [12] ἐστίν. Ὅπου γάρ [13] ἐστι [14] Θεός, ἐκεῖ ἐξουσία πᾶσα [15] καὶ παρρησία [16]. Ἐπεὶ καὶ ἐν παλατίῳ βασιλέως πᾶν [17] ἔνδοξον ἐκεῖ [18] ἐστι [19]. Καὶ γὰρ καὶ ἡ τότε [20] σκηνὴ οὕτως ἦν ἔχουσα πάντα τὰ συντελοῦντα εἰς δόξαν Θεοῦ. Μηδεὶς οὖν [21] ἀμφιβάλλῃ [22] περὶ ἀνθρώπου [23] Θεοῦ, ἐὰν ἀκούσῃ ὅτι ὅραμα εἶδεν [24], τοῦ δείξαντος [25] τὰς ὁράσεις [26] ἐν αὐτῷ οἰκοῦντος [27]. Ἀλλὰ μᾶλλον [28] ἀσφαλείας χρεία καὶ ἐν τούτῳ [29], μὴ [30] δόξῃ τις ἑαυτὸν εἶναί τι μηθὲν [31] ὤν, καὶ ἐξαπατηθῇ εἰς ἐπιθυμίαν ὑπὸ τοῦ ἐχθροῦ τοῦ ἰδεῖν τι [32] καὶ σκανδαλισθεὶς ἐμπέσῃ εἰς ἔκστασιν ὡς οἱ πολλοί. Ἀλλὰ καὶ ὁ φθάσας εἰς [35] τὰ τοιαῦτα μέτρα καὶ ὁ μήπω καταλαβὼν ἔχωμεν [36] πάντες πολλὴν [37] ταπεινοφροσύνην, εὐχόμενοι τοῦ [38] ἐκφυγεῖν τὰς αἰωνίους κολάσεις. Καὶ γὰρ οἱ ἅγιοι τοῦτο εὔχονται, λέγοντος ἑνός· « Φύλαξον τὴν ψυχήν μου καὶ λύτρωσαι αὐτήν. » Καὶ πάλιν [39] εὐχαριστῶν τῷ Κυρίῳ Παῦλος [40] ἐπὶ τῇ ἰδίᾳ σωτηρίᾳ λέγει· « Ἐρρύσθην ἐκ στόματος λέοντος. » Λέοντα δὲ λέγει τὸν ὠρυόμενον [41] ψυχὰς καταπιεῖν· πολὺ γὰρ δόλιός ἐστι, καὶ ἐσθ' ὅτε τὸ ψεῦδος ποιεῖ ἀλήθειαν· καὶ ἐὰν μὴ ἀκρότατος διακριτικὸς εὑρεθῇ πρὸς αὐτὸν ὁ πειραζόμενος πλανᾶται. Ὁ δὲ μὴ πλανώμενός ἐστιν ὁ ἐν παντὶ τῷ Θεῷ καὶ τοῖς

Gal. 6, 3. Ps. 24, 20 ; 68, 18. II Tim.4,17 ; cf.I Pet. 5, 8.

[5] (ἦν γὰρ - πλ.) ὅτε ἦν αὐτὸς ἐν ἀλεξανδρεία μετὰ ζακχαίου D. — [6] (ἀπὸ τότε - ἔβλ.) ἔκτοτε εἴ τι ἑώρα τῇ τοῦ θεοῦ βουλήσει εἴτε κατ' ὄναρ εἴτε καθ' ὕπαρ εἴτε ἐν ἐκστάσει, πάντα ἀπέκρυπτε D. — [7] (τ. ὠφ.) ὠφ. εἶναι τ. D. — [8] πλεῖον N. — [9] (πλέον - φυλ.) μέγα καὶ θαυμαστόν ἐστι τὸ ἔχειν τινὰ πν. ἅγ. ὀρθῶς πιστεύοντα καὶ φυλάσσοντα D. — [10] πάντως add. D. — [11] τοῦ add. D. — [12] om. D. — [13] δὲ D. — [14] ὁ add. D. — [15] (ἐξ. π.) π. ἐξ. ND ; καὶ εἰρήνη add. D. — [16] καὶ εἴ τι ἕτερον τῶν καλῶν add. D. — [17] εἴ τι add. D. — [18] καὶ τίμιον D. — [19] ἔσται N, ἀπόκειται D. — [20] ἐν τῷ παλαιῷ D. — [21] τοίνυν D. — [22] ἀμφιβάλη καὶ ἀπιστήσῃ D. — [23] τοῦ add. N. — [24] ὅτι εἶδεν ὅρ. N, ὅτι ἐθεάσατό τινα ὀπτασίαν D. — [25] om. D. — [26] (τὰς ὁρ.) τὰ ὁράματα N, τὰς ὀπτασίας ἀποκαλύπτοντος καὶ ἐπιδεικνύοντος D. — [27] κατοικοῦντος D. — [28] om. D. — [29] καὶ ἐν τ. χρ. ἀσφ. D. — [30] μηδὲ N, μήπως D. — [31] μηδὲν ND. — [32] καὶ ἐξαπατηθεὶς ὑπὸ τοῦ ἐχθροῦ εἰς ἐπιθ. ἐμπέσῃ τοῦ θεωρεῖν τοιαῦτα D ; quae sequuntur valde diversa sunt in D ; vid. annot. 42. — [35] om. N. — [36] ἔχειν ὀφείλομεν N. — [37] τὴν add. N. — [38] τε N. — [39] ὁ παῦλος N. — [40] om. N. — [41] καὶ ζητοῦντα add. N.

ἁγίοις ὑπακούων ἀδιακρίτως. Καὶ ἡμεῖς, ἀδελφοί, νοήσαντες ταῦτα, τηρήσωμεν ἕκαστος τὸ ἴδιον μέτρον [42], ὁ [43] δοκῶν ποιμὴν ψυχῶν [44] εἶναι καὶ ὁ δοκῶν πρόβατον [45]. Ὅμως πάντες εὐξώμεθα πρόβατον
Ioh. 10, 14. εἶναι [46] · οὐδεὶς γὰρ [47] ποιμήν, εἰ μὴ αὐτὸς ὁ εἰπών · Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. » Καὶ ταῦτα μὲν περὶ τούτων [48].

Φ 136. **188.** Αὐτὸς δὲ ὁ ἀββᾶς Θεόδωρος ἀπὸ τότε ἀκούσας — καὶ αὐτὸς γὰρ παρῆν ὅτε ὁ μακάριος Ἀντώνιος ὑπεδέξατο τοὺς ἀδελφοὺς ὡς τέκνα [1], καὶ ὁ ἅγιος [2] πάπας [3] σφόδρα ἠγάπησε τοὺς δύο, ὡς τὸν ἀββᾶν Παχώμιον, οὕτως καὶ τὸν Θεόδωρον ἢ καὶ πλέον [4] — λέγων [5] τοῖς ἀδελφοῖς ὅτι · « Ἐγὼ ἤκουσα, καὶ ὑμεῖς παρῆτε οἱ ἀρχαῖοι [6], τοῦ πατρὸς ἡμῶν λέγοντος [7] ὅτι · Ἐν τῇ γενεᾷ ἡμῶν [8] ἐν τῇ Αἰγύπτῳ [9] τρία ὁρῶ κεφάλαια ὑπὸ τοῦ Θεοῦ αὐξανόμενα εἰς ὠφέλειαν πάντων [10] · ὁ [11] ἐπίσκοπος [12] Ἀθανάσιος ὁ ἀθλητὴς τοῦ Χριστοῦ περὶ [13] τῆς πίστεως ἕως [14] θανάτου, καὶ ὁ ἅγιος [15] ἀββᾶς Ἀντώνιος ὑπογραμμὸς [16] τοῦ ἀναχωρητικοῦ βίου, καὶ ἡ κοινωνία αὕτη [17], <ἡ> [18] τύπος ἐστὶ [19] πάντων [20] τῶν θελόν-

[42] (καὶ σκανδαλισθεὶς - μέτρον) καὶ ἀντὶ τοῦ θεωρητικὸς ἐξεστηκὸς μᾶλλον γένηται καθάπερ ἔπαθον πολλοί · ἀλλὰ καὶ τέλειοι καὶ μέσοι καὶ ἀρχάριοι ταπεινοφρονῶμεν πάντες καὶ μὴ ὑψῶμεν ἑαυτοὺς
Cf. II Tim. 4, 17 ; τῇ οἰήσει ὑπὲρ τὰ μέτρα ἡμῶν, ἀλλ' εὐχώμεθα τῷ κυρίῳ ῥυσθῆναι
I Pet. 5, 8 τῆς αἰωνίου κολάσεως καὶ τοῦ στόματος τοῦ νοητοῦ λέοντος τοῦ περιερχομένου καὶ ζητοῦντος τίνα καταπίῃ τοῦ πολλοὺς καὶ τῶν δοκούντων μεγάλων δι' ἀπάτης ὑποσκελίζοντος διὰ τὸ μὴ κεκτῆσθαι αὐτοὺς τελείαν καὶ καθαρὰν διάκρισιν · ἀλλ' ὅ γε τὰς αὐτοῦ πάγας ἐκκλίνων καὶ μὴ εὐχερῶς ἀπατώμενος ἐκεῖνος ἐστὶν ὁ τῷ θεῷ καὶ τοῖς
Ps. 24, 20 ; ἁγίοις ἐν πᾶσιν ὑπακούων ἀδιακρίτως · ταῦτα οὖν εὐχώμεθα καθὼς
68, 18. καὶ πάντες οἱ ἅγιοι καὶ δαυὶδ ὁ θεοπάτωρ λέγων πρὸς τὸν θεόν · φύλαξον τὴν ψυχήν μου καὶ λύτρωσαι αὐτήν · ταῦτα διαλογιζώμεθα καὶ τηρῶμεν ἕκαστος ἑαυτὸν ἐν τοῖς ἰδίοις μέτροις D. — [43] τε add. D. — [44] om. D. — [45] (ὁ δοκ. πρόβ.) ὁ ἐν τάξει προβάτου N. — [46] (ὅμως - εἶναι) ἀλλὰ καλὸν ἂν εἴη πρόβατα πάντας ἡμᾶς εἶναι καὶ μὴ ποιμένας δοκεῖν D. — [47] ἐστι κυρίως add. D. — [48] τούτου N ; (καὶ τ. μ. περὶ τ.) οὕτως ἦν ὁ θεόδωρος καταρτίζων τοὺς ἀδελφοὺς καὶ μεταβιβάζων πρὸς τὰ κρείττονα ὅσαι ὧραι D.

188. — [1] τοῦ ἀββᾶ παχωμίου add. N. — [2] ἀθανάσιος add. sup. lin. N. — [3] ἀλεξανδρείας add. N. — [4] (Αὐτὸς δὲ - πλέον) om. D. — [5] i. e. λέγει ; ἔλεγεν οὖν καὶ τοῦτο ὁ θεόδωρος D. — [6] καὶ ὑμεῖς παρ. οἱ ἀρχ. om. D. — [7] παρόντων καὶ ἡμῶν τῶν ἀρχαίων add. D. — [8] ἐν τῇ καθ' ἡμᾶς γενεᾷ D. — [9] κατὰ τὴν αἴγυπτον D. — [10] ταῦτα δέ ἐστιν add. D. — [11] τε add. D. — [12] ἀρχιεπίσκοπος D. — [13] ὑπὲρ D. — [14] μέχρι D. — [15] om. N. — [16] ὢν add. D. — [17] τῶν ἀδελφῶν add. D. — [18] supplevi. — [19] οὖσα D. — [20] om. D.

των συνάγειν ψυχὰς κατὰ Θεὸν καὶ ἀντιλαμβάνεσθαι αὐτῶν ἕως ἂν τελειωθῶσιν [21]. »

Φ 137. **189.** Καὶ ἐγένετο [1] μετὰ ταῦτα [2], ζητουμένου [3] τοῦ ἁγίου [4] ἐπισκόπου [5] Ἀθανασίου ὑπὸ Κωνσταντίου τοῦ [6] βασιλέως ἐξ ἐπιβουλῆς [7] τῶν ἐχθρῶν τοῦ Χριστοῦ Ἀρειανῶν — ἠρεύνησε γὰρ [8] πανταχοῦ περὶ αὐτοῦ — καὶ [9] φήμης διαδοθείσης · « Μὴ ἆρά ἐστι [10] παρὰ τοῖς μοναχοῖς τοῖς [11] Ταβεννησιώταις [12] κρυπτόμενος [13], ὡς [14] ἀγαπῶν αὐτούς ; » ἀνέπλευσεν [15] ὁ δοὺξ [16] ἐπὶ τοῦτο [17]. Καὶ ἀναπλέοντος αὐτοῦ, κατὰ συγκυρίαν ἦν καὶ αὐτὸς ὁ ἀββᾶς Θεόδωρος καταπλέων ἐπισκέψασθαι τὰς μονὰς τῶν ἀδελφῶν [18] περὶ τὴν Ἑρμούπολιν. Καὶ αὐτοῦ ἐγγίσαντος [19] τῆς ἀνωτέρας μονῆς τῆς λεγομένης Καιώρ, βλέπει ἀναπλέοντα τὸν δοῦκα [20] · καὶ [21] συνῆκε παρὰ Κυρίου τὸ μέλλον γενέσθαι καὶ ἐδήλωσε [22] τοῖς ἀδελφοῖς. Καὶ θελησάντων τῶν ἀδελφῶν [23] ἀνακάμψαι καὶ προλαβεῖν τὸν δοῦκα, ἵνα μὴ [24] ταράξῃ τοὺς ἀδελφοὺς ἐν Παβώ, λέγει αὐτοῖς ὁ ἀββᾶς Θεόδωρος · « Δι' ὃ [25] ἤλθομεν τοσοῦτον διάστημα ἐπισκέψασθαι τοὺς δούλους τοῦ Θεοῦ [26], καλόν ἐστι καὶ τοῦτο διοικῆσαι χωρὶς λύπης. » Καὶ ταῦτα εἰπὼν ἀπῆλθεν [27] εἰς τὰς μονάς.

Φ 138. **190.** Ἐλθὼν δὲ Ἀρτέμιος ὁ δοὺξ [1] εἰς τὴν μονήν, ἐκέλευσε νυκτὸς τὸ στρατόπεδον [2] περιτηρῆσαι [3] τὴν μονήν [4]. Αὐτὸς δὲ ἔξω

[21] ὅτε γὰρ ἀπῆλθον τινὲς τῶν πατέρων ἰδεῖν τὸν ἁγιώτατον πάπαν ἀθανάσιον ἀλεξανδρείας μετὰ τὸ ἐπανελθεῖν αὐτὸν ἀπὸ κωνσταντινουπόλεως, συμπαρῆν αὐτοῖς καὶ ὁ θεόδωρος οὗτος θεασάμενος τηνικαῦτα τὸν μέγαν ἀντώνιον καὶ τὸν ἁγιώτατον τοῦτον ἀρχιεπίσκοπον ἀλεξανδρείας ἀθανάσιον παρ' οὗ καὶ ἠγαπᾶτο λίαν ὡς καὶ ὁ θεῖος παχώμιος add. D.

189. — [1] κ. ἐ. om. D. — [2] δὲ add. D. — [3] τούτου add. D. — [4] ἁγιωτάτου D. — [5] ἀρχιεπισκόπου D. — [6] om. ND. — [7] (ἐξ ἐ.) ἅτε διαβληθέντος πρὸς αὐτὸν ὑπὸ D. — [8] (ἠρ. γὰρ) καὶ διερευνῶντος D. — [9] τῆς add. N. — [10] (καὶ φ. - ἐστι) φήμη τις ἐξῆλθεν ὡς ἄρα D. — [11] om. D. — [12] εἴη add. D. — [13] κρυβόμενος N. — [14] ἅτε δὴ D. — [15] καὶ εὐθέως ἐξώρμησεν D. — [16] ἀλεξανδρείας ἀρτέμιος add. D. — [17] ἐπὶ τούτῳ N, πρὸς αὐτούς D. — [18] καὶ ἀναπλ. αὐτοῦ ἔτυχε κατὰ συγκ. καὶ τὸν ἀββᾶν θεόδωρον καταπλέοντα πρὸς ἐπίσκεψιν τῶν μονῶν τῶν D. — [19] (αὐτοῦ ἐγγίσ.) πλησίον γενομένου N. — [20] καὶ ἐγγίζοντα ἤδη τῇ μονῇ τῇ λεγομένῃ καιὸρ ἰδεῖν αὐτὸν ἀναπλ. D. — [21] αὐτίκα add. D. — [22] τοῦτο add. D. — [23] (καὶ θ. τ. ἀ.) θελόντων δὲ αὐτῶν D. — [24] ἀπελθὼν ἄφνω add. D. — [25] διὸ PD. — [26] (δ. τοῦ θ.) ἀδελφοὺς D. — [27] (ταῦτα εἰπ. ἀπὼν) οὕτως ἀπῆλθον D.

190. — [1] ὁ μέντοι δοὺξ ἀρτ. παραγενόμενος D. — [2] (τὸ στρ.) τοῖς στρατιώταις D, — [3] περιφρουρῆσαι N. — [4] (τ. μ.) αὐτήν D,

τῆς συνάξεως ἦν καθήμενος [5] μετὰ τῶν πραιποσίτων, ἔνθεν κἀκεῖθεν τοξόται [6] παρεστῶτες [7] αὐτῷ καὶ [8] βλέποντες. Οἱ ἀδελφοὶ δὲ [9] ἐφοβήθησαν [10]. Ὁ δὲ προρρηθεὶς [11] Πεκύσιος, ἅγιος [12] ὤν [13], παρεθάρρυνε τοὺς ἀδελφοὺς [14] μὴ δειλιᾶν ἐν Κυρίῳ. Ὁ δὲ [15] δοὺξ δι' ἑρμηνέως ἐξετάζει [16] τοὺς ἀδελφούς [17] · « Ποῦ ἐστιν [18] ὁ πατὴρ ὑμῶν ; » Ἀποκρίνεται ὁ ἀββᾶς Πεκύσιος λέγων [19] · « Εἰς τὰς μονάς [20]. » Καὶ ὁ δούξ · « Καὶ ὁ μετ' αὐτὸν [21] ποῦ ἐστι ; » [22] Δεικνύουσιν [23] αὐτῷ τὸν ἀββᾶν Ψαρφὶν [24] τὸν μέγαν οἰκονόμον. Καὶ λέγει αὐτῷ [25] ὁ δοὺξ κατ' ἰδίαν · « Ἐπειδὴ πρόσταξιν ἔχω βασιλικὴν κατὰ Ἀθανασίου τοῦ ἐπισκόπου καὶ λέγεται [26] παρ' ὑμῖν εἶναι [27] · » Ἀπεκρίθη αὐτῷ ὁ ἀββᾶς Ψάρφιος [28] λέγων [29] · « Αὐτὸς μὲν [30] πατὴρ ἡμῶν ἐστιν, οὐδέποτε δὲ [31] εἶδον [32] αὐτοῦ [33] πρόσωπον [34]. Ὅμως οὖν [35] ἰδοὺ ἡ μονὴ καὶ ἐρεύνησαι [36]. » Μετὰ οὖν [37] τὸ ἐρευνῆσαι καὶ μὴ εὑρεῖν αὐτόν, λέγει αὐτοῖς ἐν τῇ συνάξει · « Δεῦτε [38], εὔξασθε ὑπὲρ ἐμοῦ. » Εἶπαν [39] δὲ αὐτῷ [40] · « Οὐ δυνάμεθα [41], διὰ τὸ ἔχειν ἡμᾶς ἐντολὴν παρὰ τοῦ πατρὸς ἡμῶν μετ' οὐδενὸς εὔξασθαι συναιρομένου [42] Ἀρειανοῖς. » Ἔβλεπον γάρ τινα [43] τῶν Ἀρειανῶν ὡς ἐπίσκοπον μετὰ τοῦ δουκός. Καὶ λοιπὸν ἐξελθόντων αὐτῶν, ηὔξατο μόνος. Καὶ [44] κοιμωμένου αὐτοῦ ἐν τῇ συνάξει ἡμέρας, ἀνέστη αἱμορροῶν τὴν ῥῖνα καὶ ταρασσόμενος [45] · οὐκ ᾔδει μέντοι [46] ἀσφαλῶς [47] τί γέγονεν αὐτῷ, ἀλλ' ἦν ἔμφοβος [48] λέγων · « Τῷ ὁράματί μοι [49] τῷ γενομένῳ [50] μόλις ἐλέῳ [51] Θεοῦ ἐξέφυγον τὸν θάνατον [52]. » Καὶ οὕτως ἀνεχώρησεν. Ὁ δὲ [53] ἀββᾶς Θεόδωρος ἀνελθὼν [54] καὶ ἀκούσας ταῦτα, ἐδόξασε τὸν Θεόν.

[5] (αὐτὸς - καθ.) εἶτα ἐλθὼν αὐτὸς ἐκάθητο ἔξω τῆς ἐκκλησίας D. — [6] καὶ οἱ τοξ. ἔνθεν κἀκ. D. — [7] παρίσταντο D. — [8] om. D. — [9] (οἱ ἀδ. δὲ) ἰδόντες δὲ οἱ ἀδ. N. — [10] καὶ ἐφοβ. οἱ ἀδ. τοιαῦτα κατιδόντες D. — [11] προρηθεὶς P. — [12] ἡγούμενος N. — [13] ἀνὴρ add. D. — [14] (τοὺς ἀδ.) αὐτοὺς D. — [15] μέντοι D. — [16] ἐπερωτᾶ D. — [17] λέγων add. N. — [18] λέγων add. D. — [19] αὐτῷ D. — [20] ἀπῆλθε add. D. — [21] αὐτοῦ PN. — [22] καὶ εὐθέως add. D. — [23] ὁ δὲ δείκνυσιν N. — [24] ψαρφὴν ND. — [25] αὐτοῖς PN. — [26] (κ. λ.) λ. δὲ D. — [27] διὰ τοῦτο παρεγενόμην add. D ; εἰπατέ μοι add. N. — [28] ψαρφῆς N. — [29] καὶ εἶπεν D. — [30] γὰρ add. D. — [31] (οὐδ. δὲ) κατὰ δὲ τὸ παρὸν οὐκ D. — [32] εἴδομεν ND. — [33] τὸ add. D. — [34] (αὐ. πρ.) τὸ πρ. αὐ. N. — [35] om. D ; (ὅ. οὖν) ἀλλ' ὅ. N. — [36] ἐρεύνησον ND ; ὡς βούλει add. D. — [37] δὲ D. — [38] καὶ add. N. — [39] εἶπον N. — [40] οἱ δὲ εἶπον D. — [41] τοῦτο ποιῆσαι add. D. — [42] συναιρουμένου P. — [43] (ἕ. γ. τ.) ἦσαν γ. τ. βλέποντες D. — [44] εἶτα D. — [45] καὶ add. D. — [46] ἤδει μὲν N, ἤδειμεν D. — [47] ἀκριβῶς D. — [48] ἀλλ' ἢ ἔμφ. ἦν μόνον D. — [49] μου N. — [50] ἐν τῷ ὁρ. τῷ θεαθέντι μοι D. — [51] ἐλέει ND. — [52] τὸν θάν. ἐξ. ND. — [53] γε add. D. — [54] ἐπανελθὼν D.

191. Τῶν [1] δὲ ἀδελφῶν ἀποθνησκόντων πολλῶν [2], ὥστε καθ' ἡμέραν ἑνὸς ἢ δύο τελειουμένων [3], καὶ ἅπαξ ὑπαγόντων [4] εἰς τὸ ὄρος [5], ἐκοπίασαν [6] σφόδρα, ὅτι τὸ ὕδωρ τῆς ἀναβάσεως [7] τὸν ἀγρὸν [8] ἤρξατο πληροῦσθαι [9]. Καὶ λέγουσιν αὐτῷ [10] · « Τί ποιήσομεν [11] ἐὰν ἄλλος ἀποθάνῃ [12] ; Οὐδὲ γὰρ δύναται πλοῖον ἀπελθεῖν [13] διὰ τὸ μὴ εἶναι πολλὰ [14] ὕδατα. » Καὶ λέγει αὐτοῖς ὅτι · « Ὡς [15] πιστεύομεν [16], φείσεται ἡμῶν ὁ Θεός [17]. » Καὶ ἐν τούτῳ [18] οὐκέτι ἀπέθανέ τις [19], ἕως [20] παρῆλθεν ἡ ἀνάβασις [21]. Καὶ ἐθαύμασαν οἱ ἀδελφοὶ πάντες. Φ 139.

192. Ἐν μιᾷ οὖν [1] καθημένων αὐτῶν [2], λέγει αὐτῷ τις ἀδελφὸς ἐξηγουμένῳ [3] · « Ἀββᾶ Θεόδωρε [4], διὰ τί, ὅτε λέγουσί μοί τινες σκληρόν τι, εὐθέως ὀργίζομαι [5] ; » Ἀποκρίνεται [6] καὶ λέγει [7] · « Οὐκ ἔστι [8] ξένον. Καὶ [9] ἡ ἄκανθα ἀπὸ [10] πέλυκος λαβοῦσα [11] ἐκφέρει κόμμι [12]. » Καὶ ἐξετάζουσιν [13] αὐτὸν [14] οἱ ἀδελφοί · « Τί ἐστι τοῦτο ; » Καὶ λέγει [15] · « Ὁ ἄνθρωπος τοῦ Θεοῦ νοεῖται ἄμπελος. Καὶ [16] ἐάν τις λάβῃ βότρυν σταφυλῆς ἐκ τοῦ καρποῦ αὐτῆς καὶ θέλῃ ἐκπιάσαι [17] αὐτόν, οὐδὲν ἐκβάλλει εἰ μὴ [18] οἶνον γλυκύν [19]. Οὕτως καὶ τοῦ πιστοῦ [20] θλιβομένου [21] ἢ ἔργῳ ἢ λόγῳ ἢ λογισμῷ [22], οὐδὲν ἔχει καρποφορεῖν, εἰ μὴ τὴν χρηστότητα τῶν λόγων τοῦ Φ 140.

191. — [1] πολλῶν D. — [2] om. D ; (ἀπ. π.) π. ἀπ. N. — [3] (ὥστε - τελ) καθ' ἑκάστην γὰρ ἡμ. ἑνὸς ἢ δύο τελευτώντων D. — [4] (ἅπαξ ὑπ.) ἐκκομιζομένων D. — [5] θάπτεσθαι add. D. — [6] ἐκοπίων οἱ ἀδελφοὶ D. — [7] τοῦ ποταμοῦ νείλου add. D. — [8] τῶν ἀγρῶν P. — [9] πληρεῖσθαι corr. rec. sup. lin., prius πληροῦν N ; ἤρξατο πληροῦν τοὺς ἀγρούς · καὶ οὐκ εἶχον εὐχερῶς τὴν πορείαν ποιεῖσθαι ὑπὸ τῶν ὑδάτων D. — [10] (καὶ λέγ. αὐτῷ) λέγ. οὖν τῷ ἀββᾷ θεοδώρῳ D. — [11] ποιήσωμεν N. — [12] ἐὰν καὶ ἕτεροι ἀποθάνωσιν D. — [13] (οὐδὲ - ἀπ.) οὔτε γὰρ πεζῇ δυνάμεθα τὴν ὁδὸν ἀνύειν οὔτε μετὰ πλοίου D. — [14] τὰ add. D. — [15] (καὶ λέγει - ὡς) ὁ δέ φησι D. — [16] ὅτι add. D. — [17] ἤδη add. D. — [18] (ἐν τούτῳ) om. N, οὕτως D. — [19] τῶν ἀδελφῶν add. D. — [20] ἂν add. N. — [21] τοῦ ποταμοῦ add. D.

192. — [1] (ἐν μ. οὖν) μ. δὲ τῶν ἡμερῶν D. — [2] καθημένῳ αὐτῷ καὶ ἐξηγουμένῳ N, καθημένου τοῦ μακαρίου θεοδώρου ἅμα τοῖς ἀδελφοῖς καὶ ἐξηγουμένου αὐτοῖς τὰ ψυχωφελῆ λόγια τῶν θείων γραφῶν D. — [3] om. ND. — [4] om. D. — [5] κατ' αὐτῶν add. D. — [6] ἐκεῖνος add. N. — [7] αὐτῷ add. N ; (ἀποκρ. καὶ λ.) ὁ δὲ ἀπεκρίθη αὐτῷ D. — [8] τοῦτο add. D. — [9] γὰρ add. D. — [10] ὑπὸ D. — [11] πληγεῖσα D. — [12] κόμην P ; (ἐκφ. κ.) κόμι ἐκφ. D. — [13] (καὶ ἐξ.) ἐπερωτῶσιν οὖν D. — [14] αὐτῷ N. — [15] αὐτοῖς add. D. — [16] ὥσπερ add. D. — [17] (σταφυλῆς - ἐκπ.) ἐκ τῆς ἀμπέλου καὶ ἐκπιέσῃ D. — [18] οὐδὲν ἕτερον ἐκβ. ἀλλ' ἢ D. — [19] (οἶνον γλ.) μόνον γλυκύ P. — [20] ἀνθρώπου τοῦ θεοῦ D. — [21] καὶ πιεζομένου add. D. — [22] ἢ ἔργοις ἢ λόγοις ἢ λογισμοῖς D.

Θεοῦ [23] · σαρκικὸς δὲ ἄνθρωπος θυμώδης οὐδὲν ἄλλο [24] εἰ μὴ πικρίαν ἀνωφελῆ [25]. Λέγω δὲ ὑμῖν [26] ἐγὼ ὁ ταῦτα λαλῶν [27] · φοβοῦμαι μὴ ἐκπέσω τῆς χειρὸς [28] τοῦ Θεοῦ, ἐν τῷ μή με πυροῦσθαι [29] πρὸς τὴν στάσιν τοῦ καθ' ἡμῶν πολέμου τοῦ ἐχθροῦ [30], καθὼς καὶ
Ps. 55, 1. ὁ προφήτης λέγει [31] · « Ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. » Εἰ γὰρ ἄγγελοι ἐξέπεσον [32] καὶ ἄλλοι [33] τῶν προφητῶν καὶ ἄλλοι [34] τῶν ἀποστόλων — οὐ μόνον λέγω τὸν Ἰούδαν [35], ἀλλὰ καὶ τοῦ
Act. 19, 9. Παύλου τῶν μαθητῶν πολλούς [36], ἀφ' ὧν καὶ [37] ἀφώρισε τοὺς γνησίους ἐν ταῖς πράξεσιν [38] — ὀφείλομεν καὶ ἡμεῖς φοβεῖσθαι [39]. Καὶ εἰ θέλετε, εἴπω ὑμῖν ὑπόδειγμα, ἵνα φοβηθῆτε τὸν Θεόν [40] · ὥσπερ γὰρ πέτρα ἱσταμένη ἕως τῶν νεφελῶν στενὴ καὶ τεθλιμμένη [41], ἄχρι τεσσάρων πήχεων ἔχουσα πλάτος, καὶ ἔνθεν κἀκεῖθεν αὐτῆς ἀπέραντον βάθος φθάνον ἀπὸ ἀνατολῶν ἕως δυσμῶν [42] · καὶ ὅτε βαπτίζεται ἄνθρωπος, ἐὰν ᾖ ἐπαγγειλάμενος τὸν μοναχόν, λαβὼν τὴν σφραγῖδα τοῦ πνεύματος, εἰς ἀνατολὰς ὁδεύει [43]· Λογισώμεθα δὲ οὐ μόνον τὸ βάθος, ἀλλὰ καὶ τὸ στενὸν τῆς ὁδοῦ, ὥστε, ἐάν τις ἐκκλίνῃ ὀλίγον, ἀπόλλυται [44] καὶ ἡ μνήμη αὐτοῦ οὐχ εὑρίσκεται [45]. Ἐξ ἀριστερῶν δὲ αὐτῆς ἐπιθυμία κακὴ τῆς σαρκός, καὶ ἐκ δεξιῶν ὑπερηφανία καρδίας · ταῦτά εἰσι τὰ βάθη.

[23] (οὐδὲν - θεοῦ) οὐδὲν ἄλλο εἰ μὴ χρηστολογίαν καὶ εὐλογίαν καὶ πᾶν εἴ τι τῶν ἀγαθῶν προβάλλει καὶ καρποφορεῖ D. — [24] ἐκφέρει add. N. — [25] (σαρκ. - ἀνωφ.) ὁ δὲ σαρκ. ἄνθ. θυμὸν καὶ πικρ. καὶ εἴ τι τοιοῦτον προφέρει D. — [26] (λέγω δὲ ὑ.) ἀλλὰ γὰρ D. — [27] ἀληθῶς λέγω ὑμῖν φησιν ὅτι δέδοικα καὶ add. D. — [28] χάριτος D. — [29] (με π.) πεπυρωμένον καὶ διεγηγερμένον εἶναι με D. — [30] (πρὸς - ἐχ.) πρὸς <τὸν> καθ' ἡμῶν τοῦ ἐχθροῦ πόλεμον · καὶ ὁ ἐχθρὸς διηνεκῶς ἡμῖν πολεμεῖν οὐ παύεται D. — [31] φησίν D. — [32] καὶ δαίμονες γεγόνασι add. D. — [33] ἄλλος N ; σολομῶν ὁ σοφὸς ἀπὸ D. — [34] καὶ ἄλλος N ; καὶ ἰούδας ἐκ τοῦ χοροῦ D. — [35] ἰούδα P. — [36] (τῶν. μ. π.) π. τ. μ. N. — [37] om. N. — [38] (οὐ μόνον - πράξ.) καὶ ἕτεροι μαθητευθέντες τῷ ἀποστόλῳ παύλῳ D. — [39] πῶς ἄρα οὐκ ἂν ὀφείλ. ἡμ. τρέμειν καὶ δεδοικέναι μή ποτε διὰ ῥαθυμίαν ἐν τοῖς ὁμοίοις περιπέσοιμεν D. — [40] (καὶ εἰ θέλ. - θεόν) ἀλλὰ καλὸν ἂν εἴη διὰ παραδείγματος πειράσασθαι ποιῆσαι καταφανὲς ὅπως ἡμᾶς χρὴ διακεῖσθαι δεδοικότας μή ποτε τῆς ἀγαθῆς ἐλπίδος ἀποτύχοιμεν D. — [41] καὶ τ. om. N. — [42] ὥσπερ γὰρ πέτρα τις ὑψηλὴ ἱσταμένη καὶ αὐτῶν ἁπτομένη τῶν νώτων τοῦ οὐρανοῦ τετραμμένη γε μὴν πρὸς ἀνατολὰς ἔχουσα δὲ καί τινα ὁδὸν ἐπ' αὐτὴν στενωτάτην λίαν ἀπὸ δυσμῶν ἀρχομένην καὶ εἰς οὐρανοὺς καταντῶσαν καὶ ἔνθεν κἀκεῖθεν αὐτῆς βάθος ἄπειρον καὶ οἷον ἀνεκδιήγητον εἶναι D ; hinc oppido diversa leguntur in D : vid. annot. 46. — [43] (καὶ ὅτε - ὁδεύει) om. N, sed cf. annot. 45. — [44] ἀπόλεται P. — [45] καὶ ὅτε βαπτίζεται ὁ ἄνθρ. ἐὰν ἢ ἐπαγγειλ. τὸν μον. λαβὼν τὴν σφρ. τοῦ πν. εἰς ἀνατ. ὁδεύει add. N.

Ἐὰν δὲ ὁδεύῃ τις καλῶς μετὰ φόβου, φθάνει εἰς τὰς ἀνατολὰς καὶ εὑρίσκει ἐπὶ θρόνου τὸν σωτῆρα · καὶ ἔνθεν κἀκεῖθεν αὐτοῦ στρατιαὶ ἀγγέλων καὶ στέφανοι αἰώνιοι, στεφανοῦντες τὸν ὀρθῶς πρὸς αὐτὸν πορευόμενον [46]. »

193. « Ἐὰν δὲ εἴπῃ τις ὅτι [1], εἰ ποτέ τις ἠπατήθη ἢ ἡρπάγη ἐνὶ τούτων, ἤδη [1] ἀπώλετο καὶ οὐκέτι μετάνοιαν ἔχει, ἐρῶ αὐτῷ ὅτι ὁ ἔχων μετάνοιαν ἄνθρωπος, κἂν ἐγγίσῃ τοῦ ἐμπεσεῖν τῇ ἀμελείᾳ, οὐκ ἀφίησιν αὐτὸν ὁ Κύριος τέλεον ἀπολέσθαι, καθὼς γέγραπται · *Φ 141.*
« Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. » Δεικνύει δὲ αὐτῷ Ps. 72, 2.
τὴν χάριν διὰ μάστιγος νόσου ἢ λύπης ἢ αἰσχύνης τοῦ σφάλματος, ἵνα αἰσθηθεὶς ἔλθῃ ἐν [2] μέσῳ τῆς ὁδοῦ τῆς στενῆς, ἕως παρέλθῃ καὶ μηκέτι ἐκκλίνῃ βῆμα ποδός, καθ' ὅσον τεσσάρων πηχῶν ἡ ὁδός ἐστιν [3]. Ὁ δὲ ἐκπίπτων τοιοῦτός ἐστιν οἷος ὁ Ἰούδας · πολλὰ

[46] καὶ ἐάν τις τῇ πίστει καὶ τῇ ἐλπίδι τῶν κρειττόνων στηριχθεὶς ἄρξηται ἀνιέναι διὰ τῆς ὁδοῦ ἐκείνης συντόνως καὶ ἠκριβωμένως, φθάνει εἰς οὐρανοὺς κἀκεῖ συναντᾷ χιλιάσιν ἀγγέλων καὶ μυριάσιν, εὑρίσκει δὲ καὶ τὸν σωτῆρα χριστὸν τὸν βασιλέα τῶν βασιλευόντων ἐπὶ θρόνου καθήμενον, πάντων ἐπαινούντων αὐτὸν εὐφημούντων κροτούντων καὶ στεφανούντων ὡς ἰσχύσαντα τὴν τηλικαύτην πορείαν ἀνύσασθαι καὶ μέχρις αὐτῶν γενέσθαι · ἐὰν δέ τις ἀμελῶς καὶ ῥαθύμως καὶ μὴ νηφαλίως καὶ σπουδαίως ἐπιχειρήσῃ ἀνιέναι, ὀλισθένει εἴτε ἐν τοῖς δεξιοῖς εἴτε ἐν τοῖς ἀριστεροῖς μέρεσι τῆς ὁδοῦ ἐκείνης, ἅτινα δεξιά εἰσιν οἴησις καὶ ὑπερηφανία καὶ ἀπάτη, ἀριστερὰ δὲ ὁ τῶν λοιπῶν αἰσχρῶν παθῶν κατάλογος, καὶ ἐμπίπτει εἰς τὸ βάθος ἐκεῖνο τὸ φοβερὸν καὶ ἀπύθμαντον · οὕτω καὶ ἡμᾶς χρὴ διανύειν τὴν στενὴν ταύτην καὶ τεθλιμμένην ὁδὸν τὴν εἰς Cf. Matth. 7, 14.
τὴν ζωὴν ἀπάγουσαν διεγηγερμένως καὶ νουνεχῶς ἀλλὰ μὴ χαύνως ἢ ἀδιακρίτως ἵνα μὴ τὰ ὅμοια πάθοιμεν τῷ παρολισθήσαντι κατὰ τὴν ὁδόν D.

193. — [1] om. N. — [2] τῷ add. N. — [3] (Ἐὰν δὲ εἴπῃ τις - ἐστιν) εἰ δέ ποτε συμβαίη τινὰ τῶν τὴν στενὴν ταύτην καὶ τεθλιμμένην ὁδὸν διϊόντων ὀκλάσαι τοῖς πόνοις καὶ τῇ ἀντιστάσει τῶν πονηρῶν πνευμάτων καὶ τῶν ὀλεθρίων παθῶν μικρὸν ἐπινυστάξαντα καὶ ἀπορραθυμήσαντα ἐνδιδόναι τοῦ πρόσω χωρεῖν γενναιότατα, εἴ γε μὴ τέλεον ἑαυτὸν ἐκδοίη τῇ ἀπογνώσει καὶ τῇ ἡδυπαθείᾳ καὶ ὑποροστήσῃ ἀλλ' ἑαυτὸν εἴη βιαζόμενος, χεῖρα βοηθείας ἄνωθεν ὁ κύριος ὀρέγει αὐτῷ καὶ διανίστησιν αὐτὸν εἴτε φόβον αὐτῷ ἐμβαλὼν καὶ δειλίαν τῶν ἠπειλημένων βασάνων καὶ κατάνυξιν εἴτε αἰσχύνην καὶ ὄνειδος τῶν οἰκείων σφαλμάτων καὶ τῆς ἀνανδρείας · ἔστιν ὅτε καὶ νόσον αὐτῷ ἐπενεχθῆναι συγχωρεῖ καὶ οὕτω διεγείρει αὐτὸν πρὸς τὰ σκάμματα τοῦ βαίνειν αὖθις ἀνδρικῶς καὶ θαρραλέως τὴν ὁδόν · πολλοῖς γὰρ τὰ τοιαῦτα συμβαίνει ὡς καὶ ὁ θεῖος δαυὶδ σαφέστατα παρίστησιν · ἐμοῦ λέγων παραμικρὸν ἐσαλεύθησαν οἱ πόδες παρολί-

ὑπὸ τοῦ Κυρίου [4] εὐεργετηθεὶς καὶ ἰδὼν σημεῖα μεγάλα ἕως ἀνα-
Ioh. 12, 6. στάσεως νεκρῶν, ἔχων τε [5] τὸ γλωσσόκομον, οὐκ ἠσθήθη τῆς
χάριτος· διὰ τοῦτο ἐκκλίνας τῆς ὁδοῦ τέλεον ἀπώλετο φιλαργυ-
Cf. Ps.65,10, ρίᾳ καὶ προδοσίᾳ [6]. Οἱ δὲ καλοί, κἂν [7] ὀλίγον ἀμελήσωσιν, ἀλλ' ὡς
ἄργυρος πυρὶ πυρούμενοι καθαρίζονται, τὸν ἰὸν ἀποβάλλοντες.
Ps. 5, 7. Διὰ τοῦτο λέγει ὁ μακάριος Δαυίδ· « Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ
ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. » Εἰ οὖν αὐτὸς οὕτως
λέγει, πόσῳ μᾶλλον ἡμεῖς οἱ ταλαίπωροι [8]; »

Φ 142. **194.** « Νοήσωμεν δὲ [1] καὶ τοῦτο τὸ κέρδος, ὅπερ [2] παρὰ τοῦ πα-
τρὸς ἡμῶν ἠκούσαμεν ἐκ τῶν νοημάτων τῶν θείων γραφῶν [3], ὅτι ἄνθρωπος καθαρθῆναι θέλων [4] ἀπὸ ἁμαρτίας τινός [5], οἷον ἀπὸ [5]
ὀργῆς [6] ἢ ἄλλου [7] πάθους, ἐὰν μὴ ὀνειδιζόμενος [8] εἴπῃ [9] ἅπαξ [10] ἐν
ἑαυτῷ ὅτι [10]· « Ἰδοὺ ἐκέρδησα σήμερον [11] νομισμάτιον χρυσοῦν
ἕν [12] »· καὶ ἐὰν δεύτερον πάλιν [13] ὑβρισθῇ [14], εἴπῃ ὅτι [15]· « Ἐκέρδησα
ἕως [16] πλῆθος [17] χρυσίου », οὐ δύναται τοῦ μὴ ὀργισθῆναι [18].» Ἠ-
ρωτήθη δὲ [19] παρὰ τῶν ἀδελφῶν ὁ ἀββᾶς Θεόδωρος [20]· « Καὶ [21]
ἐὰν γένηται ὡς βίᾳ βαστάζων τὸ ὄνειδος ἅπαξ, τί ποιήσει καὶ

Ps. 93, 17. γον ἐξεχύθη τὰ διαβήματά μου· καὶ αὖθις· εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρώκησε τῶ ἄδη ἡ ψυχή μου D. — [4] θεοῦ N. — [5] καὶ N. — [6] (ὁ δὲ ἐκπίπτων - προδ.) ὁ δὲ ἐκκλίνων παντάπασι τῆς ὁδοῦ τῆς ζωῆς καὶ ἐκπίπτων τῶν ἀπορρήτων ἀγαθῶν ἔστιν οἷος ἦν ὁ Ἰούδας πολλὰ μὲν ὑπὸ τοῦ σωτῆρος χριστοῦ εὐεργετηθεὶς καὶ πολλῆς ἀπολαύσας τῆς χάριτος ὥστε καὶ σημεῖα ποιεῖν καὶ τὸ γλωσσόκομον βαστάζειν· ἀλλ' ὅτι ὑπέθηκεν ἑαυτὸν τῇ ἡδυπαθείᾳ καὶ τῇ ἀπογνώσει οὐδὲν ἀπὸ τούτων ὠφελήθη ἀλλὰ τελείως ἀπώλετο D. — [7] ἐὰν N. — [8] (οἱ δὲ καλοὶ - ταλαίπ.) οἱ δέ γε καλῶς βαίνοντες τὴν ὁδόν· οὐδὲν γὰρ κωλύει καὶ αὖθις περὶ τῶν αὐτῶν εἰπεῖν· εἴπερ συμβαίη ἀνθρώποις οὖσι προσκόψαι καὶ μικράν τινα κηλίδα ἑαυτοῖς προστρίψασθαι, ἀλλὰ καὶ ταύτην τοῖς ἐπαγομένοις πειρασμοῖς κατὰ θεοῦ συγχώρησιν ἀποτίθενται καθάπερ ἄργυρος πυρούμενος καὶ χωννύμενος τὸν ἰὸν ὡς
Ps. 65,10-12. καὶ ὁ μακάριος φησὶ δαυίδ· ἐπύρωσας ἡμᾶς ὥς πυροῦται τὸ ἀργύριον, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν D.

194. — [1] om. N. — [2] ὃ N. — [3] Ἀλλὰ κατανοήσωμέν φησι καὶ τοῦτο τὸ παρὰ τοῦ πατρὸς ἡμῶν εἰρημένον, οὐ μικρὸν κέρδος προξενοῦν τοῖς προσέχουσιν· ἔλεγε γάρ D. — [4] (καθ. θ.) θ. καθ. καὶ ἀπαλλαγῆναι D. — [5] om. D. — [6] ἢ πλεονεξίας add. D. — [7] τινὸς add. D. — [8] ὀνειδισθεὶς παρά τινος καὶ ἀτιμασθεὶς D. — [9] (ὀν. εἴπῃ) εἴπῃ ὀν. N. — [10] om. D. — [11] διὰ τῆς ἀτιμίας ταύτης add. D. — [12] χρυσέον ἕν N, ἓν χρύσεον D. — [13] ἢ καὶ πολλάκις D. — [14] καὶ ἐξουδενωθῇ add. D. — [15] ἰδοὺ add. D. — [16] διὰ τῶν ὕβρεων τούτων D. — [17] πλήθους N. — [18] οὐ δυνήσεται οὔτε ὀργῆς οὔτε ἄλλου τινὸς πάθους ἀπαλλαγῆναι καὶ ἐλευθερωθῆναι D. — [19] om. N, ποτὲ D. — [20] ὁ ἀββ. οὗτος θεόδ. ὅτι D. — [21] om. ND.

ἐπὶ τῷ δευτέρῳ ὀνειδισμῷ, μᾶλλον δὲ πολλάκις [22]; » Καὶ ἀπεκρί-
θη [23] ὁ Θεόδωρος [24]· « Αἱ ἐντολαὶ τοῦ Κυρίου ἀληθῶς [25] χρυσίον Ps. 18, 10.
καὶ λίθοι τίμιοί [26] εἰσιν, καὶ γλυκύτεραι ὑπὲρ μέλι καὶ κηρίον, ὡς [27]
γέγραπται. Ἀλλ' [28] οὐκ οἴδαμεν [29] ταύτας [30] οὐδὲ [31] ἐπεγνώσα-
μεν [32] διὰ τὸ φρόνημα τῆς σαρκός. Τίς δέ [33] ποτε λέγει ἀνθρώπῳ Rom. 8, 6.
ῥίψαντι [34] αὐτῷ καθαρὸν ἄρτον [35] ὅτι· « Τοῦτο [36] βαστάζω σε
τὸ [36] ἅπαξ [37]. Ἐὰν δὲ καὶ [38] προσθῇς [39] δοῦναί μοι καὶ ἄλλο [40],
ἐκφέρω σου τὰς κόρας τῶν ὀφθαλμῶν »; Καὶ οὐχὶ μᾶλλον ἀγαπᾷ
τὸν διδόντα [41] αὐτῷ [42] καὶ τρέφοντα [43]; Οἱ γὰρ ἄνθρωποι τοῦ Θεοῦ
οὐ μόνον τοὺς διώκοντας αὐτοὺς ἔφερον κακοποιοῦντας [44], ἀλλὰ καὶ
ὑπὲρ αὐτῶν ηὔχοντο [45] κατὰ τὴν ἐντολὴν τοῦ σωτῆρος. Καὶ ὁ Matth. 5, 44.
ἀπόστολός φησι [46]· « Κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Rom. 8, 17.
Χριστοῦ [47]. » Τί δὲ ἄξιον ἐποίησας, ἄνθρωπε, ὥστε κληρονόμον σε
τοῦ Θεοῦ εἶναι; ὅτι ἐδιώχθης; ἢ ὅτι ἀπεκτάνθης δι' αὐτόν; Ὅλως
οὐκ ἀρκεῖ σοι εἰς μισθὸν τοῦτο μόνον ἡ δόξα τοῦ κόσμου; Τίς
γὰρ ἄνθρωπον τοῦ Θεοῦ οὐ δοξάζει, μάλιστα μάρτυρα Χριστοῦ [48];
Ὅμως μεγάλη τοῦ Θεοῦ ἡ ἀγαθότης καὶ ἀμέτρητος. Λάβωμεν δὲ

[22] (ἐὰν γένηται - πολλ.) ἐάν τις εἴη ὀνειδίζων ἀδελφόν τινα καὶ ἀτιμάζων, ὁ δὲ ὑπομείνῃ καὶ ὑποφέρῃ τὴν ἀτιμίαν βιασάμενος ἑαυτὸν μίαν καὶ δὶς ἢ καὶ πολλάκις, αὐτὸς δὲ ὁ ὑβρίζων καὶ καταφρονῶν οὐ παύσηται τοῦτο ποιῶν, τί ὀφείλει ποιῆσαι οὗτος ὁ ἐξουδενούμενος D. — [23] αὐτοῖς add. ND. — [24] ὁ θ. om. N; λέγων add. ND. — [25] ὑπὲρ add. D. — [26] λίθον τίμιον D. — [27] καθὼς D. — [28] ἡμεῖς add. D. — [29] συνιῶμεν D. — [30] ταῦτα N, om. D. — [31] οὔτε N. — [32] ἐπεγνώκαμεν N, ἐπιγινώσκομεν τοῦτο D. — [33] γὰρ D. — [34] δόντι D. — [35] (κ. ἄ.) ἄ. κ. D. — [36] om. N. — [37] (τοῦτο - ἅπ.) ὑπομένω τοῦτο ἅπ. καὶ βαστ. D. — [38] om. ND. — [39] καὶ ἔτι add. D. — [40] καὶ ἄ. om. D — [41] δίδοντα P. — [42] αὐτὸν N, om. D. — [43] εὐεργετοῦντα D. — [44] (ἔφ. κακ.) καὶ κακ. ἔφ. N. — [45] (οἱ γὰρ - ηὔχοντο) οὕτω γὰρ καὶ οἱ βουλόμενοι τῷ θεῷ εὐαρεστεῖν καὶ τῆς βασιλείας αὐτοῦ ἀξιωθῆναι ποιοῦσιν ἡγούμενοι τὰς ἐπαγομένας αὐτοῖς κακώσεις καὶ ἀτιμίας ὡς εὐεργεσίας καὶ δωρεὰς καὶ ὑπὲρ τῶν ταῦτα ποιούντων εὐχόμενοι καὶ ἀγαθοποιοῦντες αὐτοὺς D. — [46] καὶ ὁ ἀ. φ. om. ND. — [47] εἴπερ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν add. N; (κληρ. - χρ.) ἵνα ὡς ἡ ἐπαγγελία ὅμοιοι ὦσι τῷ πατρὶ αὐτῶν τῷ ἐν τοῖς οὐρανοῖς καθόσον ἐφικτὸν ἀνθρώποις καὶ εἴπερ συμπάσχοιεν χριστῷ κατὰ τὸν ἀπόστολον καὶ συνδοξασθοῖεν D. — [48] τοῦ χρ. N; (τί δὲ ἄξιον - χρ.) τί γὰρ ἀντάξιον προσφέρει ἄνθρωπος θεῷ τῆς δοξῆς ἧς παρ' αὐτοῦ δοξάζεται ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· ὅτι ἐδιώχθη καὶ ἠτιμάσθη καὶ ἐμαστιγώθη καὶ ἀπεκτάνθη δι' αὐτόν; καὶ τί ταῦτα πρὸς ὅλων ἀπεράντων αἰώνων ζωὴν καὶ δόξαν καὶ θησαυροὺς ἀῤῥήτους ἀγαθῶν καὶ τῷ συγκληρονόμον εἶναι χριστῷ καὶ συμβασιλεύειν αὐτῷ D. Cf. II Tim.2, 12.

καὶ εὐτελὲς ἕτερον παράδειγμα. Ὅμοιός ἐστιν ὁ Θεὸς ἀνθρώπῳ λέγοντι ἡμῖν · « Δότε μοι ὅσα ἔχετε σκεύη ὀστράκινα [49] καὶ πήλινα τῆς οἰκίας ὑμῶν [50], ἀπολέσω αὐτά · καὶ ἰδοὺ [51] λάβετε ἀντ' αὐτῶν χρυσᾶ καὶ ἀπὸ λίθων τιμίων · » καὶ οὐκ ἠθελήσαμεν. Καὶ [52] πολλάκις καὶ [53] πάντοτε ποιῶν τοῦτο [54] οὐκ ἐπαύσατο ὁ Θεός · ἀλλ' ἡμεῖς οὐδέπω ἔγνωμεν, ὡς γέγραπται · Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρεσυνεβλήθη [55] τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς [56]. » Ps. 48, 12.

De opere animae et manuum

195. Καὶ λέγουσιν αὐτῷ [1] οἱ ἀδελφοί [2] · « Ποῖόν ἐστι τὸ ἔργον τῆς ψυχῆς, καὶ ποῖον [3] τὸ ἔργον τῶν χειρῶν [4] ; » Καὶ ἀπεκρίθη [5] · « Πάντα τὰ γινόμενα [6] διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, ταῦτα ἔργα τῆς ψυχῆς εἰσι. Τὸ δὲ εἰς λόγον ἑαυτοῦ [7] ἐργάζεσθαι ἢ [8] καὶ συνάγειν, τοῦτο [9] ἔργον τῶν χειρῶν ἐστιν [10]. » Καὶ ἠρωτήθη [11] · « Δεῖξον [12] τὴν ὑπόθεσιν ταύτην, ὅτι ἀγνοοῦμεν. » Καὶ λέγει [13] · « Ἰδοὺ ἀκούεις [14] περί τινος [15] ὅτι ἀσθενεῖ [16], καὶ λέγεις [17] ὅτι · « Ἄφεῖναί ἔχω [18] τὸ ἐργόχειρόν μου καὶ ἀπελθεῖν δι' αὐτόν ; ἀλλὰ τελειώσω αὐτὸ καὶ οὕτως ὑπάγω [19]. » Καὶ πάλιν ἐὰν ἔλθῃ ἀδελφὸς λέγων σοι · « Ποίησον ἀγάπην · δός μοι χεῖρα », καὶ λέγεις · « Πῶς ἔχω ἀφεῖναι [20]

[49] (σκ. ὀστρ.) ὀστρ. σκ. N. — [50] ἵνα add. N. — [51] ἤδη N. — [52] διὸ καὶ N. — [53] μᾶλλον δὲ N. — [54] (ποιῶν τ.) τ. ποιῶν N. — [55] παρασυνεβλήθη N. — [56] (ὅμως μεγάλη κτλ.) ἵνα δὲ καὶ διὰ παραδείγματος ἐλαχίστου τὴν πρὸς ἡμᾶς τοῦ θεοῦ τιμὴν καὶ δόξαν κατάδηλον ὡς οἷόν τε ποιήσαιμι, ὅμοιόν τι ποιεῖ ὁ θεὸς ἀνθρώπῳ λέγοντι · συντρίψατε τὰ σκεύη τῆς οἰκίας ὑμῶν τὰ ὀστράκινα καὶ πήλινα δι' ἐμὲ καὶ δωρήσομαι ὑμῖν ἀντ' αὐτῶν ἕτερα σκεύη ἀπὸ χρυσίου καθαροῦ καὶ λίθων τιμίων · ἀλλ' ἡμεῖς ὡσεὶ ἀσπὶς κωφὴ βύομεν τὰ ὦτα πρὸς τοῦτο, διὰ τὸ παρασυμβληθῆναι ἡμᾶς τοῖς κτήνεσι τοῖς ἀνοήτοις κατὰ τὸ γεγραμμένον καὶ ὁμοιωθῆναι αὐτοῖς D.

195. — [1] (καὶ λέγ. αὐ.) καὶ πάλιν ἠρώτησαν αὐτόν N, ἠρώτησαν καὶ τοῦτο D. — [2] οἱ ἀδ. om. N ; τὸν μακάριον θεόδωρον λέγοντες add. D. — [3] ἐστι add. D. — [4] ἡμῶν καὶ τοῦ σώματος add. D. — [5] (καὶ ἀπ.) ἀποκριθεὶς δὲ οὗτος εἶπε D. — [6] γενόμενα P. — [7] ἑαυτῆς (?) corr. N ; (εἰς λόγον ἑ.) δι' ἑαυτὸν D. — [8] om. N, τινα D. — [9] ἐστι τὸ add. D. — [10] καὶ τοῦ σώματος D. — [11] (κ. ἠ.) κ. εἶπον αὐτῷ N, οἱ δὲ λέγουσιν αὐτῷ D. — [12] σαφήνισον N. — [13] (δεῖξον - λέγει) δ. ἡμῖν ἔτι τοῦτο σαφέστερον καὶ πλατύτερον ὅπως ἀκριβέστερον γνῶμεν αὐτό · ὁ δὲ θεόδωρος φησίν D. — [14] ἀκούει τις D. — [15] ἀδελφοῦ add. D. — [16] καὶ μεγάλως ὀδυνᾶται · καὶ δύναται τῇ παρουσίᾳ ἑαυτοῦ τῆς ὀδύνης αὐτὸν ἐπικουφίσαι add. D. — [17] (καὶ λ.) ἐὰν οὖν μὴ ἀπέλθῃ ἀλλ' εἴπῃ πρὸς ἑαυτὸν D. — [18] (ἀφ. ἔχω) πῶς ἔχω ἀφεῖναι D. — [19] ἀπελεύσομαι D. — [20] (τὸ ἐργόχειρόν μου - ἀφεῖναι) N, om. P.

τὸ ἐργόχειρόν μου καὶ ἀπελθεῖν ; » Ἰδοὺ ἐὰν μὴ ἀπέλθῃς, κατήργησας τὴν ἐντολὴν τοῦ Θεοῦ, ὅ ἐστι τὸ ἔργον τῆς ψυχῆς, διὰ τὸ ἔργον τῶν χειρῶν [21] · καὶ οὐχ οὕτως ἐστίν · ἀλλ' ἐάν τις ζητήσῃ σε, ὕπαγε · καὶ τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ὅ ἐστι τὸ ἔργον τῆς ψυχῆς [22]. » Καὶ οὕτως ὁ μακάριος Θεόδωρος ἐδίδασκε καθ' ἑκάστην [23] τοὺς ἀδελφούς, καὶ ἦν κοπιῶν καὶ ἀγωνιζόμενος μεγάλως ὑπὲρ τῆς εὐσεβείας ἐν τοῖς ἐπικειμένοις πειρασμοῖς [24]. *Theodori doctrina.*

196. Ἐν ταῖς πόλεσι δὲ ὢν Ἀντινόου [1] καὶ Ἑρμουπόλεως [2] ὁ πάπας [3] Ἀθανάσιος καὶ βλέπων [4] τὸν ἀββᾶν Θεόδωρον τῷ πνεύματι ζέοντα [5] καὶ τοσαύτην ἔχοντα προθυμίαν καὶ δύναμιν [6] κατανοήσας [7] λέγει τοῖς ἄλλοις [8] ἐπισκόποις · « Βλέπετε τὸν πατέρα τῶν τοσούτων ἀδελφῶν πῶς ἔμπροσθεν ἡμῶν ἀγωνιᾷ [9] ; Οὐκ ἐσμὲν καὶ ἡμεῖς πατέρες [10] ; Ἰδοὺ οἱ πατέρες οἱ ἔχοντες [11] ταπεινοφροσύνην καὶ ὑποταγὴν [12] διὰ τὸν Θεόν. Μακάριοι καὶ εὐλογημένοι εἰσὶν [13] οἱ τὸν σταυρὸν τοῦ Κυρίου φοροῦντες ἀεί [14], οἷς ἡ ἀτιμία δόξα ἐστί [15], καὶ ὁ πόνος αὐτοῖς [16] ἀνάπαυσις, ἕως ἂν στεφανωθῶσι Φ 144. Rom. 12, 11.

[21] (καὶ πάλιν - χειρῶν) ἢ ἐὰν ἐλθὼν ἕτερός τις ἀδελφὸς εἴπῃ αὐτῷ · ποίησον ἀγάπην καὶ ἐλθὲ βοηθῆσαί μοι · ἐὰν οὖν καὶ αὖθις εἴπῃ · πῶς μέλλω καταλιπεῖν τὸ ἐργόχειρόν μου καὶ ἀπελθεῖν δι' αὐτόν, καὶ μήτε τὸν ἀσθενοῦντα ἀπέλθῃ ἐπισκέψασθαι διὰ τὸ ἐργόχειρον μήτε τῷ δεομένῳ βοηθείας ἐπικουρήσῃ δι' αὐτὸ τοῦτο, ὁ τοιοῦτος τὸ ἔργον τῶν χειρῶν τοῦ σώματος δηλαδὴ προετίμησε τοῦ ἔργου τῆς ψυχῆς καὶ τῆς ἐντολῆς τοῦ θεοῦ · τὸ γὰρ ἔργον τῆς ψυχῆς ἡ τήρησις τῆς ἐντολῆς τοῦ θεοῦ ἐστι D. — [22] οὐχ οὕτω δὲ χρὴ ποιεῖν ἡμᾶς ἀλλ' ἐάν τις δεῖται τῆς παρ' ἡμῶν βοηθείας ἀνυπερθέτως δέον ἐπακούειν αὐτοῦ · ὡσαύτως καὶ ἐπὶ ἀσθενοῦς ποιητέον · καὶ τοῦτό ἐστι τὸ ἔργον τῆς ψυχῆς τὸ τῷ θεῷ ἀπόδεκτον φίλον D. — [23] ἡμέραν add. N. — [24] (καὶ οὕτως κτλ.) τοιαύταις παραινέσεσι καὶ εἰσηγήσεσιν ὁ σοφὸς οὗτος τὰ θεῖα θεόδωρος ὑπήλειφε καθ' ἑκάστην καὶ διανίστη τοὺς ἀδελφοὺς πρὸς τοὺς πνευματικοὺς ἀγῶνας, ἑαυτὸν τούτοις παράδειγμα καὶ οἷον ἀρχέτυπόν τινα πίνακα πρὸς μίμησιν ἐν τοῖς ὑπὲρ ἀρετῆς πόνοις καὶ ἐν τῇ ὑπομονῇ τῶν ἐπισυμβαινόντων πειρασμῶν ἀεὶ προτιθείς D.

196. — [1] ἀντινώου P. — [2] ἑρμούπολιν P. — [3] μέγας N. — [4] (ἐν ταῖς - βλέπ.) τοῦ δὲ ἁγιωτάτου πάππα ἀλεξανδρείας ἀθανασίου γενομένου ποτὲ περὶ τὰς πόλεις ἑρμούπολιν καὶ ἀντίνοον καὶ θεασαμένου D. — [5] τῷ κυρίῳ δουλεύοντα κατὰ τὸν θεῖον ἀπόστολον φάναι add. D. — [6] σπουδὴν ἐν τοῖς κατὰ θεόν D. — [7] om. D. — [8] τοῖς σὺν αὐτῷ D. — [9] (πῶς - ἀγωνιᾷ) πῶς ἀγωνίζεται πῶς διεγήγερται πῶς ἐστι νηφάλιος D. — [10] ἀλλ' οὐ τοσαύτην θερμότητα περὶ τὰ καλὰ ἐπιδείκνυμεν add. D. — [11] τὴν add. D. — [12] τὴν ὑπακοὴν D. — [13] μακ. εἰσιν οὗτοι καὶ εὐλογ. D. — [14] (φορ. ἀεί) φέροντες ἀεί N, γενναίως ἀεὶ φέροντες D. — [15] λελόγισται D. — [16] om. D.

σι [17]. » Καὶ οὕτως πάντα τὸν λαὸν εὐλογήσας ἀπέλυσεν. Ὁ δέ γε θειότατος πάπας Ἀθανάσιος ἀπελθὼν εἰς τὰ μοναστήρια καὶ βλέπων τὴν διάθεσιν τῶν ἀδελφῶν γνησίαν εἰς αὐτόν, σφόδρα ἐχάρη λίαν δοξάζων τὸν Θεόν. Καὶ περιῆγεν ὅλα τὰ [18] τῶν μοναστηρίων ἔν τε ταῖς ἐκκλησίαις καὶ ταῖς τραπέζαις, καὶ πάντα τὰ τῶν ἄλλων χρειῶν [19] καὶ ἑκάστης οἰκίας τὰ κελλία, ἕως τῶν καθισμάτων τῆς ἀναγκαίας χρείας. Καὶ πάντα θαυμάσας, ἀνελθὼν ἐν τῷ πλοίῳ λέγει τῷ Θεοδώρῳ · « Ἐποιήσατε ἔργον μέγα ἀναπαύοντες ψυχάς · μάλιστα τοὺς κανόνας ὑμῶν [20] τῶν μοναχῶν ἠκουσα [21] · καὶ εἶδον ἅπαντας τοὺς μετὰ σοῦ πατέρας καὶ ἀδελφούς, οἵτινές εἰσι θαυμαστοὶ λίαν, καὶ οἱ κανόνες ὑμῶν. Πάντες δὲ ὁρῶσί σε ὡς αὐτὸν τὸν Χριστόν [22]. Ἀλλ' ἐπειδὴ ἐγγύς ἐστι τὸ πάσχα, κατάλαβε [23] τοὺς ἀδελφοὺς [24] κατὰ τὸν τύπον ὃν ἔχετε · κἀγὼ ὡς ἂν ὁ Κύριος οἰκονομήσῃ, ποιῶ [25]. » Καὶ ἀσπασάμενος αὐτὸν ἀπέλυσε, γράψας [26] τῷ ἀββᾷ Ὡρσισίῳ καὶ τοῖς ἀδελφοῖς ἐπιστολὴν δι' αὐτοῦ [27] περιέχουσαν οὕτως · « Εἶδον τὸν συνεργόν [28] σου καὶ πατέρα τῶν ἀδελφῶν [29] Θεόδωρον καὶ ἐν αὐτῷ τὸν Κύριον τοῦ πατρὸς ὑμῶν Παχωμίου [30] · καὶ ἠγαλλιασάμην ὁρῶν τῆς ἐκκλησίας τὰ τέκνα [31], καὶ ηὔφραναν [32] ἡμᾶς οὐ μετρίως [33] · οἷς ὁ Κύριος δώῃ τὸν μισθόν.

[17] καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἀπολάβωσι add. D. — [18] περιῆγεν ὅλων P. — [19] πάντα τὰ τῶν ἄλλων χρ. scripsi, πάντων τῶν ἄλλ. χρ. P, τῶν ἄλλ. πάντων τῶν χρ. N. — [20] om. N. — [21] γὰρ add. N. — [22] (καὶ οὕτως - χριστόν) ταῦτα εἰπὼν ὁ μέγας ἀθανάσιος εὐλόγησε τὸν περιεστῶτα λαὸν καὶ ἀπέλυσεν αὐτούς · εἶτα ἀπῆλθεν εἰς τὰ μοναστήρια τὰ περὶ τὴν ἑρμούπολιν θεάσασθαι ταῦτα · καὶ διῆλθεν αὐτὰ ἐμμελῶς θεασάμενος πάντα τὰ ἐν αὐτοῖς ἀκριβῶς τάς τε ἐκκλησίας καὶ τὰς τραπέζας καὶ τὰ ἐν ἑκάστη οἰκία κελλία ἔτι γε μὴν καὶ τὰ καθισμάτια τῆς ἀναγκαίας χρείας αὐτῶν πρὸς δὲ καὶ τὴν γνησίαν διάθεσιν καὶ εὐπείθειαν τῶν ἀδελφῶν πρὸς τὸν μακάριον θεόδωρον · καὶ ἐθαύμασε καὶ ἐχάρη λίαν καὶ ἐδόξασε τὸν θεόν · μετὰ δὲ ταῦτα ἀπελθὼν ἐν τῷ πλοίῳ λέγει τῷ θεοδώρῳ · ὄντως μέγα καὶ θεάρεστον ἔργον ἐποιήσατε συναγαγόντες τοσαύτας ψυχὰς καὶ ἀναπαύοντες διὰ τὸν θεὸν καὶ ὁδηγοῦντες πρὸς τὰ κρείττονα · εἶδον γάρ σε καὶ τοὺς μετὰ σοῦ πατέρας καὶ ἀδελφοὺς θαυμαστοὺς λίαν, τοὺς κανόνας τῆς μοναδικῆς πολιτείας σὺν ἀκριβείᾳ πάσῃ φυλάττοντας, ἀλλὰ μὴν καὶ ὅπως οἱ ἀδελφοὶ ὡς αὐτὸν ὁρῶσι σε τὸν χριστόν · ταῦτα δὴ πάντα θεασάμενος οὐ μετρίως παρεκλήθην D. — [23] δεῖ σε ἀπελθεῖν πρὸς D. — [24] ἐν παβὼ add. D. — [25] μέλλω ποιεῖν D. — [26] στείλας δι' αὐτοῦ καὶ ἐπιστολὴν D. — [27] ἐπ. δι' αὐ. om. D. — [28] σύνεργόν P. — [29] (καὶ πατ. τῶν ἀδ.) καὶ ἀδελφὸν τὸν πατ. N. — [30] καὶ τοὺς μετ' αὐτοῦ πάντας add. D. — [31] καὶ ἠγαλλ. πάνυ ὡς τοιαῦτα τέκνα τὴν ἐκκλησίαν ἔχουσαν D. — [32] (κ. ηὔ.) ηὔ. γὰρ D. — [33] οὐ μικρῶς καὶ ἐθεράπευσαν D.

Μέλλων δὲ Θεόδωρος ἀπ' ἐμοῦ πρὸς ὑμᾶς ἔρχεσθαι, ἔλεγέ μοι τοῦτο ὅτι · Μέμνησό μου. Κἀγὼ εἶπον αὐτῷ · Ἐὰν ἐπιλάθωμαί σου, Ps. 136, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου · κολληθείη ἡ γλῶσσά μου 5-6. τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ. » Καὶ οὕτως τὸ πλοῖον ἀφεὶς σὺν τοῖς ἀδελφοῖς ὁ ἀββᾶς Θεόδωρος μετὰ τοῦ πάπα, λέγει αὐτοῖς [34] · « Ὅπου δὰν θέλῃ, ἀπέλθατε [35] μετ' αὐτοῦ · ἐξουσίαν γὰρ ἔχει καὶ [36] τοῦ σώματος ἡμῶν [37]. »

197. Καὶ ἦν ὁ ἀββᾶς Θεόδωρος παραμυθούμενος τὸν ἀββᾶν Φ 145. Ὡρσίσιον διὰ τήν ποτε γεναμένην [1] θλῖψιν. Καὶ ἤρξατο μικρὸν παραβιάζειν αὐτὸν καὶ ἕλκειν πρὸς τὴν μονὴν [2] Παβώ, ἵνα ἐπισκέψηται τοὺς ἀδελφούς · ἦν γὰρ ἐν τῇ μονῇ Μονχοσῇ [3]. Ὅς καὶ συνθέμενος [4], προλαβὼν ὁ Θεόδωρος ἐποίησε [5] τὸν ἑβδομάριον [6] κροῦσαι τὸ ξύλον. Καὶ συναχθέντες οἱ ἀδελφοὶ ἠσπάσαντο αὐτὸν [7] πάντες [8]. Καὶ τῇ ὥρᾳ τῆς κατηχήσεως ἐποίησεν αὐτὸς ἐν μέσῳ αὐτῶν [9] τὴν κατήχησιν, καθὼς ἦν [10] τὸ πρότερον. Ἵστατο δὲ [11] ὁ ἀββᾶς Θεόδωρος [12] ὡς διάδοχος αὐτοῦ καὶ ἀκούων [13]. Μετὰ δὲ ταῦτα οὐκ ἀφῆκεν [14] ὁ ἀββᾶς Θεόδωρος ἀπελθεῖν τὸν [15] Ὡρσίσιον [16], ἀλλ' ἦσαν ὁμόψυχοι [17] καὶ ὁμόφρονες πρὸς ἀλλήλους [18] ἐν ἅπασιν [19]. Ἀπὸ δὲ τῆς πολλῆς αὐτῶν ἀγάπης ὠφελοῦντο οἱ ἀδελφοὶ τὰ μέγιστα καὶ ἐθαύμαζον πάντες τὴν ἀγάπην αὐτῶν καὶ τὴν χρηστότητα [20]. Καὶ λοιπὸν ὡς δεύτερος ἦν τοῦ ἀββᾶ Ὡρσισίου ὁ ἀββᾶς Θεόδωρος [21] · ἠρώτα γὰρ [22] αὐτὸν εἰς πάντα. Ἅπαξ δὲ [23]

[34] (καὶ οὕτως - αὐτοῖς) ὁ δὲ ἀββᾶς θεόδ. παρήγγειλε τοῖς ἀδ. ἐν τῷ πλοίῳ λέγων ὅτι D. — [35] ὅπου δ' ἂν θελήσῃ ὁ πάππας ἀθανάσιος ἀπελθεῖν ἀπέλθετε καὶ ὑμεῖς D. — [36] αὐτοῦ add. D. — [37] ὑμῶν ND ; καὶ οὕτως ἀφεὶς αὐτοὺς σὺν τῷ πάππα ἀπῆλθεν add. D.

197. — [1] γενομένην N. — [2] τὴν λεγομένην add. N. — [3] μονχωσῆ N. — [4] (Καὶ ἦν - συνθέμ.) ὁ μέντοι ἀββᾶς ὡρσίσιος κατώκει ἐν τῇ μονῇ τῇ λεγομένῃ μονχωσῇ · θεόδωρος δὲ παρεμυθεῖτο αὐτὸν ὑπὲρ τῆς ἐπισυμβάσης ποτὲ θλίψεως ἀλλαμὴν καὶ παρεβιάζετο αὐτὸν καὶ εἵλκε πρὸς τὴν μονὴν παβὼ προφάσει τοῦ μόνον ἐπισκέψασθαι τοὺς ἀδελφούς · πεισθέντος οὖν αὐτοῦ καὶ ἀπερχομένου D. — [5] ἐπέτρεψε D. — [6] εὐδομάριον P, ἑβδομαδάριον D. — [7] τὸν ἀββᾶν ὡρσίσιον D. — [8] om. D. — [9] (ἐπ. αὐτὸς ἐν μ. αὐ.) ἔπεισεν αὐτὸν ὁ ἀββᾶς θεόδωρος ποιήσασθαι D. — [10] om. D. — [11] οὖν N. — [12] (ἵστ. - θεόδ.) αὐτὸς δὲ ἵστ. ἀκούων αὐτοῦ D. — [13] συνεργός D. — [14] αὐτὸν add. D. — [15] ἀββᾶν add. N. — [16] (τὸν ὡρ.) ἀλλαχοῦ D. — [17] ὁμοῦ κατοικοῦντες ἐν παβὼ ὁμογνώμονες D. — [18] πρ. ἀ. om. D. — [19] ὄντες add. D. — [20] (ἀπὸ δὲ - χρηστ.) καὶ ἀγάπην καὶ στοργὴν ὅτι πλείστην πρὸς ἀλλήλους ἔχοντες · οἱ δὲ ἀδελφοὶ ὁρῶντες τὴν ἐν αὐτοῖς ἀγάπην καὶ ὁμόνοιαν καὶ χρηστότητα ἐθαύμαζον καὶ ὠφελοῦντο τὰ μέγιστα D. — [21] (καὶ λ.-θ.) ἦν δὲ λοιπὸν ὁ ἀββᾶς θεόδ ὡς δεύτ. τοῦ ἀββᾶ ὡρσ. D. — [22] (ἠ. γὰρ) καὶ ἠ. D. — [23] γὰρ N.

ἀπήρχετο [21] ὁ ἀββᾶς Ὡρσίσιος εἰς τὰ μοναστήρια τοὺς ἀδελφοὺς ἐπισκέπτεσθαι [25]· ὁ δὲ πατὴρ Θεόδωρος οὐκ ἦν σχολάζων δι' ἣν εἶχε φροντίδα [26].

Φ 146. **198.** Καὶ ἐπεὶ [1] προειρήκαμεν ὅτι [2] πολλοὶ ἀγροὶ καὶ ὕλαι τοῦ κόσμου προσεγένοντο [3] αὐτοῖς, καὶ καιρὸν [4] πρὸς καιρὸν [5] προσετίθουν τὰ μοναστήρια [6] καὶ ἐν αὐτοῖς [7] ἠσχολοῦντο· ὀλίγοι δέ τινες ἐξ αὐτῶν ἐφύλασσον τὸν κανόνα τοῦ ἁγίου Παχωμίου, μὴ ἔχοντες [8] βάρος ὕλης τοῦ κόσμου τούτου [9], κατὰ τὸν λόγον τοῦ Matth.11,30 Κυρίου τὸν λέγοντα [10]· « Ὁ γὰρ ζυγός μου χρηστός ἐστι [11] καὶ τὸ φορτίον [12] ἐλαφρόν [13]. » Βλέπων οὖν [14] ὁ ἀββᾶς Θεόδωρος πολλοὺς τῶν ἀρχαίων ἀδελφῶν βουλομένους [16] παραλλάξαι τὴν πολιτείαν καὶ τὴν διάταξιν τοῦ μακαρίου μεγάλου [17] γέροντος [18], ἣν προσκαρτερῶν ἐν τῇ εὐχῇ μετὰ κλαυθμοῦ, ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ, φορῶν κατὰ νύκτα ἔσωθεν τοῦ λεβίτονος [19] ἱμάτιον τρίχινον καὶ δεόμενος τὸν Κύριον [20] ποιῆσαι τὸ συμφέρον [21]. Τοῦτο δὲ ἐποίει εἰς τὸ ὄρος [22] ἔνθα ἦσαν οἱ τάφοι τῶν ἀδελφῶν ὡς ἀπὸ μιλίων τριῶν [23] κατὰ νύκτα ἀπερχόμενος καὶ εὐχόμενος [24]. Ἀκολουθήσας [25] δὲ [26] αὐτῷ μιᾷ εἷς [27] τῶν ἀδελφῶν [28] εἶδεν αὐτὸν οὐ μακρὰν [29] στήκοντα [30] ἐπὶ τὸ μνημεῖον [31] τοῦ πατρὸς ἡμῶν Παχωμίου καὶ εὐχόμενον [32]· καὶ ἀκούων [33] τὴν εὐχὴν αὐτοῦ ἐφοβήθη. Ἤυχετο δὲ [35] οὕτως· « Κύριε [36], τοῦ δούλου σου ἀββᾶ Παχωμίου, οὗ νῦν στήκω [37] ἐπὶ τοῦ τάφου αὐτοῦ [38], εἰ θέλημά σού [39] ἐστιν, εὐδόκησον

[24] (ἅπαξ δὲ ἀπ.) ἀπήρχ. γοῦν ἐνίοτε D. — [25] ἐπισκ. τοὺς ἀδ. D. — [26] ὁ δὲ πατὴρ θεόδ. ἦν ἀσχολούμενος περὶ ἃς εἶχε φροντίδας D.

198. — [1] (κ. ἐ.) ἐπεὶ γοῦν ὡς καὶ D. — [2] *om.* D. — [3] προσεγίνοντο N, προεγένοντο P. — [4] ἀεὶ D. — [5] πρ. κ. *om.* ND. — [6] κατὰ καιροὺς ὕλας ἐπὶ ταῖς ὕλαις *add.* D. — [7] αὐταῖς D. — [8] ἔχοντος N. — [9] ἀλλὰ τὸ ἐλαφρὸν φορτίον τοῦ κυρίου βαστάζοντες *add.* D. — [10] (κατὰ - λέγ.) καθώς φησιν ἐν εὐαγγελίοις D. — [11] *om.* ND. — [12] μου *add.* ND. — [13] ἐστι *add.* D. — [14] *om.* N. — [16] (βλέπων - βουλ.) ἠβουλήθησαν δὲ καί τινες τῶν ἀρχ. ἀδ. D. — [17] *om.* ND. — [18] παχωμίου D. — [19] τοῦ λεβίτωνος ἔσωθεν N. — [20] τοῦ κυρίου N. — [21] (ἣν προσκαρτ. - τὸ σ.) ταῦτα βλέπων ὁ ἀββᾶς θεόδωρος ἐλυπεῖτο ἤσχαλεν ἠδημόνει, ἐν νηστ. καὶ ἀγρ. ἐδέετο τοῦ θεοῦ μετὰ κλ. περὶ τούτου ποιῆσαι τὸ συμφ. D. — [22] καὶ τοῦτο μὲν ἔπραττε εἰς τὸ ὄρος ἀπερχόμενος D. — [23] ἀπέχων *add.* N ; (ὡς - τρ.) ἀπέχοντες τῆς μονῆς ὡσεὶ μίλια τρία D. — [24] (κατὰ - εὐχ.) ἐνδεδυμένος καὶ τρίχινον ἱμάτιον ἔσωθεν τοῦ λεβητῶνος αὐτοῦ D. — [25] παρακολουθήσας D. — [26] τις *add.* N. — [27] (μιᾷ εἷς) ἐν μιᾷ N. — [28] (μιᾷ - ἀδ.) λαθραίως μιᾶς τῶν νυκτῶν ἀδελφός τις D. — [29] μακρόθεν ND. — [30] ἱστάμενον D. — [31] (ἐπὶ τὸ μ.) τοῦ μνημείου N. — [32] προσευχ. D. — [33] (καὶ ἀκ.) ἀκούσας δὲ N. — [35] (καὶ ἀκ. - ηὔχ. δὲ) καὶ λέγοντα D. — [36] ὁ θεὸς *add.* N. — [37] *om.* N, ἵσταμαι D. — [38] ἵσταμαι N. — [39] σόν D.

τοῦ ἐπισκέψασθαί με. Ἐπληθύνθη γὰρ [40] ἡ ἀμέλεια ἡμῶν, καὶ οὐκ ἐργαζόμεθα τὸ ἀγαθόν. Ἀλλ' αὐτός, Κύριε, τοὺς δούλους σου μὴ ἐγκαταλίπῃς· κἂν ἀμελῶμεν, διέγειρον ἡμᾶς· κἂν καταφρονῶμεν, ἐκφόβησον ἡμᾶς, ὑπομιμνῄσκων τὰς αἰωνίους βασάνους· καὶ δὸς ἡμᾶς [41] ὁδεύειν τὴν ὁδόν σου τὴν ἀγαθήν· ὅτι σὺ ἔπλασας ἡμᾶς, Κύριε, καὶ [42] οὐκ ἐφείσω τοῦ μονογενοῦς σου υἱοῦ [43] παραδοῦναι αὐτὸν ὑπὲρ πάντων ἡμῶν, ἵνα ἡμεῖς [44] σωθῶμεν. » Καὶ ἐχρόνισε σφόδρα τοῦτο [45] εὐχόμενος· καὶ λοιπὸν κατέβη πληρώσας τὴν εὐχήν [46]. Cf. Rom. 8, 32.

199. Ἦν δὲ τότε [1] πρὸ τοῦ πάσχα ἀσθενῶν τις, λεγόμενος Ἥρων, πολιτικός [2], δεύτερος [3] τοῦ ἀββᾶ Θεοδώρου τοῦ πολιτικοῦ· ὅνπερ καὶ προσεδόκουν [4] ἀποθανεῖν. Ἐξελθὼν δὲ ὁ πατὴρ ἡμῶν Θεόδωρος ἀπὸ τῆς συνάξεως ἐλάλησεν αὐτῷ· καὶ [5] ἐκάμμυσε τοὺς ὀφθαλμοὺς αὐτοῦ [6]. Καὶ λοιπὸν [7] εἶπεν [8] ὅτι· « Ὁ ἀδελφὸς οὗτος ὁ κοιμηθεὶς [9] σημεῖόν ἐστιν ἄλλου ἀνυπονοήτου τινός [10] μέλλοντος κοιμηθῆναι [11]. » Καὶ οὕτως ἠγρύπνησαν οἱ ἀδελφοὶ ἀναγινώσκοντες περὶ τὸ σκήνωμα τοῦ τεθνεῶτος· πρωΐ δὲ τῆς κυριακῆς [12] μετ' εὐφροσύνης καὶ ἀγαλλιάσεως ἔθαψεν [13] αὐτόν [14], τῶν ἀδελφῶν ψαλλόντων [15]. Φ 147.

200. Αὐτὸς δὲ νοσήσας [1] καὶ λαλήσας τοῖς ἀδελφοῖς τὰ συμφέροντα αὐτοῖς [2], γινώσκων [3] ἤδη μεταβαίνειν [4] ἐκ τοῦ κόσμου τούτου [5], προαπέστειλε τοὺς ἀδελφοὺς ἑκάστου μοναστηρίου μετὰ προθυμίας πολλῆς [8]. Καὶ λοιπὸν νοσοῦντι [9] παρῆν [10] ὁ ἀββᾶς Ὡρσίσιος καὶ πάντες οἱ μεγάλοι πατέρες καὶ ἀδελφοί. Βλέπων δὲ αὐτὸν [11] Ὡρσίσιος ὅτι ἤδη ἔκλινεν εἰς τὸ ἀποθανεῖν, συνεκάλεσε Φ 148. Cf. Ioh.13,1.

[40] *om.* ND. — [41] ἡμῖν ND. — [42] *om.* D. — [43] τοῦ *add.* D. — [44] *om.* ND. — [45] οὕτως N — [46] (καὶ ἐχρόν. κτλ.) ἐχρόν. δὲ σφόδρα ἐπὶ τοῦ τάφου τοῦτο αὐτὸ προσευχόμενος· εἶτα λοιπὸν τέλος ἐπιθεὶς τῇ προσευχῇ κατῆλθεν D.

199. — [1] κατ' ἐκεῖνο καιροῦ D. — [2] (λ. ἦ. π.) π. λ. ἦ. D. — [3] τυγχάνων *add.* D. — [4] προσεδόκων ND. — [5] ὁ δὲ D. — [6] καὶ ἐτελεύτησεν *add.* D. — [7] (καὶ λ.) τότε D. — [8] ὁ ἀββᾶς θεόδωρος *add.* D. — [9] τετελευτηκὼς D. — [10] (ἀν. τ.) τ. ἀν. ND. — [11] τελευτῆσαι D. — [12] πρωΐας δὲ κυριακῆς οὔσης D. — [13] ἔθαψαν PN. — [14] ὁ μακάριος θεόδωρος *add.* D. — [15] μετὰ τῶν ἀδ. ψάλλοντες D.

200. — [1] (αὐτὸς δὲ ν.) εἶτα κατασχεθεὶς αὐτὸς νόσῳ D. — [2] (καὶ λαλ. - αὐτοῖς) *om.* D. — [3] καὶ γνοὺς D. — [4] (ἤδη μ.) ὅτι μεταβαίνει ND. — [5] ἐλάλησε τοῖς ἀδ. καὶ παρήνεσε τὰ συμφέροντα αὐτοῖς *add.* D. — [8] (προαπ. - πολλῆς) ἐξαπέστειλε δὲ καὶ τοὺς ἄλλους ἀδ. τοὺς ἐκεῖσε εὑρεθέντας ἐν τοῖς ἰδίοις αὐτῶν μοναστηρίοις μεθ' ἱλαρότητος D. — [9] καὶ λοιπὸν νοσ. *om.* N. — [10] παρεκάθητο αὐτῷ D, παρῆν δὲ καὶ N. — [11] ὁ ἀββᾶς *add.* ND.

τοὺς ἀδελφοὺς [12] εἰς σύναξιν εὔξασθαι ὑπὲρ αὐτοῦ τῷ Κυρίῳ [13] ἐᾶσαι [14] αὐτόν [15]· καὶ πεσὼν ἐπὶ πρόσωπον [16] μετὰ κλαυθμοῦ πικροῦ [17] ὁμοῦ καὶ πάντων τῶν ἀδελφῶν [18], ἔλεγεν οὕτως· « Κύριε, τὸν ἀναπαύοντα ἡμᾶς αἴρεις· καὶ τίνι καταλιμπάνεις ἡμᾶς; Ἆρον ἐμέ, καὶ ἄφες αὐτόν, τὸν [19] δυνάμενον οἰκονομεῖν καὶ διορθώνειν [20] τοὺς ἀδελφούς. » Ἐποίησαν δὲ τρεῖς ἡμέρας οὕτως [21]. Καὶ λοιπὸν ἐπεὶ [22] ἤγγισεν ὁ ἀββᾶς Θεόδωρος [23] ἀποδοῦναι τὴν ψυχήν [24], λέγει τῷ ἀββᾶ Ὡρσισίῳ, τῶν ἄλλων ἑστώτων [25]· « Μὴ ἄρα ἐλύπησά σέ ποτε ἢ [26] ἐν λόγῳ [27] ἢ ἐν διαταγῇ [28]; » Καὶ [29] οὐκ ἠδυνήθη ἀπολογήσασθαι [30] αὐτῷ ἀπὸ [31] τοῦ κλαυθμοῦ. Εἶτα πάλιν λέγει [32]· « Οὐκ οἶδα εἰ ἐλύπησα οὐ μόνον σέ, ἀλλ' οὐδὲ ἕτερον ἀδελφόν. Οὐ γὰρ ἠμέλησά ποτε τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς· καὶ τοῦτο οὐκ ἔστιν ἐμόν, ἀλλὰ τοῦ ἐλεήμονος Θεοῦ [33]. Ἰδοὺ [34] μάρτυς ὁ ἐν οὐρανοῖς πιστός. » Καὶ τοῦτο εἰπὼν ἀπέδωκε τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ, τῇ δευτέρᾳ τοῦ παχὼν [35] μηνός.

Cf. Iob 16, 20.

Φ 149. **201.** Ἀπὸ δὲ τοῦ [1] πολλοῦ κλαυθμοῦ καὶ τῆς [2] οἰμωγῆς [3], μὴ δυνάμενοι ἐγκρατευθῆναι [4] τοῦ κλαυθμοῦ [5], ἤκουσαν [6] οἱ εἰς [7] τὸ πέραν τοῦ ποταμοῦ μοναχοί· κἀκεῖνοι [8] γνόντες [9] τοῦτο [10] οὐκ ἴσχυον [11] μετρίως φέρειν [12] τὸ συμβάν [13]. Τὰ δὲ [14] λοιπὰ τὰ γενάμενα [15] οὐ δυνάμεθα [16] γράφειν, ἵνα μὴ εἰς μῆκος [17] τὸν λόγον ἐκτείνωμεν. Ἀγρυπνήσαντες οὖν [18] καὶ ποιήσαντες [19] τὴν συνήθη ψαλμῳδίαν [20], πρωΐ [21] κηδεύσαντες τὸ λείψανον [22] ἀπήνεγκαν αὐτὸ μετὰ ψαλμῶν εἰς τὸ ὄρος καὶ ἔθαψαν. Καὶ μετὰ τὸ ὑποστρέψαι αὐτοὺς κάτω [23], ἀπῆλθεν ἀρχαῖός τις [24], δεύτερος [25] τοῦ μοναστηρίου

[12] πάντας add. D. — [13] τῶ κ. om. ND. — [14] τοῦ ἰαθῆναι N ; ὅπως ἰάσηται D. — [15] ὁ κύριος add. D. — [16] ἅμα τοῖς ἀδελφοῖς πᾶσι add. D. — [17] (κλ. π.) π. κλ. D. — [18] (ὁμοῦ - ἀδ.) om. D. — [19] om. PN. — [20] διορθοῦν ND. — [21] δεόμενοι τοῦ θεοῦ add. D. — [22] ἐπειδὴ N. — [23] (καὶ λοιπὸν - θεόδ.) ὁ δὲ μακάριος θεόδωρος ἐγγίζων ἤδη D. — [24] τῶ κυρίω add. D. — [25] καὶ ἀκουόντων add. N (τῶ ἄλλ. ἑστ.) παρόντων καὶ ἄλλων D. — [26] om. N. — [27] ἢ ἐν ἔργω add. D. — [28] παρακοῇ διαταγῆς D. — [29] ὁ δὲ D. — [30] ἀποκριθῆναι D. — [31] ὑπὸ D. — [32] φησίν D. — [33] δῶρον add. D. — [34] ὁ add. ND. — [35] παχῶν N.

201. — [1] (ἀπὸ δὲ τ.) γενομένου δὲ D. — [2] om. D. — [3] παρὰ τῶν ἀδελφῶν add. D. — [4] ἐγκρατεύσασθαι N. — [5] τ. κλ. om. N ; (μὴ - κλ.) om. D. — [6] καὶ add. D. — [7] κατὰ D. — [8] καὶ D. — [9] νοήσαντες N. — [10] τὸ συμβᾶν D. — [11] ἴσχυσαν N ; κἀκεῖνοι add. D. — [12] (μ. φ.) φ. μ. N. — [13] (τὸ σ.) τὴν λύπην D. — [14] μέντοι D. — [15] γενόμενα D, corr. ex γινόμενα N. — [16] βουλόμεθα D. — [17] ἄπειρον add. D — [18] οἱ ἀδελφοὶ περὶ τὸ λείψανον καὶ κηδεύσαντες αὐτὸ add. D. — [19] om. D. — [20] ἐπιτελέσαντες add. D ; καὶ add. N. — [21] πρωΐας D. — [22] κηδ. τὸ λ. om. D. — [23] εἰς τὴν μονὴν D. — [24] ἀπ. τις τῶν ἀρχαίων πατέρων D. — [25] τυγχάνων add. D.

Παβώ, ὀνόματι Ναφερσαής [26], μετὰ καὶ ἄλλων ἀδελφῶν· καὶ μετέθηκαν τὸ σκήνωμα τοῦ ἀββᾶ [27] Θεοδώρου ἐγγὺς τοῦ σκηνώματος τοῦ ἀββᾶ [28] Παχωμίου. Οἱ δὲ ἀδελφοὶ ἦσαν λυπούμενοι [29] σφόδρα ἱκανὰς ἡμέρας, λέγοντες ὅτι· « Ἡμεῖς ἐλυπήσαμεν αὐτόν· καὶ [30] συνεχῶς τοῦ Κυρίου δεηθεὶς [31] ὅπως λάβῃ αὐτόν, ἔτυχε τῆς αἰτήσεως. Καὶ ἰδοὺ ἀπῆλθε πρὸς τὴν αἰώνιον αὐτοῦ ἀπόλαυσιν [32], καταλείψας ἡμᾶς ὀρφανούς. » Ἐμέμνητο δὲ [33] τῆς πρὸς πάντας αὐτοῦ πολλῆς χρηστότητος [34] καὶ τοῦ φόβου τοῦ Θεοῦ οὗ [35] εἶχεν ἀδιαλείπτως ἐν τῇ καρδίᾳ αὐτοῦ λατρεύων αὐτῷ ἐν ταπεινώσει [36] τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ.

Ὁ δὲ [37] ἀββᾶς Ὡρσίσιος ἦν πάλιν [38] κατέχων [39] τὴν ἰδίαν τάξιν [40], κυβερνῶν τοὺς ἀδελφοὺς κατὰ τὸ δυνατὸν αὐτῷ· ἦν γὰρ ἀγαθὸς [41] λίαν καὶ ἀγαπῶν τοῦ σῶσαι [42] ψυχάς [43]. Καὶ ὁ Θεὸς ἐνίσχυσεν αὐτόν [44]· ἐπλάτυνε δὲ τῶν γραφῶν τὰ νοήματα· καὶ ἐν εἰρήνῃ ἐκυβέρνησε τοὺς ἀδελφοὺς χρόνους πολλούς [45].

Φ 150. **202.** Ἀκούσας δὲ ὁ ἁγιώτατος πάπας [1] Ἀθανάσιος [2] περὶ τοῦ πατρὸς ἡμῶν Θεοδώρου [3] ἐλυπήθη πολλά [4]· καὶ ἔγραψε τῷ ἀββᾷ Ὡρσισίῳ καὶ τοῖς ἀδελφοῖς, παραμυθούμενος [5] ἐπὶ [6] τῇ κοιμήσει αὐτοῦ, τάδε· « Ἀθανάσιος Ὡρσισίῳ, πατρὶ μοναχῶν, καὶ πᾶσι τοῖς σὺν σοὶ ἀσκουμένοις τὸν μονήρη βίον, ἐν πίστει Θεοῦ ἑδραιωμένοις [7] ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν Κυρίῳ χαίρειν. Ἤκουσα περὶ τῆς κοιμήσεως τοῦ μακαρίου Θεοδώρου, καὶ πάνυ μετὰ πολλῆς φροντίδος ἤνεγκα τὴν ἀκοὴν ταύτην, εἰδὼς αὐτοῦ τὸ πρὸς ὑμᾶς [8] χρήσιμον καὶ φιλάνθρωπον. Ὅμως εἰ μὲν μὴ ἦν Θεόδωρος, πολλοῖς ἂν ὑμῖν ἐχρησάμην λόγοις μετὰ δακρύων λογιζόμενος τὰ μετὰ τὸν [9] θάνατον. Ἐπεὶ δὲ Θεόδωρός ἐστιν, ὃν ὑμεῖς τε καὶ ἡμεῖς ἐγνώκαμεν, τί δεῖ γράφοντά με λέγειν ἢ ὅτι μακάριός ἐστι Θεόδωρος [10], ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν · Cf. Ps. 1, 1.

[26] φερσαὴς N. — [27] μακαρίου D. — [28] πατρὸς ἡμῶν D. — [29] περὶ αὐτοῦ add. D. — [30] διὰ τοῦτο add. D. — [31] (τοῦ κ. δ.) δ. τοῦ κ. ND. — [32] ἀνάπαυσιν D. — [33] μετὰ τῶν ἄλλων αὐτοῦ καλῶν καὶ add. D. — [34] καὶ ἱλαρότητος add. D. — [35] ὃν ND. — [36] ἐν ταπεινοφροσύνη καὶ ἀληθεία D. — [37] μέντοι D. — [38] αὖθις D. — [39] διακατέχων D. — [40] καὶ add. ND. — [41] καὶ χρηστὸς add. D. — [42] σώζειν D. — [43] τὰς ψ. τὰς ἐμπιστευθείσας αὐτῷ N ; διὸ add. D. — [44] εἰς τοῦτο add. D. — [45] (ἐπλάτυνε - πολλ.) καὶ ἐποίμανε καὶ καθωδήγησε τοὺς ἁδ. χρόνους οὐκ ὀλίγους ἀπαγγέλλων αὐτοῖς ἀεὶ τὴν θείαν γραφὴν καὶ διερμηνεύων πλατύτερον καὶ σαφέστερον D.

202. — [1] (ἁκ. - π.) ὁ δὲ ἁγ. πάππας ἀλεξανδρείας D. — [2] ἀκούσας add. D. — [3] ὅτι ἐτελεύτησεν add. D. — [4] σφόδρα D. — [5] τούτους add. D ; αὐτοῖς add. N. — [6] ἐν N. — [7] ἡδραιωμένοις ND. — [8] ἡμᾶς ND. — [9] om. D. — [10] (ἐ. θ.) θ. ἐ. ND.

Ps. 111, 1. καὶ πάλιν, μακάριος ὄντως ἐστὶ καὶ φοβούμενος τὸν Κύριον. Νῦν γὰρ μακαρίζειν [11] τεθαρρήκαμεν, ἔχοντες ἀσφαλῆ τὸν λόγον, ὅτι κατήντησεν εἰς τὸν ἀκύμαντον λιμένα καὶ ἀμέριμνον βίον. Εἴθε καὶ ἐφ' ἑκάστου ἡμῶν τοῦτο γέγονεν· εἴθε τρέχων [12] ἕκαστος κατήντησεν εἰς τὸν τῆς ζωῆς λιμένα· εἴθε τρέχων [13] ἕκαστος προσώρμισε τὸ ἴδιον σκάφος πρὸς τὸν ἀμέριμνον ἐκεῖνον βίον, ὡς ἂν ἀναπαυόμενος λέγῃ μετὰ τῶν πατέρων· Ps. 131, 14. Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Οὐκοῦν, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί, μὴ Matth. 9, 24. κλαίετε Θεόδωρον· οὐ γὰρ ἀπέθανεν, ἀλλὰ καθεύδει εἰς τὴν ἀπέραντον καὶ ἀτελεύτητον ζωήν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. » Καὶ ταῦτα μὲν ὁ ἀρχιεπίσκοπος Ἀθανάσιος [14].

Conclusio. **203.** Τοῖς δὲ ἀδελφοῖς πᾶσιν ἦν κυβερνῶν, καθὼς καὶ προείρηται, ἐν τῷ φόβῳ τοῦ Θεοῦ ὁ μέγας καὶ ἅγιος [1] Ὡρσίσιος [2]. Ἡμεῖς δὲ ἀξιοῦμεν ἀμφοτέρους, τόν τε μέγαν Παχώμιον καὶ Θεόδωρον τὸν ἡγιασμένον, καὶ πάντας τοὺς προειρημένους πατέρας καὶ ἀδελφοὺς [3] πρεσβείαν ὑπὲρ ἡμῶν ποιῆσαι [4] καὶ ἱλασμὸν [5] τῶν ἡμετέρων [6] ἐπταισμένων αἰτῆσαι, καὶ εὑρεῖν ἔλεος [7] ἔμπροσθεν τοῦ φρικτοῦ καὶ φοβεροῦ [8] βήματος τοῦ Χριστοῦ [9]· ᾧ προσκύνησις, δόξα καὶ κράτος μόνῳ σὺν Πατρὶ καὶ Πνεύματι τῷ παναγίῳ [10] αἰῶνας εἰς ἅπαντας οὐ μετρουμένους [11]. Cf. II Cor 5, 10.

[11] αὐτὸν *add.* D. — [12] οὕτως *add.* ND. — [13] *ita* PND ; *recte Φ :* πλέων F. — [14] ἐγεγράφει *add.* D.

203. — [1] καὶ ἅγ. *om.* N. — [2] (τοῖς - ὡρ.) τοὺς δὲ ἀδελφοὺς πάντας ἦν διακυβερνῶν καὶ διεξάγων ἐν φόβῳ θεοῦ ὡς καὶ ἤδη φθάσαντες εἴπομεν ὁ θεῖος ὡρ. D. — [3] ὅπως *add.* N. — [4] ποιήσωσι N. — [5] εὕροιμεν *add.* N. — [6] ἡμῖν N. — [7] (αἰτ. - ἔλ.) *om.* N. — [8] φρ. κ. φοβ. *om.* N. — [9] (ἡμεῖς δὲ - χρ.) ἡμεῖς δὲ οἱ ταῦτα γεγραφότες καὶ τοῖς φιλαρέτοις εἰς μίμησιν προθέμενοι, ταῖς εὐχαῖς καὶ πρεσβείαις τοῦ μεγάλου καὶ θεοφόρου πατρὸς ἡμῶν παχωμίου καὶ θεοδώρου τοῦ ὁσιωτάτου καὶ ἡγιασμένου πατρὸς ἡμῶν καὶ τῶν λοιπῶν πατέρων καὶ ἀδελφῶν τῶν εὐαρεστησάντων θεῷ, τύχοιμεν τῆς τῶν ἐπταισμένων ἡμῖν συγχωρήσεως ἐν τῷ παρόντι ἐν δὲ τῷ μέλλοντι τῆς ἐκ δεξιῶν παραστάσεως χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν D. — [10] (ᾧ - παν.) ὅτι αὐτῷ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι N ; ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι D. — [11] (αἰῶνας - μετρ.) νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ND.

VI. SANCTI PACHOMII VITA QUARTA (*Γ*).

E codicibus Monacensi gr. 3 (= G) et Athoo Lavrensi E 182 (= E). Adhibitis etiam, in cap. 1-54, codicibus Athois Lavrensi Ω 81 (= N) et Dionysiano 148 (= D).

Βίος [1] *καὶ πολιτεία καὶ θαυμάτων διήγησις τοῦ ὁσίου* [2] *πατρὸς ἡμῶν καὶ θαυματουργοῦ* [3] *Παχωμίου* [4].

Aegypti laudes. Cf. Φ 1. **1.** Ὄντως ἀληθὴς ἡ θρυλλουμένη παροιμία, ὅτι οὐ πολλοὺς Αἴγυπτος, ἐπὰν δὲ τέκῃ, μέγα τίκτει· ἔτι δὲ ἀληθεστέρα πάλιν ἡ πρόρρησις τοῦ Θεοῦ, ἣν πρόπαλαι πρὸς τὸν Ἀβραὰμ ἐποιήσατο ὅτι· « Ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πάντα τὰ ἔθνη, » Gen. 22, 18. ἐπεὶ καὶ πέρας ἡ ἐπαγγελία αὕτη ἐδέξατο καὶ εἰς ἔργον ἐκβέβηκε διὰ τῆς ἐπιγενομένης [1] ὕστερον τοῦ Θεοῦ Λόγου σαρκώσεως. Ἐκ γὰρ τοῦ σπέρματος Ἀβραὰμ τὸ κατὰ σάρκα γενόμενος [2] ὁ Cf. Rom. 1,3. Χριστὸς πάντα τὰ ἔθνη πρὸς ἑαυτὸν συνήγαγε καὶ συνεκάλεσεν [3] ἀντὶ τῆς προτέρας [4] πλάνης καὶ εἰδωλομανίας ἐπὶ τὴν θεοσέβειαν μετατραπέντα καὶ τὴν τῆς ἀληθινῆς καὶ ὀρθῆς πίστεως ἐπίγνωσιν, οὐχ ἥκιστα [5] δὲ πάντων τῶν ἄλλων [6] τοὺς τῆς Αἰγύπτου οἰκήτορας, τοσοῦτον τῇ εὐσεβείᾳ ἐκλάμψαντας [7] καὶ τοῖς ὑπὲρ ἀρετῆς ἀγωνίσμασι μετὰ τὸ ἐπιστρέψαι εἰς τὴν ἀλήθειαν, ὅσον τὸ πρὶν τῇ ἀσεβείᾳ δεδούλωντο καὶ τῇ περὶ τὰ εἴδωλα ματαιότητι. Καὶ ὅτε μὲν γὰρ ἐν ἀρχῇ τῆς τοῦ εὐαγγελικοῦ κηρύγματος εἰς τὸν κόσμον ἅπαντα διαδόσεως [8] οἱ κατὰ τῶν χριστιανῶν διωγμοὶ βαρύτεροι καὶ σφοδρότεροι ἐπεγίνοντο, ἅτε τῆς ἑλληνικῆς θρησκείας ἔτι ἐπικρατούσης καὶ τὸ κῦρος ἁπανταχοῦ ἐπιφερομένης, πλείους τῶν ἄλλων

Lemma. — [1] μηνὶ ματῶ ιε′ *praemittunt* ED ; μηνὶ τῷ αὐτῷ ιε′ *praemittit* G. — [2] καὶ θεοφόρου *add.* D. — [3] καὶ θαυμ. *om.* D. — [4] εὐλόγησον πάτερ *add.* ED ; πάτερ εὐλόγησον *add.* G ; *lemma in codice* N *legere non potui.*

1. — [1] ἐπιγινομένης EN. — [2] γεννώμενος D. — [3] συνέκλεισεν G. — [4] πρὶν D. — [5] (οὐχ ἥκ.) μάλιστα N. — [6] τῶν ἄ. *om.* N. — [7] (τοσοῦτον τῇ εὐσ. ἐκλ.) ἐπ' εὐσ. διαλάμψαντας ἔγνωμεν N. — [8] μεταδόσεως N,

χωρῶν ἁπασῶν ἡ [9] Αἴγυπτος προήνεγκε τοὺς ὑπὲρ Χριστοῦ καὶ [10] ἐναθλήσαντας [11] καὶ πᾶσαν ἰδέαν βασάνων [12] ὑπενεγκόντας στερρότατα καὶ αὐτὸν τὸν πικρότατον θάνατον. Καὶ [13] ὅτε δὲ πάλιν εὐδοκίᾳ Θεοῦ πέπτωκε μὲν [14] ἡ τῶν δυσσεβῶν καὶ ἀνόμων τυράννων ὀφρῦς καὶ ἐλώφησε τὰ παρὰ τῶν ἀθέων τοῖς πιστοῖς ἐπενηνεγμένα δεινά, διαλάμπειν δὲ ἤρχετο [15] τὸ τῆς θεοσεβείας φῶς ἐν τῇ οἰκουμένῃ καὶ ἀκολούθως τούτῳ καὶ τὸ μοναχικὸν πολίτευμα εἶτ' οὖν φιλόσοφον ἐν τῇ γῇ πανταχοῦ περιηύγαζεν, οὐκ ἄλλο τι ἔθνος ἀλλ' ἢ τὸ [16] τῶν Αἰγυπτίων ἀρχηγέτας τοῦ τοιούτου καλοῦ εὑρήσει ὁ ἐρευνῶν. Εἴτε μὲν [17] γὰρ τὴν μονήρη φιλοσοφίαν καὶ ἀνεπίμικτον εἴποι τις, Ἀντώνιος εὕρηται ὁ ταύτης καθηγητὴς καὶ διδάσκαλος, τὸ ὑπερφυὲς τῆς Αἰγύπτου θρέμμα καὶ βλάστημα [18]· εἴτε τὴν μιγαδικὴν συναυλίαν τῶν μοναχῶν καὶ τὰ ἐκ τῶν πλειόνων τοιαῦτα συστήματα, Παχώμιον εὑρήσομεν τὸν πολιστὴν τούτων καὶ συναγωγέα καὶ νομοθέτην καὶ ἔξαρχον· ὃς καὶ αὐτὸς Αἰγύπτιος καὶ τῶν Αἰγυπτίων ὅτι κεφάλαιον· οὗ νῦν καὶ ὁ βίος καὶ τὸ πολίτευμα πρόκειται ἡμῖν τοῦ λόγου σκοπός.

Φ 2.

Coenobitarum legislator

2. Ἄξιον γὰρ εἴπερ τινὸς ἄλλου τὰς περὶ [1] τοῦ ἀνδρὸς τούτου ἱστορίας καὶ τὰ θαύματα καὶ λέγειν καὶ ἀκούειν [2] καὶ διὰ μνήμης ἄγειν ἀεί, ὥστε πρὸς τὸν τοῦ καλοῦ ζῆλον ἅπαντας ἐρεθίζεσθαι [3]. Διδάξει γὰρ αὐτοὺς [4] ὁ λόγος, τίς μὲν ἦν καὶ ποῖος [5] ὁ πρῶτος [6] τὴν ἀγγελικὴν ἐπὶ γῆς [7] ἐκείνην καὶ θείαν συστησάμενος πολιτείαν [8] καὶ πόθεν ἀφορμηθεὶς ἔργῳ ἐπεβάλετο τηλικούτῳ καὶ οὕτω καλῷ [9], τίνες δὲ αὐτῷ αἱ παρασκευαὶ καὶ ποῖα [10] πρὸς τὴν τοῦ ἔργου συντέλειαν τὰ ἐφόδια, αἵ τε πρῶται νομοθεσίαι καὶ διατάξεις αἱ τὴν μοναχικὴν πολιτείαν ἄρτι ἀποκυηθεῖσαν σπαργανοῦσαι καὶ γαλακτοτροφοῦσαι καὶ διαπλάττουσαι καὶ ῥυθμίζουσαι [11], παρὰ τίνος δὲ ἄρα καὶ ἐπενοήθησαν, πότερον [12] τῶν ἀνθρώπων [13] τις τούτων εἰσηγητὴς ἢ [14] καὶ αὗται καθ' ὅμοιον [15] τῇ παλαιᾷ καὶ θείᾳ νομοθεσίᾳ παρὰ θείου ἀγγέλου εἰσηνέχθησάν τε καὶ παρεδόθησαν. Τότε μὲν γὰρ Μωϋσῆς ἦν ὁ τὰς πλάκας δεξάμενος, νῦν δὲ Παχώμιος ὁ

Moysi comparatur Pachomius. Ex. 31, 18.

[9] *om.* D. — [10] *om.* ND. — [11] *ἀθλήσαντας* D. — [12] *(ὑ. β.) β. ὑ.* D. — [13] *om.* E. — [14] *om.* N. — [15] *ἤρξατο* N. — [16] *τοὺς* E. — [17] *om.* ND. — [18] *καύχημα* ND.

2. — [1] *ὑπὲρ* ND. — [2] *(καὶ λέγ. καὶ ἀκ.) καταλέγειν* N. — [3] *ὥστε πρὸς ζῆλον καὶ μίμησιν τοῦ καλοῦ ἅπαντας ἐρεθίζειν· ζήλου γὰρ ὁ ἔπαινος πρόξενος* N. — [4] *αὐτὸς* D ; *προϊὼν* N. — [5] *ὁποῖος* N. — [6] *om.* N. — [7] *ἐπὶ γῆς om.* G. — [8] *ἐκ προοιμίων add.* N. — [9] *ἔργου τοιούτου ἐνήρξατο καὶ καλοῦ* N. — [10] *τίνα* D. — [11] *καὶ ῥ. om.* N. — [12] *πρότερον* END. — [13] *καὶ add.* D. — [14] *ἃς* N ; *αἱ* D. — [15] *τρόπον add.* D.

παρὰ ἀγγέλου τὰς πτύχας, ὡς λέγεται, κομισάμενος, ἐν αἷς τὰ ἱερὰ τοῦ μοναχικοῦ βίου ἐγέγραπτο νόμιμα. Ταῦτα γὰρ [16] πάντα ἱστορήσουσα ἔρχεται ἡ παροῦσα γραφὴ καὶ κατὰ μέρος τὰ ἐκείνου διηγησομένη [17] ἐξαίσια κατορθώματα, πρότερον ἐπικαλεσαμένη τὴν αὐτοῦ [18] ἐκείνου τοῦ μεγάλου ὁσίου πατρὸς εὐμένειαν καὶ [19] ἀρωγὴν εἰς τὸν τοῦ ἐπιχειρήματος ἀπαρτισμόν. Ποιήσεται δὲ τὴν ἀρχήν, ὡς εἰκός, ἀπὸ τοῦ γένους αὐτοῦ, κατὰ τὸν νόμον τῶν ἐγκωμίων.

3. Ἡ μὲν οὖν [1] ἐνεγκοῦσα τοῦτον καὶ θρεψαμένη Θηβαΐς ὑπῆρχεν ἡ ἐν Αἰγύπτῳ· γονεῖς δὲ αὐτῷ ἕλληνες τὴν θρησκείαν καὶ τοῖς εἰδώλοις προστετηκότες· φύεται δὲ ἄρα καὶ τὸ ῥόδον ἐξ ἀκανθῶν [2], ἐκ τῶν ἀχρήστων [3] τὸ εὔχρηστον καὶ τῶν ἀνόδμων τὸ [4] εὐωδέστατον. Ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ καὶ ὑπὸ τοῖς γονεῦσιν ἀναγομένου καὶ τῇ πατρῴᾳ δεισιδαιμονίᾳ καὶ πλάνῃ, ὡς τὸ εἰκός [5], ἑπομένου κατὰ ἄγνοιαν τοῦ βελτίονος [6], ἡ τῆς ψυχῆς γαλήνη καὶ τὸ τῆς γνώμης εὐθὺ καὶ πρὸς ἀρετὴν εὐφυὲς οὐ [7] μετρίως διεφαίνετο τοῖς ὀξύτερον διορᾶν δυναμένοις καὶ τῆς ψυχῆς ἀνιχνεύειν τὰ ἀπόρρητα καὶ κρυπτόμενα. Ἀμέλει καὶ τῶν γονέων αὐτοῦ ποτε πρὸς εἰδωλεῖόν τι [8] ἐπιφοιτησάντων [9], ὥστε τὰς εἰωθυίας [10] τοῖς δαίμοσι θυσίας προσενεγκεῖν, συνείπετο μὲν αὐτοῖς καὶ ὁ παῖς, ὁ μετὰ ταῦτα μέγας πατὴρ οὑτοσί, καὶ πρὸς τὸ ἀνίερον ἱερὸν ἐπορεύετο. Ἐπεὶ δὲ πλησιάσειε ταῖς θύραις, ἐκεῖσέ που παρεστὼς ὁ τῶν ἐν αὐτῷ δαιμόνων θεραπευτὴς καὶ τοῦτον προσιόντα μετὰ τῶν αὐτοῦ γεννητόρων ἰδὼν ἀνακέκραγεν [11] εὐθὺς ἐμμανῶς, διακονούμενος πάντως τῷ ἐμπνέοντι αὐτῷ [12] δαιμονίῳ. « Τὸν ἔχθιστον τοῦτον τοῖς θεοῖς οὐ δέον [13] προσιέναι τῷ ναῷ, ἀλλ' ἀποδιωκτέον ἐντεῦθεν.» Ἄλλοτε δὲ πάλιν τῶν τοκέων [14] αὐτοῦ ἀπὸ τοῦ οἴνου [15] τοῦ τοῖς δαίμοσιν ἐσπεισμένου ἐγχεάντων αὐτῷ [16], ἐκπέπωκε μέν [17], παραχρῆμα δὲ [18] ὅλον ἐξεμέμηκε [19].

Φ 3.

4. Ταῦτα δὲ αὐτὸς ἐκεῖνος χρόνῳ ὕστερον διηγεῖτο, μοναχὸς ἤδη γενόμενος καὶ τῶν κατὰ τὴν παιδικὴν ἡλικίαν γεγονότων αὐτῷ τὴν μνήμην ἀνανεούμενος. Ἐφ' οἷς καὶ ταῦτα προσετίθει,

[16] *om.* D. — [17] *διηγήσασθαι* N. — [18] *αὐτὴν* ND. — [19] *εὐμένειαν καὶ om.* N.

3. — [1] *γὰρ* N, *om.* ED. — [2] *καὶ add.* N. — [3] *καὶ ἀνόδμων add.* N — [4] *τῶν ἀν. τὸ om.* N. — [5] *ὡς τὸ εἰκὸς om.* N. — [6] *ἑπομένου hoc loco* N. — [7] *om.* D. — [8] *om.* N. — [9] *παραγενομένων* N. — [10] *συνήθεις* N. — [11] *ἀνέκραγεν* G. — [12] *αὐτὸν* N. — [13] *δεῖ* N. — [14] *γονέων* N. — [15] *ἀπὸ τοῦ οἴ. om.* ND. — [16] *(τοῦ τοῖς δαίμ. - αὐτῷ) κατὰ στόμα ἐγχεάντων αὐτῷ τοῦ τοῖς δαίμ. ἐπισπομένου* N. — [17] *om.* D. — [18] *(π. δὲ) καὶ π.* D. — [19] *ἐξεμεμήκει* G ; *ἐξέμεκε* E ; *ἐξήμεσεν* ND.

παρεγγυώμενος ὁμοῦ καὶ διδάσκων μήτι [1] νομίζειν τὸ προορατικὸν χάρισμα καὶ [2] τοῖς δαίμοσιν ἐνυπάρχειν [3] κἀκ τούτου προλέγειν πολλάκις τὰ μέλλοντα γίνεσθαι· σὺν γὰρ τοῖς ἄλλοις ἀγαθοῖς καὶ τούτου αὐτοὺς ἀποστερηθῆναι [4] μετὰ τὴν ἄνωθεν ἔκπτωσιν τοῦ χαρίσματος· δεινοὺς δὲ ὄντας ἦθος ψυχῆς ἀνθρωπίνης εὐθὺς ἐκ παιδὸς ἀνιχνεύειν καὶ διορᾶν καὶ τὴν ἐφ' ἑκάτερα ταύτης ῥοπήν, εἴτε τὰ καλὰ [5] εἴτε τὰ φαῦλα [6], ἐκ τῶν πρώτων κατανοεῖν κινημάτων καὶ διαθέσεων, εἰκὸς [7] ἐντεῦθεν τεκμαίρεσθαι ποία τις ἔσται τῷ χρόνῳ συμπροϊοῦσα καὶ ποῖ [8] προβήσεται τελευτῶσα· ψυχὴν μὲν γὰρ ἅπασαν ἁπλῆν ἐξ ἀρχῆς ὑπὸ Θεοῦ διαπεπλάσθαι καὶ ἀγαθήν [9]· τῆς δὲ τῶν οἰκείων αὐτῇ καὶ τῶν ἐναντίων προκειμένης αἱρέσεως, ἐφ' ὁπότερα [10] τὴν γνώμην ἔχει καὶ τὴν διάθεσιν ῥέπουσαν, ταῦτα καὶ προαιρεῖσθαι αὐτὴν καὶ τούτοις συνήδεσθαι· «Οὐδὲν οὖν, φησί, θαυμαστὸν τούτους καὶ περὶ ἐμοῦ τῷ στοχασμῷ προκαταλαβεῖν [11] τὸ ἐσόμενον, καὶ ὅτι χριστιανὸς γενήσομαι πάντως εἰκασμῷ [12] συνιδεῖν, τὸ τῆς ψυχῆς ἦθος κατανοήσαντας εὐθὺς ἐξ ἀρχῆς ἄπλαστον ὂν καὶ ἀτεχνῶς μισοπόνηρον.» Ταῦτα μὲν ὁ ἅγιος ἔλεγε διηγησάμενος [13] ἑαυτοῦ τὸ ἐκ παιδὸς ἔτι πρὸς τὸ τῶν δαιμόνων φῦλον ἐπιεικῶς ἄσπονδον καὶ πολέμιον· ἡμῖν δὲ ὁ λόγος ἀναλαβέτω πάλιν τὸν εἱρμὸν τῆς κατ' αὐτὸν διηγήσεως καὶ δηλούτω [14] τὴν πρόφασιν καὶ ἀρχὴν τῆς πρὸς τὰ κρείττονα καὶ θειότερα μεταβολῆς ἐκείνου καὶ μεταθέσεως.

Φ 4. **5.** Ἐπεὶ γὰρ εἰς ἀνδρὸς ἡλικίαν ἀναβεβήκει ὁ θαυμαστὸς Παχώμιος, τῇ στρατιωτικῇ τάξει συνηνέχθη τοῦτον καταλεγῆναι ἐξ αἰτίας τοιαύτης· τῷ μεγάλῳ καὶ χριστιανικωτάτῳ βασιλεῖ Κωνσταντίνῳ, ἄρτι τῶν σκήπτρων τοῦ κράτους ἐπιλαβομένῳ καὶ πρὸς τοὺς δυσσεβεῖς τυράννους τὰ ὅπλα κεκινηκότι, χρεία γέγονε καὶ νεοσυλλέκτου τινὸς στρατιᾶς. Καὶ διεφοίτων τὴν Αἴγυπτον [1] οἱ τοὺς νέους καὶ εἰς τοῦτο ἐπιτηδείους [2] ἐπιλεγόμενοι. Καθίσταται γοῦν καὶ ὁ θεῖος οὗτος ἀνὴρ εἷς τῶν τηρώνων, διὰ σωματικὴν εὐεξίαν καὶ ῥώμην εἰς τούτους καταλεγείς· εἰκοστὸν γάρ που ἔτος ἦγε τὸ τηνικαῦτα τῆς ἡλικίας, ὡς αὐτὸς ἐκεῖνος διεβεβαιοῦτο. Ἐπεὶ δὲ οἱ νεόλεκτοι οὗτοι διὰ θαλάσσης ἀγόμενοι ἀθρόοι

4. — [1] μηδόλως N. — [2] om. N. — [3] ὑπάρχειν N. — [4] συμβέβηκε add. ND. — [5] εἴτε πρὸς τὰ χρηστὰ D. — [6] (εἴτε τὰ καλὰ εἴτε τὰ φαῦλα) εἴς τε τὰ φ. καὶ δεξιὰ N. — [7] καὶ ὡς D. — [8] ποία E. — [9] ἔγνωμεν add. N. — [10] ἐφ' οἵσπερ ἂν N. — [11] corr. sup. lin., prius προειπεῖν N. — [12] στοχασμῶ EN, τῶ στοχ. D. — [13] διηγούμενος D. — [14] διεξιέτω D.

5. — [1] καὶ δὴ ἐφοίτων εἰς αἴγ. N. — [2] (εἰς τ. ἐπ.) ἐπ. εἰς τ. N.

εἴς τινα πόλιν τῶν Θηβῶν κατῆραν, ὑπὸ φυλακὴν αὐτοὺς οἱ ἄγοντες ἐποιήσαντο, ὥστε μή τινας αὐτῶν ἐν τῷ μεταξὺ ἀποδρᾶναι· ὀψὲ δὲ τῆς ἡμέρας τῶν τινες χριστιανῶν [3] ἐκεῖσε παρατυχόντες καὶ τοὺς πεφυλαγμένους ἰδόντες ἐστενοχωρημένους [4], οἷα εἰκὸς [5] ἐπὶ ξένης καὶ [6] κακουχουμένους [7] καὶ τῶν ἀναγκαίων δεομένους [8], καὶ τούτους οἰκτισάμενοι [9], εὐμενῶς τε προσῄεσαν αὐτοῖς καὶ τροφὰς ἱκανὰς ἀπεκόμισαν καὶ ἄλλ' ἄττα [10], ὧν ἕκαστος ἐκείνων δηλαδὴ χρῄζων ἐτύγχανεν· ἤδη γὰρ καὶ πρὸς τὸν ἀπόπλουν ἡτοιμάζοντο. Τότε δὴ ὁ Παχώμιος θαυμάσας τὸ φίλοικτον καὶ μεταδοτικὸν τῶν ἀνδρῶν, ἤρετο τοὺς παρόντας, τίνες ποτὲ εἶεν [11] οἱ πρὸς τὰς εὐποιΐας οὕτως ἑτοιμότατοι καὶ αὐθόρμητοι· μαθὼν δὲ [12] ὅτι χριστιανοί, ἐπανήρετο πάλιν, οἱ δὲ χριστιανοὶ πόθεν [13] λέγοιντο· καὶ ἤκουε [14] παρὰ τῶν ἐρωτωμένων, ὅτι ἀπὸ τῆς οἰκείας αὐτῶν ὀνομάζονται θρησκείας· πιστεύοντες γὰρ εἰς τὸν Χριστόν, τὸ ἐκείνου φέρουσιν ὄνομα· πᾶν δὲ ἀγαθὸν πρὸς πάντας ποιεῖν ἐκμανθάνουσι, πολλαπλασίονας ἐλπίζοντες τὰς τῆς εὐποιΐας ἀμοιβὰς παρὰ Θεοῦ κομιεῖσθαι κατὰ τὸν αἰῶνα τὸν μέλλοντα· ταμιεύεσθαι γὰρ [15] ὑπ' αὐτοῦ ἑκάστῳ τῶν ἀνθρώπων μετὰ τὸν θάνατον τὰς ἀξίας ἀνταποδόσεις τῶν πεπραγμένων κατὰ τὸν βίον.

Φ 5. **6.** Ταῦτα τῷ Παχωμίῳ οἷον εἴ τι κέντρον καὶ ἀρχὴ ᾠδῖνος καὶ πόθου τοῦ πρὸς Θεὸν τὰ ῥήματα γίνεται· καὶ θαυμάζει μὲν τὸ τῆς χριστιανικῆς πίστεως μεγαλόψυχον, φωτίζεται δὲ τὴν διάνοιαν· καὶ τὴν καρδίαν πυρωθεὶς καὶ ἀγαλλιαθεὶς τῷ πνεύματι, ἀναχωρεῖ κατ' ἰδίαν εἰς τὸ τῆς φυλακῆς ἡσυχέστερον· καὶ καθ' ἑαυτὸν γενόμενος, εἰς οὐρανὸν τὰς χεῖρας ἐξέτεινε καὶ οὕτως ηὔξατο πρὸς ὃν οὔπω ἐγνώκει Θεόν· « Κύριε, ὁ οὐρανοῦ καὶ γῆς ποιητής, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ἐμὴν ταπείνωσιν καὶ δωρήσῃ μοι τὴν τῆς σῆς σοφίας καὶ θεότητος ἐπίγνωσιν, ἐξέλῃ δέ με καὶ τῆς παρούσης ὀδύνης καὶ περιστάσεως, σὸς γενήσομαι ὅλος, σοὶ στρατευθήσομαι, τῷ σῷ στοιχήσω διὰ βίου παντὸς βουλήματι καὶ προστάγματι, τὰς σὰς φυλάξω ἕως τέλους ἐντολάς. » Cf. Act. 4, 24; I Reg. 1, 11.

7. Ταῦτα εὐξάμενος, ἐπειδὴ ὁ καιρὸς ἐκάλει ἀπᾶραι τούτους ἐκεῖθεν, ἐμβὰς μετὰ τῶν συστρατιωτῶν ἀνέπλεεν [1]. Ὅτε [2] δὲ καταίροιεν [3]

3 τῶν χρ. τινες ND. — [4] στενοχωρουμένους ND. — [5] τοὺς add. N. — [6] om. N — [7] τε add. N. — [8] ἐπιδεομένους N. — [9] οἰκτειρ άμενοι D, οἰκτείραντες N. — [10] ἄλλά τε E. — [11] τίνες τε εἶεν N ; τίνες οὗτοι D. — [12] (μ. δὲ) καὶ μ. N. — [13] ἂν add. D. — [14] ἤκουσε ND. — [15] πιστεύουσιν add. D.

7. — [1] ἀνέπλεον ND. — [2] ὡς D. — [3] προσώρμιζον N.

ἐν τῷ μεταξὺ εἰς πόλεις τινάς, τῶν ἄλλων πάντων τοῖς ἐγχωρίοις ἀναμιγνυμένων καὶ ἀτάκτως ἀναστρεφομένων καὶ πρὸς τὰς σωματικὰς ἡδονὰς καταφερομένων, ἐκεῖνος οὔμενουν αὐτοῖς συνυπήγετο, ἀλλὰ προσέχων ἦν διὰ παντὸς ἑαυτῷ, μήτε ὑπείκων τοῖς ἐφελκομένοις τοῦτον [4] ἐπὶ τὰ αἰσχρά, μήτε τῶν [5] τωθαζόντων αὐτὸν διὰ τοῦτο ἐπιστρεφόμενος· σφόδρα γὰρ ἐξ ἔτι νέας τῆς ἡλικίας τὴν ἁγνείαν ἐφίλει καὶ μετεδίωκεν. Ἀμέλει καὶ ὁ Θεὸς ἐπήκοος γίνεται τῆς αὐτοῦ προσευχῆς, ἣν ἐν τῇ φυλακῇ ὢν ὁ μακάριος ἐποιήσατο [6]. Καὶ φθάνει μὲν ὁ αὐτοκράτωρ Κωνσταντῖνος τὰς τυραννίδας καταστρεψάμενος· ἀπολύονται δὲ οἱ τήρωνες τῆς ἐκστρατείας ἀπὸ προστάγματος, ἐπειδὴ οὐκέτι ἐζήτει αὐτοὺς ἡ χρεία. Τῷ γοῦν Παχωμίῳ, ἀνεθέντι λοιπὸν τοῦ τῆς στρατείας δεσμοῦ, περιστερᾶς αὐτίκα φύονται [7] πτέρυγες, καὶ τάχει πολλῷ ἐπάνεισιν εἰς τὴν Αἴγυπτον· ἐκεῖσε δὲ γενόμενος οἰκίαν μὲν πατρῴαν καὶ θρησκείαν χαίρειν ἐᾷ, μηδὲ τοὺς γονεῖς ἰδεῖν ἀνασχόμενος· φυγῇ δὲ φεύγων τὸν κόσμον εἰς τὴν ἄνω Θηβαΐδα μετανίσταται [8], καὶ εἰς κώμην παραβάλλει τινὰ ᾗ κλῆσις τὰ Χηνοβόσκια [9]· ἐν ᾗ ἐκκλησίαν εὑρηκὼς κατ' εὐδοκίαν Θεοῦ χριστιανικήν, τῷ ταύτης ἱερεῖ πρόσεισι μετὰ σπουδῆς καὶ ἀνακαλύπτει [10] τὸν οἰκεῖον περὶ τὴν εὐσέβειαν πόθον καὶ τὴν πίστιν ὁμολογεῖ καὶ ζητεῖ τοῦ θείου ἀξιωθῆναι βαπτίσματος· καὶ ἀποδεχθεὶς τῆς ἀγαθῆς προαιρέσεως εὐθὺς προτελεῖται τὰ εἰωθότα καὶ τὸ θεῖον ὑποδέχεται φώτισμα [11]. Κατὰ δὲ τὴν νύκτα ἐκείνην τὴν μετὰ τὸ ἅγιον λουτρὸν ὄψιν καθ' ὕπνους ὁρᾷ θεόπεμπτον [12] ἀληθῶς καὶ προμηνύουσαν φανερῶς τὴν μέλλουσαν ἐν τῇ γῇ παρὰ τῆς ἄνωθεν χάριτος καταβληθῆναι δι' αὐτοῦ καὶ συστῆναι κατάστασιν τοῦ μοναχικοῦ βίου, συνεστηκυῖαν μὲν τῇ στερεότητι [13] τῆς ἀσκήσεως, γλυκεῖαν δὲ τῇ ἐλπίδι τῶν ἀμοιβῶν καὶ τῇ ἐλλάμψει τῆς θείας γνώσεως· ἔδοξε γὰρ ἑαυτὸν δρόσῳ πολλῇ οὐρανόθεν καταψεκάζεσθαι, ταύτην δὲ τῇ δεξιᾷ τῶν χειρῶν αὐτοῦ συναχθεῖσαν μὴ διαρρεῖν ἀπ' αὐτῆς, ἀλλ' ἐπισυνίστασθαι καὶ εἰς μέλι συμπήγνυσθαι [14], καὶ τέλος κατὰ γῆς ἐκεῖνο πεσεῖν τὸ μελίπηκτον [15], καὶ φωνὴν αὐτῷ ἐξ ὕψους αὐτίκα συνεισπεσεῖν λέγουσαν· « *Παχώμιε, σύνες τὸ ὅραθέν· ἀποβήσεται γάρ σοι τὸ δραμα καὶ εἰς ἔργον μετέπειτα.* »

Cf. Eph.1 9.

[4] αὐτὸν END. — [5] *om.* ED. — [6] *ἐπ. ὁ μακ.* D. — [7] *πε ιστ αὐτῶ φύονται αὐτίκα* N. — [8] *παραγίνεται* N. — [9] *χηνοβοσκία* N. — [10] *αὐτῶ add.* N. — [11] *βάπτισμα* ND. — [12] *θεόπεμτον* D. — [13] *στερρότητι* N. — [14] *corr. sup. lin., prius πήγνυσθαι* N. — [15] *τὸ μέλι πηκτὸν* N.

8. Ἐντεῦθεν ἐπὶ πλέον τῷ θείῳ ἔρωτι κατασχεθεὶς τὸν μοναχικὸν [1] ᾑρετίσατο βίον καὶ τούτου μάλιστα τὸν ἀναχωρητικὸν καὶ ἡσύχιον. Ἀκηκοὼς δὲ Παλάμωνα τὸν γενναῖον ἐν αὐτῷ διαπρέπειν, καταλαμβάνει τε [3] τοῦτον ὡς εἶχε τάχους [4] καὶ τῇ κέλλῃ αὐτοῦ παραστὰς ἔκοπτε τὴν θύραν. Καὶ ὁ γέρων ἀνοίξας λέγει αὐτῷ αὐστηρῶς οὕτωσὶ καὶ ἀποτόμως· « *Τί θέλεις, ἄνθρωπε; τίνα ζητεῖς;* » (*Ποιεῖ γὰρ καὶ ἄλλως τὸ τοῦ ἀνθρώπου ἦθος σκληρότερον* [5] *ἡ χρονία μόνωσις.*) Ὁ δὲ Παχώμιος μεθ' ὑποστολῆς ἀπεκρίνατο· « Ἀπέστειλέ με, ὦ πάτερ, πρὸς σὲ [6] ὁ Θεός, ἵνα καταστήσῃς με μοναχόν· τούτου γὰρ τοῦ σχήματος σφόδρα ἐφίεμαι. » Ὁ οὖν Παλάμων (καὶ γὰρ ἦν σοφὸς ψυχῆς ἔνστασιν βασανίσαι καὶ διελέγξαι) οὐδὲ προσήκατο τὸν πρόσφυγα [7] τὴν ἀρχήν, ἀλλ' εὐθὺς ἀποχωρεῖν ἐκέλευεν, ὡς οὐκ ἄν ποτε ὑπομενοῦντα τῆς σὺν αὐτῷ διαίτης τὸ σκληρὸν καὶ ἐπίπονον. Καὶ γὰρ δὴ [8] καὶ ἄλλους οὐκ ὀλίγους ἔλεγε προσελθόντας αὐτῷ ὁμοίως ἐπαγγείλασθαι [9] τὴν εἰς τὸ διηνεκὲς παρ' αὐτῷ προσεδρείαν, ταχὺ δὲ πρὸς τοὺς τῆς ἀσκήσεως πόνους ἀπαγορεύσαντας οἴχεσθαι [10]. Οὐ μὴν τὸν Παχώμιον [11] ἀπέτρεπε ταῦτα τῆς θερμοτάτης προθέσεως [12]· ἀλλ' ἐδεῖτο ἐπιμόνως [13] τοῦ γέροντος παραδέξασθαι τοῦτον καὶ πεῖραν αὐτοῦ τῆς [14] καρτερίας [15] λαβεῖν. Ὁ μέντοι Παλάμων καὶ ἔτι ἀποπειρώμενος τοῦ ἱκέτου κατέλεγε πρὸς αὐτὸν καὶ αὐτὰ τὰ τῆς ἐγκρατείας καὶ τὰ [16] τῆς κακοπαθείας [17] εἴδη κατὰ λεπτόν, ἐμφαίνων τὸ τραχὺ καὶ σκληρὸν τῆς κατ' αὐτὸν ἀγωγῆς καὶ ἀφόρητον τοῖς πολλοῖς [18]· « Ἐγὼ γάρ, φησί, θέρους μὲν δι' ὅλης νηστεύειν εἴωθα τῆς ἡμέρας, χειμῶνος δὲ αὖ δι' ἡμερῶν δυοῖν [19] προσίεμαι τροφήν [20]· ἡ δέ μοι ἄρτος ἐστὶ καὶ ἅλες [21] καὶ πλέον οὐδέν· ἐλαίου γὰρ καὶ οἴνου ἄγευστος πάντῃ διατελῶ. Ἀγρυπνῶ δὲ [22] τὸ ἥμισυ τῆς νυκτός, εἰς εὐχήν τε [23] καὶ μελέτην τῶν θείων λογίων τοῦτο παραναλίσκων· πολλάκις δὲ καὶ τὴν νύκτα [24] ὅλην ἄϋπνος διαγίνομαι. Ἄπελθε οὖν τό γε νῦν ἔχον ἐντεῦθεν καὶ δοκίμασον κατὰ σεαυτὸν πρῶτον

Φ 6

8. — [1] *μοναδικὸν* ND. — [2] *γὰρ* N. — [3] *om.* N. — [4] *τάχος* D. — [5] *σκληρὸν* N. — [6] *ὦ πάτερ πρὸς σὲ om.* ND. — [7] *παχώμιον* N. — [8] *om.* ND. — [9] *ἐπαγγειλαμένους* N. — [10] *εἰς τοὐπίσω χωρῆσαι* N. — [11] (*οὐ μὴν τὸν π.*) *ἀλλὰ τὸν π. οὐκ* N. — [12] *προαιρέσεως* N. — [13] *ἀλλ' ἐπιμ. ἐδ. καὶ αὖθις* N. — [14] (*αὐτοῦ τῆς*) *τῆς αὐτοῦ* N. — [15] *διὰ τῆς συνουσίας add.* N. — [16] *om.* G. — [17] (*τὰ τῆς κ.*) *σκληρᾶς ἀγωγῆς* N. — [18] (*ἐμφαίνων - πολλοῖς*) *ἐκφοβῆσαι οἱονεὶ θέλων τὸν νέον καὶ καταπλῆξαι καὶ μόνῃ τῇ ἀκοῇ* N. — [19] *δύο* N. — [20] *τὴν τρ.* N. — [21] *ἡ δὲ ἄρτος καὶ ἅλες ἐστὶ* N. — [22] *καὶ add.* E. — [23] *om.* ND. — [24] *νύκταν corr. sup. lin.* N.

εἰ δύνασαι φέρειν τὰ τοιαῦτα, καὶ οὕτως ἐπάνηκε πρὸς ἡμᾶς. » Ταῦτα μὲν εἶπεν ὁ γέρων ἀμφιβάλλων ἔτι περὶ τῆς τοῦ Παχωμίου προθυμίας καὶ διὰ τοῦτο δεδιττόμενος τοῦτον, μή ποτε ἐνδώσῃ τοῦ σκοποῦ [25] καὶ ἀπὸ μόνης τῆς ἀκοῆς καὶ οἷον ἀποναρκήσῃ πρὸς τὸ ἐπίπονον τῆς ἀσκήσεως · ἠγνόει δὲ εἰς πεδίον τὸν ἵππον προκαλούμενος [26] καὶ τὸν ξυρὸν τῇ ἀκόνῃ προσάγων · ταῦτα δὴ τὰ τῆς παροιμίας. Παχωμίῳ γὰρ [27] τὰ παρὰ τοῦ Παλάμωνος εἰρημένα οὐχ ὅπως [28] ἤμβλυνε τὴν τῆς προθυμίας ἀκμήν, ἀλλὰ καὶ μᾶλλον ἐστόμωσεν, οἷον σιδήρῳ βαφὴ τῇ ἐκείνου γεγενημένα ψυχῇ. Διὰ τοῦτο καὶ ἐνστατικώτερον πάλιν φησὶ πρὸς τὸν γέροντα · « Τῷ Θεῷ πεποιθώς, ὦ πάτερ, εὐχαῖς τε [29] ταῖς σαῖς ἐπαγγέλλομαι ὑπομένειν πάντα μάλα προθύμως ὁπόσα κατέλεξας. »

9. Καὶ [1] τότε λοιπὸν ὁ γέρων εἴσω [2] τε τῆς στέγης αὐτὸν παραδέχεται καὶ κοινωνὸν διαίτης καὶ ἀσκήσεως προσλαμβάνεται. Ἦν δὲ [3] αὐτοῖς τὸ μὲν ἔργον νήφειν ἀεὶ καὶ σχολάζειν τῇ προσευχῇ · σάκκους δὲ τριχίνους ὑφαίνειν τὸ πάρεργον [4], καὶ τούτους οὐκ εἰς τὴν αὐτῶν ἀπόλαυσιν, ἀλλ' εἰς τὴν τῶν δεομένων χρείαν εἰωθότας χωρεῖν [5]. Πρὸς μέντοι τὴν τοῦ ὕπνου βίαν, ἀγρυπνοῦσι πολλάκις ἐπεισπίπτουσαν, διαπυκτεύων ὁ ἀθλητὴς Παλάμων καὶ ὑπὲρ ἀμφοῖν ἀνθιστάμενος, τί μηχανᾶται ; Σπυρίδα λαμβάνων μίαν μὲν αὐτός, ἑτέραν δὲ τῷ Παχωμίῳ διδούς, ἐπὶ τὴν τοῦ ὄρους ἄμμον ἐβάδιζε σὺν ἐκείνῳ καὶ ταύτην συνάγοντες καὶ ταῖς σπυρίσιν ἐμβάλλοντες, ἀπὸ τόπου εἰς τόπον καὶ ἄμφω μετέφερον · καὶ οὕτως τὸ τοῦ ὕπνου βάρος ἀπετινάσσοντο καὶ πρὸς τὸ ἀγρυπνεῖν πάλιν ἀνενεοῦντο. Εἰώθει δὲ ὁ γέρων συνεχῶς τῷ Παχωμίῳ ἐπιφωνεῖν · « Νῆφε, Παχώμιε, μή σε καταλαβὼν [6] ὑπνώττοντά ποτε ὁ πολέμιος καὶ ἀφύλακτον εὑρηκὼς [7] τραυματίσῃ λάθρα καὶ κινδυνεύσῃς περὶ τὰ καίρια καὶ εἰς κενὸν ὁ κόπος ἡμῶν ἀποβῇ. » Οὐ μὴν ἀλλ' [8] ὁρῶν αὐτοῦ τὴν ἄκραν ὑπακοὴν καὶ τὴν ἐπ' ἐλπίδι τῆς σωτηρίας ὑπομονὴν ἥδετο σφόδρα καὶ ἐδόξαζε τὸν Θεόν [9].

I Cor. 7, 5.

I The s.3,5.

Φ 7. **10.** Τῆς ἑορτῆς δέ ποτε τοῦ πάσχα ἐπιστάσης, λέγει ὁ γέρων πρὸς τὸν Παχώμιον · « Ἐπειδὴ ἑορτὴ σήμερον λαμπρὰ τῆς τοῦ [1]

[25] *σκάμματος* D. — [26] *προσκαλούμενος* G. — [27] *δὲ* N. — [28] *οὐκ add.* D. — [29] *om.* ND.

9. — [1] *om.* END. — [2] *ἔσω* E. — [3] *οὖν* D. — [4] *τὸ δὲ πάρ. σάκκους τριχ. ὑφ.* N. — [5] *ἔχειν* N. — [6] *καταλάβῃ* D. — [7] *εὑρὼν* END. — [8] (*οὐ μὴν ἀλλ'*) *ἀλλὰ μὴν* D, *καὶ γὰρ ἥδετο σφόδρα ἐπὶ τῷ παχωμίῳ καὶ ἐδόξαζε τὸν θεὸν ὁ παλάμων* N. — [9] (*ἥδετο - θεόν*) *om.* N.

10. — [1] *om.* ND.

Χριστοῦ ἀναστάσεως, ἑτοίμασον ἡμῖν, τέκνον, τὸ ἄριστον. » Καὶ ὁ Παχώμιος ἔλαιον [2] ἀπὸ τοῦ ταῖς λαμπάσιν ἡτοιμασμένου [3] λαβών [4], τῷ τετριμμένῳ ἐπικατέχεεν ἅλατι · ἅλες γὰρ ἦν ἡ τροφὴ [5] τῷ Παλάμωνι, ἐνίοτε δὲ καὶ λαμψάκιον [6] χωρὶς ἐλαίου καὶ ὄξους · πολλάκις δὲ καὶ σποδῷ μιγνύων τοὺς ἅλας οὕτως αὐτῶν μετελάμβανεν. Ὡς οὖν τότε, τῆς τροφῆς αὐτῷ ὑπὸ τοῦ Παχωμίου παρατεθείσης [7], τὸ ἔλαιον ἐθεάσατο, τύψας τὸ πρόσωπον καὶ δακρύων πλησθείς · « Ὁ Κύριός μου, εἶπε, χθὲς ἐσταυρώθη τὰ ἔσχατα ὑβρισθείς, κἀγὼ τρυφήσω σήμερον ἐλαίου μεταλαβών ; » Καὶ οὐ πρὶν ἠνέσχετο ἅψασθαι τῶν ἁλῶν, καίτοι πολλὰ τοῦ Παχωμίου παρακαλοῦντος αὐτὸν διακριθῆναι πρὸς τὴν ἑόρτιον ἡμέραν, ἕως οὗ ἀρθέντων τῶν τῷ ἐλαίῳ ἠρτυμένων, ἀνέλαιοι ἕτεροι παρετέθησαν ἅλες · καὶ τότε τὸ σημεῖον τοῦ σταυροῦ [8] ὡς ἔθος τούτοις ἐπιβαλὼν προσήκατο τὴν τροφήν. Οὕτω τῆς δεσποτικῆς ἐντολῆς ὁλοσχερῶς περιείχετο καὶ καθάπαξ ἑαυτὸν ἀνεπίστροφον πρὸς τὴν τοῦ σώματος θεραπείαν διετήρει. Ὅπως [9] δὲ καὶ ταπεινώσεως εἶχε καὶ διακρίνειν οἷός τε ἦν τὰ τοῦ δαίμονος τῆς ὑπερηφανίας βουλεύματα καὶ τεχνάσματα, δηλώσει καὶ τοῦτο ὁ λόγος.

11. Μιᾷ γάρ ποτε τῶν νυκτῶν ἀγρυπνίαν πάννυχον ἐκτελούντων αὐτῶν καὶ πῦρ ἀναψάντων, παρέβαλέ τις πρὸς αὐτοὺς μοναχὸς [1] καὶ ὄφιν ὑποκειμένην ἀνθρακιὰν ἔφη πρὸς τὸν Παλάμωνα · « Εἴ τις ὑμῶν πίστιν λέγει [2] κεκτῆσθαι, τῶν ἀνθράκων τούτων ἐπιβὰς ἐκτελεσάτω τὴν προσευχὴν ἣν ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς παρέδωκε. » Συνῆκεν [3] ὁ γέρων ὑπερηφανίας δαιμονικῆς εἶναι ταῦτα τὰ ῥήματα · καὶ παραχρῆμα ἐπιτιμᾷ τούτῳ καὶ ἀποσχέσθαι τῶν τοιούτων παρεγγυᾷ λογισμῶν · πεπλανῆσθαι γὰρ αὐτὸν ὑπὸ τοῦ διαβόλου [4] καὶ συνόλως ἀπονενοῆσθαι, τοιαῦτα καὶ φρονοῦντα καὶ [5] λέγοντα. Ὁ δὲ μηδὲν [6] τῆς πρεσβυτικῆς [7] νουθεσίας [8] ἐπιστραφεὶς ἤλατο κατὰ τοῦ πυρὸς γυμνοῖς τοῖς ποσὶ καὶ τὴν προσευχὴν ἅπασαν ἀπεστομάτισεν ἐπιβεβηκὼς τῆς ἀνθρακιᾶς · καὶ ἀπαθὴς τὸ καθόλου ἐκ δαιμονικῆς πάντως ἐνεργείας διέμεινε [9] κατὰ παραχώρησιν Θεοῦ · πρὸς γὰρ τοὺς σκολιοὺς σκολιὰς ὁδούς, Φ 8.

Matth. 6, 9.

Prov. 21,8.

[2] (*καὶ ὁ παχ. ἔλ.*) *ἔλαιον οὖν* D ; *ὁ δὲ παχ. λαβὼν ὀλίγον ἔλαιον* N. — [3] *ὁ παχώμιος add.* D. — [4] *om.* N. — [5] *ἡ τρ. ἦν* D. — [6] *λαψάνες* N ; *λαμψάνες* D. — [7] *παρατεθ. ὑπὸ τοῦ παχ.* END. — [8] *τοῦ στ. τὸ σημ.* ND. — [9] *ὅπερ* E.

11. — [1] *μον. πρὸς αὐ.* END. — [2] (*π. λ.*) *λ. π.* D. — [3] *οὖν add.* N. — [4] *λέγων add.* D. — [5] *sup. lin.* E. — [6] *om.* ND. — [7] *ταύτης add.* N. — [8] *μὴ add.* ND. — [9] (*π. ἐν. διέμ.*) *διέμ. π. ἐν.* D.

κατὰ τὸ γεγραμμένον, ἀποστέλλει ὁ Θεός. Ἔδοξε μὲν οὖν ὁ ἄθλιος μέγα τι ποιῆσαι ὡς τάχα τῆς φλογὸς ὑπεράνω γενόμενος, μὴ συνιεὶς ὅτι ἕτερον αὐτὸν πῦρ [10] τὸ τῆς ὑπερηφανίας δεινῶς κατενέμετο. Καὶ μέλλων αὖθις ἔωθεν ἀναχωρεῖν ἐκεῖθεν, κατειρωνεύετο τῶν τιμίων ἀνδρῶν καὶ ὀνειδιστικῶς ἤλεγχεν οἱονεὶ τὸ τῆς ἀρετῆς ἀτελές, λέγων [11] · « Ποῦ ἡ πίστις ὑμῶν [12] ; » Ὡς δὲ ἔγνω τὸν ἄνθρωπον ὁ πονηρὸς καὶ χαιρέκακος δαίμων τελείως αἰχμαλωτισθέντα τὴν διάνοιαν καὶ τῇ ἐκ τοῦ τύφου ἀχλύι σκοτισθέντα, ἐπιτίθεται κατὰ τὸ φανερὸν αὐτῷ [13] ὁ ἐχθρὸς ὡς εὐαλώτῳ ἤδη καθεστηκότι · καὶ σχηματίσας ἑαυτὸν εἰς γυναῖκα εὐπρεπεστάτην τὸ εἶδος [14], προσῆλθε τῷ οἰκίσκῳ τοῦ μοναχοῦ διάγοντι καθ' ἑαυτόν. Καὶ κρούσαντι τούτῳ τὴν θύραν ἀνοίγει ὁ ἡσυχαστής · καὶ [15] λέγει πρὸς αὐτὸν ἡ [16] εἰσελθοῦσα · « Δανειστάς, ὦ πάτερ, ἐπικειμένους μοι καὶ διοχλοῦντας φεύγουσα πάρειμι · ἀλλὰ δέομαι, κρύψον με ὑπὸ τὴν στέγην τὴν σήν, μέχρις ἂν ἐκεῖνοι παρέλθοιεν. » Πείθεται τοῖς λόγοις τούτοις τοῖς ἀπατηλοῖς ὁ κακοδαίμων [17], καὶ σύνοικον ἑαυτῷ οἴμοι προσλαμβάνει τὸν τῆς ἀσελγείας ἔξαρχον δαίμονα, μὴ πολυπραγμονήσας, μὴ διακρίνας εἰ πιθανὰ ταῦτα καὶ λόγου ἐχόμενα, μηδὲ ἐν νῷ λαβὼν τὰς ἐπιβουλὰς καὶ ἐνέδρας τοῦ διαβόλου, ἃς τοῖς μοναχοῖς μάλιστα συσκευάζειν ἐπιτηδεύει · τοιοῦτον γὰρ τὸ τῆς πωρώσεως πάθος, ἥτις οὐ τοσοῦτον ἄλλοθεν ὅσον ἐκ τῆς ὑπερηφανίας ἐπιγίνεσθαι εἴωθε [18]. Τί τὸ ἐπὶ τούτοις ; Ὁ μὲν [19] δαίμων ἐκμαίνει τὸν μοναχὸν τοῖς τῆς ἐπιθυμίας ὑπεκκαύμασι καὶ τοξεύμασιν · ὁ δὲ οὐκ ἀντέχει, ἀλλ' ἐνδίδωσι ταῖς βολαῖς [20] καὶ μαλάσσεται τῷ πυρὶ καὶ πρὸς τὴν ἁμαρτίαν ὑπολισθαίνει καὶ πρόσεισι τῇ φαινομένῃ γυναικί, αὐτῷ λέγω τῷ δαίμονι. Ὁ [21] δὲ τοῦτον εὐθὺς εἰς γῆν καταράσσει [22], ὅλον ὅλος εἰσδὺς καὶ τῶν φρενῶν ἀποστήσας τὸν δείλαιον · ἔκειτο γοῦν ἐπὶ πολὺ κατὰ γῆς ἐρριμμένος [23] ὡσεὶ νεκρός. Μόλις δὲ καὶ ὀψὲ δυνηθεὶς ἐξαναστῆναι καὶ ἐν συναισθήσει γενόμενος τοῦ κατασχόντος αὐτὸν δαίμονος, δρομαῖος ἐπὶ τὸν Παλάμωνα παραγίνεται τρόμῳ παλλόμενος [24] καὶ διηγεῖται αὐτῷ τὸ πάθος μετὰ δακρύων ἐξαγορεύων τὸ οἰκεῖον πταῖσμα καὶ λέγων · « Ἐγώ, πάτερ, τῆς ἀπωλείας αἴτιος ἐμαυτῷ ·

[10] (αὐτ. πῦρ) πῦρ αὐτὸν καυστικώτερον G. — [11] λέγ. ἀτ. E. — [12] (λέγ.-ὑμ.) ποῦ ἐστι λέγων ἡ π. ὑμ. N. — [13] om. D. — [14] τῷ εἴδει N. — [15] ἡ δὲ N. — [16] om. ND. — [17] πείθεται τοῖς ἀπατ. τούτοις λόγοις ὁ μοναχός N. — [18] εἴωθε γίνεσθαι N. — [19] οὖν add. N. — [20] προσβολαῖς N. — [21] ἐκεῖνος D. — [22] φεῦ τοῦ πτώματος add. G. — [23] ἐριμμένος G ; ἐρριμένος D. — [24] βαλλόμενος N.

πολλὰ γάρ με [25] νουθετούντων ὑμῶν οὐχ ὑπήκουσα ἐξ ἀνοίας · τοιγαροῦν ἐκομισάμην τῆς παρακοῆς τὰ ἐπίχειρα [26] · διὸ παρακαλῶ, βοηθήσατέ μοι, ναὶ βοηθήσατε τῷ ἀθλίῳ διαφθαρῆναι κακῶς ὑπὸ τοῦ δαίμονος κινδυνεύοντι. » Ἔτι ταῦτα λαλῶν ὁ ταλαίπωρος, καὶ τοῦ Παλάμωνος καὶ τοῦ [27] Παχωμίου ὑπὸ συμπαθείας εἰς ὀδυρμοὺς καταγομένων, αἴφνης ὥσπερ οἴστρῳ τινὶ βληθεὶς διὰ τῶν θυρῶν ἐξεπήδησε καὶ πρὸς τὸ ὄρος ἔτεινε δρόμῳ μακρῷ ὑπὸ τοῦ ἀκαθάρτου πνεύματος [28] ἐλαυνόμενος, ἕως κατήντησεν εἰς πόλιν τινὰ τοῦ Πανὸς [29] καλουμένην · ἐκεῖσε δὲ μετ' ὀλίγον εἰς βαλανείου τινὸς ἐσχάραν ἐνῆκεν ὁ ἄθλιος ἑαυτὸν καὶ διεφθάρη ὑπὸ τοῦ [30] πυρός.

12. Ταῦτα τῷ Παχωμίῳ εὐλαβείας τε ὅτι πολλῆς παίδευμα γίνεται καὶ ταπεινοφροσύνης διδασκαλία, τόν τε τοῦ Θεοῦ φόβον τῇ ἐκείνου ψυχῇ μᾶλλον ἐνίησιν · ὃς δὴ καὶ ῥιζωθεὶς ἐν αὐτῇ βεβαίως καὶ αὐξηθεὶς [1] οὐκ ἐδίδου χώραν τοῖς πάθεσιν οὐδὲ παρείσδυσιν εἰς αὐτήν, καρποὺς δὲ μᾶλλον οἰκείους ἐξήνθει καὶ βλαστοὺς ἀρετῆς · ὥστε τὸν γέροντα, διὰ θαύματος πολλάκις ποιούμενον τὴν σωματικὴν ἐκείνου ἄσκησιν καὶ τὸ φερέπονον, ἔτι πλέον θαυμάζειν τὸ τῆς ψυχῆς ἀνδρεῖον αὐτοῦ καὶ ὑπέρτερον τῶν παθῶν καὶ τὸ πρὸς τὴν μελέτην τῶν θείων λογίων ἄοκνον καὶ ἀνένδοτον, πρὸς δὲ καὶ τὸ συντηρητικόν τε καὶ ἀνεπίληστον τῶν ἅπαξ ἀναληφθέντων αὐτῷ μαθημάτων. Φ 9.

13. Τῆς μὲν οὖν πρὸς τοὺς πόνους ὑπομονῆς ἐκείνου καὶ καρτερίας δεῖγμα καὶ τοῦτο μετὰ τῶν ἄλλων · τοῦ γὰρ ὄρους, ὅθεν αὐτοῖς ξυλεύεσθαι ἦν, ἀκανθῶν πεπλησμένου, δι' αὐτῶν βαδίζων προθύμως ὁ ἀσκητὴς Παχώμιος (καὶ [1] εἰς τὴν [2] τοιαύτην γὰρ [2] ὑπηρεσίαν αὐτὸς εἰώθει τῷ γέροντι ὑπουργεῖν) κατετραυμάτιζε [3] τοὺς πόδας καὶ χαλεπῶς διετίθει [4] ταῖς ἀλγηδόσι βαλλόμενος · ἐνθυμούμενος δὲ τοὺς ἥλους ἐκείνους, χειρῶν τε [5] καὶ ποδῶν διατρήσεις ἃς ὁ Δεσπότης ὑπὲρ ἡμῶν τῇ σαρκὶ ἀνεδέξατο [6], ῥᾴων ἐγίνετο καὶ τὰς ὀδύνας ἔφερε γενναιότερον [7]. Φ 11.

14. Ταῦτα δὲ ἀπὸ τῶν συγγεγονότων τῷ Παχωμίῳ μετὰ τοῦτο [1] γερόντων εἰς ἀκοὰς ἦλθεν [2] ἐμοί · κἀκεῖνοι δὲ αὖ [3] ἀπ' αὐτοῦ ἐκεί- Φ 10.

[25] om. D. — [26] τὰ ἐπίχ. τῆς παρ. N. — [27] om. N. — [28] δαίμονος N. — [29] (τοῦ π.) πανὼ N. — [30] om. N.

12. — [1] ἐν αὐτῇ β. καὶ αὐξ. om. ND.

13. — [1] ἐπειδήπερ N. — [2] om. N. — [3] ἐτραυμάτιζε N, κατετραυματίζετο D. — [4] διετίθετο ND. — [5] om. ND. — [6] ἐδέξατο D. — [7] ῥᾶον ὑπέφερε τὰς ὀδ. καὶ γενν. N.

14. — [1] ταῦτα N. — [2] ἦλθον G. — [3] om. N.

νου ἀκηκοέναι ἔλεγον, εἰωθότος ὁπότε σχολὴν ἄγοιεν [4] ἀπὸ τῆς ἀκροάσεως τῶν θείων λογίων, φράζειν πρὸς τοὺς συνόντας τὰ τοιαῦτα, οὐ δι' ἐπίδειξιν, ἄπαγε — τίς γὰρ ἐκείνου πλέον τοῦ ἀλαζονεύεσθαι ἀφειστήκει [5]; — ἀλλ' ὠφελείας χάριν τῶν ἀκουόντων καὶ τῆς [6] εἰς τὰ καλὰ προτροπῆς. Πολλῶν δὲ πάνυ καὶ μεγάλων περὶ αὐτοῦ διηγημάτων [7] παρὰ φιλαλήθων ἀνδρῶν εἰς τὰς ἐμὰς ἐληλυθότων ἀκοάς, τὰ πλείω παρείθη, ἀμετρίαν [8] λόγου φεύγοντι [9] καὶ τὸν πολέμιον ταῖς ἀκοαῖς κόρον φυλαττομένῳ [10]· ἱκανὰ δὲ τοῖς γε συνετοῖς ἀνδράσι καὶ τὰ ὀλιγοστὰ ταῦτα, ὅσα δηλαδὴ ὑποβληθείη τῇ παρούσῃ γραφῇ, τὴν τοῦ ἀνδρὸς ἀνυπέρβλητον ἀρετὴν καὶ τὴν πρὸς πάντα τὰ καλὰ εὐτονίαν καὶ ἔνστασιν παραστήσασθαι· ἐπεὶ καὶ γεῦσις μόνη βραχεῖα γνωρίζει τὸν ἐν τῷ πίθῳ πολὺν ἀνθοσμίαν καὶ ὄνυξ τὸν λέοντα, καὶ κράσπεδόν τις ἐσθῆτος μόνον ἰδὼν ὅλην ἔγνω τοῦ ὑφάσματος τὴν εὐπρέπειαν· ἀλλ' ἐπὶ τὰ ἑξῆς ἐπανιτέον.

Φ 12. **15.** Ἤδη γοῦν [1] ἐν ἕξει τοῦ ἀσκητικοῦ βίου γεγονὼς ὁ θεῖος Παχώμιος καὶ οὐ μετρίαν ἐπίδοσιν τῆς κατὰ ψυχὴν εἰληφὼς προκοπῆς, οἷός τε ἦν καὶ καθ' ἑαυτὸν ἀγωνίζεσθαι. Ἀμέλει καὶ μόνος ἐν ἐρημίαις [2] γινόμενος [3] καὶ Θεῷ [4] συγγινόμενος, καθάπερ ὁ [5] ἀετοῦ νεοσσὸς ὑψιπέτης ἤδη καθεστηκὼς [6] καὶ τοῦ τεκόντος δίχα θηρᾶν ἱκανός [7], καὶ [8] ἐρημίαν ἐξ ἐρημίας ἀμείβων ἀφικνεῖται καὶ πρὸς κώμην τινὰ οἰκητόρων ἔκπαλαι χηρεύουσαν καλουμένην Ταβέννησιν [9]· καθ' ἣν εὐχομένῳ τούτῳ συνήθως φωνὴ ἄνωθεν ἐληλύθει, ἐν τῷ τόπῳ τούτῳ παραμένειν κελεύουσα καὶ μοναστήριον δείμασθαι [10], πολλῶν μελλόντων προσελεύσεσθαι [11] αὐτῷ διὰ τὴν οἰκείαν σωτηρίαν καὶ τὸν μοναχικὸν [12] βίον ὑπὸ τούτῳ καθηγεμόνι αἱρήσεσθαι [13]. Διακρίνας τοιγαροῦν ὁ Παχώμιος τῷ καθαρῷ τῆς ψυχῆς θείαν ἀληθῶς εἶναι τὴν τοιαύτην φωνήν, πρὸς τὸν πνευματικὸν αὐτοῦ πατέρα ἐπάνεισι τὸν Παλάμωνα καὶ ἀποκαλύπτει τούτῳ τὰ πρὸς αὐτὸν λαληθέντα· καὶ ὅτι τούτοις ὑπακούειν αὐτῷ δέδοκται πάντως [14] κἀντεῦθεν ἀναχωρεῖν εἰς τὸν δηλωθέντα [15] τόπον διασαφεῖ. Ταῦτα οὐ μετρίως καθίκετο τῆς ἱερᾶς ἐκείνου ψυ-

[4] ἄγοι D. — [5] (τοῦ ἀλ. ἀφ.) μετριοφροσύνην ἠσπάσατο καὶ τὸ ἀνεπίδεικτον N. — [6] om. ND. — [7] διηγ. περὶ αὐ. END. — [8] τοῦ add. N. — [9] φεύγοντος N. — [10] φυλαττομένου N.

15. — [1] οὖν N. — [2] ἐρημία N. — [3] γενόμενος D. — [4] τῷ θεῷ ND. — [5] om. N. — [6] γενόμενος N. — [7] (θηρᾶν ἱκ.) πρὸς θήραν ὢν ἐπιτήδειος N. — [8] om. N. — [9] ταβέννην ND, corr. ex ταβέννη D. — [10] συνιστᾶν END. — [11] προσελθεῖν N. — [12] μοναδικὸν N. — [13] αἱρήσασθαι N. — [14] om. N. — [15] αὐτῷ add. N.

χῆς, τέκνου χωρισμὸν ὄντως ἀγαπητοῦ μηδὲ ἀκοῇ μόνῃ φερούσης. Ἐπεὶ δὲ πολλὰ δεόμενος παρ' αὐτῷ μένειν οὐκ ἔπειθε [16] τὸν Παχώμιον, σὺν αὐτῷ λοιπὸν ἐντεῦθεν [17] κἀκεῖνος μετανίσταται· καὶ τὴν ἔρημον ἐκείνην κώμην καταλαβόντες, μικρὰν αὐτόθι μονὴν εἶτ' οὖν οἰκίσκον τέως οἰκοδομοῦσιν· εἶτα ὁ γέρων εἰς τὸ οἰκεῖον μέλλων ἐπανιέναι ἡσυχαστήριον, οὕτως ἔφη πρὸς τὸν Παχώμιον· « Σὺ μέν, ὦ τέκνον, μένοις [18] ἐνταῦθα καὶ σῴζοιο· πέπεισμαι γὰρ ἐκ Θεοῦ σοι τοῦτο πάντως [19] ἐπιταγῆναι· ἐμοὶ [20] δὲ πρὸς τὸ ἐμαυτοῦ κελλίον ἐπαναζεῦξαι δέδοκται [21]· φέρε δὴ [22] συνθώμεθα πρὸς ἀλλήλους ἵνα μὴ καθάπαξ ὦμεν ἀλλήλων [23] ἀφεστηκότες, ἀλλ' ὁ ἕτερος πρὸς τὸν ἕτερον ἐν μέρει φοιτᾷ [24], ἕως ἔξεστι. » Συνέδοξε ταῦτα ἀμφοτέροις [25]· καὶ τοῦ γέροντος [26] μόνου εἰς τὴν ἰδίαν ἐπανελθόντος διαγωγὴν [27] καὶ χωρὶς [28] ἑκατέρου τὴν ἄσκησιν ποιουμένου, ὅμως τὴν ἀπὸ τοῦ χωρισμοῦ ἀθυμίαν θεραπεύοντες διετέλουν κατὰ τὰ συγκείμενα [29] ταῖς πρὸς ἀλλήλους ἀμοιβαδὸν ἐπιφοιτήσεσιν.

Φ 13. **16.** Ὀλίγου δέ τινος παραρρυέντος καιροῦ, συνέβη τὸν Παλάμωνα ἀρρωστίᾳ περιπεσεῖν, τοῦ σπληνὸς αὐτῷ [1] ἀπὸ τῆς σκληρᾶς ἀσκήσεως καὶ ψυχροποσίας κακωθέντος. Πολλάκις μὲν γὰρ ὕδατι μόνῳ ἐχρῆτο [2] παρ' ὅλην τὴν ἡμέραν, μὴ ἄρτον μὴ ἄλλο τι σιτίον προσιέμενος· πολλάκις δὲ [3] τὸ ἀνάπαλιν ἄρτῳ μόνῳ ἠρκεῖτο, μηδὲ [4] ὕδατος κἂν βραχέος ἀπογευόμενος. Ἐπεὶ δέ τισι τῶν εἰς αὐτὸν φοιτώντων πεισθεὶς τὴν δίαιταν βραχύ τι μετήλλαξε καὶ τὰ δοκοῦντα χρήσιμα εἶναι καὶ λυσιτελῆ πρὸς τὴν τοῦ σώματος θεραπείαν προσήκατο, ταχὺ πάλιν μεταμεληθεὶς πρὸς τὴν προτέραν ἐκείνην σκληραγωγίαν ἐπαλινδρόμησεν, οὕτως εἰπὼν ἐν ἑαυτῷ· « Εἰ οἱ μάρτυρες τὰ σώματα σιδήρῳ κατατεμνόμενοι, ὄνυξι σπαραττόμενοι, στρεβλούμενοι [5], καιόμενοι ἐκαρτέρουν γενναίως ὡς ὑπὲρ Χριστοῦ πάσχοντες, ἐγὼ [6] τὰς ἐκ τοῦ νοσήματος [7] ἀλγηδόνας οὐχ ὑποίσω, ἀλλὰ ἀνέξομαι θεραπειῶν καὶ τροφῶν ἀσυνήθων, καὶ ταῦτα μηδὲν ὑπ' αὐτῶν πρὸς ὑγείαν ὠφελούμενος [8]; » Οὕτως ὁ γέρων τῇ προθυμίᾳ τῆς ἀσκήσεως νεάζειν [9] ἀεὶ φιλονεικῶν καὶ πᾶσαν ἀποσειόμενος θεραπείαν σωματικὴν καὶ τῆς εἰωθυίας καὶ

[16] ἔπεισε N. — [17] om. D. — [18] μενεῖς N. — [19] (τ. π.) π. τ. ND. — [20] ἐγὼ N. — [21] προήρηται N. — [22] τοίνυν N. — [23] om. ND. — [24] φοιτᾶν ND. — [25] τῷ παχωμίῳ N. — [26] παλάμωνος N. — [27] καταμονὴν N. — [28] ἀνὰ μέρος N. — [29] κατὰ τὰς συνθήκας N.

16. — [1] αὐτοῦ N. — [2] (μ. ἐ.) ἐ. μ. N. — [3] (π. δὲ) ἔστι δ' ὅτε καὶ N. — [4] μὴ N. — [5] (ὄν. σπ. στρ.) στρ. ὄν. σπ. N. — [6] αὐτὸς N; om. D. — [7] σώματος END. — [8] οὐμενουν add. N. — [9] νήφειν D.

αὐστηρᾶς διαίτης ἀνενδότως ἐχόμενος, βαρυτέρας μετὰ βραχὺ τῆς νόσου ἥσθετο · καὶ ἐπὶ μῆνα κατακείμενος ὅλον, τοῦ θείου Παχωμίου συμπαρόντος αὐτῷ καὶ ὡς οἷόν τε νοσοκομοῦντος, τέλος πρὸς Κύριον ἐκδημεῖ · καὶ τῆς ἀγγελικῆς ἐκεῖθεν ἀξιοῦται χορο- Cf. II Cor. στασίας τε καὶ λαμπρότητος ὁ τῷ ὄντι μακάριος. Παχώμιος δὲ τὸ 5, 8.
τίμιον ἐκείνου σῶμα [10] ταφῇ παραδεδωκὼς [11] ἐπάνεισι πρὸς τὴν ἰδίαν μονήν [12].

Φ 14. **17.** Ὅτε δὴ [1] καὶ ὁ κατὰ σάρκα τούτου ἀδελφὸς [2] Ἰωάννης αὐτῷ προσφοιτᾷ καὶ τὴν σὺν αὐτῷ αἱρεῖται διαγωγὴν τὸν μοναχικὸν βίον ὑπελθών, ἐφ' ᾧ καὶ μάλα ἡδέως [3] ὁ Παχώμιος διετέθη (οὐδὲ γὰρ ἦν ποτε τεθεαμένος τινὰ τῶν οἰκείων ἐξ ὅτου δηλαδὴ τὴν ἀρχὴν ἐπὶ τὴν δηλωθεῖσαν ἐκστρατείαν [4] ἐκείνην ἅμα τοῖς τήρωσιν ἀπεδήμησεν) εἶλκον οὖν ὁμοθυμαδὸν τὸν τῆς ἀσκήσεως ζυγὸν μετὰ πάσης εὐτονίας ἄμφω τὼ ἀδελφώ [5], ἅτε ἀδελφὰ φρονοῦντες κἀν τῇ πνευματικῇ διαγωγῇ καὶ περὶ τὴν τῆς ἀρετῆς ὁμονοοῦντες ἐπίκτησιν, καὶ αὐτὸ τὸ ἐργόχειρον κοινῶς ἐργαζόμενοι · ῥάκια γὰρ ταῖς χερσὶν ἐξύφαινον · καὶ τὸ ἐντεῦθεν περιγενόμενον [6] τοῖς πέννησι διένεμον, ἑαυτοῖς δὲ τοσοῦτον ἀπεκράτουν [7] ὅσον ἀποχρῆν πρὸς μόνον τὸ ζῆν [8]. Ἕνα δὲ λεβίτωνα ἑκάτερος ἔχων ἐφόρει ἀεί · καὶ εἴ ποτε πλῦναι τοῦτον ῥυπῶντα [9] ἐδέησεν, ἕτερον [10] οὐκ ἦν τὸ παράπαν ἀλλάξασθαι [11] · Παχωμίῳ δὲ καὶ τρίχινον ἦν τὸ ἔσθημα τὸ σαρκίον ἐπίτηδες τρύχοντι καὶ σκληραγωγοῦντι [12]. Καὶ ὃ τῶν ἐκείνου μᾶλλον ἔνι θαυμάσαι, οὐκ ὀλίγον χρόνον διατετέλεκε μηδ' ὅλως [13] ἀνακλινόμενος [14] ἐπὶ κραββάτου ποτὲ μηδὲ ἐν αὐτῷ τῷ κοιμᾶσθαι, ἀλλ' ὅτε δέοι ὕπνῳ τὸ σῶμα διαναπαῦσαι πεπονηκὸς ἐκ τῆς συντόνου προσευχῆς τε καὶ ἀγρυπνίας, ἐπί τινος δίφρου καθήμενος καὶ μηδὲ [15] πρὸς τοῖχον ἐπερειδόμενος, οὕτως ἠναγκάζετο ὑπνώττειν καὶ [16] βραχείας τινὸς ἀπολαύειν [17] ἀναπαύσεως. Καὶ τοῦτο ἐπὶ πεντεκαίδεκα διετέλεσεν ἔτη ποιῶν · ὃ καὶ πολλοὶ ἐμιμήσαντο τῶν ἀρχαιοτέρων τε καὶ νεωτέρων πατέρων [18], οἱ μὲν ἀκοῇ παρειληφότες, οἱ δὲ καὶ αὐτόπται γεγονότες τοῦ [19] ἀγωνίσματος καὶ μαθητὰς ἑαυτοὺς τοῦ Παχωμίου πεποιηκότες.

[10] τὸ ἐκείνου σῶμα τὸ τίμ. ED. — [11] παραδοὺς N. — [12] καταμονήν N.
17. — [1] δηλαδὴ N. — [2] αὐτάδελφος D. — [3] om. N. — [4] στρατείαν N. — [5] (ἄμφω τὼ ἀδ.) ἀμφότεροι N. — [6] γενόμενον ND. — [7] ὑπεκράτουν D. — [8] ἀποζῆν N. — [9] ῥυπανθέντα N ; om. D. — [10] ἕτερος N. — [11] εἰς ἀλλαγήν N. — [12] τρύχον καὶ σκληραγωγοῦν N. — [13] οὐδόλως D, μὴ N. — [14] ἐπικλινόμενος E ; κλινόμενος N. — [15] μηδέποτε N. — [16] om. N. — [17] ἀπολαύων N. — [18] ἀρχ. πατ. τε καὶ νεωτ. N. — [19] τοιούτου add. N.

Φ 15. **18.** Μνημονεύων δὲ τῆς ἄνωθεν φωνῆς ἐκείνης [1] ὁ ὅσιος, ἥτις αὐτῷ ἐπέσκηπτε [2] περὶ μοναστηρίου οἰκοδομῆς, ὡς πολλῶν παρ' αὐτῷ φοιτῆσαι μελλόντων πόθῳ τε τοῦ μοναχικοῦ βίου καὶ τῆς ὑπ' ἐκείνῳ διαγωγῆς, ἤρξατο κτίζειν ἅμα τῷ ἀδελφῷ. Ἐν δὲ τῇ διαγραφῇ τῶν μέτρων τοῦ μέλλοντος οἰκοδομεῖσθαι μοναστηρίου συνέβη διενεχθῆναι πρὸς ἀλλήλους τοὺς ἀδελφούς · ὁ μὲν γὰρ Ἰωάννης συνέστελλεν ὡς οἷόν τε τὴν τούτου περιοχὴν καὶ βραχυτέροις τὰ μέτρα διαστήμασι περιέγραφεν · ἡσυχίας τε [3] γὰρ ἦν ἐραστὴς καὶ πρὸς τὸν μονήρη βίον πλέον [4] ἀπέκλινε. Παχώμιος δὲ τὸ ἀνάπαλιν ἐπλάτυνε τὰ σχοινίσματα, γραφικῶς εἰπεῖν, καὶ μείζοσιν ὁρίοις περιελάμβανε τὴν τῆς μονῆς διακράτησιν · ἐμέμνητο γὰρ τοῦ θείου κελεύσματος καὶ πρὸς πολλῶν ὑποδοχὴν ἐδοκίμαζε μᾶλλον ἑτοιμάζειν αὐτήν. Καὶ ὁ μὲν Ἰωάννης ἐπιτιμῶν [5] τῷ ἀδελφῷ (ἦν γὰρ καὶ [6] καθ' ἡλικίαν προήκων [7]) πέρπερόν τε αὐτὸν ἀπεκάλεσε καὶ διεκελεύσατο παύσασθαι. Παχώμιος δὲ μέχρι τοῦ ὁρμῆσαι μόνον παροξυνθεὶς [8] οὐκ ἀντεῖπε, καίτοι δικαιότερα μέλλων λέγειν, ἀλλ' ἐγκρατὴς ὁμοῦ καὶ θυμοῦ καὶ γλώττης [9] ἐγένετο, μηδὲ βραχὺ πρὸς τὸν ἐπισκώψαντα ῥῆμα προέμενος. Κολάζων δὲ ὁ μακάριος καὶ αὐτὴν τὴν ὁρμὴν τοῦ θυμοῦ, τῆς ἐπιούσης νυκτὸς [10] εἴς τι κατώγαιον [11] ἀνεχώρησεν οἴκημα, καὶ τὰς χεῖρας ὑψοῦ διάρας (εἰώθει γὰρ συναιρομένας ἔχειν ταύτας ἐπὶ πολὺ τῷ συντόνῳ τῆς προσευχῆς) · « Ὅρα [12], ὁ Θεός, εἶπεν, ἔτι ἐν ἐμοὶ τὸ τῆς σαρκός ἐστι [13] φρόνημα · ἔτι [14] κατὰ σάρκα ζῶν ὁ τάλας ἐγὼ διατελῶ. Οὐαί μοι Cf. Rom. 8, λοιπὸν ὅτι τεθνήξομαι, εἴπερ, κατὰ [15] τὸ εἰρημένον τῷ ἀποστόλῳ, 6, 13.
τὸ τῆς σαρκὸς φρόνημα θάνατός ἐστι · πῶς γὰρ οὐ κατὰ σάρκα ζῶ, καὶ ταῦτα μετὰ τοσούτους τῆς ἀσκήσεως πόνους καὶ μετὰ τοσαύτην τῆς καρδίας ἑτοιμασίαν [16], εἴ γε ὁ θυμὸς οὕτωσὶ συναρπάζει με καθ' οἱανδήτινα πρόφασιν, ἔστω γὰρ εἶναι δικαιοτάτην αὐτήν ; Ἐλέησόν με, Κύριε, μὴ ἀπόλωμαι · εἰ γὰρ σὺ μὴ [17] στηρίξεις με καὶ ὁλοσχερῶς καθαρίσεις, καὶ μέρος ἐν ἐμοὶ μικρὸν ὅσον ὁ ἐχθρὸς μεταλάβῃ, ὑποχείριος αὐτῷ γενήσομαι. Γέγραπται γάρ · Ἐάν τις Iac. 2, 10.
ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, πάντων γέγονεν [18] ἔνοχος. Πέπεισμαι δὲ ὡς εἴ γε τύχοιμι τῶν σῶν οἰκτιρμῶν [19] καὶ τῆς

18. — [1] μνημ. δὲ τῆς θείας ἐκείνης φωνῆς N. — [2] om. N. — [3] om. END. — [4] μᾶλλον N. — [5] ἐπιτιμήσας D. — [6] om. N. — [7] (ἦν - προήκων) om. D. — [8] (μ.π.) π.μ. N. — [9] γλώσσης N. — [10] τῇ ἐπιούσῃ νυκτὶ N. — [11] κατώγεων GED. — [12] ἆρα END. — [13] om. N. — [14] ὅτι E. — [15] sup. lin. N. — [16] δοκιμασίαν corr. sup. lin. G. — [17] εἰ μὴ γὰρ σὺ N. — [18] (π. γ.) γ. π. N. — [19] δώρων N, om. D.

σῆς βοηθείας, τὴν ὁδὸν τῶν ἁγίων σου κἀγὼ [20] μαθήσομαι καὶ πορεύσομαι, εἶτα καὶ ἄλλοις ἔσομαι ὁδηγός, διδάσκων ἅπερ μεμάθηκα· εἰ γὰρ μὴ μάθοιμι αὐτὸς πρῶτον, πῶς ἑτέρους [21] διδάσκειν δυνησαίμην [22] τὰς σὰς ἐντολάς, εἴ γε καὶ κατὰ τὴν ἐπαγγελίαν σου πολλοὶ μέλλοιεν [23] φοιτᾶν πρὸς ἐμέ, τὴν μοναχικὴν [24] πολιτείαν ὑπ' ἐμοὶ τῷ ἐλαχίστῳ πολιτευσόμενοι; »

Φ 19. **19.** Ταῦτα καὶ τοιαῦτα ἕτερα [1] παρ' ὅλην τὴν νύκτα συναίρων [2] καὶ προσευχόμενος μετὰ στεναγμῶν καὶ δακρύων ἐν πνιγηρῷ τῷ οἰκίσκῳ καὶ κατὰ [3] τὴν τοῦ θέρους ἀκμήν, ἔλαθε τὰ πρὸ τῶν ποδῶν πηλὸν ἐργασάμενος [4] ἱδρῶσιν ἐκείνου φυραθέντα καὶ δάκρυσιν [5]. Οὕτως οὖν ἐν πολλῇ πραότητι καὶ εἰρηνικῇ καταστάσει διατηρῶν ἑαυτὸν ὁ ὅσιος ὑπήγετο πάντας εἰς τὸ πείθεσθαι αὐτῷ καὶ τὰ τούτου ζηλοῦν καὶ μιμεῖσθαι κατορθώματα, σὺν πᾶσι δὲ καὶ αὐτὸν τὸν [6] ἀδελφόν. Ἀλλ' οὗτος μὲν ὁ Ἰωάννης οὐ μετὰ πολὺν χρόνον τέλει τοῦ βίου ἐχρήσατο· καὶ τοῦτον ἐντίμως μετὰ ψαλμῶν καὶ ὕμνων ὁ Παχώμιος ταφῇ [7] παραδέδωκε.

Φ 18 **20.** Μονωθεὶς δὲ καὶ πάλιν τῷ χωρισμῷ τοῦ ἀδελφοῦ καὶ συναθλητοῦ, οὐχ ἡττήθη τῇ ἀκηδίᾳ, οὐδ' ἐνεδεδώκει [1] ὅλως πρὸς τὰ κατὰ [2] τῆς σαρκὸς ἀγωνίσματα· ἀλλὰ τῆς αὐτῆς καὶ [3] πάλιν ἐπιπόνου [3] εἴχετο καὶ [2] κατὰ πάντα ἐγκρατεστάτης διαγωγῆς, οὐ τὸ σῶμα μόνον ὑπωπιάζων καὶ ὑποχείριον τιθεὶς τῷ νοΐ, ἀλλὰ καὶ τὴν καρδίαν καθαρὰν ὅτι μάλιστα διαφυλάττων καὶ θεοπτίας ἀξίαν κατὰ τὸν τοῦ [4] Κυρίου μακαρισμόν. Διὰ ταῦτα καὶ συνεχῶς αὐτῷ οἱ δαίμονες ἐπετίθεντο καὶ διὰ πάσης ἐπεβούλευον μηχανῆς, παντὶ τρόπῳ πειράζοντες εἴ πως δυνηθεῖεν μετακινῆσαι ποσῶς ἢ ὅλως διασαλεῦσαι πέτραν οὕτω στερρὰν καὶ ἀντίτυπον. Εὐχομένῳ τε [5] γὰρ ἐνίοτε καὶ πρὸς γονυκλισίαν ἑαυτὸν καθιέντι [6], δόκησιν ἐνεποίουν ὁρᾶν τὰ ἔμπροσθεν βόθυνον, ἵνα φοβούμενος [7] μὴ κλίνῃ τὰ γόνατα· ὁ δὲ συνιεὶς τῆς τούτων κακοτεχνίας [8], τὴν γονυκλισίαν μᾶλλον ἐπέτεινεν [9]. Ἄλλοτε δὲ πάλιν βαδίζοντος αὐτοῦ, οἱ μὲν

I Cor. 9, 27. Cf. Matth. 5, 8.

[20] *om.* ND. — [21] *ἑτέροις* N. — [22] *δυν. διδάσκειν* E ; *δυν. διδάξαι* ND. — [23] *μέλλουσι* N. — [24] *μοναδικὴν* N.

19. — [1] *ταῦτα καὶ τὰ τοιαῦτα καὶ ἕτερα τούτοις ὅμοια* END. — [2] *συνείρων* D. — [3] *(καὶ κατὰ) κατ' αὐτὴν* N. — [4] *(ἔλαθε - ἐργ.) πηλὸς ἐγένετο τὰ πρὸ τῶν ποδ.* N ; *γέγονε τὰ πρὸ τῶν ποδ. πηλός* D. — [5] *(ἱδρ. - δάκρ.) ἐκ τῶν ἐκείνου φυρ. ἱδρώτων τε ἅμα καὶ δακρύων* N. — [6] *οἰκεῖον add.* N. — [7] *τῇ ταφῇ* N.

20. — [1] *οὐδὲ ἐνδεδώκει* N. — [2] *om.* N. — [3] *om.* END. — [4] *sup. lin.* N. — [5] *om.* END. — [6] *καθιέντα* N. — [7] *δηλαδὴ add.* N. — [8] *τὴν τούτ. κακοτεχνίαν* D. — [9] *(τὴν γον. μ. ἐπ.) τὴν ἐπιχείρησιν μᾶλλον ταύτην*

ἔνθεν οἱ δὲ ἔνθεν [10] διαστάντες [11] καὶ εἰς πρόοδον ἑαυτοὺς πομπικὴν διατάξαντες, εἶτα τὸν ὄχλον δῆθεν ἀποσοβοῦντες [12] ὡς ἀπὸ ἄρχοντος· « Δότε τόπον, ἔλεγον, τῷ ἀνθρώπῳ τοῦ Θεοῦ. » Ὁ δὲ κατεγέλα τῆς αὐτῶν ματαιότητος.

Φ 19. 5 **21.** Καί ποτε [1] σεισμῷ καὶ κλόνῳ τὸ ἡσυχαστήριον αὐτοῦ διεσάλευον ἔνδον προσευχομένου, ὡς δοκεῖν αὐτίκα καταπεσεῖσθαι· ὁ δὲ προεβάλλετο κατ' αὐτῶν τὸν ψαλμὸν οὗ [2] τὸ ῥητόν [3]· Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα, διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν, καὶ τὰ ἑξῆς. Ἄλλοτε δὲ πάλιν ἀλεκτρυόνος μορφὴν ὁ δαίμων ἀναλαβὼν καθημένῳ καὶ ἐργαζομένῳ παρέστη πλησίον τῷ ἀσκητῇ καὶ ἐκόκκυσεν· ὁ δὲ τῇ τοῦ σταυροῦ σφραγίδι πλήξας αὐτὸν φυγάδα πεποίηκε. Ποτὲ δὲ καὶ φύλλον δένδρου προθέντες εἰς μέσον, εἶτα σχοινίοις ἑκατέρωθεν καταδήσαντες ἔσυρον, ἀλλήλοις ἐγκελευόμενοι καὶ ἀτεχνῶς ἐοικότες πιεζομένοις τισὶ καὶ μοχθοῦσιν ὑπὸ τῆς βαρύτητος δῆθεν τοῦ ὑπ' αὐτῶν συρομένου φυλλιδίου· τοῦτο δὲ ἐμηχανῶντο πρὸς γέλωτα ἄτακτον [4] τὸν ὑπέρσεμνον κινῆσαι βουλόμενοι. Ὁ δὲ μᾶλλον αὐτοῖς ἐπεστέναζεν, ἀφ' οἵων εἰς οἷα ἐκπεπτώκασιν ἐνθυμούμενος. Ἐσχημάτισαν ἑαυτούς ποτε [5] οἱ παμπόνηροι καὶ εἰς γυναῖκας γυμνάς, καὶ τροφῆς μεταλαμβάνοντι παρεκάθισαν τῷ ἁγίῳ· τοῦ δὲ προσέχοντος ἑαυτῷ καὶ μηδὲ ὁρᾶν ὅλως ἐκείνους ἀνεχομένου, αἰσχυνόμενοι ἀπηλλάττοντο [6] ἐφ' οἷς οὐδὲν οὐδαμῶς ἀνύειν τι κατ' ἐκείνου ἠδύναντο [7]. Τί οὖν οἱ παμμόχθηροι [8] ἐξέκαμον ἐπὶ τούτοις καὶ [9] ἀνῆκαν τὰς κατὰ τοῦ ἀσκητοῦ ἐπιβουλάς; Οὐδαμῶς· ἀλλ' ἐπεὶ ταῖς μηχαναῖς οὐδὲν ἐπέραινον καὶ τοῖς ἐξ ἀδήλων ἐπιχειρήμασιν, ἐκ τοῦ φανεροῦ λοιπὸν ἐπιφύονται τῷ ὁσίῳ καὶ τὴν ἀναίδειαν ἀντὶ [10] τῆς [11] κακουργίας προβάλλονται.

Φ 20. **22.** Καί ποτε νυκτὸς ἀρχομένης προσβάλλοντες [1] αὐτῷ ἀνανδὸν [2] πληγὰς ἐπέθηκαν δεινοτάτας [3] καὶ οὐκ ἀνῆκαν αἰκιζόμενοι χαλεπῶς ἕως ἡμέρα κατέλαβεν, ὥστε τὸν ἅγιον πονήρως ἐπὶ πολὺ τὸ σῶμα διατεθῆναι καὶ μηδεμιᾶς ἐθελῆσαι τυχεῖν θερα-

Ps. 45, 1-2.

ἐπέτεινεν ἦγουν τὴν γονυκλ. N. — [10] *ἐκεῖθεν* ND. — [11] *διαναστάντες* N. — [12] *(εἶτα - ἀποσοβ.) om.* N.

21. — [1] *αὖθις add.* N. — [2] *τὸν ψ. οὗ om.* D. — [3] *(τὸν ψαλ. οὗ τὸ ῥητόν) τὸ δαυιτικὸν ῥῆμα* N. — [4] *ἄσεμνον* N. — [5] *om.* N. — [6] *om.* N. — [7] *ἀπηλλάττοντο add.* N. — [8] *ὅτι add.* N. — [9] *om.* N. — [10] *om.* D. — [11] *om.* N.

22. — [1] *προσβαλόντες* ND. — [2] *om.* D. — [3] *πληγαῖς ἐνέτεινον δεινοτάταις* D.

πείας [4] ἐπὶ τοῖς προσγεγονόσι [5] τραύμασιν. Εὔδηλον δὲ πάντως [6] ἐκ τῶν παθῶν τοῦ γενναίου Ἰώβ, ὅτι τοῖς δαίμοσιν ἡ κατὰ τῶν σωμάτων ἡμῶν ἐξουσία καὶ τυραννὶς κατ' οἰκονομίαν Θεοῦ καὶ παραχώρησιν δίδοται [7], ἵνα διὰ πάσης οἱ δίκαιοι πείρας δοκιμασθέντες καὶ δίκην χρυσίου πυρωθέντες τοῖς πειρασμοῖς, τέλειοι πρὸς ἀρετὴν εὑρεθῶσι καὶ ὅτι μάλιστα δόκιμοι [8].

Cf. Iob 2, 5-7.

Cf. I Petr. 1, 7.

Τότε δ' οὖν τὸν θεῖον Παχώμιον ἀσθενῶς ἔχοντα διὰ τὰς ἐκ τῶν [9] δαιμόνων πληγάς [10] τις τῶν γερόντων τῶν ἔκπαλαι τὴν μοναχικὴν ἐπανῃρημένων βιοτὴν ἐπισκεψόμενος ἐληλύθει · Ἱερακαπόλλων [11] ἦν ὄνομα τῷ μοναστῇ · ὃς δὴ καὶ ἀσπασάμενος τὸν ἀθλητὴν παρεκάλει μάλα [12] γνησίως ἀνδρίζεσθαι οὕτωσὶ κατὰ τῶν [13] ἐπεμβαινόντων τούτῳ δαιμόνων καὶ μηδαμῶς ἐκλύεσθαι μηδὲ καταπίπτειν τοῖς ἐξ αὐτῶν πειρασμοῖς · « Ἐὰν γάρ σε, φησίν, ὃ μὴ γένοιτο, καταβάλωσιν [14] ἐκεῖνοι ἢ καὶ ὅλως ἐκφοβήσωσι τὸν πάντων ἡμῶν ἔξαρχον καὶ πρωταγωνιστὴν τῶν ὅσοι τὸν αὐτόν σοι δρόμον τῆς ἀσκήσεως διανύομεν καὶ πρὸς ὃν οἱονεὶ σκοπὸν καὶ ὑπόδειγμα τῆς ἡμετέρας πολιτείας ἀποβλέπομεν, τίς οὐκ ἐνδώσει τῶν ἄλλων ; τίς οὐ δραπετεύσει καὶ φύγῃ τὸν πρὸς τοὺς ἀντικειμένους πόλεμον, καταβεβλημένον ὁρῶν τὸν προβολέα ἡμῶν καὶ πρωταγωνιστὴν καὶ πρὸς τοὺς σωματικοὺς πόνους οὕτω ταχέως ἀπαγορεύσαντα ; Ἵνα οὖν μὴ καὶ τῆς ἡμῶν ἀπωλείας εὐθύνας ὑφέξῃς μηδὲ τὸ ἡμέτερον αἷμα ἐκ τῶν χειρῶν τῶν σῶν [15], κατὰ τὸ γεγραμμένον, ἐκζητηθῇ, ἀνδριστέον σοι, ὦ γενναῖε, κατὰ δαιμόνων μάλα νεανικῶς καὶ μηδὲ τὸ βραχύτατον μαλακιστέον πρὸς τὰς ἐπιβουλὰς ἐκείνων καὶ τὰς παντοίας ἐπιθέσεις καὶ τὰ παλαίσματα. » Τούτοις ὁ Παχώμιος τοῖς λόγοις τοῦ γέροντος οὐ μετρίως παρακληθεὶς ἔτι μᾶλλον ἐπερρώσθη πρὸς τοὺς ἀγῶνας καὶ τὸν κατὰ τῶν δαιμόνων ἐπέτεινε πόλεμον. Πρὸς μέντοι τὸν καλὸν Ἱερακαπόλλωνα οὕτω διετέθη τὸ ἀπὸ τοῦδε γνησίως καὶ ὡς εἰπεῖν ἀνεκράθη, ὡς μηδὲ χωρισθῆναι βούλεσθαι τὸ παράπαν αὐτοῦ · ἀμέλει καὶ διε-

Cf. Luc. 11, 50.

[4] (τυχ. θ.) θ. τυχ. END. — [5] γεγονόσι N. — [6] (εὔδ. δὲ π.) ἀλλὰ ταῦτα μὲν οὐκ ἄνευ τῆς ἄνωθεν κηδεμονίας καὶ παραχωρήσεως εἴωθε γίνεσθαι · καὶ τοῦτο δῆλον N. — [7] (ὅτι τοῖς δ. - δίδοται) om. N. — [8] ἡ γὰρ τῶν δαιμόνων ἐξουσία καὶ τυραννὶς κατὰ τῶν ἡμετέρων σωμάτων κατ' οἰκονομίαν θεοῦ γίνεται · εἰ γὰρ κατὰ τῶν χοίρων οὐκ εἶχον ἐξουσίαν ὡς ἐν εὐαγγελίοις ἠκούσαμεν, πολλῷ μᾶλλον κατὰ ἀνθρώπων καὶ μάλιστα οἰκείων θεῶ add. N. — [9] om. D. — [10] (διὰ - πλ.) ἐκ τῶν δαιμονικῶν ἐκείνων πληγῶν N. — [11] ἱερακαπόλων E. — [12] μᾶλλον N. — [13] (οὐτ. κ. τ.) κ. τ. οὐτ. N. — [14] καταλάβωσιν N. — [15] ἐκ τῶν σου χ. N.

Cf. Matth. 8, 31 ; Eph. 2, 19.

τέλεσαν κατὰ συνθήκας πνευματικὰς συνόντες τε καὶ συνασκοῦντες διὰ βίου, ἕως πρὸς τὴν ἀμείνω ζωὴν ὁ γέρων ἀπῆρε τὰ τῇδε λιπών · καὶ ἐτάφη καὶ αὐτὸς [16] ὑπὸ τῶν ἁγίων χειρῶν τοῦ μεγάλου πατρός [17].

23. Παχωμίῳ δὲ τοσαύτη χάρις παρὰ Θεοῦ δεδώρητο, καὶ τηλικαύτην παρρησίαν διὰ τῆς πρὸς αὐτὸν ἐκέκτητο πίστεως, ὡς καὶ ἐπάνω ὄφεων καὶ σκορπίων κατὰ τὸ γεγραμμένον πατοῦντα τοῦτον ἀβλαβῆ διαμένειν, ἤδη δέ ποτε καὶ κροκοδείλῳ χρησάμενον [1] ὡς [2] ὀχήματι διαπερᾶσαι [3] τὸν ποταμόν, καὶ τοῖς λοιποῖς δὲ ἀγρίοις θηρίοις συναναστρέφεσθαι [4] ἀδεῶς, μηδὲν [5] ὑπ' αὐτῶν βλαβερὸν ὑφιστάμενον [6]. Ἐπεὶ δὲ ἤδη καὶ τὸ [7] τῆς γνώσεως [8] χάρισμα εἰλήφει ἀπὸ Θεοῦ, εὐχαριστῶν αὐτῷ διετέλει, ὅτι μετὰ τῶν ἄλλων καὶ τοῦ τῆς διακρίσεως φωτὸς κατηξίωτο [9], δι' οὗ τὸ ζητεῖν καὶ ἀνερευνᾶν [10] τὸ θεῖον ἠδύνατο βούλημα. Φ 21. Luc.10,19.

24. Ἠύξατο δέ ποτε καὶ τὸν ὕπνον ἐξ αὐτοῦ παντάπασιν ἀποστῆναι, ἵνα καὶ νυκτὸς καὶ ἡμέρας ἄϋπνος διατελῶν μὴ διαλίποι βάλλων ταῖς προσευχαῖς καὶ διώκων τοὺς ἐναντίους κατὰ τὸ γεγραμμένον · « Καταδιώξω τοὺς ἐχθρούς [1] μου καὶ τροπώσομαι [2], καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλίπωσι. » Καὶ λέγεται χαρισθῆναι θεόθεν αὐτῷ καὶ τοῦτο τὸ αἴτημα [3] ἐπὶ ἱκανὸν χρόνον, κατὰ ταὐτὸν Ἀντωνίῳ τῷ θείῳ [4]. Καὶ ἦν λοιπὸν ἀγρυπνῶν ἀνενδότως οὐ τῷ σώματι [5] μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ ψυχῇ [6], καὶ ὡς ἐν ἐσόπτρῳ διαφανεῖ τῇ καθαρᾷ καρδίᾳ τὸν Θεὸν φανταζόμενος · οὐδὲν οὖν θαυμαστὸν τὸν οὕτω κεκαθαρμένον καὶ πεφωτισμένον προοράσεώς τε ἀξιωθῆναι καὶ ὀπτασίας ἀγγελικῆς · δηλώσει δὲ καὶ περὶ τούτων ὁ λόγος. Φ 22. Ps. 17, 37.

25. Λιαβὰς γάρ ποτε ἅμα τοῖς ἀδελφοῖς εἷς τι νησίδιον τοῦ ποταμοῦ Νείλου κατὰ χρείαν θρύων ὧν ἐδέοντο εἰς ψιάθων [1] κατασκευήν, εἶτα τῶν ἄλλων μετὰ τὸν ἐκ χειρὸς κάματον εἰς ὕπνον [2] ὑπαχθέντων, αὐτὸς ἰδίᾳ που χωρισθεὶς ἀγρυπνῶν τε καὶ προσευχό- Φ 23.

[16] ὃς καὶ αὐτὸς ἐτάφη N. — [17] παχωμίου add. N.

23. — [1] χρησάμενος END. — [2] om. N. — [3] διεπέρασε N ; διαπεραιοῦται D. — [4] corr., prius συνανατρέφεσθαι G ; συνανεστρέφετο N ; συναναστρεφόμενος D. — [5] οὐδὲν D. — [6] ὑφιστάμενος N ; ὑφίστατο D. — [7] om. D. — [8] προγνώσεως N. — [9] κατηξίωται ND. — [10] ἐρευνᾶν ND.

24. — [1] ἐχθούς (sic) D. — [2] καταλήψομαι αὐτοὺς END. — [3] χάρισμα END. — [4] (κατὰ τ. Ἀ. τῶ θ.) ὡς καὶ τῶ θ. Ἀ. ND. — [5] (τῶ σ.) σωματικῶς N. — [6] αὐτῶ τῶ νοΐ N.

25. — [1] ψιαθίων N. — [2] (εἰς ὕ.) ὕπνω D.

μενος διετέλει καθάπερ εἰώθει, τὸ τοῦ Θεοῦ τέλειον θέλημα διδαχθῆναι δεόμενος · διελογίζετο γὰρ ἐνδοιάζων, μή ποτε ὁ ἡσύχιος βίος καὶ φροντίδων ἀπηλλαγμένος τοῦ κοινωνικοῦ καὶ θορύβων [3] μεστοῦ ὑπάρχει θεοφιλέστερος. Ὡς οὖν ηὔχετο περὶ τούτου, ἐπιστὰς αὐτῷ ἄγγελος θεῖος · « Τὸ θέλημα τοῦ Θεοῦ τοῦτό ἐστιν, εἶπε, τὸ [4] τοῖς ὁμογενέσι διακονεῖν καὶ καταλλάσσειν τῷ Θεῷ τούτους εἰς δύναμιν [5]. » Τότε μὲν οὖν [6] ὁ ἄγγελος τρὶς τοῦτο εἰπὼν πρὸς αὐτὸν ἀπηλλάγη [7]. Μετὰ δὲ ταῦτα ἐπειδὴ λοιπὸν εἰς πλῆθος [8] ἐπεδίδου πολὺ τὸ τῶν μοναχῶν σύστημα καὶ σοφωτέρας αὐτοῖς ἔδει προστασίας καὶ κυβερνήσεως, πάλιν τῷ Παχωμίῳ φανεὶς ὁ αὐτὸς ἄγγελος, ἐπὶ πλεῖόν τε τούτῳ προσομιλεῖ καὶ διὰ πλειόνων τὰ ποιητέα διδάσκει καὶ παραδίδωσι · περὶ ὧν καὶ ἐροῦμεν αὐτίκα.

Φ 24. **26.** Ὁ τοίνυν Παχώμιος, ἐξ ὧν τε ἤκουσε πρότερον ἄνωθεν διὰ τοῦ ἀγγέλου λαληθέντων αὐτῷ καὶ ὧν αὐτὸς πάλιν τηνικαῦτα τούτῳ ὑπέθετο, τὸ τοῦ Θεοῦ διερμηνεύων θέλημα, πληροφορίαν ἤδη λαβὼν πάντας ἁπλῶς ὑπεδέχετο, τούς τε κατ' οἰκείαν γνώμην [1] αὐτῷ προσερχομένους καὶ τοὺς παρὰ τῶν γονέων προσαγομένους · οὐ μὴν τηνικαῦτα καὶ τοῦ σχήματος [2] μετεδίδου οὐδὲ τῷ τῶν μοναχῶν ταχέως αὐτοὺς ἐνέκρινε τάγματι · ἀλλ' ἐδοκίμαζε πρῶτον, καὶ οὕτως αὐτοὺς ἐπιλεγόμενος τὰ μοναχικὰ ἐξεπαίδευεν, ἀπὸ τῶν εὐκολωτέρων [3] ἀρχόμενος [4] καθάπερ εἰκὸς [5] καὶ [4] προβιβάζων κατὰ μικρὸν ἐπὶ τὰ μείζω καὶ τελεώτερα · κόσμῳ τε [6] γὰρ [7] ἀποτάξασθαι παντελῶς τὴν ἀρχὴν αὐτοὺς ἔδει [8] καὶ σχέσεως συγγενικῆς ἀπορρῆξαι δεσμά, ναὶ μὴν καὶ συνηθείας οἰκείων καὶ φίλων κρείττους γενέσθαι, καὶ χρημάτων δὲ καὶ κτημάτων καθάπαξ ἐπιλαθέσθαι καὶ πάντων τῶν τοῦ βίου ἡδέων · τούτοις εἴπετο [9] καὶ ἡ τοῦ ἰδίου [10] θελήματος παντελῶς [11] ἐκκοπή, ἡ ἄκρα ὑπακοή, ἡ πρὸς τοὺς πόνους ὑπομονή, ἡ πρὸς τὰ σαρκικὰ πάθη ἀντίστασις καὶ ἀντιπαράταξις [12]. Τοιούτοις ὁ μέγας καθηγητὴς προγυμνάσμασι χρώμενος καὶ διὰ τοιαύτης ἀκολουθίας καὶ τάξεως παιδοτριβῶν τοὺς οἰκείους μαθητὰς εἰς τὴν μοναχικὴν ἐνῆγε καὶ καθωδήγει

[3] φροντίδων END. — [4] om. ED. — [5] (τούτ. εἰς δ.) ὅσον εἰς δ. τούτ. ND. — [6] (τότε μὲν οὖν) ἀλλὰ τότε μὲν N. — [7] ἀπῆλθε N. — [8] εἰς πλ. in marg. D.

26. — [1] ἐξ οἰκείας γνώμης N. — [2] αὐτοῖς add. N. — [3] μερικωτέρων N. — [4] om. N. — [5] (ἀ. κ. εἰ.) κ. εἰ. ἀ. D. — [6] om. D. — [7] om. N. — [8] εἰσηγεῖτο N ; ἐδίδασκε D. — [9] (τ. εἴπ.) οἷς ἕπεται D. — [10] οἰκείου ND. — [11] παντελὴς N ; om. D. — [12] corr. sup. lin., prius παράταξις E.

τελειότητα. Καὶ τὸ μεῖζον [13] ὅτι ἐκείνους μὲν διὰ τὸ νεοπαγὲς καὶ ἀστήρικτον πάσης παντελῶς διακονίας καὶ λειτουργίας ἀνῆκε, μόνην παραδοὺς αὐτοῖς τὴν μελέτην τῶν θείων γραφῶν καὶ ἐξαιρέτως [14] τῶν τοῦ εὐαγγελίου ἁγίων λογίων, οἷς ἡμέρας τε καὶ νυκτὸς ἀρδευόμενοι καὶ τρεφόμενοι ἐπιδιδόναι τε πρὸς ἀρετὴν ἔμελλον καὶ ὡραίαν αὐτῆς ἤδη τὴν ἄνθην ὑπέφαινον. Ἑαυτὸν δὲ λοιπὸν μόνον πάσῃ ὑπετίθει χρείᾳ καὶ ὑπηρεσίᾳ τῆς τε μονῆς καὶ τῶν ἀδελφῶν, θαυμαστῇ χρώμενος ὁ πρεσβύτης ἀνδρείᾳ καὶ προθυμίᾳ, καὶ εἷς [15] ἅπασιν [16] ἐπαρκῶν καὶ κοινῇ καὶ καθ' ἕνα, καὶ προσέτι μηδὲ τῆς εἰωθυίας τὸ παράπαν ἀσκήσεως ἀφιστάμενος. Οὕτως ἄρα πρὸς τὸ πονεῖν κάλλιστα ἐγεγύμναστο καὶ τοσαύτην πρὸς τοὺς ἀδελφοὺς ἐπεδείκνυτο τὴν [17] στοργὴν καὶ συμπάθειαν.

27. Ἀμέλει καὶ κατεπλήττοντο ἅπαντες τὸ φερέπονον αὐτοῦ καὶ φιλάδελφον βλέποντες · ἅμα δὲ καὶ συνιέντες τῆς ἑαυτῶν ὠφελείας καὶ πρὸς ἀρετὴν ἐπιδόσεως, ἧς αἴτιον ἐκεῖνον μετὰ Θεὸν κατελάμβανον [1], διαφερόντως ἐτίμων [2] αὐτὸν ὥσπερ εἰκός, καὶ ὅσα καὶ [3] πατέρα χρηστὸν καὶ κομιδῇ φιλόπαιδα [4] στέργοντες [5] προθύμως λίαν τούτῳ ὑπήκουον. Ἤδη δὲ καὶ τῆς ἐθελοδουλείας ἐκείνου καὶ διακονίας πρὸς μίμησιν διανίσταντο · καί ποτε διὰ ταῦτα συνελθόντες ὁμοῦ [6] · « Φεῦ, πρὸς ἀλλήλους ἔλεγον, οἷον ἠγνοοῦμεν ; πόσον τῆς ἀληθείας ἀπεπλανώμεθα [7] νομίζοντες ἐξ ἀνοίας [8] ὅτι τῶν ἀνθρώπων οἵ τε ἀγαθοὶ ἐξ ἀρχῆς οὕτω γεγέννηνται, οἵ τε πονηροὶ ὁμοίως, καὶ κατὰ ἀποκλήρωσίν τινα οἱ μὲν τὴν ἀρετὴν ἐκ φύσεως ἔλαχον [9], οἱ δὲ τὴν κακίαν, καὶ ἀμεταθέτως ἔχουσι πρὸς τὰ ἐναντία ἑκάτεροι. Ἀλλ' ἰδοὺ νῦν ἡ πεῖρα σαφῶς ψευδῆ ταύτην τὴν δόξαν ἡμῶν καὶ ματαίαν ἀπήλεγξεν · ὁ γὰρ τοῦ Θεοῦ ἄνθρωπος οὗτος ἔργοις αὐτοῖς ἡμᾶς ἐπληροφόρησεν ὡς τὸ ἁμαρτάνειν ἢ κατορθοῦν [10] προαιρέσεώς ἐστιν, ἀλλ' οὐ φύσεως · γονέων γὰρ φὺς ἑλληνιζόντων τὴν θρησκείαν καὶ παρὰ τοιούτων ἀνατραφείς τε καὶ παιδευθείς, οἴκοθεν ὕστερον καὶ ἐξ ἰδίας προαιρέσεως τὴν εἰδωλολατρείαν διαπτύσας τῇ εὐσεβείᾳ προσέδραμε καὶ τὰς σωτηριώδεις ἐντολὰς τοῦ Χριστοῦ ὡς οὐκ ἄλλος κατώρθωσεν.

Φ 25.

[13] καὶ θαυμάσιον add. N. — [14] (καὶ ἐξ.) καὶ μάλιστα κατ' ἐξοχὴν N, ἐξαιρ. δὲ D. — [15] om. END. — [16] πᾶσιν D. — [17] om. N.

27. — [1] ὁμολόγουν N ; καὶ add. ED. — [2] τε καὶ ἠγάπων add. N. — [3] (ὅσα καὶ) ὡς D. — [4] φιλόστοργον E ; φιλόπ. καὶ φιλόστ. N ; φιλόστ. καὶ φιλόπ. D. — [5] om. N ; ὡς φιλόπαιδι add. E. — [6] συν. ὁμοῦ διὰ τ. E. — [7] ἀποπλανώμεθα GN. — [8] ἐξ ἀ. om. END. — [9] ἔλαβον N. — [10] ὁσίως βιῶναι N.

Ἐξὸν οὖν καὶ ἡμῖν καὶ παντὶ τῷ βουλομένῳ τῆς μὲν κακίας, κἂν πρότερον ἐπεκράτει παρὰ ταῖς καρδίαις ἡμῶν, ῥᾳδίως ἀποστῆναι, τὴν δὲ ἀρετὴν πάσῃ σπουδῇ μεταδιώκειν καὶ ἐγκολπίζεσθαι. Καὶ
Matth. 11,28. τοῦτό ἐστιν ἄρα τὸ ἐν [11] γραφῇ δηλούμενον· Δεῦτε [12] πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ὅσους δὲ καὶ ὑφίσταται πόνους ὑπὲρ ἡμῶν ὁ πατὴρ καὶ διδάσκαλος, μόνος τὰς ὑπὲρ τῶν ὅλων φροντίδας ἐπ' ὤμων ἀράμενος [13], μόνος ὑπὲρ πάντων ταλαιπωρούμενος, παντὶ τῷ δεομένῳ τινὸς αὐτὸς τὸ χρειῶδες ἐπαρκῶν, τῷ κρούοντι τὴν θύραν αὐτὸς ὑπακούων [14], τοῦ κήπου καὶ τῶν ἐν αὐτῷ [15] λαχάνων ἐπιμελόμενος [16] καὶ τὰ πρὸς τὴν [17]
Cf. I Cor. 9, 22. θεραπείαν ἑτοίμως παρέχων [18], τοῖς πᾶσι πάντα γινόμενος κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, ἵνα πάντας ἡμᾶς [19] εἰ δυνατὸν κερδήσῃ. Τί οὖν ἡμεῖς καθήμεθα περιμένοντες πότε ἡμῖν ἐκεῖνος τὰ σιτία προσοίσει καὶ τὰ ποτὰ [20] καὶ τὴν ἄλλην θεραπείαν τοῦ σώματος, ἀρρώστοις ἀνθρώποις ἀτεχνῶς ἐοικότες ἢ καὶ [21] ἀναπήροις τισὶ καὶ ἐστερημένοις χειρῶν τε καὶ ποδῶν πρὸς ἐνέργειαν; Φέρε δὴ [22] μιμησώμεθα τὸ τοῦ προεστῶτος φιλόπονον, καὶ ἀντιλαβώμεθα καὶ αὐτοὶ ἔργου τινός· διακονήσωμεν ἀλλήλοις ἐν μέρει, καθάπερ ἐκεῖνος πᾶσιν ὁμοῦ· συζήσωμεν αὐτῷ καὶ συναποθάνωμεν, καὶ ταύτην ἀποδῶμεν ἀμοιβὴν τῷ φιλοτέκνῳ πατρὶ [23] οὕτως ἡμᾶς καλῶς καὶ θεοφιλῶς ὁδηγοῦντι καὶ κατευθύνοντι. » Ταῦτα λέγοντες ἀντελαμβάνοντο καὶ αὐτοὶ ἐθελοντὶ τῆς διακονίας καὶ τὸν καθηγητὴν ἐμιμοῦντο λοιπὸν κατὰ δύναμιν, ἀλλήλοις τὰς χρείας προθύμως ἀποπληροῦντες καὶ τοῖς πόνοις ἐνασμενίζοντες.

Ἐτόλμησαν δέ ποτε καὶ ἐρωτῆσαι αὐτόν· « Διὰ τί σὺ μόνος κάμνεις, ὦ πάτερ, πάντα [24] τὰ τῆς μονῆς ἔργα ποιῶν; » Ὁ δὲ πρὸς αὐτούς· « Τίς, ἔφη, ὦ τέκνα, ζεῦγος ἴδιον ζεύγνυσιν, ἔπειτα ἀφίησιν αὐτὸ ὑπὲρ δύναμιν κοπιᾶν, ἕως ἂν τελείως ἐξατονῆσαν εἰς γῆν κατενεχθῇ; Τὸν αὐτὸν δὴ [25] τρόπον κἀγὼ οὐ θέλω ὑμᾶς ἐπὶ πολὺ κοπιᾶν ἐν ταῖς σωματικαῖς ταύταις [26] διακονίαις, ἵνα μὴ εἰς τὰ ἀναγκαιότερα τῆς πνευματικῆς ἀσκήσεως ἐκλελυμένοι εὑρίσκησθε καὶ ἄτονοι· διὰ ταῦτα, τοῦ Κυρίου στηρίζοντος τὴν ἐμὴν ἀσθένειαν καὶ δυναμοῦντος [27], οὐ παύσομαι διακονεῖν ὑμῖν καὶ τὰς ἀναγκαίας χρείας ἀποπληροῦν· οὐ γὰρ ἐγὼ μείζων ἢ

[11] τῇ *add.* D. — [12] πρός με *add.* D, *add. al. man.* E. — [13] ἀράμ. ἐπ' ὤμ. N. — [14] ἀνοίγων N. — [15] ἐν αὐτῷ *om.* N. — [16] ἐπιμελούμενος END. — [17] *om.* ND. — [18] (ἑτ. π.) π. ἑκάστω N. — [19] *om.* N. — [20] καὶ τὰ π. *om.* N. — [21] *prius om.* D. — [22] λοιπὸν *add.* N. — [23] τῷ *add.* D. — [24] *om.* D. — [25] *om.* ND. — [26] *om.* N. — [27] ἐνδυναμοῦντος N.

ἐντιμότερος τοῦ Χριστοῦ, ὃς ἐν μέσῳ τῶν οἰκείων μαθητῶν ἀνεστρέφετο τούτοις διακονῶν. Οὕτω γὰρ δουλεύοντός μου τῷ Θεῷ καὶ ὑμῖν, κἀγώ τε [28] ἀναπαύομαι καὶ ὑμεῖς, ἀπερικόπως τὰς ἀρετὰς ἐργαζόμενοι, τέλειοι γενήσεσθε τῶν ἐντολῶν τοῦ Θεοῦ πληρωταί. Οὐ μὴν ἀλλὰ καὶ ὑμῶν τοὺς δυναμένους συναίρεσθαί μοι τὰ τοιαῦτα καὶ προθυμουμένους συνεργεῖν μοι καὶ συμπονεῖν, οὐ κωλύσω. » Cf. Luc. 22, 27.

28. Προσήρχοντο οὖν [1] αὐτῷ καὶ [2] τῇ κατ' αὐτὸν νεοσυστάτῳ μονῇ συχνοὶ καὶ συχνάκις πάντοθεν παραβάλλοντες ἐκ τῆς παντα- *Φ 26.*
χοῦ τρεχούσης [3] φήμης καὶ τὴν μετ' αὐτοῦ συνοίκησιν ἀσμένως αἱρετιζόμενοι. Ἵνα δὲ καὶ κατ' ὄνομά τινας αὐτῶν [4] διαλάβωμεν, προέδραμον μὲν Ψανθάϊσις καὶ Σουροῦς [5] καὶ Ὀψῆς· χρόνῳ δὲ ὕστερον ἐπηκολούθησαν Πεκύσιος καὶ Κορνήλιος καὶ Παῦλος, Παχώμιός τε ἕτερος καὶ Ἰωάννης· μεθ' οὓς ἐλήλυθει καὶ Θεόδωρος ὁ θαυμάσιος, παιδίον ὢν ἔτι ὡσεὶ δέκα καὶ τεσσάρων ἐτῶν [6]· ὃς δὴ καὶ γνήσιον κατὰ πνεῦμα [7] τέκνον τῷ Παχωμίῳ ἐγεγόνει, ὡς καὶ [8] τὴν ἀρετὴν ὅτι [9] μάλιστα τῷ πατρὶ ἐοικώς. Καὶ οὕτως πολλῶν πανταχόθεν ἀφικνουμένων διὰ τὸ ἐξακούεσθαι τὰ τῆς ἀρετῆς τοῦ μεγάλου πατρός, εἰς ἑκατὸν περιέστη τὰ πρῶτα ὁ τῶν μοναχῶν ἀριθμός. Προϊόντος δὲ τοῦ καιροῦ [10], καὶ πλείους πολλῷ κατέστησαν [11].

29. Ὡς οὖν ἔδει τῷ τοσούτῳ πλήθει τύπου καινοτέρου τινὸς καὶ *Π 30.*
διατάξεως θειοτέρας πρὸς τὴν πνευματικὴν πολιτείαν, ἐπιστὰς πάλιν ὁ ἄγγελος ἰδίᾳ προσευχομένῳ [1] δίδωσιν αὐτῷ δέλτον χαλκῆν, ἐν ᾗ ἐγέγραπτο ταῦτα· « Συγχωρήσεις ἑκάστῳ κατὰ τὴν οἰκείαν δύναμιν καὶ φαγεῖν καὶ πιεῖν· καὶ πρὸς τὴν ἑκάστου ἰσχὺν ἀνάλογον καὶ τὰ ἔργα [2] αὐτοῖς ἐγχειρίσεις, ἤγουν τοῖς μὲν ἰσχυροτέροις τὰ σώματα καὶ πλείονα προσιεμένοις [3] τροφὴν τὰ μείζω [4] καὶ δυσχερέστερα, τὰ δὲ ἐλάττω καὶ εὐκοπώτερα τοῖς διὰ τῆς ἀσκήσεως τὸ σῶμα καταπονοῦσι καὶ ἡσυχάζειν ἐθέλουσιν· οὔτε δὲ [5] νηστεῦσαι κωλύσεις οὔτε φαγεῖν. Ποιήσεις δὲ σκηνώματα διάφορα ἐν τῇ αὐλῇ· καὶ καθ' ἓν τρεῖς μενέτωσαν ἀδελφοί. Ἡ δὲ τροφὴ πάντων ὑπὸ ἕνα οἶκον ἐξεταζέσθω. Καθευδέτωσαν δὲ μὴ ἀνακεί-

[28] *sup. lin.* D.

28. — [1] γοῦν N. — [2] ἐν D. — [3] διατρεχούσης D. — [4] αὐτῶν τινας N. — [5] σοῦρος N. — [6] ὡσεὶ ἐτῶν δεκατεσσάρων N. — [7] πάντα N. — [8] κατὰ *add.* N. — [9] ἔτι ED, *om.* N. — [10] χρόνου D. — [11] καὶ τοῦ καιροῦ προϊόντος πολλῷ πλείους ἐγένοντο N.

29. — [1] τῷ παχωμίῳ *add.* D. — [2] τὸ ἔργον ND. — [3] προσ<ε>ισιεμένοις D. — [4] μείζονα ND. — [5] γοῦν D.

μενοι, ἀλλὰ θρόνους ὑπτιωτέρους ἐνῳκοδομημένους τοῖς οἰκήμασι ποιήσεις αὐτοῖς, ἐν οἷς μεταλαμβανέτωσαν ὕπνου· φορείτωσαν δὲ ἐν ταῖς νυξὶ λεβίτωνας λινοῦς καὶ ἕστωσαν ἐζωσμένοι. Ἕκαστος δὲ αὐτῶν ἐχέτω μηλωτὴν αἰγείαν ἐξειργασμένην, ςῆ ἄνευ μήτε ἐσθιέτωσαν μήτε καθευδέτωσαν· εἰσιόντες δὲ εἰς τὴν κοινωνίαν ἐν σαββάτοις καὶ κυριακαῖς τὰς ζώνας λυέτωσαν καὶ τὰς μηλωτὰς ἀποτιθέσθωσαν. Κουκούλια δὲ αὐτοῖς ἐν ταῖς κεφαλαῖς ἐπιτιθέσθωσαν ἄμαλλα ὡς παιδίοις, ἐν οἷς καὶ σταυροῦ τινα τύπον [6] ἐκ βαφῆς πορφυρᾶς ἐνσημαίνεσθαι. »

Π 31. **30.** Ἐπὶ τούτοις ὁ ἄγγελος εἰς εἴκοσι καὶ τέσσαρα τάγματα τὸ τῶν μοναχῶν σύστημα παρηγγύησε διελεῖν κατὰ τὸν ἀριθμὸν τῶν εἰκοσιτεσσάρων γραμμάτων, καὶ ἕκαστον τάγμα ἑνὶ στοιχείῳ καλέσαι, τῶν ἑλληνικῶν φημι τούτων, ἀρξάμενον ἀπὸ τοῦ ἄλφα [1] καὶ καθεξῆς μέχρι τοῦ ὦ τοῦ [2] μεγάλου. Ἐρωτήσαντος δὲ τοῦ Παχωμίου τὸν ἄγγελον· « Πῶς ἀλλήλους κατὰ τάγμα [3] ἀσπάσονται ἢ πῶς περὶ ἀλλήλων [4] τὰς πεύσεις ποιήσονται ; » ἔφη ἐκεῖνος ὅτι· « Ἀπὸ τῆς τῶν γραμμάτων προσηγορίας ἀφ' ὧν οὗτοι ὀνομάζονται, οἷον· « Πῶς ἔχει τὸ ἄλφα ; » δηλαδὴ τὸ τάγμα [5] τὸ οὕτως ὀνομαζόμενον, καὶ πάλιν· « Ἄπελθε πρὸς τὸ βῆτα », καὶ πάλιν· « Ἀπὸ τοῦ γάμμα τάγματος πάρειμι ». Κατὰ μέντοι τὰς διαφορὰς ὡς ἐπίπαν τοῦ τρόπου τῶν ἀδελφῶν [6] καὶ τὰς διαιρέσεις αὐτῶν τὰς εἰς τὰ [7] τάγματα ποιήσασθαι παρηγγύησεν, ὥστε ἰδίως μὲν εἶναι τοὺς ἀπραγμονεστέρους, ἰδίως δὲ τοὺς πρακτικωτέρους, τούς τε ἁπλουστέρους ὡσαύτως καὶ τοὺς ποικιλωτέρους ταῖς γνώμαις καὶ τοὺς λοιποὺς ὁμοίως· πολλαὶ γὰρ αἱ τῶν τρόπων διαφοραί. Καὶ τὰ στοιχεῖα δὲ [8] τῶν γραμμάτων, ὡς ἔνι μάλιστα, συμβολικῶς αὐτοῖς [9] ἐκέλευσεν ἐπιτίθεσθαι, οἷον τοῖς μὲν ἁπλοϊκωτέροις τὸ ἰῶτα [10], τὸ ξῖ [11] δὲ αὖ τοῖς σκολιωτέροις, καὶ τὰ λοιπὰ ὡσαύτως, ὥστε καὶ τούτων ἕκαστον σύμβολον εἶναι τῆς τοῦ τάγματος ἰδιότητος, μόνων τῶν πνευματικῶν εἰδότων τὰ σημαινόμενα.

Π 32. **31.** Ἐγέγραπτο [1] δὲ [2] καὶ τοῦτο ἐν τῇ δέλτῳ ὅτι· « Ξένον, ἄλλου μοναστηρίου ἔχοντα τύπον, οὐ δέξῃ, ὅτι μὴ ἐπὶ τῷ ξενοδοχῆσαι καὶ μόνον, οὐχ ὥστε μέντοι καὶ συνεστιαθῆναι τοῖς ἀδελφοῖς·

[6] (στ. τινα τύπον) στ. τύπον E, τύπον στ. ND.

30. — [1] ᾱ D. — [2] *om.* D. — [3] τάγματα N. — [4] ἄλλων END. — [5] τὸ τ. *om.* ND. — [6] μοναχῶν N. — [7] *om.* ED. — [8] *om.* D. — [9] *om.* END. — [10] ῑ D. — [11] ξ D.

31. — [1] γέγραπτο E. — [2] *om.* N.

οὔτε δὲ [3] κοσμικὸν εἰς τὴν μονὴν παραδέξῃ, ἐκτὸς εἰ μὴ ὁδοιπόρον. Εἰ δὲ θελήσει τις ὡς [4] τῷ κόσμῳ ἀποταξάμενος [5] συνεῖναι τοῖς ἀδελφοῖς, τὸν τοιοῦτον ἐπὶ τριετίαν ἐν τοῖς ἔργοις τῆς μονῆς δοκιμάζειν· δεδωκότα δὲ πεῖραν ὑπομονῆς ἐν τούτῳ τοῦ χρόνου τῷ διαστήματι, οὕτως εἰσδέχεσθαι [6]. Ἐσθίοντες δέ, φησίν, ἐν ἑνὶ οἴκῳ, τοῖς κουκουλίοις τὰς κεφαλὰς καλυπτέσθωσαν, ἵνα μὴ ἀδελφὸς ἀδελφὸν ὁρᾷ μασώμενον. » Ἐνετέλλετο δὲ καὶ ἐσθίοντας μὴ λαλεῖν μηδὲ ἐκτὸς τοῦ πίνακος καὶ τῆς τραπέζης τὸ ὄμμα σοβεῖν [7]· εὐχὰς δὲ δυοκαίδεκα ἡμέρας διὰ πάσης [8] ποιεῖν, ὡς εἶναι τὴν εὐχὴν ἄπαυστον ὡς εἰπεῖν, καὶ ἐν ταῖς παννυχίσιν ὡσαύτως· ἐκτὸς δὲ τούτων καὶ [9] κατὰ τὴν ἐννάτην [10] ὥραν, ὅτε τὸ πλῆθος μεταλαμβάνει τροφῆς, τρεῖς εὐχάς, καὶ ἐν τῷ λυχνικῷ ἕξ· καὶ ψαλμὸν δὲ προσᾴδεσθαι ἑκάστῃ εὐχῇ. Τοῦ δὲ Παχωμίου αἰτιωμένου τὴν ὀλιγότητα τῶν εὐχῶν, ὁ ἄγγελος ἱκανὰς ἔλεγεν εἶναι καὶ [11] ταύτας, ὥστε καὶ τοὺς ἀσθενεστέρους ἐπιτελεῖν δύνασθαι τὸν κανόνα καὶ μὴ λυπεῖσθαι ὡς ὑστεροῦντας. « Οἱ δὲ τέλειοι, φησί, νομοθεσίας χρείαν οὐκ ἔχουσι· καθ' ἑαυτοὺς γὰρ ἐν τοῖς ἰδίοις κελλίοις ὅλην ἑαυτῶν τοῖς θείοις θεσμοῖς ἀνατεθείκασι τὴν ζωήν. » Ταῦτα ὁ ἄγγελος τῷ Παχωμίῳ διαταξάμενος καὶ δοὺς αὐτῷ τὸν θεῖον νόμον ἀνάγραπτον ἐν τῇ δέλτῳ, ἀπῆλθε. Κἀκεῖνος κατὰ τὰς ἐν αὐτῷ παραδόσεις ἦγε τοὺς ἀδελφούς, οὐ τῷ λόγῳ μόνῳ διδάσκων, ἀλλὰ καὶ τοῖς καθ' ἑαυτὸν ὑποδείγμασι πρὸς τὰ κάλλιστα προτρεπόμενος.

Φ 27. **32.** Ὁπότε δὲ [1] ἔδει τούτους τῶν θείων μυστηρίων μεταλαμβάνειν ἅμα τῷ καθηγητῇ, τῶν πρεσβυτέρων τινὰ ἀπὸ τῶν ἐγγύθεν ἐκκλησιῶν μετεκαλεῖτο· οὐ γὰρ ἦν ἐν αὐτοῖς τις τῶν μοναχῶν ἱερατικῷ ἐγκατειλεγμένος βαθμῷ, ἅτε μηδὲ τοῦ προεστῶτος τοῦτο ἡγουμένου λυσιτελές· οὐ γὰρ καλὸν εἶναι ἔλεγε τὸ ἀρχῆς ἐφίεσθαι καὶ δόξης ἐν κοινοβίῳ, ἵνα μὴ ἀφορμὴ γένηται τοῦτο ζηλοτυπίας καὶ φθόνου τοῖς ἀδελφοῖς παρὰ τὸ θέλημα τοῦ Θεοῦ, κἀντεῦθεν λοιπὸν ἀπ' ἀλλήλων διασχισθῶσιν· « Ὡς γὰρ ἐκ μικροῦ, φησί, σπινθῆρος [2] ὅλον ἐξάπτεται λήϊον, εἰ μή τις αὐτὸ τάχιον κατασβέσει, καὶ τοῦ γεωργοῦ τοὺς πόνους ἀπόλλυσιν, οὕτω καὶ φιλαρχίας σπινθὴρ ὀλίγος φιλονεικίας οὐ μικρᾶς καὶ στάσεως καὶ μυρίων κακῶν ἀνά-

[3] *om.* ND. — [4] *om.* D. — [5] εἰ δὲ θελήσειέ τις ἀποτάξασθαι καὶ N. — [6] αὐτόν *add.* N. — [7] περιάγειν N. — [8] διὰ πάσης ἡμ. D. — [9] *om.* N. — [10] ἑνάτην ND. — [11] *om.* N.

32. — [1] οὖν D. — [2] (φ. σπ.) σπ. φ. END.

ψει μεγίστην[3] φλόγα τοῖς μοναχοῖς[4]. » Ὑποτάσσεσθαι δὲ μᾶλλον τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τούτοις παρήνει καὶ τοὺς παρὰ τῶν ἐπισκόπων κεχειροτονημένους διὰ τιμῆς ἄγειν, καὶ ὁπότε εἴη χρεία τῆς ἱερᾶς λειτουργίας, τούτους μετακαλεῖσθαι· μηδὲ γὰρ[5] πάντας λευίτας[6] εἶναι[5] τὸ παλαιόν, ἀλλ' ἢ[7] μόνους τοὺς ὑπὸ[8] Θεοῦ ἐγκριθέντας[9]. « Πλὴν καὶ εἴ[10] τις τῶν ἀλλαχοῦ μοναχῶν τῆς ἱερωσύνης ἀξιωθείη, οὐκ ἐξουθενητέον[11] οὐδὲ[12] τοῦτον ὡς φίλαρχον, ἄπαγε· μάλιστα εἰ καὶ πρὸς βίαν ὑπήχθη[12] τοῖς τῆς ἱερωσύνης[13] θεσμοῖς· λογιστέον δὲ μᾶλλον ὡς πατράσιν ὑπήκοον καὶ[14] κατὰ τοῦτό γε μιμητὴν τῶν ἄλλων[15]. Οὐ γὰρ δεῖ κρίνειν οὐδ' ἐπὶ προφανέσιν ἁμαρτήμασιν ἄνθρωπον· παραχωρητέον δὲ[16] τῷ μόνῳ κριτῇ καὶ οἷς ἐκεῖνος ἐπιτρέπει τὴν κρίσιν ἐν πνεύματι· ἡμῖν δὲ τοῖς μικροῖς συμπαθητέον ἀλλήλοις, τῇ τε ἀγάπῃ πρὸς ἅπαντας καὶ τῇ ἐλεημοσύνῃ χρηστέον.» Ὅταν[17] δὲ παραγένοιτό τις ὡς[18] αὐτὸν κληρικὸς[19] μονάσαι βουλόμενος, κατὰ μὲν τὴν ἀξίαν τοῦ κλήρου τιμῆς τινος καὶ ὑποστολῆς ἠξιοῦτο· κατὰ δὲ τοὺς κανόνας τοῦ μοναστηρίου ὡς τῶν ἀδελφῶν εἷς ἀνεστρέφετο, ταπεινούμενος ἑκουσίως ὥσπερ καὶ[20] οἱ λοιποί.

Cf. Iac. 4,12.

Φ 28. **33.** Γερόντων δὲ καὶ παιδίων καὶ τῷ σώματι ἀσθενῶν διττὴν ἐποιεῖτο τὴν ἐπιμέλειαν, ψυχῶν τε αὐτῶν ὁμοῦ προνοούμενος καὶ σώματα θεραπεύων. Ἔχαιρε δὲ[1] μάλιστα τοῖς ἐπιδιδοῦσι κατ' ἀρετὴν καὶ μιμηταῖς αὐτοῦ γινομένοις· οὓς καὶ εἰς τὴν προστασίαν τῶν ἀδελφῶν εἴς τε τὰς διακονίας ἔταττε τῆς μονῆς, ὃν μὲν οἰκονόμον προχειριζόμενος, ὃν δὲ συνεργὸν τούτῳ καὶ τῇ τάξει δεύτερον· τοῦτο ποιῶν καὶ[2] καθ' ἑκάστην διακονίαν, ὥστε[3] εἶναι[4] δύο μὲν τοὺς τῆς τροφῆς προνοουμένους τῶν ἀδελφῶν, οἷς ἦν δι' ἐπιμελείας ὅσα εἰς τὴν τράπεζαν ἔδει δσημέραι παρασκευάζεσθαι, ὥστε τὸν μὲν βουλόμενον ἀπολαύειν τροφῆς, τὸν δὲ μὴ τοῦτο βουλόμενον ἐγκρατεύεσθαι· δύο δὲ αὖ πάλιν ὁμοίως τοὺς περὶ τὴν νοσοκομίαν ἀσχολουμένους, τὸν μὲν οἰκονόμον, τὸν δὲ συνεργόν, οἷς τοῦτο μόνον ἔργον ἦν τῶν καμνόντων ἡ θεραπεία· δύο δὲ[5] ξενοδόχους καὶ θυρωροὺς κατὰ τὴν αὐτὴν τάξιν, ὅπως ὑποδεχόμενοι τοὺς φοι-

[3] *om.* END. — [4] *ἀδελφοῖς* END. — [5] *om.* N. — [6] *λεβίτας* ND. — [7] *(ἀλλ' ἢ) ἀλλὰ* END. — [8] *τοῦ add.* EN. — [9] *ἐκκριθέντας* N. — [10] *(καὶ εἴ) εἰ καί* END. — [11] *ἐξουδενητέον* END. — [12] *om.* N. — [13] *ὑπεῖξε add.* N. — [14] *sup. lin.* D. — [15] *an ἁγίων ? (cf. Φ).* — [16] *μᾶλλον add.* N. — [17] *ὁπόταν* N. — [18] *πρὸς* N ; *εἰς* D. — [19] *om.* N. — [20] *sup. lin.* D.

33. — [1] *om.* D. — [2] *in* G *litterae 7 8 ve hic erasae sunt.* — [3] *ὡς* D. — [4] *μὲν add., dein del.* D. — [5] *litterae 2 3 ve erasae in* G.

τῶντας εἰς τὴν μονὴν τὴν ἀξίαν ἑκάστῳ προσφέρωσι θεραπείαν, τούς τε βουλομένους ἐκ τούτων τὸν μοναχικὸν ἑλέσθαι βίον παρ' ἑαυτοῖς κατέχοντες[6] προγυμνάζωσιν[7] εἰς τὰ τῆς ἀσκήσεως καὶ[8] πρὸς τὴν τοῦ θείου σχήματος μετάληψιν ταῖς διδασκαλίαις προευτρεπίζωσι[9]· δύο δὲ πάλιν ἑτέρους, οἷς[10] ἔδει πιπράσκειν τὰ τῶν μοναχῶν ἐργόχειρα καὶ ἀντὶ τούτων ὠνεῖσθαι τὰ πρὸς τὴν[11] χρείαν. Ἄλλοι δὲ πάλιν ὡσαύτως ἐπὶ τοῖς ἐργαζομένοις ἐτάχθησαν τά τε ἄλλα καὶ τὴν τῶν ψιάθων[12] κατασκευήν. Ἑκάστῳ δὲ τούτων τῶν οἰκονόμων ὑπαλλάττειν εἴθιστο τοὺς ὑπηρετοῦντας τοῖς ἀδελφοῖς καὶ ἀντεισάγειν ἑτέρους εἰς τὴν τῶν[13] ἐκείνων διακονίαν, αὐτοὺς δὲ εἰς ἕτερα πάλιν[14] καθιστᾶν ἔργα, κατὰ γνώμην δηλαδὴ τοῦ μεγάλου καθηγητοῦ, ὃς οἰκονόμος τε τῶν οἰκονόμων καὶ πατὴρ τῶν πατέρων ἐτύγχανεν ὤν. Θέλημα γὰρ ἴδιον ἐν τοῖς ἀδελφοῖς οὐκ ἦν τὸ παράπαν, οὐδὲ παρακοῆς νόσημα. Τοῦ δὲ οἰκονόμου κατά τινα χρείαν ἀποδημήσαντος, ἀναπληροῦν[15] ἀνάγκη τὴν τάξιν ἐκείνου τὸν συνεργόν, ἕως ἂν αὐτὸς ἐπανέλθῃ· ὥστε μηδέποτε τοὺς διακονητὰς[16] ἐρήμους εἶναι τοῦ ἐπιτάττοντος.

34. Τῆς μὲν οὖν σωματικῆς θεραπείας τῶν ἀδελφῶν οὕτως ἐπεμελεῖτο ὁ μέγας πατήρ· τῆς δὲ ψυχικῆς εὐεξίας καὶ ἀσκήσεως, πῶς; Κατηχήσεις τρεῖς μὲν ἐκέλευσε[1] παρὰ τοῦ οἰκονόμου τῆς μονῆς κατὰ ἑβδομάδα γίνεσθαι πρὸς αὐτούς, τὴν μίαν μὲν ἐν σαββάτῳ, ἐν τῇ κυριακῇ δὲ[2] τὰς λοιπὰς δύο· παρὰ δὲ τῶν οἰκειακῶν εἴτ' οὖν τῶν λοιπῶν οἰκονόμων ἑτέρας δύο, τὴν μίαν μὲν κατὰ τὴν τετράδα τῆς ἑβδομάδος, κατὰ τὴν παρασκευὴν δὲ τὴν δευτέραν[3]. Παρέδωκε δὲ[4] καὶ τὰς διατάξεις τοῖς ἀδελφοῖς τὰς[5] ἐγγεγραμμένας τῇ δέλτῳ τῇ παρὰ τοῦ ἀγγέλου δοθείσῃ.

35. Καὶ διάφορα συνεστήσατο μοναστήρια· ὧν τὸ πρῶτον καὶ μέγιστον ἦν τὸ κατ' αὐτὸν ἀνδρῶν χιλίων καὶ τριακοσίων ὑπάρχον, τὸ δὲ μετὰ τοῦτο διακοσίων ἦν ἀδελφῶν, καὶ τὰ λοιπὰ πάλιν ὀλίγῳ πλειόνων ἢ ἐλασσόνων· καὶ ἁπλῶς εἰπεῖν ὡς[1] εἰς[2] ἑπτακισχιλίους μοναχοὺς ἐποσοῦντο ἅπαντες οἱ ἐν τοῖς παρ' αὐτοῦ συστᾶσι μοναστηρίοις ἀσκούμενοι. Ἐν δὲ τῷ πρωτοτύπῳ μοναστηρίῳ τοῦ με-

Π 39.

Π 40.

[6] *κατέχοντας* D. — [7] *προγυμνάζειν* D ; *καὶ προγυμνάζοντες* N. — [8] *om.* N. — [9] *προευτρεπίζουσι* E ; *προευτρεπίζειν* D. — [10] *οὓς* N. — [11] *sup. lin.* D. — [12] *ψιαθίων* N. — [13] *om.* END. — [14] *πάλ. εἰς ἕτ.* N. — [15] *ἦν add.* D ; *litterae 10 vel 11 erasae in* G. — [16] *διακονοῦντας* END.

34. — [1] *ἐκέλευε* N. — [2] *ἐν δὲ τῇ κυρ.* ND. — [3] *τὴν δὲ ἄλλην κατὰ τὴν παρ.* N. — [4] *om.* D. — [5] *om.* N.

35. — [1] *om.* ND. — [2] *om.* G ; *in marg. al. man.* E.

γάλου καὶ τεχνῖται διάφοροι συνηθροίσθησαν, ὥστε ῥάπτας μὲν ἐν αὐτῷ πεντεκαίδεκα εἶναι [3], χαλκεῖς ἑπτά, τέκτονας τέσσαρας [4], βαφεῖς πεντεκαίδεκα καὶ σκυτοτόμους τοσούτους, βυρσεῖς εἴκοσι [5] καὶ κηπουροὺς [6] τοσούτους, ζεύγη βοῶν πεντήκοντα, δέκα τοὺς περὶ [7] τὸ καλλιγραφεῖν ἠσχολημένους [8], δύο [9] τοὺς ταῖς καμήλοις ἐπιστατοῦντας, τοὺς [10] τὰς σπυρίδας πλέκοντας τεσσαράκοντα· ἐτρέφοντο δὲ ἐν τῇ μονῇ καὶ φύλακες δέκα. Τῶν δὲ διακονουμένων [11] περὶ [12] τὴν τράπεζαν εὐθὺς ἐκ [13] τῆς ἕω τῶν εἰωθότων ἐδεσμάτων αὐτὴν πληρούντων (ἄρτοι δὲ καὶ λάχανα καὶ τυροὶ [14] καὶ ἐλαῖαι [15] αὐτὰ ὑπῆρχον), ἐξῆν τοῖς ἐργαζομένοις αὐθαιρέτως εἰσιέναι καθ' ὥραν τῆς ἡμέρας ὁποίαν αὐτῶν ἕκαστος βούλοιτο καὶ [16] μεταλαμβάνειν τροφῆς. Ἐτρέφοντο δὲ καὶ χοῖροι ἐν τῇ μονῇ· ὧν σφαττομένων τὰ μὲν ἄκρα τοῖς νοσοῦσι τῶν ἀδελφῶν καὶ τοῖς γεγηρακόσι πρὸς βρῶσιν ἀνεῖτο, τὸ δὲ λοιπὸν κρέας ἀπημπολεῖτο [17]. Καὶ ταῦτα μὲν οὕτως ἐγένετο ἐν τῷ μεγάλῳ μοναστηρίῳ, ἔνθα καὶ ὁ μέγας πατὴρ τὰς διατριβὰς ἐποιεῖτο.

Φ 30. **36.** Ἀθανασίου δὲ τοῦ μεγάλου κατ' ἐκεῖνο καιροῦ τοὺς ἀρχιερατικοὺς οἴακας τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας ἐγκεχειρισμένου, εἴς τε τὴν ἄνω Θηβαΐδα καὶ μέχρι Συήνης αὐτῆς κατ' ἐπισκοπὴν τῶν ἐκκλησιῶν ὡρμημένου καὶ διαπλέοντος τὴν Ταβέννησιν [1], συνεξῆλθεν ὁ μέγας ἅμα [2] πᾶσι τοῖς ἀμφ' [3] αὐτὸν ἀδελφοῖς εἰς τὴν ἐκείνου ὑπάντησιν καὶ δεξίωσιν, εὐχῶν τε τῶν ἐκείνου καὶ τῆς εὐλογίας μετάληψιν [4], ἐν ἀγαλλιάσει καρδίας καὶ ψαλμικοῖς ᾄσμασιν. Αἰσθόμενος δὲ ὅτι μεγαλυνθείη παρ' αὐτῷ ὑπὸ τοῦ ἐπισκόπου Τεντύρων — τῆς γὰρ ἐκείνου ἐνορίας ἡ Ταβέννησις [5] ἦν, κἀκ τούτου συνήθη καὶ γνώριμον ἐκέκτητο τὸν Παχώμιον καὶ (*Cf. Φ 29*). ἀξίως τῆς ἀρετῆς αὐτοῦ ἠδεῖτο καὶ ἐτίμα τὸν ἄνδρα, ὡς καὶ ἐκκλησίαν χάριν τῶν ἐκεῖσε διατριβόντων ποιμένων κατασκευάσαι διὰ τὴν τούτου ἀξίωσιν — καὶ ὡς ἀπὸ τῆς τοῦ ἐπισκόπου μαρτυρίας καὶ συστάσεως ζητοίη [6] τοῦτον ὁ μέγας ἀρχιερεὺς πατέρα καὶ πρεσβύτερον καταστῆσαι τῶν [7] κατὰ τὴν ἐνορίαν αὐτοῦ μοναχῶν, ἀπέκρυψεν ἑαυτὸν ἀναμίξας τῇ τοῦ πλήθους κοινότητι, ἕως ἐκεῖνος

[3] (ὥστε-εἶναι) ὥστε καλλιγράφους μὲν δέκα εἶναι τὸν ἀριθμὸν ῥάπτας δὲ πεντεκαίδεκα N. — [4] δ' N. — [5] κ' N. — [6] κηπωρούς D, *ante corr.* EN. — [7] (τοὺς περὶ) εἰς D. — [8] (δέκα - ἠσχ.) *om.* N. — [9] *an* δυοκαίδεκα ? (*cf. II*). — [10] δὲ *add.* N. — [11] διακονούντων N. — [12] εἰς END. — [13] ἀρχομένης N. — [14] καὶ τυροὶ *om.* N. — [15] *corr.* E. — [16] *om.* ND. — [17] ἀπεμπολεῖτο N.

36. — [1] ταβέννην N. — [2] *sup. lin.* G. — [3] ὑπ' N — [4] ἀξιωθῆναι N. — [5] ταβέννη N. — [6] ζητήσει N. — [7] *sup. lin.* G ; κατ. τῶν *om.* N.

παρέλθοι. Πλὴν [8] καὶ μὴ εἰς ὁμιλίαν τῷ περιωνύμῳ τούτῳ ἀρχιποίμενι καταστάς [9], ἀλλὰ διὰ τῆς θαλάσσης μόνον παραπλέοντα κατιδών [10], καὶ ἀκοῇ δὲ [11] μανθάνων τὰ κατ' αὐτὸν καὶ ὅσους [12] ὑπὲρ εὐσεβείας καὶ τοῦ ὀρθοῦ λόγου ἀγῶνας πρὸς τοὺς αἱρετικοὺς [13] καὶ [14] κινδύνους ἀνέτλη, ἔχαιρεν αὐτῷ ἐσταμάλιστα [15], ὅσον ἐμίσει τοὺς περὶ τὸν Ἄρειον καὶ Ὠριγένην [16].

Φ 31. **37.** Τούτῳ γὰρ [1] καὶ διαφερόντως ἀπηχθάνετο, ὅτι τοῖς δοκοῦσιν [2] ἐκκλησιαστικοῖς τε καὶ ὀρθοῖς τὰ αἱρετικὰ δόγματα συγκεράσας [3] οἷόν τι δηλητήριον φαρμάκῳ χρηστῷ, πολλοῖς ἀπώλειαν δι' αὐτῶν προξενεῖ. Ἀμέλει καὶ παρῄνει τοῖς ἀδελφοῖς μηδὲ [4] ἄχρι καὶ [5] ψιλῆς ἀκοῆς τῶν ὑπ' ἐκείνου τι λεγομένων προσίεσθαι. Καί ποτε βιβλίον εὑρὼν ἐκείνου κατὰ τοῦ ὕδατος βάψας διέφθειρεν, εἰπὼν ὡς [6], εἰ μὴ τὸ τοῦ Θεοῦ ὄνομα εἶχεν ἐγγεγραμμένον, κἂν εἰς πῦρ ἐμβαλὼν κατακαύσειε [7] τὰς ἐν αὐτῷ βλασφημίας καὶ φλυαρίας [8]. Καὶ πρὸς μὲν τοὺς αἱρετικοὺς οὕτως ἀποστρόφως διέκειτο· ἐκάκιζε δὲ οὐδὲν ἧττον καὶ πᾶσαν διαβολὴν κατὰ ἀδελφοῦ γινομένην· « Οὐδείς, λέγων, ἀγαθὸς προφέρει τι πονηρὸν ἐν οἱῳδήποτε τρόπῳ καὶ μάλιστα κατὰ πατέρων ἁγίων ἢ ἀδελφῶν. » Οὕτω δὲ [9] λίαν ἡδὺς καὶ ὠφέλιμος τοῖς ἐντυγχάνουσιν ἦν, ὡς τὸν ἅπαξ τούτῳ καταστάντα εἰς ὁμιλίαν μηκέτι αὐτοῦ ἐθέλειν χωρίζεσθαι μηδ' ἐπὶ βραχύ.

[Φ 32.] **38.** Τῆς δὲ ἀδελφῆς αὐτοῦ παραβαλούσης [1] ἐκεῖσε κατὰ [2] τὴν περὶ αὐτοῦ φήμην [3], ἰδεῖν μὲν αὐτὴν οὐκ ἠνέσχετο· διὰ δὲ τοῦ θυρωροῦ τῆς μονῆς δηλοῖ αὐτῇ ταῦτα [4]· « Μὴ λυποῦ ὅτι οὐ τεθέασαί [5] με· ἰδοὺ γὰρ μεμάθηκας ὅτι ζῶ. Ἀλλ' εἰ βούλει καὶ σὺ τοῦ ἁγίου τούτου βίου καὶ σχήματος μετασχεῖν, γενήσεταί σοι ἐνταῦθά που πλησίον μονή. Καὶ ἴσως ὁ Κύριος καὶ ἄλλας καλέσει πρὸς τὸ συνεῖναι καὶ συμμονάζειν σοι. Οὐδεμία γὰρ ἀνθρώπῳ σωτηρίας ἐλπὶς ἐν τῷ κόσμῳ, εἰ μὴ ποιήσει τὸ ἀγαθὸν πρὶν ἐξέλθοι τοῦ σώματος· ἕκαστον γὰρ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν κρίσις ἐκεῖθεν

[8] εἰ *add.* ND, *add. rec. sup. lin* F. — [9] κατέστη D ; (ἀρχ. κατ.) κατέστη ἀρχιερεῖ καὶ ποιμένι N. — [10] κατεῖδεν D. — [11] (καὶ ἀκ. δὲ) ὅμως ἀκ. D. — [12] ὅσον N. — [13] ἐποιεῖτο *add.* N. — [14] οἵους *add.* N. — [15] μάλιστα ND. — [16] ὠριγένην END.

37. — [1] τῷ ὠριγένει *add.* D. — [2] *om.* D. — [3] ὅτι τοῖς ὀρθοῖς καὶ ἐκκλ. δόγμασι τὰ αἱρ. συγκερ. N. — [4] μὴ D. — [5] *sup. lin.* D. — [6] *om.* D. — [7] κατέκαυσα D. — [8] κατακαύσειε *hoc loco.* N. — [9] τε καὶ N.

38. — [1] ποτε παραβαλλούσης N. — [2] διὰ D. — [3] *hic 2 3 ve litterae erasae sunt in* E ; (κατὰ - φ.) ἡ γὰρ περὶ αὐτοῦ φήμη πάντα τόπον διέπλευσεν N. — [4] ταῦτα αὐτῇ E ; αὐτῇ τάδε N. — [5] οὐκ ἐθεάσω N.

ἀναμένει καὶ ἀνταπόδοσις τῶν ἐνταῦθα βεβιωμένων. » Ὡς οὖν [6] ἤκουσεν αὕτη ἐκεῖνα [7], εἰς δάκρυά τε ὑπηνέχθη [8], καὶ ταχὺ μάλιστα πρὸς τὸν μοναχικὸν βίον ἀπέκλινε. Καὶ γίνεται αὐτῇ μοναστήριον ἐν τῇ κώμῃ [9] οὐ πολὺ ἀπέχον τοῦ μεγάλου μοναστηρίου [10]· ἐν ᾧ ἀσκουμένης αὐτῆς μάλα προθύμως, καὶ ἄλλαι προσῆλθον οὐκ εἰς μακρὰν [11] τὴν αὐτὴν [12] ἐπαναιρούμεναι ἄσκησιν, εἶτα καὶ [13] ἄλλαι καὶ ἄλλαι· καὶ οὕτω πολλῶν πάνυ γεγονυιῶν [14], μήτηρ αὐτῶν ἐκείνη κατέστη. Καὶ ὁ [15] μέγας Πέτρον τινὰ τῶν ἐν τῇ μονῇ ὅτι μάλιστα εὐλαβῆ καὶ τῇ ἡλικίᾳ προήκοντα ἔταξεν ἐπ' αὐτάς [16].

Col. 4,6. Ἦν γὰρ καὶ ὁ λόγος ἐκείνου [17] ἅλατι, φασίν [18], ἠρτυμένος καὶ πρὸς διδασκαλίαν ἡδύς, καὶ τὸ ἦθος σεμνότητος οὐκ ἀλλότριον. Διὰ τούτου τοιγαροῦν [19] τοῦ καθηγητοῦ καὶ τοὺς τῆς μονῆς κανόνας [20] ὁ μέγας πατὴρ αὐταῖς παραδίδωσιν. Εἴ ποτε δέ τις τῶν ἀδελφῶν συγγενῆ τινα ἑαυτοῦ τῶν μοναζουσῶν ἰδεῖν βουληθείη, ἀπεστέλλετο πρὸς τὸν Πέτρον· ὁ δὲ τῇ ἀδελφῇ τοῦ μεγάλου ἀνέφερε περὶ τούτου· καὶ οὕτω κατὰ γνώμην ἐκείνης ἐπεσκέπτετο τὴν προσήκουσαν αὐτῷ κατὰ γένος ὁ ἀδελφός, συμπαρούσης αὐτοῖς καὶ ἄλλης τινὸς τῶν ἐντιμοτέρων γυναικῶν, ὥστε τὰς τοιαύτας ἐντεύξεις κατὰ τὴν ἁρμόζουσαν ἀκρίβειαν καὶ παρατήρησιν γίνεσθαι.

Εἰ δέ τις τούτων τῶν μοναζουσῶν ἀποβιώῃ [21], σινδόνι μὲν τὸ ταύτης σῶμα περιεστέλλετο καὶ προὐτίθετο ἐν τῇ αὐλῇ τῆς τούτων μονῆς. Ἀπεστέλλοντο δὲ ἀδελφοὶ ἀπὸ τῆς μονῆς τοῦ μεγάλου πατρός, οἳ καὶ ὑπὸ τὴν στοὰν ἑστῶτες μάλα σεμνῶς, τῶν γυναικῶν κατὰ τὸ ἀντικρὺ μέρος ἑστηκυιῶν, οὐκ ὀλίγον ἀπέχοντος τοῦ [22] θατέρου, τὴν διὰ τῶν [22] ψαλμῶν ὁσίαν τὰ πρῶτα, εἶτα καὶ τὴν διὰ τῆς ταφῆς ἀπεδίδουν αὐτῇ, εἰς τὸ ὄρος τὸ ταύτης σῶμα ἐπὶ ἁμάξης ἀνακομίζοντες [23] μετὰ τῶν συνήθων ψαλμῳδιῶν [24], ἐν ᾧ ἦσαν αὐτοῖς [25] αἱ ταφαί, τῶν γυναικῶν ὄπισθεν ἑπομένων καὶ [26] ψαλλουσῶν καὶ αὐτῶν. Καὶ τοῦτο μὲν οὕτως εἰώθει γίνεσθαι· ηὐξήθη [27] δὲ ὁ τῶν μοναζουσῶν ἀριθμὸς [28] ἕως τετρακοσίων, τὸν αὐτὸν τύπον τῆς ἀσκήσεως καὶ αὐτῶν ἐχουσῶν, ὃν καὶ οἱ τοῦ μεγάλου μοναστηρίου μοναχοί [29], δίχα τῆς μηλωτῆς.

[6] om. N. — [7] (αὕτη ἐκ.) ταῦτα ἐκείνη D. — [8] κατηνέχθη D. — [9] παρὰ τοῦ ἁγίου add. N. — [10] (τοῦ μεγ. μον.) τοῦ μον. τοῦ ὁσίου παχωμίου D. — [11] οὐκ εἰς μ. om. N. — [12] καὶ αὗται add. N. — [13] om. ND. — [14] συναχθεισῶν N. — [15] (καὶ ὁ) ὁ δὲ D. — [16] ἐπ' αὐταῖς N. — [17] αὐτοῦ N. — [18] φησὶν N. — [19] om. ND. — [20] om. N. — [21] ἀπεβίω ND. — [22] om. D. — [23] ἀποκομίζοντες N. — [24] ψαλμῶν ND. — [25] αὐταῖς ND. — [26] om. D. — [27] ηὐξήνθη E. — [28] ὁ δὲ τῶν μον. ἀρ. ηὐξήθη ND. — [29] om. N.

39. Συνέβη δέ ποτε ἐν τῷ γυναικείῳ τούτῳ [1] μοναστηρίῳ [2] πρᾶγμα τοιοῦτον· τῶν κοσμικῶν τις, ῥάπτης τὴν τέχνην, παραβαλὼν ἐκεῖσέ ποτε, εἱστήκει ἐκτός, μαθεῖν δεόμενος εἰ χρεία τις αὐτοῦ τῆς τέχνης ἐν ταῖς μοναζούσαις. Ἐξελθοῦσα δὲ [3] νεωτέρα [4] τις τῶν παρθένων κατὰ χρείαν ἰδίαν, περιτυγχάνει τε [5] ἀκουσίως αὐτῷ· καὶ μαθοῦσα ἐφ' ᾧ πάρεστι [6], κεκτῆσθαι τὴν μονὴν ἔφη [7] ῥάπτας ἰδίους καὶ μὴ χρῄζειν αὐτοῦ. Τοῦτο δὲ δῆλον ἐγένετο τυχαίως [8] καὶ ἄλλῃ τινὶ τῶν μοναζουσῶν [9]. Συμβὰν [10] δὲ μετὰ ταῦτα διαφοράν τινα [11] μεταξὺ τούτων [12] ἐξ ἐπηρείας δαιμονικῆς, εἶτα [13] καὶ φιλονεικίαν γενέσθαι νεανικήν, συκοφαντεῖ τὴν παρθένον ἡ ἑτέρα, τὴν πρὸς τὸν ῥάπτην συντυχίαν ἐπὶ πάσης τῆς ἀδελφότητος προφέρουσα κατ' αὐτῆς ὡς ἐπὶ αἰσχρῷ τινι γεγονυῖαν. Ὁ δὲ λόγος οὗτος ταῖς [14] μὲν ψευδὴς ἔδοξε, ταῖς [14] δὲ ἀληθής, οἷα φιλεῖ ἐπὶ τῶν λεγομένων ἀφανῶς [15]. Ἡ οὖν συκοφαντηθεῖσα, σφόδρα [16] δηχθεῖσα τὴν καρδίαν καὶ μὴ ἐνεγκοῦσα μηδὲ [17] τὸ ψευδὲς τῆς ὑπαρᾶς κατηγορίας [18], ἐξελθοῦσα λαθραίως εἰς τὸν ποταμὸν ἔρριψεν ἑαυτὴν καὶ οὕτω τὸν βίον κατέστρεψεν. Ὅπερ γνοῦσα ἡ συκοφαντήσασα [19] καὶ συνεῖσα ὡς αὕτη γένοιτο τῇ παρθένῳ τῆς ἀδίκου ἀπωλείας αἰτία, δέον διὰ μετανοίας καὶ ἐξαγορεύσεως καὶ δακρύων καὶ στεναγμῶν τὸ πταῖσμα ἰάσασθαι· ἡ δὲ εἰς ἀπόγνωσιν, φεῦ, ἐμπίπτει καὶ τὴν αὐτὴν τῇ συκοφαντηθείσῃ ὀλιγοψυχίαν σχοῦσα [20] ἡ ἀθλία βρόχων [21] ἁψαμένη ἐκ τοῦ εὐθέος [22] ἀπήγξατο. Τούτων δὲ [23] εἰς ἀκοὰς ἐλθόντων τῷ μεγάλῳ πατρί, ἐκεῖνος καὶ ἀμφοτέρων τῶν ἑαυτὰς διαχειρισαμένων καταγνούς, μηδετέρας μὲν [24] τούτων προσφορὰν ἐπιτελεσθῆναι ἐκέλευσε [25]· τὰς δὲ περιούσας [26] πάσας, ὡς μὴ δι' ἐρεύνης τὸ πρᾶγμα θεμένας τῆς προσηκούσης [27], ἀλλὰ προχείρως οὕτω καὶ [28] ἀβασανίστως ὑπαχθείσας τῇ συκοφαντίᾳ [29] τῆς ἀδελφῆς, ἐπὶ ἑπτὰ ἔτη τῆς κοινωνίας ἀπεῖρξε.

Π 44.

39. — [1] om. N. — [2] γενέσθαι add. N. — [3] (ἐξ. δὲ) καὶ δὴ ἐξ. N. — [4] om. ND. — [5] om. D. — [6] (καὶ μαθ. ἐφ' ᾧ π.) ἥτις ἐρωτηθεῖσα ὑπὸ τοῦ ῥάπτου ἐφ' ᾧ πάρ. μανθάνει παρ' αὐτῆς ὡς N. — [7] om. N. — [8] om. ND. — [9] τότε παρούσῃ add. N; ἐκεῖσέ που παρατυχούσῃ add. D. — [10] συμβάσης N. — [11] διαφορᾶς τινος N. — [12] τῶν μοναζουσῶν N. — [13] ὡς N. — [14] τοῖς GE. — [15] (λεγ. ἀφ.) ἀφ. λεγ. D; ἀμφιβόλων N. — [16] σφοδρῶς D. — [17] om. N. — [18] τὸ ψεῦδος μάλιστα τῆς ὑπ. ταύτης κατ. N. — [19] ὅπερ ἀκούσασα ἡ συκοφάντις ἐκείνη N. — [20] παθοῦσα N. — [21] βρόχον G. — [22] ἐκ τοῦ εὐθέως E; παραχρῆμα D. — [23] (τ. δὲ) ἀλλὰ τ. N. — [24] (μ. μὲν) μηδεμιᾶς D. — [25] μηδὲ προσφ. ὑπὲρ τούτ. τελεσθῆναι ἐκέλ. N. — [26] ζώσας N. — [27] τὸ πρᾶγμα hoc loco N. — [28] om. N. — [29] (ὑπ. τῇ σ.) παραδεξαμένας τὴν συκοφαντίαν D.

Φ 33. **40.** *Πολλῶν δὲ ἐν τῇ μονῇ τοῦ μεγάλου κατ' ἀρετὴν διαλαμπόντων ὥσπερ εἰκός, ὁ μᾶλλον τῶν ἄλλων θαυμαζόμενος Θεόδωρος ἦν · οὗ καὶ ἀνωτέρω τοῦ λόγου μνήμην ἐποιησάμεθα, ὡς εἰς* [1] *υἱοῦ τάξιν τῷ μεγάλῳ καθεστηκότος διὰ τὴν ἐμφέρειαν τῆς ἀρετῆς. Ἐροῦμεν δὲ καὶ περὶ αὐτοῦ ὀλίγα τινὰ τῶν εἰς ἀκοὰς ἐληλυθότων ἡμῖν. Λέγεται γὰρ ὡς ἰδών ποτε κατὰ τὴν πατρῴαν οἰκίαν ἑορτῆς πανδήμου καταλαβούσης παρασκευήν τινα* [2] *πολυτελῆ καὶ λαμπράν — ἦσαν γὰρ αὐτῷ* [3] *οἱ γονεῖς πλούτῳ κομῶντες σὺν τῷ καὶ εὐσεβείας μετέχειν* [4] *— ἔτι παῖς ὢν κομιδῇ, θείᾳ τινὶ κατανύξει τιτρώσκεται τὴν ψυχήν · καὶ οὕτω λέγει πρὸς ἑαυτόν · « Ἀλλ'* [5] *εἰ τούτων γε, ὦ Θεόδωρε, ἀπολαύσειας* [6] *τῶν βρωμάτων, τῶν αἰωνίων πάντως ἀγαθῶν στερηθήσῃ. » Καὶ στενάξας ἐπὶ τῷ λόγῳ, εἰσέδυ τε* [7] *εἴς τινα τῶν τῆς οἰκίας μυχῶν καὶ πρηνῆ καταβαλὼν ἑαυτόν · « Ὁ Θεός, εἶπε σὺν δάκρυσιν, ὁ τῶν κρυπτῶν*
Dan 13,42. *γνώστης, σὺ οἶδας ὅτι οὐδὲν τῶν ἐν τῷ κόσμῳ τούτῳ* [8] *τῆς σῆς ἀγάπης προέκρινα* [9] *· διὸ ἱκετεύω σε, δέσποτα, ὁδήγησόν με εἰς τὸ σὸν θέλημα καὶ φώτισόν μου τὴν διάνοιαν εἰς τὸ ἐκτελεῖν ἀεὶ τὰς σὰς ἐντολάς. » Ἡ οὖν μήτηρ ἀναζητοῦσα τοῦτον μηδαμοῦ τέως φαινόμενον, μόλις εὑρίσκει · εἶτα καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ κατανοοῦσα* [10] *δακρύων μεστούς, ἐπυνθάνετο μή τις ἔτυχε λυπήσας αὐτόν · ἅμα δὲ καὶ μαθεῖν ἐζήτει, τίνος χάριν τῆς τραπέζης ἀπολειφθείη, καὶ ταῦτα πολυτελοῦς ὡς ἐν ἑορτῇ ἑτοιμασθείσης. Καὶ* [11] *ἠνάγκαζε συνελθεῖν καὶ αὐτὸν καὶ συνεστιαθῆναι τοῖς λοιποῖς ἀδελφοῖς · ἦσαν γὰρ αὐτῷ καὶ ἕτεροι σύγγονοι. Ὁ δ' ὁλοσχερῶς παραιτησάμενος τὴν τροφὴν καὶ τὴν μητέρα ἀποπεμψάμενος, διατέλει* [12] *νηστεύων καὶ προσευχόμενος ἕως ὀψέ · τοῦτο δὲ ἐντεῦθεν ἀρξάμενος πολλάκις ἐποίει · ἐνίοτε δὲ καὶ ἐς* [13] *δύο ἡμέρας ἅπαξ τὰ σῖτα προσίετο · καὶ ἁπλῶς εἰπεῖν, κατὰ τοὺς ἀσκουμένους τῶν μοναχῶν ἔτι ἐν τῷ κόσμῳ ἀναστρεφόμενος τὴν οἰκείαν ἐκόλαζε δίαιταν ἐπὶ διετίαν ὅλην ἑαυτὸν προγυμνάζων. Καὶ τέλος εἴς τι μοναστήριον ἀναχωρῆσαι συνεχωρήθη, ἱδρυμένον μὲν περὶ τὸν καλούμενον Λατοπολίτην τόπον, μοναχοὺς δὲ* [14] *ἔχον εὐλαβεῖς, ἐτῶν γεγονὼς τότε* [14] *δέκα καὶ τεσσάρων* [15].

Φ 34. **41.** *Ἐν ᾧ καὶ διήκουσέ ποτέ τινος ἐξηγουμένου τὰ περὶ τὴν*

40. — [1] *om.* E. — [2] *βρωμάτων add.* N. — [3] *αὐτοῦ* N. — [4] *(σὺν τῷ καὶ εὐσ. μετ.) καὶ εὐσεβεία* N ; *ἅμα δὲ καὶ εὐσεβείας μεταποιούμενοι* D. — [5] *om.* E. — [6] *ἀπολαύεις* N. — [7] *om.* D. — [8] *om.* END. — [9] *προέκρ. τῆς σῆς ἀγ.* N. — [10] *κατανοήσασα* N. — [11] *διὸ καὶ* N. — [12] *διετέλεσε* D. — [13] *εἰς* END. — [14] *om.* N. — [15] *τεσσαρεσκαίδεκα* ND.

νομικὴν ἐκείνην σκηνήν [1]*, ὅτι ἡ μὲν πρώτη σκηνὴ καὶ τὰ ἅγια ὁ πρῶτος ἂν εἴη λαός · ἡ γὰρ λατρεία διὰ θυσιῶν καὶ αἵματος ἦν καὶ ἄρτων φανερῶν καὶ τῆς λυχνίας καὶ τῶν λοιπῶν · τὰ δὲ ἅγια τῶν ἁγίων τὴν τῶν ἐθνῶν κλῆσιν τὴν* [2] *κατὰ τὸ εὐαγγέλιον καὶ τὸ πλήρωμα τοῦ νόμου δηλοῖ · ἀντὶ γὰρ θυσίας ζῴων, θυμιατήριον ἦν ἐκεῖσε θυμιαμάτων εἶτ' οὖν προσευχὴ ἐκτενὴς* [3] *ἐκ καρδίας τῷ Θεῷ ἀναπεμπομένη, τράπεζά τε καὶ κιβωτὸς εἶτ' οὖν διάνοια καθαρά, τοὺς πνευματικοὺς ἄρτους ἔχουσα, λέγω δὴ* [4] *τὰ θεῖα μυστήρια καὶ νοήματα, καὶ τὸ βιβλίον τοῦ νόμου τὰς τοῦ Χριστοῦ δηλαδὴ ἐντολάς, ἃς οἱ πιστοὶ διηνεκῶς ἔχουσιν ἐν καρδίᾳ* [5] *ὥσπερ ἐν βιβλίῳ τινὶ κατὰ τὸ γεγραμμένον · Ἐπὶ τῶν διανοιῶν αὐτῶν βαλῶ αὐτούς* [6] *· ἔτι δὲ καὶ τὸ φῶς τῆς λυχνίας, ὃ* [7] *τὴν τοῦ ἁγίου πνεύματος ἔλλαμψιν νοητέον, καὶ τὸ ἱλαστήριον, ἐν ᾧ ὁ Θεὸς ὠπτάνετο πῦρ κατανα-*
Cf. Hebr.9. Hebr. 10,16. Hebr. 12,29. Cf. I Ioh. 2, 2.
λίσκον, τὸν Θεὸν Λόγον τὸν ἐνανθρωπήσαντα δι' ἡμᾶς · ἱλασμὸς γὰρ ἡμῖν οὗτος ἐγένετο ὀφθεὶς τῇ σαρκὶ καὶ τὴν ἁμαρτίαν ἀναλώσας τῷ πυρὶ τῆς θεότητος. — Ὁ οὖν ἐξηγησάμενος ταῦτα τελευταῖον καὶ τοῦτο προσέθηκεν, ὡς παρὰ Παχωμίου ταῦτα διακούσοι [8]*, ἀνδρὸς μεγάλου τὴν ἀρετὴν καὶ τῷ Θεῷ ᾠκειωμένου, τοῦ καὶ* [9] *ἐν Ταβεννήσει* [10] *τοιοῦτον συντάξαντος μοναστήριον καὶ πολλοὺς τῷ Θεῷ* [11] *ἐν τούτῳ προσαγαγόντος. Ταῦτα τὰ ῥήματα τῷ παιδὶ Θεοδώρῳ πόθον ἐνίησι τοῦ θείου Παχωμίου πολὺν ὅτι μάλιστα · καὶ διὰ πάσης σχεδὸν τῆς νυκτὸς ἐκείνης ἐδεῖτο* [12] *τοῦ Θεοῦ ἐκτενῶς ἰδεῖν τε τὸν ἅγιον καὶ μαθητεῦσαι αὐτῷ.*

42. *Μεθ' ἡμέραν δὲ Πεκύσιος ὁ γέρων ὁ τοῦ ἁγίου ἐκείνου* [1] *μαθητὴς παρέβαλε κατά τινα χρείαν εἰς ἐκείνην τὴν μονήν · καὶ ἐπανιόντι αὐτῷ πάλιν* [2] *πρὸς* [3] *τὸ ἴδιον μοναστήριον εἵπετο κατὰ πόδας καὶ ὁ Θεόδωρος. Ἐπεὶ δὲ καταλάβοι* [4] *τὴν μονὴν τοῦ μεγάλου, πρῶτον μὲν εἰς γῆν πεσὼν εὐλόγησε τὸν Θεόν, ὅτι ἐπακούσοι* [5] *τῆς αἰτήσεως αὐτοῦ. Ἔπειτα τῷ Παχωμίῳ εἰς ὄψιν ἐλθών, δακρύων ἐπλήσθη τοὺς ὀφθαλμοὺς καὶ θερμότερον ἔκλαιεν · ὁ οὖν Παχώμιος ὀδυρόμενον ἰδὼν τὸ μειράκιον · « Μὴ κλαῖε, εἶπεν αὐτῷ · ἐγὼ γὰρ τοῦ σοῦ πατρὸς ὑπηρέτης εἰμί, » πατέρα ἐκείνου τὸν Θεὸν αἰνιττόμενος.* Φ 35.

41. — [1] *περὶ τῆς νομικῆς ἐκείνης σκηνῆς* N. — [2] *om.* N. — [3] *ἐκτενοῦς* N. — [4] *om.* N. — [5] *ἐν κ. ἔχ.* ND. — [6] *βάλλοντες αὐτάς* N, *corr.* E ; *βαλόντες αὐτάς* D. — [7] *om.* ND ; *del.* E. — [8] *ἀκήκοεν* N ; *ἀκούσειεν* D. — [9] *om.* ND. — [10] *ταβέννῃ* N. — [11] *τῷ θ. om.* ND. — [12] *ἐδέετο* ND.

42. — [1] *παχωμίου* N. — [2] *αὐτῷ π. om.* N. — [3] *εἰς* N. — [4] *κατέλαβον* ND. — [5] *ἐπήκουσε* ND.

Φ 36. **43.** Ἐνδιατρίψαντος δὲ ἤδη παρὰ τῷ μεγάλῳ ἐκείνῳ πατρὶ [1] τοῦ Θεοδώρου χρόνον ἱκανόν, ὁρῶν ἐκεῖνος τὴν διαφέρουσαν αὐτοῦ ἄσκησιν καὶ τὴν κατ' ἀρετὴν ἐπίδοσιν, οὕτω περὶ αὐτοῦ ὑπῆρχε φρονῶν ὡς καὶ τὰς τῶν ἄλλων ἀδελφῶν ψυχὰς ὑπὸ τοῦ Θεοῦ μετ' αὐτὸν εὐθὺς πιστευθήσεσθαι μέλλοντος [2]. Ἦν γὰρ αὐτῷ τὰ τρία ταῦτα διαφερόντως προτερήματα· καθαρότης καρδίας, λόγου συμμετρία καὶ χάρις, καὶ τὸ τῆς ὑπακοῆς ἀδιάκριτον μέχρι θανάτου.

Φ 37. **44.** Ἀκούσασα δὲ [1] ἡ μήτηρ τοῦ Θεοδώρου τούτου [2] ἐκεῖσε διάγειν τὸν παῖδα αὐτῆς, ἦκεν αὐτόθι, ἅμα καὶ ἐπιστολὰς φέρουσα πρὸς τὸν μέγαν πατέρα ἐπισκόπων τινῶν ἀποδοθῆναι αὐτῆς τὸν υἱὸν κελευόντων· ἥτις ἐπιξενωθεῖσα εἰς τὴν τῶν παρθένων μονήν, τὰς ἐπιστολάς τε τῷ Παχωμίῳ διέπεμψε καὶ τὸν υἱὸν ἰδεῖν τέως ἠξίωσεν. Ὁ δὲ Παχώμιος τῷ Θεοδώρῳ δηλοῖ περὶ τούτου, ἀπελθεῖν τε κελεύει πρὸς τὴν μητέρα καὶ πεῖσαι αὐτήν. Ὁ δὲ Θεόδωρος ἀντέφησε μεθ' ὑποστολῆς· « Καὶ πῶς ἄν, ὦ πάτερ, εἰ τοῦτο ποιήσαιμι [3], οὐ δυσαρεστήσω τῷ Θεῷ, πρόσκομμα τοσούτῳ πλήθει
Ex. 32, 28. μοναχῶν γεγονώς; Οἱ [4] υἱοὶ Λευὶ γονεῖς καὶ ἀδελφοὺς κατειργάσαντο [5], ἵνα εὐαρεστήσωσι τῷ Κυρίῳ· κἀγὼ παροργιῶ τοῦτον διὰ στοργὴν μητρικήν; Οὐκ ἔστι μοι μήτηρ· τῷ κόσμῳ ἀπεταξάμην, Χριστὸν ἀντὶ πάντων εἵλόμην. » Καὶ ὁ Παχώμιος· « Εἰ σύ, φησίν,
ἀγαπᾷς τὸν Θεὸν ὑπὲρ τὴν μητέρα, οὐδὲ ἐμέ, τέκνον, ἀντιλέγοντα ἕξεις, ἀλλὰ καὶ μάλιστα εἰς τοῦτο τὸ ἐπαινετὸν καὶ σωτήριον ἐννόη-
Matth. 10,37. μα [6] ὁλοψύχως προτρεπόμενον. « Ὁ φιλῶν γὰρ πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ [7] οὐκ ἔστι μου ἄξιος, » φησὶν ὁ Κύριος [8] τὸν τέλειον ὁριζόμενος. Ἀλλ' οὐδὲ οἱ πατέρες ἡμῶν καὶ [9] ἐπίσκοποι οἱ ἐπιστείλαντες περὶ σοῦ λυπηθήσονται ὅτι μὴ τῇ μητρὶ σεαυτὸν ἐπιδέδωκας· χαρήσονται δὲ μᾶλλον ἐπὶ τῇ φιλοθέῳ [10] διαθέσει. Ἁμαρτία μὲν γὰρ οὐκ ἔστι τὸ τοῖς ἰδίοις προσομιλεῖν, εἴ τις ὡς μέλη Χριστοῦ ὁρᾷ τούτους καὶ ἀγαπᾷ καθάπερ καὶ ἅπαντας τοὺς πιστούς· δεῖ δὲ ὅμως τῶν καλῶν τὸ κρεῖσσον ἐκλέγεσθαι καὶ Χριστὸν προτιμᾶν τῶν ἄλλων ἁπάντων. » Ἡ οὖν μήτηρ τῆς θέας τοῦ παιδὸς ἀτυχήσασα [11], ἐπ' οἴκου μὲν ἀναζεῦξαι οὐκ ἠβουλήθη. Αὕτη δὲ παρὰ [12] ταῖς παρθενευούσαις ἔμεινε, λέγουσα ὅτι· « Ἐντεῦθεν καὶ

43. — [1] (ἐ. π.) π. ἐ. N. — [2] μέλλει D.

44. — [1] (ἀκ. δὲ) μετὰ δέ τινα χρόνον ἀκ. N. — [2] om. N. — [3] ποιήσω N. — [4] om. GEN. — [5] ἀπηρνήσαντο N. — [6] corr., prius νόημα N. — [7] φησὶν ὁ κύριος add. N. — [8] φ. ὁ κ. om. N. — [9] οἱ N ; καὶ οἱ D. — [10] σου add. N. — [11] (τοῦ π. ἀτυχ.) ἀποτυχοῦσα τοῦ ἑαυτῆς υἱοῦ N. — [12] (αὕτη · δὲ παρὰ) ἀλλὰ παρὰ D ; παρὰ δὲ N.

τὸν υἱόν ποτε ὄψομαι » — σφόδρα γὰρ τοῦτον ἐφίλει — « καὶ τὴν ἐμαυτῆς κερδανῶ πάντως ψυχήν [13]. »

45. Καὶ περὶ μὲν τοῦ Θεοδώρου τοῦ θείου [1] τοσαῦτα τό γε νῦν ἔχον εἰπόντες, τὰ λοιπὰ πάλιν ἐν τοῖς ἰδίοις τούτων [2] καιροῖς ἐπαγάγωμεν· ἐπὶ δὲ τὰ κατὰ τὸν Παχώμιον πάλιν [3] τὴν διήγησιν τρέψωμεν [4]. Ἦσάν τινες, πρὸ τοῦ τὸ κοινόβιον συστῆναι ὑπὸ τοῦ μεγάλου τούτου πατρός, τῷ σαρκικῷ στοιχοῦντες φρονήματι καὶ μὴ τῷ φόβῳ τοῦ Θεοῦ στοιχειούμενοι. Τούτους ἐπειδὴ πολλὰ [5] πολλάκις νουθετῶν ὁ μέγας πατὴρ [6] οὐκ ἔπειθεν, ἀλλὰ καὶ μᾶλλον ὑπ' αὐτῶν ἐχλευάζετο, πόρρω που διαστὰς πρηνῆ τε κατέβαλεν ἑαυτὸν καὶ οὕτως ηὔξατο λέγων· « Ὁ Θεός, σὺ ἐνετείλω τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπᾶν· κατὰ γοῦν τὴν ἐντολήν σου ταύτην [7] στέργων κἀγὼ τούτους τοὺς ἀδελφούς, ὑπὲρ αὐτῶν ἐντυγχάνω δεόμενος [8] ἐπιβλέψαι σε ἐπ' αὐτοὺς καὶ τοῦ σοῦ ἐλέους τούτους ἀξιῶσαι, κατάνυξίν τε καὶ θεῖον φόβον ταῖς τούτων ψυχαῖς ἐμβαλεῖν καὶ ἐπίγνωσιν τῆς κατὰ μοναχοὺς πολιτείας, ὅπως καὶ αὐτοὶ πρὸς σὲ ἀποβλέπωσι μόνον καὶ ἐν σοὶ τὰς ἐλπίδας ἔχωσι τῆς σωτηρίας ὁμοίως τοῖς λοιποῖς ἀδελφοῖς. » Ταῦτα εὐξάμενος παραδίδωσιν αὐτοῖς κανόνα περί τε τῆς συνάξεως καὶ τῶν λοιπῶν τῶν ἀνηκόντων τοῖς μοναχοῖς, ὡς ἐξ ἀνάγκης λοιπὸν οὕτω μονάζειν ὀφείλουσι, καίτοι θεόθεν ἅμα προγνοὺς ὡς οὐ στοιχήσουσι τῷ κανόνι οὔτε τὸ ἴδιον ἀρνήσονται θέλημα· ὃ δὴ καὶ εἰς τέλος ἐξέβη. Τὴν ὑπακοὴν γὰρ [9] ἐκεῖνοι μὴ φέροντες ἐκ τῆς μονῆς ἐδραπέτευσαν. Οἱ λοιποὶ μέντοι, ὥσπερ ζιζανίων τινῶν ἐκ μέσου [10] ἀρθέντων, ηὐξάνοντό τε [11] καὶ καρποὺς ἐπηγγέλλοντο [12] ἀρετῆς κατὰ λήϊον ἀδρυνόμενοι εἰς στάχυας.

Φ 38. L v. 19, 18. Gl. Gal. 6, 16.

Φ 39. **46.** Ἐπέλιπε [1] δέ ποτε σῖτος αὐτοῖς, ἐπειδὴ ὅσα ἐκ τῶν ἐργοχείρων ἐπορίζοντο, εἰς ἐλεημοσύνας ἀνήλισκον. Ὡς οὖν οὐδὲν ἦν ἕτερον [2] παρ' αὐτοῖς [3], δύο στρώματα ἐκέλευσεν ἀποδόσθαι, ἅπερ τις αὐτόθι μονάσαι βουλόμενος ἤνεγκεν, ἵνα διὰ τοῦ τιμήματος τούτων σῖτος ἀγορασθείη. Μετὰ δὲ τὴν ἐπιοῦσαν νύκτα [4], ἦκέ τις εἰς τὴν μονὴν ὀρθριαίτερον, σίτου τοῖς μοναχοῖς χορηγίαν ἐπαγγελλόμενος· ἔφη γὰρ ὡς εἰς τὴν [5] τῶν μετάλλων ἐμπεσὼν τιμωρίαν,

[13] σφόδρα γὰρ τ. ἐφ. hoc loco ND.

45. — [1] τοῦ θείου θεοδ. N. — [2] sup. lin. N. — [3] αὖθις N. — [4] ἐπιστρέψομεν N. — [5] om. D. — [6] ἡμῶν add. N. — [7] om. END. — [8] τοῦ add. N. — [9] om. D. — [10] αὐτῶν add. N. — [11] om. END. — [12] τῆς add. N.

46. — [1] ἀπέλιπε EN ; ἀπελίπετο D. — [2] ἕτ. ἦν D. — [3] ἦν παρ' αὐτ. ἕτ. N. — [4] νύκταν N. — [5] sup. lin. E.

εὔξαιτο διάδοσιν σίτου τοῖς πένησιν [6] ὑπὲρ τῆς ἑαυτοῦ ποιήσασθαι σωτηρίας, κελευσθείη δὲ δι' ὀνείρατος τοῖς μοναχοῖς τούτοις ἐπιδοῦναι τὸν σῖτον, ὡς ἀνθρώποις τοῦ Θεοῦ καὶ χρείαν ἔχουσι τούτου [7] νυνί [8] · « Ἀποστείλαντες οὖν διακομίσατε τοῦτον [9]. » Οὗ δὴ γενομένου, αὐτίκα ἐπῆλθε [10] θαυμάσαι τοῖς ἀδελφοῖς τὴν ταχεῖαν οὕτω καὶ ἀπροσδόκητον τοῦ Θεοῦ περὶ τοὺς οἰκείους δούλους πρόνοιαν καὶ ἀντίληψιν.

Φ 40 **47.** Ἦν δέ τις ὁμολογητὴς γεγονὼς ἐν τῷ τοῦ διωγμοῦ καιρῷ, Διονύσιος ὄνομα, οἰκονόμος τῆς ἐκκλησίας Τεντύρων [1], τά τε ἄλλα εὐλαβὴς ἀνὴρ καὶ ὅτι μάλιστα φίλος τῷ Παχωμίῳ. Οὗτος ἀκηκοὼς ὅτι μὴ συγχωροίη ὁ μέγας πατὴρ εἰς τὴν μονὴν εἰσιέναι τοὺς παραβάλλοντας ἐκεῖσε ξένους, ἀλλ' ἰδιαζόντως ἀναπαύοιε [2] τῷ πρὸς τῇ πύλῃ τῆς μονῆς κατεσκευασμένῳ ξενῶνι, οὐ μετρίως ἐλυπήθη. Ἀμέλει καὶ πρὸς αὐτὸν [3] εἰς [3] Ταβέννησιν [4] ἀφικόμενος, ἐμέμφετο τούτου χάριν [5] τῷ ὁσίῳ. Ὁ δὲ πάνυ πράως ἀποκρινάμενος · « Οἶδεν ὁ Θεός, εἶπεν, ὅπερ οἶμαι μηδὲ τὴν σὴν ἀγάπην ἠγνοηκέναι, ὅτι οὐδέποτε λυπῆσαι ψυχὴν ἁπλῶς [6] οἱουδήτινος ἠβουλήθην. Καὶ
Matth.25,40. πῶς ἂν ἐτόλμησα λυπῆσαι τὸν Κύριον λέγοντα · « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε [7], » ἐξουθενῶν τοὺς προσιόντας καὶ ἀλλοτριῶν τούτους τῶν ἀδελφῶν ὡς ἀναξίους ; Ἀλλ' οὐκ ἔστι τοῦτο [8], οὐδὲ [9] διὰ τὴν [10] τοιαύτην αἰτίαν ἰδιαζούσης τοὺς ξένους ἀξιοῦμεν διαγωγῆς. Ἀλλ' ἐπειδὴ τοῦτο τὸ κοινόβιον καὶ νεοτελεῖς [11] ἔχει μήπω εἰδότας τί ἐστι μο-
Cf. Ion. 4,11. ναχός, καὶ παιδία ἔτι ἀγνοοῦντα τὴν δεξιὰν αὐτῶν καὶ τὴν ἀριστερὰν καὶ διδασκαλίας δεόμενα καὶ μαθήσεως, τούτου χάριν οὐκ ἔκρινα δεῖν αὐτοῖς ἐπεισάγειν τοὺς ξένους · δειναὶ γὰρ αἱ τῶν θύραθεν ἐπιμιξίαι ἔθιμα συγχεῖν καὶ νόμιμα πάτρια. Ὅρα δὲ εἰ μὴ καὶ αὐτοῖς τοῦτο τοῖς ξενιζομένοις λυσιτελεῖ πρὸς τιμὴν ὁμοῦ καὶ ἀνάπαυσιν, οὓς ἐν μὲν τῷ καιρῷ τῆς συνάξεως συμπαραλαμβάνω πρὸς τὴν εὐχήν, μετὰ δὲ τοῦτο εἰς [12] πρέποντα καὶ ἡσύχιον τόπον ἀπαγαγὼν θεραπεύω δεόντως, αὐτουργὸς γενόμενος τῆς
Cf. Gen. 18. ἐκείνων ὑπηρεσίας καὶ τὸν Ἀβραὰμ ἐν τούτῳ μιμούμενος κατὰ δύναμιν. » Ὑπὸ τούτων ὁ Διονύσιος τῶν λόγων πεισθεὶς αὖθις

[6] *τοῖς π. om.* END. — [7] *om.* ND. — [8] *νῦν* N. — [9] *ἀποστείλ. οὖν δ. τ. om.* END. — [10] *om.* N.

47. — [1] *τεντύρρων* N. — [2] *ἀναπαύοι* D ; *ἀναπαύοιεν αὐτοὺς* N. — [3] *om.* D. — [4] *ταβέννην* N. — [5] *χάρ. τούτου* N. — [6] *om.* END. — [7] *corr., prius ποιήσατε* G. — [8] *οὐκ ἔστιν add.* N. — [9] *γὰρ add.* N. — [10] *om.* ND. — [11] *(καὶ νεοτ.) καινοτελεῖς* N. — [12] *τὸν add.* N.

εἶχετο τῆς πρὸς τὸν μέγαν πατέρα φιλίας καὶ ὁμονοίας ὡς τὸ πρὸ τοῦ [13].

48. Τοῦτον δὲ τὸν Διονύσιον ἠξίωσέ τις γυνή, τῷ τῆς αἱμορροίας Φ 41.
πάθει συνεχομένη, πρὸς ἑαυτὸν [1] μεταστείλασθαι τὸν Παχώμιον, εἰδυῖα φίλον αὐτοῦ ὄντα. Ἐπίστευσε γάρ, ὡς ἔοικε, καὶ αὐτὴ καθάπερ ἡ [2] ἐν τοῖς εὐαγγελίοις ἐκείνη, ὡς εἰ ἅψεται [3] τούτου ὥσπερ Luc. 8, 44.
τοῦ δεσποτικοῦ κρασπέδου [4] ἐκείνη, τεύξεται πάντως καὶ αὐτὴ τῆς ἰάσεως. Καὶ δὴ μεταπεμφθεὶς [5] ὑπὸ τοῦ Διονυσίου ὁ μέγας ὡς ἐπί τινι χρείᾳ ἑτέρᾳ, ἐκάθητο ἐν τῇ ἐκκλησίᾳ ἐκείνῳ προσομιλῶν · καὶ ἡ [6] γυνὴ καιροῦ λαβομένη, ὄπισθεν αὐτοῦ ἠρέμα ἐπελθοῦσα [7], τοῦ κουκουλίου ἅπτεται ὃ ἐπὶ τῆς κεφαλῆς ἦν [8] τοῦ ἁγίου, καὶ παραχρῆμα τὴν ἴασιν δέχεται.

49. Ἐροῦμεν δὲ [1] καὶ μακροθυμίας ἐκείνου καὶ διακρίσεως Φ 42.
θαῦμα οὐδὲν ἔλαττον. Ἔν τινι τῶν ἐγγὺς [2] μοναστηρίων τῶν ὑπὸ τὴν μεγάλην μονήν, ἀδελφὸς ἦν ὃς τὸν τῆς μονῆς προεστῶτα ἤτει τινὰ τάξιν μετὰ σπουδῆς · ὁ δὲ οὐκ ἐπένευσεν, ἀνάξιον αὐτὸν τῆς τοιαύτης τάξεως εἶναι νομίζων. Ὡς δὲ ἐκεῖνος ἐνέκειτο καὶ οὐκ ἀνίει διοχλῶν [3], ὁ προεστὼς βουλόμενος ἀποκρούσασθαι τοῦτον, ἐπὶ τὸν μέγαν πατέρα τὴν αἰτίαν μετέθετο, εἰπὼν ἐκεῖνον μὴ βουληθῆναι κατανεῦσαι εἰς τοῦτο, « ἐπειδή [4], φησίν, ἐκοινωσάμην τοῦτο αὐτῷ.» Τοῦτο δὲ εἶπεν οὐκ ἀληθεύων, ἀλλὰ τὴν σπουδαρχίαν ἐκείνου παῦσαι ζητῶν. Οὐ μὴν ἔπαυσεν · ἀλλὰ τοὐναντίον ὀργῆς ἐκεῖνος πλησθεὶς ἐπελάβετό τε [5] αὐτοῦ καὶ εἵλκεν ὡς πρὸς τὸν μέγαν · « Δεῦρο, λέγων, ἀπίωμεν πρὸς ἐκεῖνον καὶ τὸ παρὰ σοῦ λεγόμενον σύστησον.» Κἀ ὁ μὲν ἄκων ἐπηκολούθει, ἀπορῶν καὶ δεδιὼς περὶ τοῦ συμβησομένου ἐντεῦθεν. Ὁ δὲ σπουδαρχῶν [6] ἐκεῖνος, καταλαβὼν τὸν μέγαν οἰκοδομῇ τειχίου [7] προσασχολούμενον μετὰ τῶν λοιπῶν ἀδελφῶν, ὃ τῇ μονῇ κύκλῳ περιεβάλλετο, παράφορος ὢν ὅλος [8] ὑπὸ τοῦ θυμοῦ, ψεύστην τε ἀπεκάλει τὸν ὅσιον, καὶ καταβάντα θᾶττον ἐκέλευσεν [9] εἰπεῖν τὴν αἰτίαν δι' ἣν αὐτὸν τῆς ἐπιζητουμένης τάξεως κρίνει ἀνάξιον. Τοῦ δὲ ἁγίου σιωπῶντος, ἔτι θρασύτερον ἐκεῖνος ἐμφραγῆναι τούτου τὸ στόμα ἔλεγε μὴ δυναμέ-

[13] *ὡς πρὸ τοῦ* N, *ὡς πρότερον* D.

48. — [1] *αὐτὸν* N. — [2] *om.* ND. — [3] *ἅψαιτο* ND. — [4] *τοῦ κρ. τοῦ δεσπ.* E. — [5] *προσκληθεὶς* N. — [6] *(καὶ ἡ) ἡ δὲ* D. — [7] *ἀπελθοῦσα* ND. — [8] *ὃ ἦν ἐπὶ τῆς κεφ.* D ; *τοῦ ἐπὶ τῆς κεφ.* N.

49. — [1] *om.* ND. — [2] *om.* D. — [3] *διενοχλῶν* N. — [4] *ἡνίκα* D. — [5] *om.* D. — [6] *σπούδαρχος* E. — [7] *κελλίου* N. — [8] *ὅλως* E. — [9] *ἐκέλευεν* D.

νου ἀπολογεῖσθαι, καὶ [10] οὕτως ἀνέδην ψευδομένου [11] τοῦ διορατικὸν τάχα λέγοντος ἑαυτόν, τῇ δὲ ἀληθείᾳ καὶ πάνυ πεπηρωμένου [12] τὸ τῆς ψυχῆς ὀπτικόν. Ὡς δὲ οὐδὲ πρὸς ταῦτα ὅλως ἀπεκρίνατό τι ὁ ἀνεξίκακος, ἀλλ' ἢ τοῦτο ἔλεγε μόνον· « Ἥμαρτον, συγχώρησόν μοι, τέκνον, παρακαλῶ· οὐπώποτε καὶ σὺ ὡς ἄνθρωπος ἐπλημμέλησας; » οὕτως μόλις ὁ τεθυμωμένος [13] καὶ ὑβρίζων ἐπαύσατο. Ὁ δὲ μέγας τὸ ἐν χερσὶν ἔργον αὐτίκα καταλιπών, ἀνηρώτα ἰδίᾳ τὸν προεστῶτα τῆς μονῆς [14], κλαίοντα καὶ συντετριμμένον ὁρῶν, τί ποτε εἴη τὸ παρὰ τοῦ μοναχοῦ προτεινόμενον. Ὁ δὲ πρὸς αὐτόν [15]· « Ἦτει, φησίν, ἡμᾶς [16], πάτερ ἅγιε, οὗτος, πρᾶγμα ὑπὲρ τὴν αὐτοῦ ἀξίαν ὑπάρχον σαφῶς· ἐγὼ δὲ ἐπεὶ οὐχ οἷός τε ἦμην πείθειν αὐτὸν παραιτούμενος, οὐδὲ γὰρ ἠνείχετό μου τὸ σύνολον [17] ἀπαναινόμενος, προφάσει πρὸς αὐτὸν ἐχρησάμην τῇ σῇ δῆθεν παραγγελίᾳ. Ἀλλ' ἰδοὺ ὁ ἄφρων οὗτος οὐχ ὅπως [18] ἐπαύσατο, ἀλλὰ καὶ προσέθετο μᾶλλον τοῖς ἰδίοις [19] κακοῖς, σὲ τὸν ὅσιον οὕτω θρασέως καὶ ἀναιδῶς λοιδορήσας. » Ὁ δὲ ἅγιος, μεμψάμενος τοῦτον ὅτι μὴ πρὸς αὐτὸν τὸ πρᾶγμα ἀνήνεγκεν, ἐκέλευσε δοῦναι τῷ μοναχῷ τὸ σπουδαζόμενον αὐτῷ· « Ἐάν [20] πως, φησί, τὴν ψυχὴν αὐτοῦ ἐντὸς ἀρκύων πεσοῦσαν τῷ τῶν ψυχῶν θηρευτῇ ἀποσπᾶσαί τε καὶ ἀναρρύσασθαι δυνηθείημεν· συμβαίνει γὰρ καὶ τὸν κακὸν πολλάκις εὐεργετούμενον [21] ἀγαθύνεσθαί πως καὶ πρὸς τὸ βέλτιον μεταβάλλεσθαι· καὶ αὕτη ἐστὶν ἡ ἀγάπη τοῦ Θεοῦ τὸ συμπάσχειν ἀλλήλοις καὶ ὑπὲρ τῆς ἀλλήλων σωτηρίας πάντα ποιεῖν. » Γίνεται ταῦτα· καὶ τυχὼν ὁ μοναχὸς οὗ ἐπεθύμει, μαλάσσεται τὴν ψυχὴν καὶ πρὸς τὸν ἅγιον ἐπάνεισι μετὰ νήψεώς τε καὶ κατανύξεως πάνυ πολλῆς· καὶ τοῦτον περιπτυσσόμενος, ἄνθρωπόν τε τοῦ Θεοῦ ἀπεκάλει καὶ ὑπερυψωθῆναι τοῦτον ταῖς ἀρεταῖς ὡμολόγει. Συνιέναι γὰρ ἔφη [22] πῶς ἐξηττημένα δῆθεν [23] τῆς αὐτοῦ κακίας καὶ ἀφροσύνης νικήσειεν ὡς [24] ἀληθῶς τῇ μακροθυμίᾳ καὶ τῇ χρηστότητι· « Εἰ γὰρ μὴ ἐμακροθύμησας, φησί, τότε ἐμοῦ φεισάμενος οὕτως ἀφραίνοντος, ἀλλ' εἰπεῖν τι προήχθης πρός με σκληρότερον, ἀποστάτης ἂν ἐγενόμην τοῦ μοναχικοῦ ἀξιώματος καὶ ἀλλότριος τοῦ Θεοῦ· εὐλογητὸς οὖν, πάτερ, σὺ τῷ Θεῷ, ὅτι μοι διὰ σοῦ ἡ τῆς ψυχῆς σωτηρία περιεγένετο. » Τοῦτο μὲν οὖν τῆς τοῦ ἁγίου

Cf. II Tim. 2, 26.

[10] ταῦτα add. D. — [11] καὶ οὕτ. ἀν. ψ. om. N. — [12] πεπ. πάνυ D ; πεπηρωμένον πάνυ N. — [13] ὁ θυμούμενος N. — [14] ἐκείνης add. N. — [15] ὁ δὲ πρ. αὐτ. om. D. — [16] ἡμῖν N. — [17] λίαν add. N. — [18] (οὐχ ὅπως) οὐ μόνον οὐκ N. — [19] in marg. al. manu E. — [20] εἴ D. — [21] εὐηργετούμενον E. — [22] ἔλεγε D. — [23] δήπουθεν ὑπὸ D. — [24] om. ND.

μακροθυμίας καὶ διακρίσεως τὸ θαῦμα καὶ ἀποτέλεσμα· ῥητέον δὲ καὶ τοῦ διορατικοῦ αὐτοῦ χαρίσματος ἔργον, ἅμα δὲ καὶ τῆς ἰαματικῆς αὐτοῦ [25] δυνάμεως τὸ αὐτό [26].

50. Προσῆλθέ τις τῷ ἁγίῳ δεόμενος ἰάσασθαι τὴν αὐτοῦ θυγατέρα, ἐν ταῖς παρθένοις μὲν τεταγμένην, δαίμονι δὲ κάτοχον οὖσαν. Ὁ δέ, ἐπεὶ οὐκ ἦν ἔθος [1] αὐτῷ γυναιξὶν ὁμιλεῖν, ἓν τῶν ἱματίων αὐτῆς ἐκέλευσε πρὸς αὐτὸν εἰσαχθῆναι· εἰσαχθέντος δὲ [2] προσβλέψας [3]· « Οὐκ ἔστιν αὐτῆς, ἔφη, τουτὶ τὸ ἱμάτιον. » Τοῦ δὲ πατρὸς τῆς κόρης αὐτῆς εἶναι τοῦτο [4] διαβεβαιουμένου· « Αὐτῆς μὲν εἶναι, εἶπεν [5] ὁ ἅγιος, συντίθεμαι καὶ αὐτός· ἀλλ' οὐ τηρεῖ τὴν ἁγνείαν, τῷ σχήματι μόνῳ [6] παρθένος τυγχάνουσα· διὸ δὴ καὶ ἔφην ἐγὼ μὴ ἁρμόζειν αὐτῇ τὴν τῆς παρθενίας στολήν. Οὐ μὴν ἀλλ' εἰ ὁμολογήσει τοῦ λοιποῦ [7] φυλάττειν τὴν ἁγνείαν ἐνώπιον τοῦ Θεοῦ καὶ τῆς σῆς ἀκοῆς, τότε οἰκτειρήσας αὐτὴν ὁ Θεὸς πάντως ἰάσεταί. » Τί τὸ [8] ἐπὶ τούτοις; Ἀνακρίνει ὁ πατὴρ τὴν κόρην· ὁμολογεῖ ἐκείνη τὴν ἁμαρτίαν· ἐπαγγέλλεται μεθ' ὅρκου μηκέτι τὰ αὐτὰ πλημμελήσειν, ἀλλ' ἑαυτὴν ἁγνὴν συντηρήσειν εἰς τὸ ἑξῆς. Πέμπει δὲ μετὰ τοῦτο ὁ μέγας πρὸς αὐτὴν ἅγιον ἔλαιον· καὶ [9] χρισθεῖσα, τῆς τοῦ δαίμονος ἐξάντης παραχρῆμα ἐπηρείας γίνεται [10]. Καὶ ἀπῆλθε δοξάζουσα τὸν Θεόν.

Φ 43.

Cf. Luc. 5,25.

51. Ἀλλὰ καὶ πάλιν ἕτερός τις τὸν υἱὸν αὐτοῦ τῷ μεγάλῳ προσήνεγκεν, ὄντα καὶ αὐτὸν πονηρῷ δαίμονι κάτοχον. Ὁ δὲ εὐλογήσας ἄρτον δίδωσι, προσενεγκεῖν [1] τῷ υἱῷ πεινῶντι παρεγγυήσας [2]. Ἐπεὶ δὲ πεινήσας ὁ παῖς τησεν ἄρτον, ὁ μὲν πατὴρ τὸν παρὰ τοῦ μεγάλου δεδομένον τούτῳ προσέφερεν· ὁ δὲ τοῦτον μὲν ἀπεστράφη [3], ἑτέρου δὲ προσενεχθέντος ἔφαγε· καὶ πάλιν ὡς τὸ πρότερον ἔμενε δαιμονῶν. Ὁ οὖν πατὴρ [4] μικρὰ τρύφη τοῦ [5] ἄρτου λαβὼν καὶ τυρὸν αὐτοῖς ἐπικνίσας καὶ φοινίκων ἐγκαταμίξας τεμάχια [6], πεινῶντι πάλιν προσφέρει τῷ υἱῷ· ὁ δὲ διαψηλαφήσας τὰ μὲν τοῦ ἄρτου τρύφη ἀπέρριψε, τὰ δὲ λοιπὰ καταβέβρωκε. Τότε δὴ ὁ πατὴρ ἐπὶ δύο ἡμέρας ἄσιτον τοῦτον

Φ 44.

[25] om. ND. — [26] ἐν τῷ αὐτῷ N.

50. — [1] ἔθος οὐκ ἦν END. — [2] (εἰσ. δὲ) καὶ τούτου ἐνεχθέντος N, ἐλθόντος δὲ D. — [3] προβλέψας E ; ὁ μέγας αὐτὸ add. N ; ὅσιος add. D. — [4] om. N. — [5] εἶπεν εἶναι N. — [6] om. N ; μόνον D. — [7] om. N. — [8] sup. lin. N. — [9] ὃ καὶ N. — [10] (ἐξάντης - γίν.) παραχρ. ἀπηλλάγη ἐπηρ. ND.

51. — [1] προσεγκεῖν D. — [2] παραγγείλας ND. — [3] (τ. μὲν ἀπ.) ἀπ. μὲν τ. END. — [4] αὖθις add. N. — [5] παρὰ τοῦ ἁγίου add. N. — [6] τεμμάχια GEND.

ἀφεὶς παντελῶς, εἶτα τὸν ἄρτον ἐκεῖνον ζωμῷ ἐγκαταμίξας καὶ ἔλαιον ἐπιχέας, παρέθηκε τῷ παιδί. Ὁ δὲ τῇ πείνῃ νικώμενος καὶ τῷ ἡδεῖ τῆς βρώσεως θελγόμενος προσήκατο εὐμαρῶς τὴν τροφήν· καὶ αὐτίκα ὕπνου τε χρηστοῦ μετελάμβανε, καὶ ὑγιὴς ὢν [7] τοῦ λοιποῦ διετέλεσε [8], τοῦ ἀκαθάρτου πνεύματος [9] δραπετεύσαντος. Ἐφ' οἷς ὁ πατὴρ πάνυ περιχαρὴς γεγονώς, τήν τε κατειλήφει καὶ τὰ περὶ τῆς ἰάσεως τοῦ παιδὸς πρὸς τὸν ἅγιον ἀπαγγέλλει, εὐχαριστῶν τε [10] τούτῳ καὶ τῷ Θεῷ τὸν ὀφειλόμενον αἶνον ἀποδιδούς.

Φ 45. **52.** Πολλοῖς δὲ καὶ ἄλλοις ὁ Θεὸς τὸν πιστὸν αὐτοῦ θεράποντα Παχώμιον ἐδόξασε [1] θαύμασι καὶ ἰάμασιν, εἰωθὼς ἀεὶ ἐπακούειν αὐτοῦ προσευχομένου καὶ δεομένου. Ἀλλ' οὔτε ἐπὶ τούτῳ ἐφάνη ποτὲ [2] ἐκεῖνος μεγαλαυχούμενος, οὔτε πάλιν ὁπότε πολλάκις ἀτυχήσοι [3] τῆς αἰτήσεως, δῆλος ἐγεγόνει λυπούμενος· ἀνετίθει γὰρ ἅπαντα τοῖς κρίμασι τοῦ Θεοῦ καὶ πάντα ἔφασκεν ἐκεῖνον ποιεῖν πρὸς τὸ λυσιτελὲς τῶν ἀνθρώπων. Καὶ διὰ τοῦτο οὐ τὸ ἑαυτοῦ θέλημα γίνεσθαι πάντως ἐσπούδαζεν, ἀλλὰ τὸ τοῦ Θεοῦ· καὶ γὰρ [4] τὸν Κύριον ἡμῶν [5] τοῦτο [6] νομοθετεῖν καὶ διδάσκειν ἡμᾶς ἐν τῷ
Luc. 22, 42. λέγειν πρὸς τὸν πατέρα· « Πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν
Cf. Ioh. 10, 30. γενέσθω. » Καίτοι ἕν εἰσιν [7] αὐτὸς καὶ ὁ πατήρ, ἀλλὰ τὸ τῆς ἀνθρωπότητος θέλημα τῷ πατρικῷ τε καὶ θεϊκῷ ὑποτάσσων, ἐδίδασκε καὶ ἡμᾶς τὸ αὐτὸ ποιεῖν καὶ τῶν μὲν ἰδίων θεληματῶν ἀφίστασθαι, τοῖς δὲ τῶν πατέρων τε καὶ διδασκάλων ἀκολουθεῖν.

Φ 47. **53.** Ἔλεγε δὲ καὶ τῶν σωματικῶν ἰαμάτων κρείττω εἶναι τὰ ψυχικά. « Ἐὰν γάρ τις τὸν ἀργεῖν εἰωθότα καὶ οἷον παρειμένον τὰς χεῖρας πρὸς τὸ ἐργάζεσθαι διεγείρῃ καὶ πράττειν [1] τὰ ἀγαθά, ἐν τῷ διδάσκειν αὐτὸν καὶ προτρέπεσθαι ἐπὶ τὰ καλά, ἆρα οὐχ οὗτος ἰάσατο τὸν ἀμελῆ καὶ ῥᾴθυμον; Ἢ ἐάν τις τὸν [2] τὴν εἰδωλολατρείαν νοσοῦντα καὶ ἀγνοοῦντα τὸν ἀληθινὸν καὶ μόνον Θεὸν
Cf. II Tim. 2, 25. πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἀγάγῃ διὰ τῆς θεοπνεύστου διδασκαλίας καὶ κατὰ τὰς θείας ἐντολὰς ὁδηγήσῃ πορεύεσθαι, ἆρα οὐ τοὺς ὀφθαλμοὺς τοῦ ἐσκοτισμένου τούτου διήνοιξε [3] καὶ ἀντὶ ζοφώδους ἀγνοίας τὸ τηλαυγὲς τῆς θείας ἐπιγνώσεως [4] φῶς ἐνῆκεν [5] αὐτοῖς; Ἡ γὰρ ἐντολὴ Κυρίου, φησί, τηλαυγὴς φωτίζουσα [6] Ps. 18, 8.
ὀφθαλμούς. Ἔστι δέ τις [7] καὶ μογγιλάλος κατὰ ψυχήν, ὁ στοιχῶν δήπου τῷ ψεύδει καὶ λαλῶν ἄδικα καὶ ῥήμασι δολίοις ἀποκρυπτόμενος τὴν ἀλήθειαν· εἰ οὖν καὶ [7] οὗτος ὑπὸ διδασκάλου συμβι-
βασθείη παῦσαι [8] ἀπὸ κακοῦ τὴν γλῶτταν [9] αὐτοῦ καὶ τὰ χείλη Ps. 33, 14.
μὴ λαλεῖν δόλον, οὐχὶ καὶ οὗτος ἐθεραπεύθη ἀντὶ μογγιλάλου μεγαλόφωνος γεγονώς; Ἔστι καὶ λέπρας νόσος ἐν τῇ ψυχῇ, ἡ τῆς ὑπερηφανίας φημὶ καὶ τοῦ τύφου· ἣν ἐάν τις θεραπευθῇ λόγοις πνευματικοῖς, οὐχὶ καὶ οὗτος ἐκαθαρίσθη; »

Φ 48. **54.** Ταῦτα λέγων ὁ μέγας προσέθηκέ τι καὶ [1] τοιοῦτον· « Ἠρώτησέ με, φησίν, ἀδελφός τις· Τίνες αἱ ὁράσεις, ὦ [2] πάτερ, ἃς εἴωθας βλέπειν ἐν ἐκστάσει γινόμενος; Κἀγὼ ἀπεκρινάμην πρὸς αὐτόν· Ὁ κατ' ἐμὲ ἁμαρτωλὸς οὐκ αἰτεῖ τὸν Θεὸν τυχεῖν ὁράσεως θείας [3]· ἡ γὰρ τοιαύτη αἴτησις παρὰ τὸ τοῦ Θεοῦ πέφυκε θέλημα, ὡς καὶ ὑπερηφανίας πολλάκις πρόξενος γινομένη καὶ αὐχήματι περιβάλλουσα· ῥητέον δέ σοι ὅμως περὶ ὁράσεως, ἐπειδήπερ ἀκοῦσαι ποθεῖς. Ἐὰν ἴδῃς ἄνθρωπον ἀγνείᾳ συζῶντα καὶ ταπεινοφροσύνης ἐξηρτημένον, ἐλεήμονα, πρᾶον, χρηστόν, συμπαθῆ, φιλόθεον [4], φιλάδελφον, πάσαις ἁπλῶς κομῶντα ταῖς ἀρεταῖς, ὦ οἵου ὁράματος ἔτυχες· αὐτὸν γὰρ τὸν ἀόρατον Θεὸν ἰδεῖν ἠξιώθης ἐν τῷ ὁρωμένῳ ἐκείνου ναῷ καὶ τῇ εἰκόνι αὐτοῦ. Πλὴν καὶ τὸ διορατικὸν χάρισμα εἴτ' οὖν προορατικὸν παρὰ Θεοῦ δίδοται, φησί [5], τοῖς ἁγίοις ὅταν ἐθέλῃ· καὶ αὖθις οὐ δίδοται ὅταν μὴ θέλῃ. Ἀποκαλύπτοντος μὲν γὰρ αὐτοῖς τὰ κρύφια τοῦ Θεοῦ, διορατικοὶ γίνονται καὶ προορατικοί· μὴ ἀποκαλύπτοντος δέ, οὐδὲν τῶν λοιπῶν ἀνθρώπων διεννηνόχασιν, ὥσπερ ἀμέλει καὶ ὁ προφήτης Ἐλισσαῖος εἰπὼν [6] πρὸς τὸν Γιεζῆ μὴ δηλωθῆναι αὐτῷ παρὰ τοῦ [7] IV Reg. 4,
Κυρίου τὴν κατὰ τὴν Σουναμίτιδα [8] θλῖψιν. Ἀλλ' αἱ μὲν τοιαῦται 27.
ὁράσεις οὐκ ἀεὶ δήπου [9], ἀλλ' ὅταν ὁ Θεὸς βούληται μόνον, εἰώθασι γίνεσθαι. Μακαρία δὲ μᾶλλον ὅρασις ἐκείνη ἐστὶ δι' ἧς τις διηνεκῶς τὸν Θεὸν καθορᾷ κατὰ τὸν εἰπόντα· Προωρώμην τὸν Κύριον ἐνώ- Ps. 15, 8.
πιόν μου διὰ παντός ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ. Καὶ τὸ μὲν μὴ ὁρᾶν τὰ κρυπτὰ οὐδένα κατέκρινε, τὸ δὲ μὴ πρὸς

[7] *om.* N. — [8] *διεδείκνυτο* N. — [9] *δαίμονος* ND. — [10] *om.* END.

52. — [1] (*π. ἐ.*) *ἐ. π.* D — [2] *om.* D. — [3] *ἀτυχήσειε* D. — [4] *καὶ add.* ND. — [5] *ἔφασκε add.* D ; *ἰησοῦν χριστὸν καὶ θεὸν add.* N. — [6] *οἴδαμεν add.* N. — [7] *ὑπάρχων* D.

53. — [1] *διεγ. τοῦ πρ.* N. — [2] *sup. lin.* D. — [3] *ἤνοιξε* ND. — [4] *γνώσεως* D.

[5] *ἤνεγκεν* N. — [6] *τοὺς add.* N. — [7] *om.* ND. — [8] *τοῦ παύσασθαι* N. — [9] *γλῶσσαν* ND.

54. — [1] (*τι καὶ*) *καί τι* N, *τι καίτοι* D. — [2] *om.* END. — [3] *ὁρ. θεία τυχ.* N. — [4] *om.* N. — [5] *φημὶ* D. — [6] *εἶπε* D. — [7] *om.* D. — [8] *σουμανίτιδα* ND. — [9] *hinc codices* NDT, *ab hac Vita Quarta* (*Γ*) *recedentes, Vitam Tertiam* (*Π*) *sequuntur ; cf. p. 282, annot. de cap. 68.*

τὸν Θεὸν ἀποβλέπειν καὶ πάνυ πολλούς, οἵτινες κατὰ τὸ γεγραμμένον οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. »

Ps. 53, 5.

Φ 49. **55.** Ἔλεγε δὲ ὅτι εὐχερέστερόν ἐστι παιδίοις μᾶλλον παραδιδόναι τὸ τοιοῦτον χάρισμα ἢ τοῖς προβεβηκόσι, τὸν Σαμουὴλ παράδειγμα τοῦ λόγου ποιούμενος · « Καθαρὰ γάρ, φησί, γῆ ἕτοιμος εἰς ἀμπέλου φυτείαν · ἡ δὲ κεχερσωμένη δεῖται καθάρσεως καὶ πόνων πολλῶν ἵνα πρὸς φυτείαν εὔθετος γένηται » · χρείαν δὲ ὅμως εἶναι καὶ τῇ καθαρᾷ γῇ ἐπιμελείας καὶ φυλακῆς ἵνα μὴ λάθῃ χερσομανήσασα καὶ ἀπολέσῃ τὴν φυτείαν ἣν ἔτυχε δεξαμένη. « Μηδεὶς δέ, φησί, τολμήσῃ ψυχὴν βλάψαι ἢ σκανδαλίσαι μηδὲ μέχρι λογισμοῦ, ἵνα μὴ ἐξορύξῃ κόρην ὀφθαλμοῦ βλέποντος τὸν Θεόν. » Τὸ δὲ φυλάσσειν τὰ νήπια δηλοῦν ἐδίδασκε τὸ τὴν συνείδησιν καθαρίζειν φόβῳ Θεοῦ καὶ ἀληθείᾳ μέχρι καὶ τοῦ σμικροτάτου διανοήματος · τὸν γὰρ ποιοῦντα τοῦτο φυλάσσειν ὡς ἀληθῶς μετὰ τοῦ Κυρίου τὰ νήπια, ὡς καὶ εἰς τοῦτο δηλαδὴ συνεργοῦντος τοῦ Κυρίου, καθάπερ ἀμέλει καὶ πρὸς ἅπασαν ἀρετήν.

Cf. Ps. 114, 6.

Cf. Marc. 16, 20.

Φ 50 in. **56.** Τοιαῦτα μὲν ὁ Παχώμιος εἰώθει λέγειν τε καὶ διδάσκειν · Θεοδώρῳ δέ, περὶ οὗ πρόσθεν εἴπομεν, ἐπιμελὲς [1] ἦν προσέχειν τε τοῖς ἐκείνου διδάγμασι καὶ κατ' ἴχνος βαδίζειν τοῦ διδασκάλου.

Φ 66. Ἦν δέ τις ἀδελφὸς ἐν τῇ μονῇ ὃς ὑπὸ τοῦ Παχωμίου πολλὰ νουθετούμενος διὰ τὴν ψυχικὴν πάντως ὠφέλειαν, οὐ μετρίως ἔφερε τὰς νουθεσίας, ὥστε καὶ ἀναχώρησιν ἀπὸ τῆς μονῆς ἤδη βουλεύεσθαι. Ὅπερ αἰσθόμενος ὁ Θεόδωρος πάνυ σοφῶς μετῆλθε τοῦτον [2] καὶ ὠφελίμως · πλησιάζων γὰρ τῷ ἀδελφῷ προσεποιεῖτο δυσχεραίνειν καὶ αὐτὸς καὶ μάλα λυπεῖσθαι κατὰ τοῦ σφετέρου πατρός · « Ὁρᾷς γάρ, φησίν, ὡς ἀπότομός ἐστι κομιδῇ καὶ οὐδενὶ φορητός. Οὐκ οἶδα δὲ εἰ ἐπὶ πλέον δυνήσομαι τούτου ἀνέχεσθαι καὶ μένειν ἐνταῦθα. » Ὁ δέ · « Τί λέγεις ; » πρὸς τὸν Θεόδωρον ἀπεκρίθη, « καὶ σὺ τὰ αὐτὰ πάσχεις ἐμοί, καὶ πρὸς τὰς τοῦ γέροντος ἀπείρηκας ἐπιπλήξεις ; » — « Ναί, φησίν, ἔγωγε, ὁ Θεόδωρος · τί δὲ καὶ σὺ τὰ ὅμοια πέπονθας ; » — « Καὶ μάλιστα, » εἶπεν ὁ μοναχός. « Φέρε οὖν [3], πρὸς ἐκεῖνον πάλιν ὁ Θεόδωρος, ἀλλήλους παραμυθώμεθα καὶ ἔτι τοῦ γέροντος ἀνασχώμεθα · καὶ εἰ μὲν ἀμείψει τὸν τρόπον καὶ χρηστότερος ἡμῖν γένηται, μείνωμεν ὑπ' αὐτῷ · εἰ δ' οὐχί, ἀναχωρήσαντές που ἀλλαχόσε ἐν ἀναπαύσει τε πάντως ἐσόμεθα καὶ τῶν πολλῶν αἰτιαμάτων ἐλεύθεροι γενησόμεθα. » Ὑπὸ τούτων τῶν συναινετικῶν λόγων τοῦ συνετοῦ Θεοδώρου ῥᾳων ὁ

56. — [1] ἐπιμελῶς G. — [2] *om.* E. — [3] *corr.* E.

ἀδελφὸς ἐκεῖνος ἐγένετο καὶ ἀπέστη τέως τοῦ τῆς ἀναχωρήσεως λογισμοῦ. Καὶ ὁ Θεόδωρος τῷ Παχωμίῳ ταῦτα δηλοῖ, ἀγνοοῦντος τοῦ ἀδελφοῦ. Ὁ δὲ Παχώμιος · « Κάλεσον, ἔφη, μοι τοῦτον, καὶ ὅταν παραστῇ, προσποιοῦ μέμφεσθαί μοι καὶ ὀνειδίζειν διὰ τὸ τοῦ ἤθους δῆθεν ἀπότομον καὶ σκληρόν · κἀγὼ πέποιθα, Θεοῦ συνεργοῦντος, παρακαλέσαι τε καὶ καταπραῦναι τὸν ἀδελφόν. » Γίνεται ταῦτα · καὶ τοῦ Θεοδώρου, ἐπὶ παρουσίᾳ καὶ τοῦ ἄλλου ἀδελφοῦ, ὀνειδίζοντος τῷ γέροντι τὴν σκληρότητα, ἐκεῖνος εὐθὺς συγχώρησιν ἐζήτει παρ' αὐτοῦ · « Εἰ γὰρ καὶ ὡς ἄνθρωπος, φησίν, ἥμαρτον, ἀλλ' ὡς πατὴρ ἀξιῶ συγγνώμης τυχεῖν · ἢ γὰρ οὐκ ὀφείλετε ὡς ἀγαπητὰ τέκνα [4] νουθεσίαν πατρὸς [5] ὑπομένειν ; » Τοῦ δὲ Θεοδώρου πάλιν πρὸς ἐλέγχους καθισταμένου καὶ ἀντιλέγοντος, ἔνευσεν αὐτῷ ἠρέμα ὁ ἄλλος ἀδελφὸς παύσασθαι καὶ μὴ πλέον ἀντιφθέγξασθαι τῷ πατρί, ὡς τάχα παρακληθεὶς ἱκανῶς ὑπὸ τῆς τοῦ καθηγητοῦ ταπεινώσεως. Καὶ οὕτως ἀπέπαυσε τὸν ἀδελφὸν ὁ Θεόδωρος, σοφῇ χρησάμενος πανουργίᾳ τῆς κατὰ τοῦ πατρὸς λύπης, κἂν τῷ μοναστηρίῳ πάλιν προσμένειν χωρὶς ἐνδοιασμοῦ τινος παρεσκεύασεν.

Φ 52. **57.** Ἐπανιτέον δὲ αὖθις πρὸς τὸν μέγαν. Κατέσχε τοῦτόν ποτε οἷα ἄνθρωπον καὶ σῶμα περικείμενον διακαὴς πυρετός, ὥστε ἐφ' ἡμέρας δύο ἄτροφον παντελῶς διαμεῖναι, μηδὲ ἀναστῆναι ὅλως δυνάμενον. Κατὰ δὲ τὴν τρίτην ἡμέραν κατὰ μικρὸν ἑαυτὸν βιασάμενος ἐξανέστη, καὶ πόθῳ τοῦ Θεοῦ εἰς προσευχὴν καταστὰς εὐθέως κουφίζεται καὶ τῆς νόσου παντάπασιν ἀπαλλάττεται. Τοῦ οἰκονόμου δὲ τῆς μονῆς προσελθόντος αὐτῷ καὶ πυνθανομένου εἰ χρῄζει τροφῆς, περιζωσάμενος τὴν ὀσφῦν ἀπῆει τε εἰς τὴν τράπεζαν καὶ συνειστιάθη τοῖς ἀδελφοῖς.

Φ 54. **58.** Πληθυνθέντων δὲ μάλα τῶν περὶ αὐτόν, ὁρῶν τὴν μονὴν στενοχωρουμένην, μετήγαγέ τινας αὐτῶν εἰς ἑτέραν κώμην, ἠρημωμένην καὶ ταύτην, ἥτις ἐκαλεῖτο Παβοῦ [1] · ἐν ᾗ καὶ μοναστήριον ᾠκοδόμησεν, οἰκονόμον τε κατέστησεν ἐν αὐτῷ καὶ μετ' ἐκεῖνον ἑτέρους [2] τούτου συνεργοὺς καὶ τἄλλα δὴ ὅσα ἐν τῇ μεγάλῃ μονῇ τῆς Ταβεννήσεως ὑπὸ τοῦ ἀγγέλου ἐθεσμοθετήθη. Μετὰ δὲ ταῦτα προσῆλθέ τις αὐτῷ γηραιὸς ἀσκητὴς ἑτέρας μονῆς ἐξηγούμενος, Ἐπώνιχος τοὔνομα · ἐκαλεῖτο δὲ Χηνοβόσκια ἡ τούτου μονή · ἠξίωσε δὲ τὸν Παχώμιον ἀποστεῖλαι καὶ εἰς αὐτὴν τῶν οἰκείων

[4] *om.* G. — [5] (*v. π.*) *π. v.* E.

58. — [1] παυοῦ E. — [2] *τε add.* E.

τινὰς μοναχῶν, καὶ τοὺς αὐτοὺς πνευματικοὺς νόμους καὶ διορισμοὺς κἀκεῖ καταστῆσαι · ὃ δὴ καὶ πεποίηκεν ὁ μέγας. Καὶ εἰς τετάρτην δὲ πάλιν μονήν, τὴν οὕτω προσαγορευομένην Μογχοσήν, τὰ αὐτὰ ἔθιμα κατεστήσατο, ὑπὸ τῶν ὄντων ἐκεῖσε δυσωπηθεὶς ἀδελφῶν. Ἦν δέ τις ἐν τῇ μονῇ ταύτῃ μοναχὸς ἀρχαῖος, τά τε ἄλλα πνευματικὸς καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ σφόδρα συνδεδεμένος · Ἰωνᾶς ἦν ὄνομα τούτῳ.

59. Τοσούτων δὲ ἤδη μοναστηρίων ὑπὸ τὴν αὐτοῦ γενομένων ἐπιστασίαν καὶ πρόνοιαν, διττὴν αὐτῶν ἐποιεῖτο τὴν ἐπιμέλειαν ὁ πατήρ, τάς τε σωματικὰς χρείας τούτοις περιποιούμενος καὶ τὰς
Φ 58. ψυχικὰς ἐπάγων διορθώσεις καὶ προκοπάς, καὶ παρακαλῶν μνημονεύειν ἀεὶ [1] τῶν πρὸς αὐτοὺς λεγομένων · ὃ δὴ καὶ διετέλουν ποιοῦντες. Μετὰ γὰρ τοὺς θείους ὕμνους καὶ τὰς εὐχὰς ἐκάθηντο συλλαλοῦντες περὶ ὧν ἤκουσαν ἐκείνου διδάσκοντος καὶ τὴν μνήμην ὡς οἷόν τε τῶν λαληθέντων ἀθροίζοντες, ἵνα μηδὲν
Matth.12,36 αὐτοὺς λάθῃ διαφυγόν. Ἀργοῦ δὲ ῥήματος ἢ κοσμικοῦ οὐδὲ εἰς
Φ 59 b. ἔννοιαν ἤρχοντο. Ἀργυρίου δὲ καὶ χρυσίου καὶ αὐτὴν τὴν ὄψιν, τὴν τοῖς πολλοῖς ποθεινήν, συνόλως ἀπεστρέφοντο · πολλοὶ δὲ αὐτῶν καὶ ἔφθασαν τοῦ βίου ὑπεξελθεῖν πρὶν ἢ ταῦτα ἰδεῖν ὅλως ἐν ὀφθαλμοῖς · μόνοις γὰρ τοῖς διακονηταῖς ἐγνωρίζοντο τὰ τοιαῦτα.

Φ 62. **60.** Διερχόμενος δὲ περί τινας τάφους ὁ μέγας ἤκουσέ τινων κλαιόντων ἐπὶ νεκροῖς · καὶ λέγει πρὸς τὸν Θεόδωρον (συνῆν γὰρ αὐτῷ τὰ πολλά) · « Οὗτοι μὲν κλαίουσι νεκροὺς οὓς ἀναστῆσαι οὐκ ἂν δυνηθεῖεν · φέρε δὴ [1] καὶ ἡμεῖς πρῶτον μὲν ἑαυτούς, ἔπειτα δὲ καὶ τοὺς πλησίον πενθήσωμεν · καὶ ἴσως ἐξεγερεῖ κειμένους ὁ
Eph. 5, 14. Κύριος κατὰ τὸ εἰρημένον · Ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. »

Φ 63. **61.** Καὶ κάλλει δὲ σωματικῷ καὶ ὡραιότητι μηδαμῶς προσέχειν ἐδίδασκεν, ἀλλ' ἀπέχειν τὸν ὀφθαλμὸν παντάπασι θεαμάτων τοιούτων, ὑπερορᾶν δὲ καὶ βρώματος ἡδέος καὶ ἐνδύματος στιλπνοῦ, ἔτι δὲ καὶ οἰκήματος εὐπρεποῦς, ἀλλὰ καὶ βιβλίου τερπνοῦ καὶ κεκοσμημένου τὰ ἐκτός, πρὸς μόνον δὲ τὸ κάλλος τῶν ἐντολῶν τοῦ Θεοῦ ἀτενίζειν καὶ τοῦτο ποθεῖν ἐξ ὅλης ψυχῆς.

Φ 69. **62.** Ἦν δέ τις ἐν τῇ μονῇ ἀδελφός, δοκῶν μὲν ἑαυτῷ ἀγωνιστὴς εἶναι καὶ ἀσκητής, οὐ καλῶς δὲ τὸ καλὸν μετιὼν οὐδὲ κατὰ τὸν θεῖον σκοπόν. Τοῦτον παραλαβών ποτε ὁ μέγας ἰδίως · « Οὐκ

59. — [1] *ἀεὶ μνημ.* E.
60. — [1] *corr., prius δὲ* E ; *δὲ* G.

οἶδας, ἀδελφέ, φησί, τί ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις λέγει σαφῶς ὅτι · Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, Ioh. 6, 38.
ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός ; Καὶ σὺ τοίνυν ἐπάκουσόν μου εἰσηγουμένου σοι τὰ συνοίσοντα · ὁρῶ γάρ σε ὑπὸ τοῦ ἀντικειμένου φθονούμενον καὶ πρὸς τὸν τῆς ὑπερηφανίας κρημνὸν συνωθούμενον ἀτεχνῶς. Τί οὖν ; συμβουλεύω σοι ἀποστῆναι μὲν τοῦ ἰδίου θελήματος καὶ τῆς καθ' ἑαυτὸν ἀσκήσεως ταύτης, τοῖς δὲ λοιποῖς ἀδελφοῖς συνεύχεσθαί τε καὶ συνεσθίειν, ἕως ἂν ὁ τῆς ὑπερηφανίας δαίμων ἀπὸ σοῦ παντάπασιν ἀποστῇ. » Τούτοις ἐκεῖνος τοῖς τοῦ καθηγητοῦ παραινετικοῖς λόγοις πεισθείς, πρὸς μὲν τὸ παραχρῆμα πεισθῆναι ἔδοξε. Μετὰ μικρὸν δὲ πρὸς τὸν ἴδιον, φα- Cf. Prov.
σίν [1], ἔμετον ἐπανῆλθε, καὶ πρὸς ἑαυτὸν εἰρηκώς · « Ποῦ γέγραπται · 26, 11.
μὴ νηστεύσῃς, μὴ ἀσκήσῃς, μὴ εὔξῃ ; » πάλιν εἶχετο κατὰ κράτος τῆς κατὰ μόνας ἀσκήσεως, μᾶλλον δὲ οἰήσεως, εἰπεῖν οἰκειότερον, καὶ ματαιοπονίας. Καλέσας τοίνυν ὁ Παχώμιος τὸν Θεόδωρον · « Οἶδας, φησί, τέκνον [2], ὅτι με λίαν λυπεῖ ὁ ἀδελφὸς οὑτοσὶ [3] παρακούων τῆς ἐμῆς παραινέσεως [4] ; Ἀπελθὼν οὖν ἐπίσκεψαι τοῦτον καὶ γνῶθι τί πράττων τυγχάνει. » Εὑρὼν οὖν αὐτὸν ὁ Θεόδωρος προσευχόμενον ἐκτενῶς ἐν τῇ ἰδίᾳ κέλλῃ, ἐδήλωσε τῷ μεγάλῳ · ὁ δὲ πάλιν αὐτὸν ἀποστέλλει ἐπιτάξας · « Κώλυσον αὐτὸν εὔχεσθαι καὶ εὐθὺς ἐν αὐτῷ φανεῖταί σοι ἡ τοῦ δαίμονος ἐνέργεια. » Ἀπελθὼν οὖν ὁ Θεόδωρος ἐποίησεν ὡς ἐκελεύσθη · καὶ ὁ δαίμων εὐθὺς πρὸς αὐτὸν [5] ἀνεβόησε δι' ἐκείνου · « Ὦ ἀσεβέστατε, εὔξασθαί με κωλύεις ; » Εἶτα καὶ ξύλον ἀράμενος ἐπανετείνατο ὡς τὴν κεφαλὴν ἐκείνου πατάξων · ὁ δὲ παρὰ τοῦ Θεοδώρου ἐπιτιμηθεὶς ἐν τῷ τοῦ Κυρίου ὀνόματι, τῆς φορᾶς ἐπεσχέθη. Καὶ λέγει πρὸς τὸν Θεόδωρον ὁ δαίμων διὰ τοῦ ἀσκητοῦ · « Βούλει μαθεῖν ὅ τι καὶ οἱ τὰ λιγυρὰ καὶ ἐν ἡδονῇ ψάλλοντες ὑπ' ἐμοῦ ἐνεργούμενοι ψάλλουσι ; Δεῦρο πρόσσχες [6] τῷ ψάλλοντι νῦν πῶς τὴν αὐτὴν λέξιν ἐννεάκις λαλεῖ. » Ἦν γάρ τις μοναχὸς ἐν κελλίῳ τῆς μωσαϊκῆς ᾠδῆς τὴν ἀρχὴν ἐπὶ στόματος φέρων, καὶ τὸ « Ἄσωμεν τῷ Κυρίῳ · ἐνδόξως Ex. 15, 1.
γὰρ δεδόξασται » πολλάκις ἀνακυκλῶν καὶ ᾄδων ὡς ἐδόκει πρὸς τὸ τερπνότερον. Τῷ οὖν Θεοδώρῳ ἀκηκοότι τῆς ψαλμῳδίας ἐκείνης τοῦ μοναχοῦ, θαυμάζειν ἐπῄει, ἀλλὰ μὴν καὶ φοβεῖσθαι ἀναλογιζόμενῳ τὸ ποικίλον καὶ πολυμήχανον τῆς τῶν δαιμόνων ἐπιβουλῆς.

62. — [1] *ὅ φασιν* E. — [2] *ὦ τέκνον* E. — [3] *οὗτος* E. — [4] *παρακ. τῆς ἐμῆς corr. in marg., prius om.* G. — [5] *πρὸς αὐτὸν om.* E. — [6] *πρόσχες* G, *ante corr.* E.

Οὐ μὴν ἀλλ' ὁ μέγας Παχώμιος πολλὰ τοῦ Θεοῦ δεηθεὶς περὶ τοῦ ἀδελφοῦ ἐκείνου τοῦ ὑπερηφάνου, μόλις ἠδυνήθη ἀπαλλάξαι αὐτὸν τοῦ τοιούτου νοσήματος· καὶ οὕτω σωφρονισθεὶς ἐκεῖνος ὑπήκοος ἦν τοῦ λοιποῦ [7] τῷ κοινῷ πατρὶ καὶ εἰς πάντα καταπειθής.

Φ 91. **63.** *Τὸν δέ γε Θεόδωρον τοῦτον πολλάκις καὶ εἰς τὰς ἄλλας μονὰς ὁ μέγας διέπεμπεν ἐπισκοπῆς ἕνεκεν, λέγων αὐτῷ [1] τε κἀκείνῳ τὴν αὐτὴν εἶναι διακονίαν, καὶ καθάπερ αὐτῷ [1] οὕτω καὶ τῷ Θεοδώρῳ ὑπακούειν τοὺς ἀδελφοὺς παρακαλῶν. Ἀμέλει καὶ τοῦ Θεοδώρου ἐπισκοποῦντος αὐτούς, ἔχαιρον καὶ ἠγάλλοντο τῷ πνεύ-*

Cf. Act 6, 8. *ματι· πλήρης γὰρ ἦν χάριτος ὁ ἀνήρ. Παχώμιος μὲν γὰρ εἰ καὶ τῇ τελειότητι ὑπερεῖχεν, ἀλλὰ φοβερὸς ἦν τῷ εἴδει καὶ σκυθρωπάζων ἀεὶ ἅτε μνημονεύων τῶν ἐκεῖσε κολάσεων.*

Φ 93. **64.** *Συνὼν δὲ αὐτῷ ποτε ὁ Θεόδωρος ἤκουσε μελῳδίας ψαλλόντων τινῶν, ἀμήχανον ἐχούσης τὴν ἡδονὴν καὶ οὐκ ἐοικυῖαν ὅλως ἀνθρωπίνῃ φωνῇ· ἔφη οὖν πρὸς τὸν γέροντα· « Ἀκούεις, ἀββᾶ; » Ὁ δέ· « Ναί, φησί, τέκνον. » — « Τί οὖν ἐστι τοῦτο; » ἐρωτήσαντος πάλιν τοῦ Θεοδώρου, « Ψυχὴ δικαίου τινός, ἀπεκρίνατο ὁ Παχώμιος, νῦν ἀπαλλαγεῖσα τοῦ σώματος καὶ δι' ἡμῶν αὐτῶν παρελθοῦσα, πρὸς τὰ οὐράνια αἴρεται· καὶ περὶ ταύτην ἡ μελῳδία τῶν ἀγόντων αὐτὴν καὶ παραπεμπόντων ἀγγέλων αἰνούντων δι' αὐτῆς τὸν Θεόν· ἡμῖν δὲ τέως ἐκ Θεοῦ κεχάρισται τὸ ταύτης ἀκοῦσαι. » Καὶ ἄλλοτε πάλιν ἀδελφῷ ἀποθνῄσκοντι παρακαθημένων ἀμφοτέρων αὐτῶν, ὤφθη αὐτοῖς παρὰ Κυρίου ὅπως ἡ ψυχὴ ἀπολυθείη τοῦ σώματος· οὐ μὴν καὶ πρὸς ἑτέρους εἰρήκασι τὸ μυστήριον, ἀλλὰ τῶν ἀδελφῶν οἱ συνόντες αὐτοῖς τότε, βλέποντες τούτους πρὸς τὸν ἀέρα μετὰ θαύματος ἀτενίζοντας ὅτι πολλοῦ, συνῆκαν τὸ γεγονός.*

Φ 104. **65.** *Ἦν δέ τις ἐν τοῖς ἀδελφοῖς ὀνόματι Σιλβανός, κομιδῇ νέαν ἄγων τὴν ἡλικίαν, ὃν ἀμελῶς ὁ πατὴρ βλέπων διάγοντα καὶ προπετεστέρῳ πολλάκις τῷ γέλωτι χρώμενον, προσκαλεσάμενος ἤλεγξεν· « Οὐκ ἐγώ σοι, λέγων, ἐξ ἀρχῆς μονάσαι βουλομένῳ προείρηκα ὁποῖόν τι τὸ πρᾶγμα τοῦτο τῆς μοναχικῆς καταστάσεώς ἐστιν, ὡς οὐκ εὐχερὲς οὐδὲ ῥᾴδιον, καὶ διεμαρτυράμην δοκιμάσαι πρότερον σεαυτὸν εἰ ἄρα δυνήσῃ φέρειν τουτονὶ τὸν ζυγὸν καὶ οὕτως αὐτὸν ὑπεισελθεῖν, καὶ ὡμολόγησας ἐνώπιον τοῦ Θεοῦ· « Δυνήσομαι »; Διὰ τί οὖν οὐ προσέχεις σεαυτῷ, ἀλλ' ἐκκεχυμένως ζῇς ὥσπερ καὶ τῶν κοσμικῶν οἱ ἀπροσεκτικώτεροι, καὶ πρὸς ἡδονὰς*

[7] *τοῦ λ. ἦν* E.

63. — [1] *i. e. ἑαυτῷ.*

ἑαυτὸν ἀνῆκας καὶ γέλωτας; Ὅμως ἐπειδὴ οὕτως ἔχεις [1], ἄπιθι πρὸς τοὺς ἰδίους γονεῖς καὶ μηκέτι μείνῃς ἐνθάδε. » Ἀκούσας οὖν ὁ νέος ἤρξατο κλαίειν σφοδρῶς· οὐ γὰρ ἠνείχετο τὴν μοναδικὴν πολιτείαν καταλιπεῖν καὶ εἰς τὸν κόσμον αὖθις ἀνθυποστρέψαι. Πολὺς τοίνυν ἐγίνετο τὴν παράκλησιν δεόμενος τοῦ πατρὸς καὶ συγχωρηθῆναι ἀξιῶν ὡς οὐκέτι πλημμελῶς διάξων, ἀλλὰ μοναχικῶς βιωσόμενος. Παραδίδωσιν οὖν αὐτὸν ὁ μέγας Ψενάμμωνί τινι μοναχῷ, ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ· παρ' ᾧ παιδευόμενός τε Φ 105. *καὶ νουθετούμενος, τοιοῦτος ἐγεγόνει καὶ εἰς τοσαύτην ἐληλύθει ἐπίδοσιν ἀρετῆς ὥστε, καθημένων ποτὲ τῶν ἀδελφῶν, εἰπεῖν πρὸς αὐτοὺς τὸν Παχώμιον ὅτι· « Ἔστι τις ἐν ἡμῖν μοναχὸς οἷον ἐξ ὅτου γέγονα μοναχὸς οὐκ εἶδον ἐγώ· ὥσπερ γὰρ ἔριον λευκόν, ἐὰν πορφύρᾳ βαφῇ, ἀνεξάλειπτον ἔχει τὸ τῆς βαφῆς χρῶμα παντάπασιν, οὕτως καὶ ἡ τούτου ψυχή, τὴν ἀπὸ τοῦ ἁγίου πνεύματος βαφὴν δεξαμένη, ἀναλλοίωτος ἀπὸ τῆς ἀγαθῆς ἕξεως διαμένει· κἂν ἐπαινέσῃς αὐτόν, οὐ διαχυθήσεται· κἂν ψέξῃς [2], οὐκ ἀνιαθήσεται· ἀλλ' ὁ αὐτός ἐστιν ἀεὶ μεταβολὴν μὴ δεχόμενος. » Τοῦ δὲ Θεοδώρου εἰπόντος· « Δεῖξον ἡμῖν τουτονί· μὴ Πετρωνίου καὶ Κορνηλίου μείζων ἐστίν; » ἀπεκρίθη ὁ μέγας πρὸς αὐτόν· « Τί ἄλλους καταλέγεις; Σοῦ αὐτοῦ μείζων ἐκεῖνος. Κατὰ μὲν γὰρ ἡλικίαν καὶ ἄσκησιν πατέρες αὐτοῦ εἶναι δοκεῖτε· κατὰ δὲ τὴν βαθυτάτην ταπείνωσιν καὶ τὴν καθαρωτάτην συνείδησιν, ὑμῶν ἐκεῖνος προέχων ἐστί. Καὶ ὑμεῖς μὲν τὸν θῆρα τὸν ὑμῖν [3] πολεμοῦντα τοῖς ποσὶν ὑμῶν δήσαντες ὑπεθήκατε· κἂν ἀμελήσητε, λυθεὶς ἐπαναστήσεται πάλιν ὑμῖν. Σιλβανὸς δὲ τελέως αὐτὸν κατειργάσατο καὶ ἀπώλεσεν. » Ἐτῶν δὲ διαγενομένων ἑπτὰ ἐξ ὅτου Σιλβανὸς πρὸς τὴν ἀμείνω μετέβαλε πολιτείαν, ἐν τοιαύτῃ καταστάσει πρὸς Κύριον ἐξεδήμησε, πολλὴν μάλα τῷ Παχωμίῳ ἐπὶ [4] τῇ τελειώσει αὐτοῦ τὴν εὐφροσύνην καταλιπών.*

66. *Νόσου δὲ τότε [1] χαλεπῆς εἰς τὰς μονὰς ἐνσκηψάσης, πολλοὶ* Φ 114. *πάνυ τῶν ἀδελφῶν ἐκοιμῶντο ἑκάστοτε· ἔστι γὰρ ὅτε ἑκατὸν ὁμοῦ ἢ καὶ πλείονες ἐπὶ τῆς αὐτῆς ἡμέρας μετήλλαττον [2]. Πυρετὸς ἦν λαῦρος ἡ νόσος ἐκείνη, τό τε χρῶμα εὐθὺς μεταβάλλων καὶ τοὺς ὀφθαλμοὺς ὑφαίμους ποιῶν καὶ πνιγμὸν ἐργαζόμενος καὶ οὕτω τὸν ἁλόντα κατεργαζόμενος. Τότε καὶ Σουρᾷ τελευτῆσαι συνέβη τῷ ἡγουμένῳ τῆς μονῆς Παχνοῦν, καὶ Κορνηλίῳ τῷ [3] ἡγουμένῳ*

65. — [1] *corr., prius ἔχει* E. — [2] *ψέγης* E. — [3] *ὑμᾶς* E. — [4] *ἐν* E.

66. — [1] *ποτε* G. — [2] *μετήλλατο* E. — [3] *om.* E.

τῆς μονῆς Μογχώσεως, καὶ Παφνουτίῳ τῷ οἰκονόμῳ τῶν μοναστηρίων συμπάντων [4] καὶ [5] ἄλλοις ὅτι πλείστοις τῶν ἀδελφῶν.

Θεόδωρος δὲ ὁ ηκόνει Παχωμίῳ τῷ θείῳ· κατειλήφει γὰρ ἤδη καὶ τοῦτον ὁ πυρετός, ὑφ' οὗ τό τε σῶμα ἐξετάκη παντάπασι καὶ οἱ ὀφθαλμοὶ διάπυροι ἐγεγόνεισαν. Ὡς οὖν ἤσθετο τῆς τελευτῆς ἤδη προσεγγιζούσης, δυσὶν ἡμέραις πρὸ ταύτης συνεκάλεσε πρὸς ἑαυτὸν τοὺς ἀδελφοὺς ἅπαντας· καὶ περὶ τῆς τελευτῆς αὐτοῦ προειπὼν ἐκέλευσεν ἐκλέξασθαι τὸν προστησόμενον αὐτῶν μετὰ τὴν αὐτοῦ ἀποβίωσιν. Τοὺς δὲ ἄρα τοσαύτη κατέσχεν ἀδημονία καὶ λύπη ἐπὶ τῇ προσδοκωμένῃ στερήσει τοῦ σφετέρου πατρός, ὡς μηδὲ φωνὴν τὸ παράπαν προέσθαι μηδὲ ἀντιφθέγξασθαί τι πρὸς αὐτὸν δυνηθῆναι, ἀλλ' ἢ μόνον δακρύειν τε [6] καὶ στενάζειν. Καλέσας οὖν τινα τῶν ἀπὸ τῆς μονῆς ᾗ τὸ ὄνομα Χηνοβόσκια, Ὀρσίσιον καλούμενον, μάλα πνευματικὸν ἄνδρα καὶ τίμιον, περιελθεῖν κελεύει πάντας τοὺς ἀδελφούς, καὶ τίνα αἱροῖντο καθηγεμόνα πυθέσθαι [7]. Οἱ δὲ μετὰ θρήνου πολλοῦ ἀπεκρίναντο· « Ἐξ ὅτου παρέδωκεν ἡμᾶς ὁ Κύριος εἰς τὰς χεῖρας τὰς σάς, οὐδένα οἴδαμεν ἕτερον τοιοῦτον ὅτι μὴ σέ· καὶ νῦν οὖν τῇ σῇ βουλῇ καὶ γνώμῃ τὴν τοῦ προστησομένου ἡμῶν ἀνατίθεμεν [8] ἐκλογήν. » Καὶ ὁ Παχώμιος· « Οὐκοῦν, εἶπεν, εἰ πιστεύετέ μοι, ἴστε ὡς ἐὰν ἐπιβιῴη Πετρώνιος, δύναται προΐστασθαι καὶ φροντίζειν ὑμῶν. » Ἦν γὰρ κἀκεῖνος ἀσθενῶν τηνικαῦτα κατὰ τὴν οἰκείαν μονὴν τὴν τοῦ Πανὸς λεγομένην.

Φ 115. **67.** Τούτων ῥηθέντων οἱ μὲν ἀδελφοὶ εὐξάμενοι ἀνεχώρησαν· ὁ δὲ Παχώμιος ἔφη πρός τινα τῶν περὶ αὐτὸν ἀδελφῶν· « Ποίησον ἀγάπην καὶ ἔνεγκέ μοι τῶν λεπτοτέρων τι ἐπιβλημάτων· τὸ γὰρ ἐπικείμενόν μοι βαρὺ ὂν φέρειν [1] οὐ δύναμαι· τεσσαράκοντα γὰρ ἡμέρας ἤδη κάμνων διατελῶ· ἀλλ' εὐχαριστῶ τῷ Κυρίῳ καὶ ἐπ' αὐτῷ τούτῳ. » Καὶ ὁ μὲν ἀπὸ τοῦ οἰκονομείου λαβὼν ἐπέθηκε τῷ γέροντι κουφοτέραν ἐπιβολήν· ὁ δ' εὐθὺς ἆραι ταύτην κελεύει, ὡς πάντως τεθνηξόμενος καὶ κούφου τε καὶ βαρέος ἐπιβλήματος διαφορὰν μὴ ὀφείλων ὑπολογίζεσθαι.

Φ 116. **68.** Ἤδη δὲ γεγονὼς πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς, παρεστηκότος αὐτῷ [1] τοῦ Θεοδώρου, ἥψατό τε τῶν γενείων αὐτοῦ καὶ περὶ τοῦ λειψάνου ἐπέσκηψεν ἵνα, μετὰ τὸ ταφῆναι ὅπου τοῖς ἀδελφοῖς

[4] σὺν πᾶσι corr. E. — [5] in ras. E. — [6] om. E. — [7] πύθεσθαι GE. — [8] ἀνατίθ. τὴν τοῦ προστ. ἡμ. E.

67. — [1] φέρ. β. ὂν E.

68. — [1] αὐτοῦ E.

ἐγίνοντο αἱ ταφαί, λάθρᾳ τοῦτο ἀλλαχοῦ μεταθήσῃ. Εἶτα καὶ περὶ τοῦ μὴ ἀμελεῖν αὐτὸν μηδέποτε τῶν ἀδελφῶν ἐντειλάμενος, τὴν μακαρίαν αὐτοῦ ψυχὴν χερσὶν ἀγγέλων παρέθετο. Καὶ οἱ μοναχοὶ πάντες διὰ πάσης [2] νυκτὸς περὶ αὐτὸν ἀγρυπνήσαντες ἀναγνώσεσί τε καὶ ψαλμῳδίαις χρησάμενοι, μεθ' ἡμέραν εἰς τὸ ὄρος ἀνακομίσαντες τὸ ἱερὸν αὐτοῦ λείψανον, ἐν τοῖς ἐκεῖσε μνήμασι τοῦτο [3] κατέθεντο. Ἀπαλλαγέντων δὲ τῶν ἄλλων ἐκεῖθεν, οἱ περὶ τὸν Θεόδωρον ὑπομείναντες μετατεθείκασιν αὐτό, καθάπερ αὐτοῖς ἐπέσκηψεν, ἀλλαχοῦ, ἔνθα καὶ εἰς δεῦρο τυγχάνει κρυπτόμενον.

Φ 117. **69.** Οἱ δὲ ἀποσταλέντες ἐπὶ τὸν ἀββᾶν Πετρώνιον, ὃν ἑαυτοῦ διάδοχον εἰς τὴν τῶν ἀδελφῶν προστασίαν ὁ μέγας προείλετο, ἤνεγκαν τὸν πρεσβύτην τῇ νόσῳ κρατούμενον, ἐρρωμένον μέντοι τῷ πνεύματι καὶ τὸν λογισμὸν νήφοντα. Ὃς καὶ ἐπ' ὀλίγας ἡμέρας κυβερνήσας τοὺς ἀδελφούς, ἀπὸ τῆς προσκαίρου ζωῆς καὶ αὐτὸς πρὸς τὴν ἀΐδιον μετεχώρησε, προτρεψάμενος τοὺς ἀδελφοὺς πρὶν ἢ τελευτήσῃ, ὃν ἂν [1] αὐτοὶ ἐθελήσωσι προελέσθαι εἰς προστασίαν, ἀνατεθείσης δὲ πάλιν αὐτῷ τῆς ἐπιλογῆς παρ' ἐκείνων, Ὀρσίσιον τὸν μνημονευθέντα εἰς τὴν ἡγουμενείαν προχειρισάμενος [2]. Περὶ οὗ καὶ ὁ μέγας Ἀντώνιος παρά τινων ἀδελφῶν ἐκ τῆς Ταβεννησίων (Φ 120). μονῆς πρὸς αὐτὸν ἀφικομένων πυθόμενος, ἐκέλευσε μηκέτι αὐτὸν Ὀρσίσιον, ἀλλ' Ἰσραηλίτην καλεῖν· οὕτως ἦν ἄκρος τὴν ἀρετήν.

